Ἡ Καινὴ Διαθήκη μετὰ ὑπομνημάτων ὑπὸ
Θ. Φαρμακίδου, δῶρον προσενεχθεῖσα τῇ Βιβλιο-
θήκῃ τῆς ἐν Βάρνῃ Ἑλληνικῆς Σχολῆς παρὰ τοῦ
Πανοσιολογιωτάτου Ἀρχιμανδρίτου κυρ. Θαδδαίου
[illegible], [illegible] ἐξ Τόμοις. Τῇ 24 Ἰανουαρ. 1852.—

Η ΚΑΙΝΗ ΔΙΑΘΗΚΗ

ΜΕΤΑ

ΥΠΟΜΝΗΜΑΤΩΝ ΑΡΧΑΙΩΝ,

ΕΚΔΙΔΟΜΕΝΗ

ΥΠΟ


ΘΕΟΚΛΗΤΟΥ ΦΑΡΜΑΚΙΔΟΥ.

ΤΟΜΟΣ ΠΡΩΤΟΣ.

ΠΕΡΙΕΧΩΝ

ΤΟ

ΚΑΤΑ ΜΑΤΘΑΙΟΝ ΕΥΑΓΓΕΛΙΟΝ.



ΕΝ ΑΘΗΝΑΙΣ,

ΕΚ ΤΗΣ ΤΥΠΟΓΡΑΦΙΑΣ ΑΓΓΕΛΟΥ ΑΓΓΕΛΙΔΟΥ

ΚΑΤΑ ΤΗΝ ΟΔΟΝ ΕΡΜΟΥ ΠΑΡΑ ΤῊ ΚΑΠΝΙΚΑΡΕᾼ

1842.

ΕΥΘΥΜΙΟΥ ΤΟΥ ΖΙΓΑΒΗΝΟΥ

ΕΡΜΗΝΕΙΑ

ΕΙΣ ΤΑ


ΤΕΣΣΑΡΑ ΕΥΑΓΓΕΛΙΑ.

ΤΟΜΟΣ ΠΡΩΤΟΣ.

ΠΕΡΙΕΧΩΝ

ΤΟ

ΚΑΤΑ ΜΑΤΘΑΙΟΝ ΕΥΑΓΓΕΛΙΟΝ.



ΕΝ ΑΘΗΝΑΙΣ,

ΕΚ ΤΗΣ ΤΥΠΟΓΡΑΦΙΑΣ ΑΓΓΕΛΟΥ ΑΓΓΕΛΙΔΟΥ

ΚΑΤΑ ΤΗΝ ΟΔΟΝ ΕΡΜΟΥ ΠΑΡΑ ΤΗ ΚΑΠΝΙΚΑΡΕΑ.

1842.

ΠΡΟΛΕΓΟΜΕΝΑ.

ΟΤΙ ἡ μελέτη τῶν ἱερῶν Γραφῶν εἶναι τόσον ἀναγκαία εἰς τὸν χριστιανὸν, ὅσον αὐτὴ ἡ ὑλικὴ τροφὴ εἰς τὸν ἄνθρωπον ἐν γένει, δὲν ὑπάρχει, νομίζομεν, χριστιανὸς, ὅστις ἀμφιβάλλει περὶ τούτου. Καὶ τί λέγομεν, *ἀναγκαία*; εἶναι τόσῳ ἀναγκαιοτέρα ἐκείνης, ὅσῳ τιμιωτέρα τοῦ σώματος εἶναι ἡ ψυχὴ, εἰς σωτηρίαν τῆς ὁποίας ἀποβλέπει αὕτη. Οἱ θεῖοι τῆς ἐκκλησίας Πατέρες τόσον ἀκριβῶς ἐγνώρισαν τὴν ἀνάγκην τῆς ἀδιαλείπτου ἀναγνώσεως καὶ μελέτης τῶν ἱερῶν Γραφῶν, ὥστε δὲν ἔπαυον ζῶντες ἀπὸ τοῦ νὰ συνιστῶσιν αὐτὴν μετὰ πολλῆς σπουδῆς εἰς τοὺς συγχρόνους των χριστιανοὺς, καὶ δὲν παύουσιν ἕως σήμερον ἀπὸ τοῦ νὰ προτρέπωσιν ἡμᾶς τοὺς νῦν ζῶντας εἰς αὐτὴν διὰ τῶν ἀθανάτων αὐτῶν συγγραμμάτων. Βιβλίον ὅλον ἐδυνάμεθα νὰ συντάξωμεν ἐκ τῶν προτροπῶν τούτων, ἐὰν ἐνομίζομεν τοῦτο ἀναγκαῖον. Ἄπειρον ἐθεώρουν οἱ θεῖοι Πατέρες τὸν καρπὸν τῆς ἀναγνώσεως καὶ μελέτης τῶν ἱερῶν Γραφῶν, καὶ ἄπειρος εἶναι τῳόντι. Μεγίστην ἐθεώρουν βλάβην τὴν ἔλλειψιν αὐτῆς, καὶ μεγίστη εἶναι τῳόντι. « Μεγάλη, » λέγει ὁ θεῖος Χρυσόστομος (Ὁμ. Γ′. εἰς τὸν Λάζαρον), « μεγάλη ἀσφάλεια πρὸς τὸ μὴ ἁμαρτάνειν, τῶν Γραφῶν ἡ ἀνάγνωσις· μέγας κρημνὸς καὶ βάραθρον βαθὺ, τῶν Γραφῶν ἡ

» ἄγνοια· μεγάλη προδοσία σωτηρίας, τὸ μηδὲν ἀπὸ τῶν θείων » εἰδέναι νόμων. Τοῦτο καὶ αἱρέσεις ἔτεκε· τοῦτο καὶ βίον διε- » φθαρμένον εἰσήγαγε· τοῦτο τὰ ἄνω κάτω πεποίηκεν. Ἀμή- » χανον γὰρ, ἀμήχανον, ἄκαρπον ἀναχωρῆσαί τινα συνεχῶς ἀνα- » γνώσεως ἀπολαύοντα μετ' ἐπιστασίας.» Καὶ πάλιν ὁ αὐτὸς ἀλλαχοῦ (Ἐν τῇ ὑποθέσει τῆς πρὸς Ῥωμαίους ἐπιστολῆς) « Ἐν- » τεῦθεν τὰ μυρία ἔφυη κακὰ, ἀπὸ τῆς τῶν Γραφῶν ἀγνοίας· » ἐντεῦθεν ἡ πολλὴ τῶν αἱρέσεων ἐβλάστησε λύμη· ἐντεῦθεν » οἱ ἠμελημένοι βίοι· ἐντεῦθεν οἱ ἀκερδεῖς πόνοι. Ὥσπερ γὰρ » οἱ τοῦ φωτὸς ἀπεστερημένοι τούτου οὐκ ἂν ὀρθὰ βαδίσαιεν· » οὕτως οἱ πρὸς τὴν ἀκτῖνα τῶν θείων μὴ βλέποντες Γραφῶν, » πολλὰ ἀναγκάζονται καὶ συνεχῶς ἁμαρτάνειν, ἅτε δὴ ἐν σκό- » τει χαλεπωτάτῳ βαδίζοντες.» Καὶ δὲν εἶναι ὑπερβολὴ ὅ,τι λέγει ὁ αὐτὸς θεῖος Πατὴρ περὶ τῆς ἀναγνώσεως καὶ μελέτης τῶν ἱερῶν Γραφῶν· « *Οὐ γάρ ἐστιν, οὐκ ἔστι τινὰ σωθῆναι » μὴ συνεχῶς ἀναγνώσεως ἀπολαύοντα πνευματικῆς.*» (Ὁμ. Γ'. εἰς τὸν Λάζαρον). Καὶ ὅμως κἀνὲν ἄλλο σύγγραμμα δὲν ἀναγινώσκεται παρὰ τῶν τέκνων τῆς ὀρθοδόξου ἡμῶν ἀνατολικῆς ἐκκλησίας τόσῳ σπανιώτερον, ὅσον τὰ βιβλία ἐκεῖνα, τὰ ὁποῖα ἔπρεπε νὰ ἦναι καθ' ἑκάστην ἡμέραν εἰς τὰς χεῖρας αὐτῶν. Καὶ μόνος ὁ λαϊκὸς ἄνθρωπος δεικνύει τοιαύτην καὶ τοσαύτην ἀμέλειαν καὶ ἀδιαφορίαν πρὸς τὴν ψυχοσωτήριον τῶν ἱερῶν Γραφῶν ἀνάγνωσιν; Δὲν δεικνύει τοιαύτην καὶ τοσαύτην καὶ αὐτὸς ἐκεῖνος, ὅστις καὶ ἐξ οὗ φέρει ἐν τῇ ἐκκλησίᾳ τοῦ Χριστοῦ χαρακτῆρος ἔργον κύριον ὤφειλε νὰ ἔχῃ τὴν ἀνάγνωσιν καὶ μελέτην ταύτην; Καὶ αὐτὸς ἐκεῖνος, εἰς τὸν ὁποῖον οἱ ἱεροὶ Κανόνες ἐπιβάλλουσιν ὡς ἱερὸν καθῆκον τὴν ἀδιάλειπτον τῶν ἱερῶν Γραφῶν ἀνάγνωσιν καὶ μελέτην· διότι ὀφείλει « ἐν πάσῃ μὲν ἡμέρᾳ, ἐξαιρέτως δὲ ἐν ταῖς κυριακαῖς, πάντα » τὸν κλῆρον καὶ τὸν λαὸν ἐκδιδάσκειν τοὺς τῆς εὐσεβείας λό- » γους, ἐκ τῆς θείας Γραφῆς ἀναλεγόμενον τὰ τῆς ἀληθείας

» νοήματά τε καὶ κρίματα;» (Καν. ΙΘ' τῆς ϛ' οἰκουμ. Συνόδου). Καὶ τίς ἄρά γε ὁ λόγος τῆς ἀσυγχωρήτου ταύτης ἀμελείας καὶ ἀδιαφορίας; Ἡ ἔλλειψις τῶν ἀντιτύπων τῶν ἱερῶν Γραφῶν; Ἀλλ' ἀπ' αὐτῶν γέμει ἀπό τινος χρόνου ὁ κόσμος ὅλος. Ἡ βαρεῖα τιμὴ τῆς ὠνῆς; Ἀλλ' αὕτη τὴν σήμερον εἶναι ἐλαφροτάτη. Ἡ δυσκαταληψία τῶν ἀναγινωσκομένων; Ἀλλὰ δὲν εἶναι τόσον δύσκολος ἡ κατάληψις τῶν ἱερῶν Γραφῶν, καὶ μάλιστα ἡ τῆς καινῆς Διαθήκης, εἰς τὸν συνεχῶς καὶ εὐλαβῶς αὐτὰς ἀναγινώσκοντα καὶ μελετῶντα. « Διὰ τοῦτο, λέγει » ὁ θεῖος Χρυσόστομος (Ὁμ. Γ'. εἰς τὸν Λάζαρον), διὰ τοῦτο » ἡ τοῦ Πνεύματος ᾠκονόμησε χάρις τελώνας, καὶ ἁλιέας, καὶ » σκηνοποιοὺς, καὶ ποιμένας, καὶ αἰπόλους, καὶ ἰδιώτας, καὶ » ἀγραμμάτους ταῦτα συνθεῖναι τὰ βιβλία, ἵνα μηδεὶς τῶν » ἰδιωτῶν εἰς ταύτην ἔχῃ καταφεύγειν τὴν πρόφασιν, ἵνα πᾶ- » σιν εὐσύνοπτα ᾖ τὰ λεγόμενα· ἵνα καὶ ὁ χειροτέχνης, καὶ ὁ » οἰκέτης, καὶ ἡ χήρα γυνὴ, καὶ ὁ πάντων ἀνθρώπων ἀμαθέ- » στατος, κερδάνῃ τι καὶ ὠφεληθῇ παρὰ τῆς ἀναγνώσεως. — » *Σαφῆ γὰρ καὶ δῆλα τὰ παρ' αὐτῶν κατέστησαν ἅπασιν, » ἅτε κοινοὶ τῆς οἰκουμένης ὄντες διδάσκαλοι, ἵνα ἕκαστος » καὶ δι' ἑαυτοῦ μανθάνειν δύνηται ἐκ τῆς ἀναγνώσεως μό- » νης τῶν λεγομένων. —— Τίνι γὰρ οὐκ ἔστι δῆλα τὰ » τῶν εὐαγγελίων ἅπαντα;* Τίς δὲ ἀκούων, ὅτι Μακάριοι οἱ » πραεῖς, Μακάριοι οἱ ἐλεήμονες, Μακάριοι οἱ καθαροὶ τῇ καρ- » δίᾳ, καὶ ὅσα τοιαῦτα, διδασκάλου δεήσεται, ὥς τι μαθεῖν τῶν » λεγομένων;» «Οἱ ἱεροὶ, λέγει καὶ ὁ μαθητὴς καὶ μιμητὴς » τοῦ Χρυσοστόμου Ἰσίδωρος ὁ Πηλουσιώτης (Βιβλ. Δ'. Ἐπιστ. » ιά·), οἱ ἱεροὶ καὶ οὐράνιοι χρησμοὶ, ἐπειδὴ πρὸς ὠφέλειαν πά- » σης τῆς ἀνθρωπότητος ἐῤῥέθησαν καὶ ἐγράφησαν, τῇ σαφη- » νείᾳ ἐκράθησαν. Πάντες οἱ γεωργίαις καὶ τέχναις, καὶ ταῖς » ἄλλαις ἀσχολίαις τοῦ βίου σχολάζοντες, ὠφελοῦνται ἐκ τῆς » σαφηνείας, καὶ τὸ πρέπον, καὶ τὸ δίκαιον, καὶ τὸ συμφέρον

« ἐν ἀκαριαίᾳ καιροῦ ῥοπῇ μανθάνοντες. » Καὶ ὅ,τι λέγουσιν οἱ δύο οὗτοι, τοῦτ' αὐτὸ λέγει καὶ ἅπας τῶν ἁγίων Πατέρων ὁ χορός. Ἂν λοιπὸν ταῦτα ἦναι ὁ λόγος τῆς ἀμελείας καὶ ἀδιαφορίας ταύτης, ὁ λόγος αὐτὸς εἶναι τῳόντι ἄλογος.

Ἀλλὰ διὰ ν' ἀφαιρεθῇ ἐκ μέσου πᾶσα πρόφασις παράλογος, ἔγνωμεν νὰ συνδράμωμεν, τὸ κατὰ δύναμιν, εἰς τὴν εὐκολωτέραν κτῆσιν καὶ κατάληψιν τῆς καινῆς Διαθήκης. Ἐλλόγιμοι κληρικοί, συνιστῶντες τὴν ἀνάγνωσιν καὶ μελέτην τῶν ἱερῶν Γραφῶν εἰς πάντα χριστιανόν, ἐξέφρασαν κατὰ τοὺς τελευταίους τούτους χρόνους γνώμην, ὅτι αὕτη πρέπει νὰ γίνηται εἰς τὸ πρωτότυπον ἑλληνικὸν κείμενον, ὁδηγουμένου τοῦ ἀναγνώστου εἰς τὴν ὀρθὴν αὐτῶν κατάληψιν ἀπὸ τῶν ἑρμηνειῶν καὶ ἐξηγήσεων τῶν θεοφόρων τῆς ἐκκλησίας Πατέρων. Ἀναγνωρίζοντες δὲ καὶ ἡμεῖς τὴν ἐκ τῶν τοιούτων ἑρμηνειῶν καὶ ἐξηγήσεων προερχομένην εἰς τὸν ἀναγνώστην τῶν ἱερῶν Γραφῶν μεγάλην ὠφέλειαν, καὶ σύμφωνοι κατὰ πάντα πρὸς τὴν γνώμην ταύτην, ἔγνωμεν ν' ἀναδεχθῶμεν τὴν ἔκδοσιν τῆς καινῆς Διαθήκης μετὰ τοιούτων ὑπομνημάτων, καὶ αὐτῶν εἰς τὸ πρωτότυπον ἐκδεδομένων. Καὶ σκεφθέντες πολὺ εἰς τὸ προκείμενον, εὔλογον ἐκρίναμεν νὰ πράξωμεν ὅ,τι, ὡς δὲν ἀμφιβάλλομεν, ἤθελεν ἐγκριθῇ παρὰ πάντων ὡς χρήσιμον καὶ ὠφέλιμον.

Ἀπὸ τοῦ ἕκτου αἰῶνος, ἀντὶ πρωτοτύπων ἑρμηνευτῶν καὶ ἐξηγητῶν τῶν ἱερῶν Γραφῶν, ἀνεφάνησαν εἰς τὴν ἐκκλησίαν, ὡς γνωστὸν εἰς τοὺς εἰδήμονας τῆς χριστιανικῆς φιλολογίας, συλλογεῖς ἢ ἐρανισταὶ ἐκ τῶν ἑρμηνειῶν καὶ ἐξηγήσεων τῶν πρὸ αὐτῶν ἀκμασάντων ἐνδόξων ἑρμηνευτῶν καὶ ἐξηγητῶν· καὶ τοιαῦται συλλογαὶ ἢ ἐπιτομαὶ ἢ σειραὶ συνετάχθησαν παρὰ διαφόρων ἐκκλησιαστικῶν ἀνδρῶν καὶ εἰς τὴν παλαιὰν καὶ εἰς τὴν νέαν Διαθήκην, καὶ πολλαὶ τούτων σώζονται ἕως σήμερον, αἱ μὲν ἐκδεδομέναι, αἱ δ' ἀνέκδοτοι ἔτι κείμεναι εἰς τὰς πλουσίας τῆς Εὐρώπης βιβλιοθήκας. Ἂν ὄχι ὅλως τοιοῦτοι

σειρογράφοι κατὰ τὴν κυριωτέραν τοῦ ὀνόματος σημασίαν, συλλογεῖς ὅμως ἢ ἐρανισταὶ εἶναι, ὡς οἱ ἴδιοι ὁμολογοῦσι, καὶ ὁ κατὰ τὸν Ι' αἰῶνα ἀκμάσας ἐπίσκοπος Τρίκκης τῆς Θεσσαλίας Οἰκουμένιος, ὁ κατὰ τὸν ΙΑ' αἰῶνα ἀκμάσας ἀρχιεπίσκοπος Βουλγαρίας Θεοφύλακτος, καὶ κατὰ τὸν ΙΒ' ὁ μοναχὸς Εὐθύμιος ὁ Ζιγαβηνός. Καὶ οἱ τρεῖς οὗτοι συνέγραψαν ὑπομνήματα εἰς τὴν καινὴν Διαθήκην· ἀλλὰ τὰ ὑπομνήματα ταῦτα εἶναι κυρίως ἐρανισμένα ἐκ τῶν συγγραμμάτων τῶν πρὸ αὐτῶν ἀκμασάντων θείων τῆς ἐκκλησίας Πατέρων, καὶ κατ' ἐξοχὴν τοῦ τῳόντι καὶ ἀληθῶς χρυσοῦ τὴν γλῶσσαν Ἰωάννου. Πλὴν καίτοι κυριωτέρως συλλογεῖς ἢ ἐρανισταὶ οἱ εἰρημένοι, ἐξέφρασαν ὅμως ἐν πολλοῖς καὶ ἰδίας αὐτῶν γνώμας, καὶ γνώμας ἐπιτυχεῖς κατὰ τὴν κρίσιν τῶν ἁρμοδίων κριτῶν. Τὸ ἔργον αὐτῶν ἀπεδείχθη ἐκ τῆς πείρας χρησιμώτατον καὶ ὠφελιμώτατον· διότι ἀντὶ πολυτόμων συγγραμμάτων ἔχει τις πρόχειρον ἐπιτομὴν αὐτῶν, περιέχουσαν ἀληθῶς ὅσα συντείνουσιν εἰς ἀκριβεστέραν τῆς καινῆς Διαθήκης κατάληψιν. Ἐν τοῖς συγγράμμασιν ἄρα τούτων λαλοῦσι κυρίως αὐτοὶ οἱ ἐνδοξότεροι καὶ ἐγκριτότεροι τῶν θείων τῆς ἐκκλησίας Πατέρων· διότι ἐκ τῶν συγγραμμάτων αὐτῶν εἶναι ταῦτα συνεῤῥαμμένα. Ὅτι δὲ τοιαῦτα ὄντα εἶναι χρησιμώτατα καὶ ὠφελιμώτατα, κρίνομεν περιττὸν νὰ τὸ εἴπωμεν ἡμεῖς· ἀλλὰ καίτοι τοιαῦτα, εἶναι εἰς ἡμᾶς, ὑπὲρ ὧν κυρίως ἐγράφησαν, τόσον σπάνια, ὥστε καταντῶσιν ὅλως ἄγνωστα, καὶ ἐκ τούτου ἀνωφελῆ.

Τὴν ἔλλειψιν λοιπὸν τῶν ὑπομνημάτων εἰς τὴν καινὴν Διαθήκην θέλοντες νὰ θεραπεύσωμεν ἐκ τοῦ προχείρου, εὔλογον ἐκρίναμεν νὰ ἐκδώσωμεν τὴν εἰς τὰ τέσσαρα Εὐαγγέλια ἑρμηνείαν Εὐθυμίου τοῦ Ζιγαβηνοῦ (1), τὴν εἰς τὰς Πράξεις τῶν

(1) Ὁ Εὐθύμιος ἡρμήνευσε καὶ τὰς ἐπιστολὰς τοῦ Παύλου καὶ τὰς καθολικὰς (Φαβρικ. ἑλλην. Βιβλ. Τομ. VIII. Σελ. 344. 345)· ἀλλ' ἡ ἑρμηνεία αὕτη

ἀποστόλων, εἰς τὰς ἐπιστολὰς τοῦ Παύλου καὶ εἰς τὰς καθολικὰς ἐξήγησιν τοῦ Οἰκουμενίου, καὶ εἰς τὴν ἀποκάλυψιν τοῦ Ἰωάννου τὸ ὑπόμνημα τοῦ ἀρχιεπισκόπου Καισαρείας τῆς Καππαδοκίας Ἀρέθα, διὰ νὰ συμπληρωθῇ οὕτως ἓν ὅλον ὑπόμνημα εἰς ὅλην τὴν καινὴν Διαθήκην, ἀναβάλλοντες εἰς ἄλλον καιρὸν τὴν ἔκδοσιν τῶν ἑρμηνειῶν τοῦ Θεοφυλάκτου. Νομίζομεν δὲ ὅτι διὰ τοῦ ἔργου τούτου ἐκπληροῦμεν τὰς εὐχὰς τῶν τοιαύτας ἑρμηνείας εἰς κατάληψιν τῆς καινῆς Διαθήκης συστησάντων ἐλλογίμων κληρικῶν. Ἀλλὰ τὴν εἰς τὰ τέσσαρα Εὐαγγέλια ἑρμηνείαν Εὐθυμίου τοῦ Ζιγαβηνοῦ, κατὰ τὴν ἐν ἔτει 1792 ἐν Λιψίᾳ παρὰ τοῦ Γερμανοῦ Χ. Φ. Ματθαίου γενομένην ἔκδοσιν αὐτῆς, ὡς κατωτέρω ῥηθήσεται, ἐκδιδόντες πρῶτον, εὔλογον κρίνομεν νὰ εἴπωμεν ὀλίγα περί τε τοῦ συγγραφέως καὶ περὶ τοῦ συγγράμματος αὐτοῦ.

Ὁ συγγραφεὺς τῆς ἑρμηνείας ταύτης ὀνομάζεται *Εὐθύμιος*· ἀλλὰ τὸ ἐπωνύμιον αὐτοῦ γράφεται διαφόρως. Παρά τισι μὲν τῶν χειρογράφων τῶν εἰς αὐτὸν ἀποδιδομένων συγγραμμάτων εὑρίσκεται τὸ ἐπωνύμιον *Ζιγαβηνὸς* ἢ *Ζυγαβηνὸς* γεγραμμένον· παρά τισι δὲ, *Ζιγαδηνὸς* ἢ *Ζυγαδηνός*. Κατὰ ταῦτα καὶ ἐν τοῖς ἐκδεδομένοις αὐτοῦ συγγράμμασιν, ἢ ὅπου ἀλλαχοῦ γίνεται λόγος περὶ αὐτοῦ, ποτὲ μὲν γράφεται Ζιγαβηνὸς ἢ Ζυγαβηνὸς, ποτὲ δὲ Ζιγαδηνὸς ἢ Ζυγαδηνὸς ὁ Εὐθύμιος. Ὁ Γερμανὸς ἐκδότης τῆς εἰς τὰ τέσσαρα Εὐαγγέλια ἑρμηνείας αὐτοῦ, ἐξετάζων καὶ τὴν γραφὴν τοῦ ὀνόματος, λέγει εἰς τὸ τέλος, ὅτι εἶναι ἀμφίβολον, ἂν Ζυγαδηνὸς, ἢ Ζιγαδηνὸς, ἢ Ζιγαβηνὸς ἐπωνομάζετο ὁ Εὐθύμιος. Εὑρίσκει δὲ ἐν τῷ μεταξὺ ὀρθότερον τὸ Ζυγαδηνὸς, ὡς γράφεται τὸ ὄνομα καὶ παρὰ τῇ Ἄννῃ Κομνηνῇ ἐν Ἀλεξ. Βιβλ. ΙΕʹ, ἕως οὗ παραβληθῶσι καὶ

κρύπτεται εἰσέτι εἰς τὰς βιβλιοθήκας τῆς Εὐρώπης ἀνέκδοτος. Πόσον λυπηρὸν εἶναι εἰς ἡμᾶς ἡ στέρησις αὐτῆ!

ἐξετασθῶσι καὶ κατὰ τοῦτο περισσότερα χειρόγραφα. Ἀλλ' ἐπειδὴ καὶ ὁ αὐτὸς ἐκδότης, ἂν καὶ ἐγκρίνῃ ἐν τῷ μεταξὺ ὀρθότερον τὸ Ζυγαδηνὸς, γράφει ἐν τῇ ἐπιγραφῇ τοῦ συγγράμματος *Ζιγαβηνὸς*, καὶ οὕτω γράφεται καὶ παρὰ πολλῶν νεωτέρων τ' ὄνομα, παρεδέχθημεν αὐτὸ καὶ ἡμεῖς.

Εὐθύμιος λοιπὸν ὁ Ζιγαβηνὸς, Κωνσταντινουπολίτης ἴσως τὴν πατρίδα, ἦτον μοναχὸς, καὶ ἔζη ἐν μοναστηρίῳ τινι τῆς Θεοτόκου ἐν Κωνσταντινουπόλει. Ἤκμαζε δὲ ἐπὶ τοῦ αὐτοκράτορος Ἀλεξίου τοῦ Κομνηνοῦ, καὶ ἦτον παρ' αὐτῷ ἐν πολλῇ εὐνοίᾳ. Ὁ αὐτοκράτωρ ἐτελεύτησεν ἐν ἔτει 1118, καὶ ὁ Εὐθύμιος ἔζη ἔτι καὶ μετὰ τὸν θάνατον αὐτοῦ. Ἐτελεύτησεν ἄρα μετὰ τὸν αὐτοκράτορα· ἀλλ' ἄγνωστον ἐν ποίῳ ἔτει, καθὼς ἄγνωστον καὶ ἐν ποίῳ ἔτει ἐγεννήθη.

Ὁ Εὐθύμιος εἶχεν ἀληθινὴν παιδείαν· ἦτον θεολόγος ἄριστος, καὶ ἄριστα ἐξησκημένος εἰς τὴν ἐξήγησιν καὶ ἑρμηνείαν τῶν ἱερῶν Γραφῶν, ὡς μαρτυροῦσιν αὐτὰ αὐτοῦ τὰ συγγράμματα, ἐκδεδομένα καὶ ἀνέκδοτα, καὶ ὁμολογοῦσι καὶ αὐτοὶ οἱ νεώτεροι. Ἡ σύγχρονος αὐτοῦ Ἄννα Κομνηνὴ καλεῖ αὐτὸν ἄνδρα «γραμματικῆς » εἰς ἄκρον ἐληλακότα, καὶ ῥητορικῆς οὐκ ἀμελέτητον ὄντα, καὶ » τὸ δόγμα ὡς ἄλλός τις ἐπιστάμενον. » Τοιοῦτον δὲ ὄντα τὸν Εὐθύμιον, ἐπέταξεν αὐτὸν ὁ αὐτοκράτωρ Ἀλέξιος, νὰ ἐκθέσῃ καὶ ἀνατρέψῃ ἁπάσας τὰς αἱρέσεις, καὶ τὴν κατ' ἐκείνους τοὺς χρόνους ἀναφανεῖσαν ἐν Θράκῃ αἵρεσιν τῶν Βογομίλων, ὡς ἱστορεῖ αὐτὴ ἡ ἐλλογιμωτάτη τοῦ αὐτοκράτορος θυγάτηρ ἐν Ἀλεξ. Βιβλ. ΙΕʹ. «Παραπέμπω, λέγει, τοὺς βουλομένους τὴν ὅλην αἵ« ρεσιν τῶν Βογομίλων διαγνῶναι εἰς τὸ οὕτω καλούμενον *Βι» βλίον Δογματικὴ Πανοπλία*, ἐξ ἐπιταγῆς τοὐμοῦ πατρὸς » συντεθεῖσαν. Καὶ γὰρ μοναχόν τινα *Ζυγαδηνὸν* καλούμενον, » γνωστὸν μὲν τῇ δεσποίνῃ καὶ πρὸς μητρὸς ἐμῇ μάμμῃ, καὶ » πᾶσι τοῖς τοῦ ἱερατικοῦ καταλόγου, γραμματικῆς δὲ εἰς » ἄκρον ἐληλακότα, καὶ ῥητορικῆς οὐκ ἀμελέτητον ὄντα, καὶ

» τὸ δόγμα ὡς ἄλλός τις ἐπιστάμενον· τοῦτον ὁ αὐτοκράτωρ
» μεταπεμψάμενος ἐπέταξεν ἁπάσας τὰς αἱρέσεις ἐκθέσθαι,
» ἑκάστην ἰδίᾳ, καὶ ἐφ' ἑκάστῃ τὰς τῶν ἁγίων Πατέρων ἀνα-
» τροπὰς ἐγγράψασθαι, καὶ αὐτῶν δὴ τῶν Βογομίλων τὴν αἵ-
» ρεσιν.— Ταύτην τὴν βίβλον *Δογματικὴν Πανοπλίαν* ὁ
» αὐτοκράτωρ ὠνόμασε. Μέχρι τοῦ νῦν οὕτω προσαγορεύεται
» τὰ βιβλία (α). »

Κατ' ἐπιταγὴν λοιπὸν τοῦ αὐτοκράτορος Ἀλεξίου τοῦ Κομνηνοῦ
συνέταξεν ὁ Εὐθύμιος τὴν Δογματικὴν Πανοπλίαν. Δὲν εἶναι
ἀπίθανον, ὅτι κατ' ἐπιταγὴν αὐτοῦ συνέταξε καὶ τὴν εἰς τὰ
τέσσαρα Εὐαγγέλια ἑρμηνείαν, ὡς εἰκάζει καὶ ὁ Γερμανὸς ἐκ-
δότης. Τῆς γνώμης ταύτης εἶναι καὶ ὁ Ἀθηνῶν Μελέτιος (β).
Ἐρανίσατο δὲ αὐτὴν ὁ Εὐθύμιος ἐκ τῶν ἑρμηνειῶν καὶ διαφό-
ρων μὲν ἄλλων Πατέρων τῆς ἐκκλησίας, ἐξαιρέτως δὲ τοῦ ἐν
ἁγίοις πατρὸς ἡμῶν Ἰωάννου τοῦ Χρυσοστόμου, ὡς καὶ ὁ ἴδι-
ος λέγει ἐν τῇ ἐπιγραφῇ τοῦ συγγράμματος αὐτοῦ. Ἀλλ' ὁ
Εὐθύμιος δὲν εἶναι ἁπλοῦς ἐρανιστής· ὡς εἰς ἄκρον εἰς τὴν ἐξή-
γησιν καὶ ἑρμηνείαν τῶν ἱερῶν Γραφῶν ἐξησκημένος, συνεισφέ-
ρει καὶ αὐτὸς ἀφ' ἑαυτοῦ πολὺ μέρος, καὶ πανταχοῦ δεικνύει
ἀκριβῆ γραφικὴν γνῶσιν καὶ κρίσιν ὀρθήν· καὶ ποῦ μὲν διορθό-
νει ἄλλους ἑρμηνευτάς, ποῦ δὲ ἀναπτύσσει σαφέστερον καὶ
πλατύτερον τὰ παρ' ἄλλοις συνεπτυγμένως ἢ ἀσαφῶς πως ἐκ-
φρασμένα. Πανταχοῦ δὲ τῆς ἑρμηνείας ἀναζητεῖ καὶ εὑρίσκει
τὴν κυρίαν λέξιν, καὶ ἐκφράζει τὴν ὀρθὴν ἔννοιαν, ὡς δῆλον
ἐκ τῆς ἀναγνώσεως αὐτοῦ τοῦ συγγράμματος.

Ἡ εἰς τὰ τέσσαρα Εὐαγγέλια ἑρμηνεία τοῦ Εὐθυμίου ἐτιμᾶ-

(α) Τὸ σύγγραμμα τοῦτο ἐξεδόθη ἑλληνιστὶ ἐν Τεργοβύστῳ κατὰ τὴν Βλαχίαν ἐν ἔτει 1710, λατινιστὶ πρότερον ἐκδεδομένον ἐν Ἐνετίᾳ κατὰ τὸ 1555 ἔτος.

(β) « Εὐθύμιος ὁ Ζυγαδηνός, ἀνὴρ ἐν λόγοις παιδείας διάσημος·— ἔγραψε δὲ γλαφυρώτατα σχόλια εἰς τὴν θείαν Γραφὴν—κατὰ προσταγὴν Ἀλεξίου τοῦ Κομνηνοῦ αὐτοκράτορος. — Ἐκκλ. Ἱστορ. Τομ. Γ'. Σελ. 14.

το πολὺ παρά τε τῶν συγχρόνων αὐτοῦ καὶ παρὰ τῶν μετα-
γενεστέρων, καὶ ἐπαινεῖται μεγάλως παρὰ πάντων τῶν νεωτέ
ρων ἀλλογενῶν καὶ ἑτεροδόξων κριτικῶν. Αἱ περὶ αὐτῆς μετ'
ἐπαίνων παρὰ πολλῶν ἐλλογίμων ἀνδρῶν γινόμεναι κρίσεις
παρεκίνησαν καὶ τὸν Ματθαίην εἰς ἔκδοσιν αὐτῆς. Παραλεί-
πομεν πολλοὺς τῶν ἐπαινετῶν τοῦ Εὐθυμίου καὶ τοῦ περὶ οὗ
ὁ λόγος συγγράμματος αὐτοῦ, καὶ φέρομεν ἐνταῦθα τέσσαρας
μόνον. Ὁ Βαρώνιος ὀνομάζει τὸν συγγραφέα *ἀκριβέστατον τῶν
ἱερῶν Γραφῶν ἑρμηνευτὴν*, accuratissimum Scripturarum
interpretem. Ὁ κριτικώτατος Γάλλος Ῥιχάρδος Σίμων ἐν τῇ
αὐτοῦ κριτικῇ ἱστορίᾳ τῶν κυριωτέρων ὑπομνηματιστῶν τῆς και-
νῆς Διαθήκης (α) προοιμιάζεται εἰς τὴν κρίσιν τῆς ἑρμηνείας
τοῦ Εὐθυμίου οὕτως· « Ὀλίγοι Ἕλληνες ὑπομνηματισταὶ ἡρ-
μήνευσαν τὸ κείμενον τῶν Εὐαγγελίων μετὰ τόσης ἀκριβείας καὶ
κρίσεως, μεθ' ὅσης ὁ συγγραφεὺς ὁ κοινῶς Εὐθύμιος ὀνομαζόμε-
νος. « *Ὁ Εὐθύμιος*, λέγει ὁ Μαλδονάτος, *Ἕλλην συγγρα-
φεύς, καὶ εἰς τὴν παρατήρησιν τῶν κυρίων σημασιῶν τῶν
λέξεων ἐπιμελέστατος*. » Ἐξερευνᾷ μετὰ πολλῆς τῆς ἐπιμε-
λείας τὴν κατὰ γράμμα ἔννοιαν καὶ τὴν κυρίαν τῶν λέξεων
σημασίαν κ. τ. λ. (β). » Ὁ Ἀ. Φαβρίκιος ὀνομάζει ἐν τῇ ἑλ-
ληνικῇ αὐτοῦ Βιβλιοθήκῃ τὸ σύγγραμμα τοῦτο τοῦ Εὐθυμίου
σύγγραμμα ἐξαίρετον, eximium opus. Ὁ δὲ ἐκδότης αὐτοῦ
Ματθαίης πλέκει ἐν τῷ προλόγῳ λαμπρὸν ἐγκώμιον εἰς τὸν

(α) Richard Simon Histoire critique des principaux commentateurs du Nouveau Testament. A Rotterdam chez Reinier Leers. 1693.

(β) « Il y a peu des Commentateurs Grecs qui ayent interpreté le
texte des Evangiles avec autant d' exactitude et de jugement, que l'
auteur qu' on nomme ordinairement Euthymius. Graecus au-
ctor, dit Maldonat (1), Euthymius, et in verborum proprieta-
tibus observandis diligentissimus. Il recherche avec beau-
coup de soin le sens literal, et la signification propre des mots, etc.

(1) Comment. in Matth. Cap. XVII. vers. 8.

συγγραφέα. «Μετὰ τόσας, λέγει, λαμπροτάτας ἀνδρῶν ἐξόχων περὶ τοῦ συγγραφέως τῶν ὑπομνημάτων τούτων κρίσεις, δι᾽ ὧν ὁμολογοῦνται αὐτῷ κυριολογία, ἐπιστήμη, ἐπιμέλεια, καὶ ἀγχίνοια, περιττὸν νομίζεται τὸ νὰ εἴπω ἐγὼ πολλὰ εἰς ἔπαινον αὐτοῦ. Τοῦτο δὲ μόνον προσθέτω, ὅτι ὁ συγγραφεὺς δὲν παρέδραμεν ἀνερμήνευτον καὶ ἀνεξήγητον μηδεμίαν, ἢ γοῦν ὀλιγωτάτας τῶν ἱερῶν Γραφῶν λέξεις, αἱ ὁποῖαι ἀπαντῶνται εἰς τὰ τέσσαρα Εὐαγγέλια ἢ ὀλιγώτερον ἑλληνικαὶ ἢ ἀσαφεῖς, δι᾽ ἄλλων λέξεων σαφεστέρων καὶ πιθανωτέρων. Παρατηρεῖ καὶ σημειόνει εὐστοχώτατα τὸν εἱρμὸν καὶ σύνδεσμον τοῦ λόγου καὶ τῶν διηγήσεων καὶ ἑκάστου ἰδίως καὶ περισσοτέρων ὁμοῦ εὐαγγελιστῶν· διαλύει εὐκόλως καὶ εὐφυῶς τὴν διαφωνίαν. Ἀλλ᾽ ἂν καὶ ὀφείλῃ πολλὰ εἰς τὸν Χρυσόστομον, τὸν πρώτιστον τῶν ἀρχαίων ἑρμηνευτῶν, καὶ σχεδὸν μόνον· ἂν καὶ ἔλαβε πολλὰ καὶ ἐκ πολλῶν ἄλλων· διότι φαίνεται ὅτι ἐσυμβουλεύθη ὅλους τοὺς πρὸ αὐτοῦ ἑρμηνευτάς· φαίνονται ὅμως ὅσα συνεισήνεγκον καὶ ἡ ἐπιστήμη, ἡ σπουδὴ καὶ ἡ εὐφυΐα αὐτοῦ.» Καὶ τοιαῦται μὲν αἱ κρίσεις τῶν ξένων.

Ἀλλὰ τὸ τόσον ἀξιόλογον σύγγραμμα τοῦτο τοῦ Εὐθυμίου ἐκρύπτετο ἐν χειρογράφοις εἰς τὰς βιβλιοθήκας τῆς Εὐρώπης. Πρῶτος ὁ Ἱσπανὸς Ἰωάννης ὁ Ἐντένιος ἐξήγαγεν αὐτὸ εἰς φῶς διὰ τοῦ τύπου ἐκ χειρογράφου, τὸ ὁποῖον εὕρηκεν εἰς τὴν βιβλιοθήκην τοῦ κατὰ τὸ βασίλειον τῆς Καστέλλης ἐν Ἱσπανίᾳ κοινοβίου τῆς Θεοτόκου. Ἀλλ᾽ ὁ Ἐντένιος ἐξέδωκε διὰ τοῦ τύπου ἐν ἔτει 1544 ἐν Λουανίῳ (Louanium, Loewen, Louvain) τὴν λατινικὴν μόνον τοῦ συγγράμματος μετάφρασιν, ὄχι δὲ καὶ τὸ πρωτότυπον ἑλληνικὸν κείμενον. Τοῦτο ἐξεδόθη πρῶτον καὶ μόνον ἐν ἔτει 1792 ἐν Λιψίᾳ· φέρει δὲ ἐπιγραφήν·

Euthymii Zigabeni Commentarius in quatuor Evangelia graece et latine, textum graecum nunquam antea editum, ad fidem duorm

codicum membranaceorum bibliothecarum SS. Synodi Mosquensis, auctoris aetate scriptorum, diligenter recensuit, et repetita versione Latina Ioannis Hentenii suisque adjectis animadversionibus edidit Christianus Frider. Matthaei, collegiorum imperialium Rossicorum assessor, et academiae Vitemberg. graece. litt. professor. Lipsiae, 1792.

Πρῶτος λοιπὸν ὁ Χ. Φ. Ματθαίης ἐξέδωκε τὸ πρωτότυπον ἑλληνικὸν κείμενον διὰ τοῦ τύπου, καὶ ἐξέδωκεν αὐτὸ ἐκ δύο χειρογράφων, ἐπὶ περγαμηνῆς γεγραμμένων ἀμφοτέρων κατ᾽ αὐτοὺς τοῦ συγγραφέως τοὺς χρόνους, καὶ ἀρχαιοτέρων τοῦ χειρογράφου τοῦ Ἐντενίου. Τῶν χειρογράφων τούτων τὸ μὲν εὑρίσκεται εἰς τὴν βιβλιοθήκην τοῦ τυπογραφείου τῆς ἱερᾶς Ῥωσσικῆς Συνόδου ἐν Μόσχᾳ ὑπ᾽ ἀριθ. I, εἰς φύλλον γεγραμμένον, καὶ περιέχον φύλλα 274· τὸ δὲ, εἰς τὴν ἰδίαν αὐτῆς βιβλιοθήκην αὐτόθι ὑπ᾽ ἀριθ. XLIX, εἰς φύλλον καὶ αὐτὸ γεγραμμένον, καὶ περιέχον φύλλα 410. Τὸ πρῶτον σημειοῦται παρὰ τοῦ ἐκδότου διὰ τοῦ στοιχείου Α, καὶ τὸ δεύτερον διὰ τοῦ Β, καὶ ὑπὸ τὰ στοιχεῖα ταῦτα φέρονται καὶ εἰς τὴν παρ᾽ ἡμῶν γινομένην ἔκδοσιν τῆς εἰς τὰ τέσσαρα Εὐαγγέλια ἑρμηνείας τοῦ Εὐθυμίου ἐν ταῖς ὑπὸ τὸ κείμενον γινομέναις σημειώσεσιν.

Τὸ χειρόγραφον Β ὑπερέχει τοῦ Α· διότι ἐγένετο παρ᾽ ἀνθρώπου προσεκτικωτέρου καὶ πιστοτέρου. Ὁ Γερμανὸς ἐκδότης ἀναφέρει ὑπὸ τὸ κείμενον τὰς διαφόρους ἀναγνώσεις τῶν δύο χειρογράφων. Ἐκ τούτων παρεδέχθημεν ὀλίγας τινὰς, ἐκείνας δηλαδὴ, τὰς ὁποίας ἐκρίναμεν γνώσεως ἀξίας. Παρεδράμομεν δὲ τὰς ἄλλας, ὡς μηδὲν συντελούσας πρὸς ὃν κυρίως ἐκδίδονται τὰ ὑπομνήματα ταῦτα σκοπόν. Ὑποσημειόνει προσέτι ὁ ἐκδότης καὶ τὰς ἄλλας αὐτῶν διαφορὰς, καὶ ταύτας ἐφυλάξαμεν καὶ ἡμεῖς.

Παρ' ἀμφοτέροις δὲ τοῖς χειρογράφοις εὑρίσκονται γεγραμμένα ἐν τῷ περισελιδίῳ παρὰ τῶν αὐτῶν γραφέων πολλὰ σχόλια. Ἐφυλάχθησαν καὶ ταῦτα εἰς τὴν νέαν ταύτην ἔκδοσιν, καὶ ἐν οἷς ἐξεδόθησαν τὸ πρῶτον τόποις, καὶ ὡς ἐξεδόθησαν, ἤτοι περικεκλεισμένα [ ], ὑποσημειουμένου ἐνταὐτῷ καὶ τοῦ παρὰ τίνι τῶν δύο χειρογράφων ἀναγινώσκεται ἕκαστον αὐτῶν.

Ὁ ἐκδότης φέρει καί τινα σχόλια, τὰ ὁποῖα αὐτὸς μὲν δὲν εὗρηκε παρ' οἷς ἐμεταχειρίσθη χειρογράφοις, εὑρίσκονται δὲ ταῦτα ἐν τῷ χειρογράφῳ τοῦ Ἐντενίου· καὶ τὰ μὲν αὐτῶν ἐλήφθησαν ἐκ τοῦ Θεοφυλάκτου ἀρχιεπισκόπου Βουλγαρίας, τὰ δὲ ἐξ ἄλλων, ὡς ὑποσημειοῦνται καὶ ταῦτα ἐν τοῖς οἰκείοις τόποις.

Ἐκ τούτων δῆλον γίνεται, ὅτι ἡ παρ' ἡμῶν γινομένη ἔκδοσις τῆς εἰς τὰ τέσσαρα Εὐαγγέλια ἑρμηνείας τοῦ Εὐθυμίου εἶναι κυρίως ἁπλῆ μετατύπωσις τοῦ πρωτοτύπου ἑλληνικοῦ κειμένου, ἐκδεδομένου ἐκ τῶν περὶ ὧν ὁ λόγος ἀνωτέρω χειρογράφων. Ἀλλ' ἂν παρὰ τοῦ Ματθαίου ἐξεδόθη διὰ τοῦ τύπου τὸ σύγγραμμα τοῦ Εὐθυμίου περιεργείας χάριν, διότι ἐποθεῖτο παρὰ πολλῶν· παρ' ἡμῶν ἐκδίδεται πρὸς ὃν κυρίως ἔγραφεν ὁ μακάριος Εὐθύμιος σκοπὸν, καὶ ὑπὲρ ὧν ἔγραφεν. Ἀλλ' ἂν νέα χειρόγραφα δὲν εἴχομεν νὰ παραβάλωμεν πρὸς τὸ ἐκδεδομένον κείμενον διὰ τοὺς κριτικούς· ἐπειδὴ ὅμως ἡ νέα αὕτη ἔκδοσις δὲν γίνεται διὰ τούτους, ἐδυνάμεθα τοὐλάχιστον νὰ προσθέσωμεν πολλὰς σημειώσεις σαφηνιστικάς. Ἀλλ' ἀπέσχομεν καὶ τούτων διὰ λόγους, τοὺς ὁποίους κρίνομεν περιττὸν νὰ ἐκθέσωμεν ἐνταῦθα. Καὶ ἐκ τῶν σημειώσεων τοῦ πρώτου ἐκδότου ἐκείνας μόνον παρεδέχθημεν, τὰς ὁποίας ἐκρίναμεν ἀναγκαίας. Ὅτι τὸ σύγγραμμα τοῦτο θέλει ὠφελήσει τὰ μέγιστα, περὶ τούτου δὲν ἔχομεν κάμμίαν ἀμφιβολίαν. Ἂν δὲν ἤμεθα περὶ τούτου τόσον πεπεισμένοι, δὲν ἠθέλαμεν ἐπιχειρήσει νέαν αὐτοῦ ἔκδοσιν διὰ τὰ τέκνα τῆς ὀρθοδόξου ἡμῶν ἀνατολικῆς ἐκκλησίας. Διὰ τοῦ στόματος τοῦ Εὐθυμίου λαλοῦσιν, ὡς

εἴπομεν καὶ ἀνωτέρω, οἱ μεγάλοι τῶν ἱερῶν Γραφῶν ἑρμηνευταὶ, οἱ Ἀθανάσιοι, οἱ Βασίλειοι, οἱ Γρηγόριοι, οἱ Κύριλλοι, οἱ Χρυσόστομοι· καὶ οἱ θεῖοι οὗτοι τῆς ἐκκλησίας Πατέρες ἔγραψαν πρὸς ἠθικὴν ὠφέλειαν ὄχι μόνον τῶν συγχρόνων αὐτῶν, ἀλλὰ καὶ ἡμῶν τῶν νῦν ζώντων. Καυχώμεθα τοιούτους ἔχοντες πατέρας. Ἀλλὰ δὲν ἀρκεῖ μόνη ἡ καύχησις· ἀπαιτεῖται καὶ συνεχὴς τῶν ἀθανάτων αὐτῶν συγγραμμάτων ἀνάγνωσις. Ἐκ τῶν ἑρμηνειῶν αὐτῶν μετὰ πολλῆς ἐπιμελείας καὶ ἀκριβείας ἐρανισμένην προσφέρει ὁ μακάριος Εὐθύμιος πρὸς πάντας τὴν εἰς τὰ τέσσαρα Εὐαγγέλια ἀρίστην ἑρμηνείαν.

Τὸ κείμενον τῶν ἱερῶν Εὐαγγελίων ἐξεδόθη κατὰ τὸ κείμενον τοῦ Εὐθυμίου, κατὰ τὸ παρὰ τοῦ ἀοιδίμου ἱερομάρτυρος Κυρίλλου, πατριάρχου Κωνσταντινουπόλεως, ἐγκεκριμένον ἐν τῇ κατὰ τὴν Μόσχαν ἐν ἔτει αωκά γενομένῃ ἐκδόσει τῆς καινῆς Διαθήκης, καὶ κατὰ τὸ παρὰ τοῦ ἐκδότου τῆς εἰς τὰ τέσσαρα Εὐαγγέλια ἑρμηνείας τοῦ Εὐθυμίου ἐν ἔτει αωγ´ ἐν Οὐϊτεμβέργῃ ἐκδεδομένον (α)·

Εἰς τὴν κατὰ τὸν τύπον διόρθωσιν καὶ τοῦ θείου κειμένου καὶ τῆς ἑρμηνείας προσέσχομεν παραπολύ· ἀλλ' ὅσον καὶ ἂν προσέσχομεν, ἀδύνατον εἶναι νὰ μὴ διέφυγον τὴν προσοχὴν ἡμῶν τυπογραφικὰ σφάλματα. Ζητοῦμεν συγγνώμην διὰ ταῦτα παρὰ τῶν ἐπιεικῶν ἀναγνωστῶν, ἐνθυμουμένων τὴν ἀδυναμίαν τῆς ἀνθρωπίνης φύσεως.

Πεποιθότες, ὅτι ὁ ὑπὲρ τῆς ἱερωτάτης ἡμῶν πίστεως ζῆλος καὶ ἡ εὐσέβεια δὲν συνίστανται εἰς μόνους τοὺς λόγους, δὲν

(α) Novum Testamentum graece, ad codices Mosquenses utriusque Bibliothecae SS. Synodi et tabularii imperialis -- adhibitis. Patrum Graecorum lectionibus --- edidit Christianus Frid. de Matthaei, collegiorum imperialium Rossicorum assessor et professor Wittenbergensis. Wittenbergae, anno MDCCCIII. Καθιερωμένον τῷ ἀοιδίμῳ αὐτοκράτορι Ἀλεξάνδρῳ.

ἀμφιβάλλομεν, ὅτι τὸ ἔργον ἡμῶν θέλει εὑρεῖ παρ' ἅπασι τοῖς τέκνοις τῆς ὀρθοδόξου ἡμῶν ἀνατολικῆς ἐκκλησίας, κληρικοῖς καὶ λαϊκοῖς, ἀρίστην ὑποδοχὴν ἐντὸς καὶ ἐκτὸς τῆς Ἑλλάδος. Ἕκαστος ἡμῶν γνωρίζει τὴν μεγίστην ἀνάγκην τῶν τοιούτων συγγραμμάτων καὶ πάντοτε μὲν, μάλιστα δὲ κατὰ τοὺς καθ' ἡμᾶς χρόνους. Συνεισφέρομεν ἡμεῖς τὸ μέρος ἡμῶν· ἀλλ' ὀφείλει καὶ ἕκαστος ὀρθόδοξος χριστιανὸς νὰ συνεισφέρῃ τὸ ἑαυτοῦ μέρος, ἐὰν τῳόντι θέλῃ τὴν ψυχικὴν αὐτοῦ ὠφέλειαν, καὶ τῳόντι αἰσθάνηται ἐν ἑαυτῷ ἀληθινὴν φιλοτιμίαν.

Ἐν Ἀθήναις 1842 Ἰουνίου 1.

ΘΕΟΚΛΗΤΟΣ ΦΑΡΜΑΚΙΔΗΣ.

ΚΕΦΑΛΑΙΑ
ΤΟΥ
ΚΑΤΑ ΜΑΤΘΑΙΟΝ ΕΥΑΓΓΕΛΙΟΥ (1).

Σελ.

(1) Ἐπειδὴ ὁ συγγραφεὺς φυλάττει ἄλλην παρὰ τὴν κοινῶς παραδεδεγμένην εἰς κεφάλαια διαίρεσιν τοῦ θείου κειμένου, ἐφυλάξαμεν καὶ τὰς δύο, τὴν μὲν διὰ τῶν ἑλληνικῶν στοιχείων Ά, Β', κ. τ. ἑξ., τὴν δὲ διὰ τῶν λατινικῶν ἀριθμητικῶν σημείων I, II, κ. τ. λ. σημειουμένην.

Σελ.

Σελ.

ΕΡΜΗΝΕΙΑ

ΤΟΥ

ΚΑΤΑ ΜΑΤΘΑΙΟΝ ΕΥΑΓΓΕΛΙΟΥ,

ΦΙΛΟΠΟΝΩΣ ΕΡΑΝΙΣΘΕΙΣΑ,

ΜΑΛΙΣΤΑ ΜΕΝ ΑΠΟ ΤΗΣ ΕΞΗΓΗΣΕΩΣ ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ ΗΜΩΝ

ΙΩΑΝΝΟΥ ΤΟΥ ΧΡΥΣΟΣΤΟΜΟΥ,

ΕΤΙ ΔΕ ΚΑΙ ΑΠΟ ΔΙΑΦΟΡΩΝ ΑΛΛΩΝ ΠΑΤΕΡΩΝ, ΣΥΝΕΙΣΕΝΕΓΚΟΝΤΟΣ ΤΙΝΑ ΚΑΙ ΤΟΥ ΤΑΥΤΗΝ ΕΡΑΝΙΣΑΜΕΝΟΥ. ΑΜΗΝ.

ΠΡΩΤΟΝ μὲν ἀγαθὸν ἦν, μὴ δεῖσθαι ἡμᾶς τῆς ἀπὸ τῶν γραμμάτων βοηθείας, ἀλλ᾽ οὕτω παρέχεσθαι βίον καθαρὸν, ὥςε τὰς ἡμετέρας καρδίας ἀντὶ βιϐλίων γίνεσθαι· καὶ καθάπερ ταῦτα διὰ μέλανος, οὕτω ταύτας διὰ πνεύματος ἐγγεγράφθαι. Ἐπεὶ δὲ ταύτην διεκρουσάμεθα τὴν χάριν, φέρε, κἂν τὸν δεύτερον ἀσπασώμεθα πλοῦν, καὶ τοῖς γράμμασιν εἰς δέον χρησώμεθα. Καὶ γὰρ ἐπὶ τῶν ἐν τῇ Παλαιᾷ, τῷ Νῶε καὶ τῷ Ἀϐραὰμ καὶ τοῖς ἐγγόνοις τοῖς ἐκείνου, καὶ τῷ Ἰὼϐ, καὶ τῷ Μωϋσῇ, οὐ διὰ γραμμάτων ὁ θεὸς, ἀλλὰ δι᾽ ἑαυτοῦ διελέγετο, καθαρὰν εὑρίσκων αὐτῶν τὴν διάνοιαν. Ἐπεὶ δὲ εἰς αὐτὸν τὸν τῆς κακίας ἐνέπεσε πυθμένα πᾶς ὁ τῶν Ἑϐραίων δῆμος· τότε λοιπὸν πλάκες, καὶ γράμματα, καὶ ἡ διὰ τούτων ὑπόμνησις. Ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἐν τῇ Καινῇ τοῦτο συμϐὰν ἴδοι τις ἄν. Οὐδὲ γὰρ τοῖς ἀποστόλοις ἔδωκέ τι γραπτὸν ὁ θεός· ἀλλ᾽ ἀντὶ γραμμάτων τὴν τοῦ Πνεύματος αὐτοῖς ἐπηγγείλατο δώσειν χάριν. *Ἐκεῖνος γὰρ ὑμᾶς* (α) *ἀναμνήσει*, φησὶ, *πάντα*. Καὶ

(α) Ἰωάν. ΙΔ', 26.

ἵνα μάθῃς, ὅτι τοῦτο πολὺ ἄμεινον ἦν, ἄκουσον, διὰ τοῦ προφήτου τί φησι· *Διαθήσομαι* (α) *ὑμῖν διαθήκην καινὴν, διδοὺς νόμους μου εἰς διάνοιαν αὐτῶν, καὶ ἐπὶ καρδίας γράψω αὐτούς·* καὶ, *Ἔσονται* (β) *πάντες διδακτοὶ θεοῦ.* Καὶ ὁ Παῦλος δὲ, ταύτην ἐνδεικνύμενος τὴν ὑπεροχὴν, ἔλεγεν (γ) εἰληφέναι νόμον, *οὐκ ἐν πλαξὶ λιθίναις, ἀλλ' ἐν πλαξὶ καρδίας σαρκίναις.* Ἐπεὶ δὲ, χρόνου προϊόντος, ἐξώκειλαν, οἱ μὲν δογμάτων ἕνεκεν, οἱ δὲ βίου καὶ τρόπου, ἐδέησε πάλιν τῆς ἀπὸ τῶν γραμμάτων ὑπομνήσεως. Ἐννόησον οὖν, ἡλίκον ἐστὶ κακὸν, τοὺς οὕτω καθαρῶς ὀφείλοντας ζῇν, ὡς μὴ δεῖσθαι γραμμάτων, ἀλλ' ἀντὶ βιβλίων παρέχειν τὰς καρδίας τῷ πνεύματι, ἐπειδὴ τὴν τιμὴν ἀπωλέσαμεν ἐκείνην, καὶ κατέστημεν εἰς τὴν τούτων χρείαν, μηδὲ τῷ δευτέρῳ κεχρῆσθαι φαρμάκῳ, ἀλλ' εἰκῇ καὶ μάτην περιορᾷν κείμενα τὰ γράμματα. Ὅπερ ἵνα μὴ γένηται, φέρε, προσέχωμεν (1) τοῖς γεγραμμένοις, καὶ φιλοπονώτερον ἐξετάζωμεν τὴν ἑκάστου δύναμιν, ὥστε καὶ πλοῦτον ὀρθῶν δογμάτων ἐντεῦθεν ἀποθησαυρίζειν, καὶ συλλέγειν πολιτείας ὑγιοῦς ὑποδείγματα.

Διὰ τί δὲ, δώδεκα τῶν ἀποστόλων ὄντων, δύο μόνοι γράφουσιν ἐξ αὐτῶν εὐαγγέλια, Ματθαῖος καὶ Ἰωάννης; (οἱ γὰρ ἕτεροι δύο ἀκόλουθοι μᾶλλον ἦσαν· Μάρκος μὲν, Πέτρου· Παύλου δὲ, Λουκᾶς.) Διότι οὐδὲν ἐποίουν πρὸς φιλοτιμίαν, ἀλλὰ πάντα πρὸς χρείαν. Τὸν μὲν γὰρ Ματθαῖον οἱ ἐξ Ἰουδαίων πιστεύσαντες παρεκάλεσαν ἔγγραφον αὐτοῖς ἀφεῖναι τὴν τοῦ κηρύγματος ἱστορίαν, ἣν πρότερον διὰ γλώττης αὐτοὺς ἐδίδαξε· τὸν δὲ Μάρκον ὁμοίως οἱ ἐν Αἰγύπτῳ μαθητευθέντες αὐτῷ. Καὶ ὁ Λουκᾶς δὲ τέθεικε τὴν αἰτίαν τῆς γραφῆς τοῦ εὐαγγε-

(α) Ἱερεμ. ΛΗ', 31. 33.

(β) Ἡσ. ΝΔ', 13.

(γ) Β' Κορ. Γ', 3.

(1) Ὁ Χρυσόστομος προστίθησιν ἐνταῦθα, μετὰ ἀκριβείας. Τομ. Ζ'. Σελ. 2. Ἐκδ. Μοντεφαλκωνίου.

λίου, ἀπολογησάμενος πρὸς τὸν Θεόφιλον, ὅτι δι' ἀσφάλειαν αὐτοῦ τοῦτο συνέγραψε. Φησὶ γάρ (α)· *Ἵνα ἐπιγνῷς, περὶ ὧν κατηχήθης λόγων, τὴν ἀσφάλειαν.* Ὁ δὲ Ἰωάννης, ἐντυχὼν τοῖς τούτων εὐαγγελίοις, καὶ ἰδὼν, ὅτι καὶ οἱ τρεῖς τῷ περὶ τῆς ἐνανθρωπήσεως τοῦ Σωτῆρος ἐνδιέτριψαν μάλιστα λόγῳ, καὶ λοιπὸν ἔμελλον ἀποσιωπηθῆναι τὰ περὶ τῆς θεότητος αὐτοῦ δόγματα, τοῦ Χριστοῦ κινήσαντος αὐτὸν, ἦλθεν ἐπὶ τὴν τοῦ εὐαγγελίου συγγραφήν. Διὸ καὶ ἐκ προοιμίων περὶ αὐτῶν διαλέγεται. Διὰ ταῦτα γὰρ καὶ τὸ πᾶν βιβλίον συνέθηκε. Σὺ δὲ θαύμασον, πῶς μήτε κατὰ τὸν αὐτὸν καιρὸν τὰ εὐαγγέλια συγγράψαντες, μήτε κατὰ τὸν αὐτὸν τόπον, μήτε κοινολογησάμενοι πρὸς ἀλλήλους, ὅμως, ὥσπερ ἀφ' ἑνὸς στόματος, οἱ τέσσαρες φθέγγονται, ἔν γε τοῖς καιρίοις καὶ συνεκτικοῖς τῆς πίστεως δόγμασι, καὶ πολλὴν ἐπιδείκνυνται περὶ ταῦτα τὴν συμφωνίαν, οἷον, ὅτι ὁ Θεὸς γέγονεν ἄνθρωπος, καὶ ὅτι ἐκ Παρθένου γεγέννηται, καὶ ὅτι θαύματα πεποίηκε, καὶ ὅτι σωτηριώδεις δέδωκεν ἐντολὰς, καὶ ὅτι ἐσταυρώθη, καὶ ὅτι ἐτάφη, καὶ ὅτι ἀνέστη, καὶ ὅτι ἀνῆλθε, καὶ ὅτι μέλλει κρῖναι πάντας, καὶ ὅτι μονογενής ἐστιν υἱὸς, καὶ ὅτι ὁμοούσιος καὶ ὁμοδύναμος καὶ ὁμότιμος τῷ πατρὶ, καὶ ὅσα τοιαῦτα. Εἰ δέ τι καὶ περὶ τὰ μὴ ἀναγκαῖα διαφωνεῖν ἔδοξαν, μᾶλλον ἡ δοκοῦσα αὕτη διαφωνία, μεγίστη γίνεται τῆς ἀληθείας ἀπόδειξις, καὶ πάσης αὐτοὺς ὑποψίας ἀπαλλάττει. Εἰ γὰρ πάντα μέχρι καιροῦ καὶ τόπου καὶ ῥημάτων συνεφώνησαν, οὐδεὶς ἂν ἐπίστευσεν, ὅτι μὴ, συνελθόντες ἀλλήλοις, ἀπὸ κοινῆς συνθήκης ἔγραψαν, ἅπερ ἔγραψαν. Διαφωνίαν δὲ νῦν φαμὲν, οὐ τὴν ἐναντιοφωνίαν· οὐδὲ γὰρ ἠναντιώθησαν ἀλλήλοις μέχρι καὶ τοῦ τυχόντος· ἀλλὰ τὴν ἀλλοιοφωνίαν. Ἔν τισι γὰρ ὁ μὲν, τόδε τὸ θαῦμα τέθεικεν, ὁ δὲ, τόδε· καὶ ὁ μὲν, τόνδε τὸν τόπον, ὁ δὲ, τόνδε· καὶ ὁ μὲν, τήνδε τὴν λέξιν, ὁ δὲ, τήνδε, περὶ

(α) Λουκ. Α, 4.

ὧν ἐροῦμεν ἐν τοῖς προσήκουσι τόποις, καὶ προδήλως ἀποδείξομεν, ὅτι οὐδ᾽ ὅλως ἠναντιώθησαν. Ἄλλο γάρ ἐστιν ἐναντίως εἰπεῖν, καὶ ἄλλο ἑτέρως εἰπεῖν.

Ἔγραψε δὲ πρῶτος ὁ Ματθαῖος τὸ προκείμενον εὐαγγέλιον, μετὰ ὀκτὼ ἔτη τῆς τοῦ Σωτῆρος ἀναλήψεως· ἔγραψε δὲ τοῦτο πρὸς τοὺς ἐξ Ἰουδαίων πιστεύσαντας, ὡς προέφημεν, ἑβραϊκῇ συνθήκῃ χρησάμενος· ὕστερον δὲ μεθηρμηνεύθη πρὸς τὴν ἡμετέραν διάλεκτον· * (μετέφρασε (1) δὲ τοῦτο Ἰωάννης ἀπὸ τῆς ἑβραΐδος γλώττης εἰς τὴν ἑλληνίδα, ὡς λέγουσι·) Μάρκος δὲ, μετὰ δέκα ἔτη τῆς ἀναλήψεως, παρὰ τοῦ Πέτρου διδαχθείς· Λουκᾶς δὲ, μετὰ πεντεκαίδεκα· Ἰωάννης δὲ ὁ θεολογικώτατος, μετὰ τριάκοντα δύο *.

ΕΥΑΓΓΕΛΙΟΝ ΚΑΤΑ ΜΑΤΘΑΙΟΝ·

Ἐν ταῖς ἐπιγραφαῖς *Εὐαγγέλιον* οἱ εὐαγγελισταὶ τὴν διήγησιν ὠνόμασαν· καὶ μαρτυρεῖ Λουκᾶς εἰρηκὼς, « Ἐπειδήπερ (α) πολλοὶ ἐπεχείρησαν ἀνατάξασθαι διήγησιν περὶ τῶν πεπληροφορημένων ἐν ἡμῖν πραγμάτων. » *Εὐαγγέλιον* δὲ ταύτην κεκλήκασι· διότι ἀγαθὰ μηνύει τοῖς ἀνθρώποις, οἷον, θεοῦ ἐνανθρώπησιν, ἀνθρώπου θέωσιν, δαιμόνων κατάλυσιν, ἁμαρτημάτων λύσιν, ἀναγέννησιν, υἱοθεσίαν καὶ κληρονομίαν τῆς βασιλείας τῶν οὐρανῶν. *Εὐαγγελισταὶ* δὲ εἰσὶν, οὐχ οἱ τέσσαρες οὗτοι μόνον, ἀλλὰ σύμπαντες οἱ ἀπόστολοι, περὶ ὧν κοινῇ προανεφώνησεν Ἡσαΐας (β), « Ὡς ὡραῖοι, λέγων, οἱ πόδες τῶν εὐαγγελιζομένων εἰρήνην, τῶν εὐαγγελιζομένων τὰ ἀγαθά· » ἀλλ᾽ οἱ τέσσαρες μὲν ἰδίως εὐαγγελισταὶ κέκληνται, ὡς ἐγγράφως περὶ πάντων διηγησάμενοι καὶ ἱστορήσαντες· οἱ δ᾽ ἄλλοι πάντες, ὡς ἀγράφως τοῦτο ποιήσαντες.

(1) Τὰ μεταξὺ τῶν δύο ἀστερίσκων κείμενα ἀναγινώσκονται παρὰ τῷ A ἐν τῷ περισελιδίῳ.

(α) Λουκ. Α΄, 1.

(β) Ἡσ. ΝΒ΄, 7.

ΚΕΦ. Ι, 1. Βίβλος γενέσεως Ἰησοῦ Χριστοῦ.

Γένεσιν ἐνταῦθα, τὴν γέννησιν ἐνόησεν ὁ Χρυσόστομος Ἰωάννης (1)· ἡ γὰρ γένεσις, καθολικὴ λέξις οὖσα, σημαίνει καὶ ταύτην. Τινὲς δέ φασιν ὅτι, ἐπειδὴ ὁ Χριστὸς ὑπερφυῶς γεννηθεὶς ἐκ Παρθένου, τὴν κατὰ φύσιν γέννησιν ἐκαινοτόμησε, λοιπὸν καὶ ὁ εὐαγγελιστὴς ἐκαινοτόμησε τὸ κατὰ φύσιν ὄνομα τῆς γεννήσεως, *γένεσιν* αὐτὴν καλέσας.

Τὸ δὲ *Ἰησοῦς* ὄνομα, ἑβραϊκὸν μέν ἐστι, σημαίνει δὲ τὸν Σωτῆρα· « αὐτὸς (α) γὰρ σώσει, φησὶ, τὸν λαὸν αὐτοῦ ἀπὸ τῶν ἁμαρτιῶν αὐτῶν. » Ἵνα δὲ μὴ πλανηθῇς περὶ τὴν ὁμωνυμίαν, Ἰησοῦν ἀκούσας· γέγονε γὰρ καὶ ἄλλος Ἰησοῦς, ὁ τοῦ Ναυῆ· οὐκ εἶπεν *Ἰησοῦ* μόνον, ἀλλὰ *Ἰησοῦ Χριστοῦ*, διαστέλλων ἀπ᾽ ἐκείνου τοῦτον. Ἀπορήσειε δ᾽ ἄν τις, ὅτι, καὶ μὴν ἡ βίβλος αὕτη οὐκ ἔστι μόνης τῆς γεννήσεως Ἰησοῦ Χριστοῦ, ἀλλ᾽ ὅλης αὐτοῦ τῆς οἰκονομίας καὶ πολιτείας. Λύομεν δὲ τὴν ἀπορίαν, ὅτι τὸ κεφάλαιον ὅλης τῆς οἰκονομίας καὶ πολιτείας, καὶ ἀρχὴ καὶ ῥίζα τῆς σωτηρίας ἡμῶν ἡ γέννησις ἦν. Τοῦτο γὰρ ἐκπλήξεως γέμει καὶ φρίκης, καὶ ὑπὲρ ἐλπίδα πᾶσαν καὶ προσδοκίαν ἐστὶ τὸ, γενέσθαι τὸν θεὸν ἄνθρωπον. Τούτου γὰρ γενομένου, τὰ μετὰ τοῦτο πάντα κατ᾽ ἀκολουθίαν καὶ λόγον ἕπονται. Λοιπὸν οὖν ἀπὸ τοῦ κυριωτέρου μέρους, *Βίβλον γενέσεως*, ὅλον τὸ βιβλίον ἐκάλεσεν. Οὕτω γὰρ καὶ ὁ Μωϋσῆς, Βίβλον (β) γενέσεως οὐρανοῦ καὶ γῆς, τὸ πρῶτον αὐτοῦ βιβλίον ὠνόμασε, καίτοι οὐ περὶ οὐρανοῦ καὶ γῆς μόνον, ἀλλὰ καὶ περὶ των ἐν μέσῳ πάντων διαλεχθείς.

[Ἤ, (2) ἐπεὶ ὁ Χριστὸς καὶ ὑπὲρ φύσιν ἐγεννήθη, ὡς ἄνευ σπέρματος, καὶ ὡς ἐκ παρθένου, καὶ κατὰ φύσιν, ὡς ἐκ γυναι-

(1) Τομ. Ζ΄. Σελ. 20. C. Σελ. 21. A.

(α) Ματθ. Ά, 21.

(β) Γενεσ. Β΄, 4. καὶ ἀλλαχοῦ.

(2) Τὰ παρεντεθειμένα ἀναγινώσκονται ἐν τῷ περισελιδίῳ παρὰ τῷ A.

κὸς, καὶ ὡς μετὰ θηλῆς· ἄνω (α) μὲν εἶπε *γενέσεως*, τὸ ὑπὲρ φύσιν αἰνιττόμενος· κάτω δὲ, *Τοῦ Ἰησοῦ Χριστοῦ*, φησὶν, *ἡ γέννησις οὕτως ἦν* (ϐ), τὸ κατὰ φύσιν δηλῶν. Τινὲς δὲ εἶπον γένεσιν Ἰησοῦ, τὴν εἰς τὸν κόσμον παραγωγὴν αὐτοῦ, οἷον, πῶς γέγονεν.]

1. Υἱοῦ Δαυὶδ, υἱοῦ Ἀβραάμ.

Υἱὸν μὲν τοῦ Δαυὶδ, τὸν Χριστὸν ἐκάλεσεν· υἱὸν δὲ τοῦ Ἀβραὰμ, τὸν Δαυὶδ, ἀνάγων τὰς διανοίας τῶν ἀκροατῶν εἰς μνήμην τῶν ἐπαγγελιῶν. Πάλαι γὰρ ὁ Θεὸς ἐπηγγείλατο καὶ τῷ Ἀβραὰμ, καὶ τῷ Δαυὶδ, ἀναστήσειν ἐκ τοῦ σπέρματος αὐτῶν τὸν Χριστόν. Ἐξ Ἰουδαίων γὰρ ὄντες οἱ ἀκροαταὶ, καθὰ προειρήκαμεν, ἐγνώριζον ταύτας (1). Πρῶτον δὲ τὸν Δαυὶδ τέθεικεν, ὅτι ἐν τοῖς ἁπάντων ἐφέρετο στόμασιν, ὡς προφήτης μέγας, καὶ ὡς βασιλεὺς ἐνδοξότατος, καὶ ὡς οὐ πάλαι τετελευτηκώς. Ὁ γὰρ Ἀβραὰμ, εἰ καὶ αὐτὸς ἐπίσημος ἦν, ὡς πατριάρχης, ἀλλ' οὖν πάλαι θανὼν, οὐ τοσαύτης μνήμης ἠξίωτο. Εἰ γὰρ καὶ ἀμφοτέροις ἐπηγγείλατο ὁ Θεὸς, ἀλλ' ὅμως ἐκεῖνο μὲν, ὡς παλαιὸν, ἐσιγᾶτο· τοῦτο δὲ, ὡς νεώτατον, ὑπὸ πάντων περιεφέρετο. Διὸ καὶ ἔλεγον· *Οὐκ ἐκ τοῦ σπέρματος Δαυὶδ* (γ), *καὶ ἀπὸ Βηθλεὲμ τῆς κώμης, ὅπου ἦν ὁ Δαυὶδ, ἔρχεται ὁ Χριστός;* Καὶ οὐδεὶς αὐτὸν υἱὸν Ἀβραὰμ, ἀλλὰ πάντες υἱὸν Δαυὶδ ἐκάλουν. Οὕτω γοῦν ἀπὸ τοῦ γνωριμωτέρου μᾶλλον ἀρξάμενος, ἐπὶ τὸν παλαιότερον ἀνῆλθεν.

Ἀλλὰ Ματθαῖος μὲν πρὸς τοὺς ἐκ περιτομῆς γράφων, οὐκ ἀνωτέρω τοῦ Ἀβραὰμ ἀνήγαγε τὴν γενεαλογίαν, ἀλλ' ἀπὸ τούτου ἀρξάμενος, κατῆλθεν ἄχρις αὐτοῦ τοῦ Χριστοῦ, δεικνύων μόνον ὅτι ἐκ σπέρματος Ἀβραὰμ καὶ Δαυὶδ αὐτὸς ἐβλάστησε,

(α) Ματθ. Α', 1.
(ϐ) Ματθ. Α', 18.
(1) τὰς ἐπαγγελίας.
(γ) Ἰωάν. Ζ', 42.

κατὰ τὰς πρὸς ἐκείνους ἐπαγγελίας· οὐδὲν γὰρ οὕτως ἀνέπαυε τοὺς ἐξ Ἰουδαίων πεπιστευκότας, ὡς τὸ μαθεῖν, ὅτι ἐκ σπέρματος Ἀβραὰμ καὶ Δαυὶδ ἦν ὁ Χριστὸς, ὡς ἐκεῖθεν αὐτὸν ἀεὶ προσδοκῶντας· ὁ δὲ Λουκᾶς, ἅτε, διὰ μέσου τοῦ Θεοφίλου, κοινῇ πᾶσι πιστοῖς διαλεγόμενος, ὁλοτελῆ ποιεῖται τὴν γενεαλογίαν, κάτωθεν ἀπὸ τοῦ Χριστοῦ μᾶλλον ἀρξάμενος, καὶ ἀναβὰς ἄχρι τοῦ Ἀδὰμ, ἵνα δείξῃ, πόσαις τε γενεαῖς ἀφειστήκει τοῦ παλαιοῦ ὁ νέος Ἀδὰμ, καὶ πόσων γενεῶν ἐβασίλευσεν ἡ ἁμαρτία. Ἡ διαφορὰ τοίνυν τῶν ἀποδεδειγμένων πραγμάτων, διαφορὰν ἐποίησε καὶ τῶν ἀποδείξεων· ὁ μὲν γὰρ Ματθαῖος ἀναγκαίως τοῦ Ἀβραὰμ ἐπιμνησθεὶς, εἰκότως ἀπὸ τούτου κάτεισιν ἐπὶ τὸν γενεαλογούμενον Χριστόν· ὁ δὲ Λουκᾶς, μὴ ἐλθὼν εἰς χρείαν τῆς τοιαύτης μνήμης τοῦ Ἀβραὰμ, ἀναγκαίως ἀπὸ τοῦ Χριστοῦ ἀρξάμενος, ἀνεπόδισε (1). Σύνηθες δὲ τοῖς Ἑβραίοις καὶ τὸ κατὰ ἀναποδισμὸν γενεαλογεῖν.

2. Ἀβραὰμ ἐγέννησε τὸν Ἰσαάκ· Ἰσαὰκ δὲ ἐγέννησε τὸν Ἰακώβ· Ἰακὼβ δὲ ἐγέννησε τὸν Ἰούδαν, καὶ τοὺς ἀδελφοὺς αὐτοῦ.

Ἔθος ἦν, δι' ἀῤῥένων ποιεῖσθαι τὰς γενεαλογίας. Ὁ ἀνὴρ γὰρ σπείρει, καὶ οὗτος ἐστὶν ἀρχὴ μὲν καὶ ῥίζα τοῦ τέκνου, κεφαλὴ δὲ τῆς γυναικός· ἡ δὲ γυνὴ, ἐκτρέφουσα καὶ θάλπουσα καὶ συναύξουσα τὸ σπέρμα, βοηθὸς δέδοται τῷ ἀνδρί. Τὸν Ἰούδαν δὲ παρέλαβεν ἀπὸ τῶν ἄλλων υἱῶν τοῦ Ἰακὼβ, καίτοι μὴ πρωτότοκον ὄντα, ὅτι ἐκ τῆς φυλῆς αὐτοῦ κατήγετο ὁ Χριστός. Ἐπεὶ δὲ ἐν ταῖς γενεαλογίαις, εἷς ἀφ' ἑκάστου διάδοχος ἀεὶ τίθεται, παρατηρητέον, ἔνθα παραλαμβάνονται πλείους, ὅτι οὐ μάτην ἡ τῶν πλειόνων προσθήκη γέγονεν, ἀλλ' αἰτία τίς ἐστιν αὐτῆς. Αὐτίκα γὰρ τῶν ἀδελφῶν ἐμνημόνευσε τοῦ Ἰούδα· διότι ἓν ἔθνος

(1) Περὶ τοῦ αὐτοῦ πράγματος κατὰ τὴν αὐτὴν ἔννοιαν τὸ ἀναποδίζειν εἶπε καὶ Γρηγόριος ὁ Ναζιανζηνὸς Σελ. 236, καὶ εἰς τοῦτο φαίνεται ὅτι ἀπέβλεπεν ὁ Εὐθύμιος. Καὶ αὐτόθι ἀναγινώσκεται «νέος καὶ παλαιὸς Ἀδάμ.»

ἐστὶ τὸ Ἰσραηλιτικὸν, εἰς δώδεκα ῥίζας ἀναφερόμενον, αἵτινές εἰσιν οἱ δώδεκα υἱοὶ τοῦ Ἰακώβ· καὶ δοκοῦσι καὶ αὐτοὶ πρόγονοι χρηματίζειν τοῦ Χριστοῦ, ὡς τοῦ Ἰσραηλιτικοῦ γένους ὄντες φύλαρχοι, ἐξ οὗ ὁ Χριστὸς ἐβλάστησεν.

[*Ἀβραὰμ* (1) ἑρμηνεύεται, πατὴρ ἐθνῶν· *Ἰσαὰκ* δὲ, χαρὰ, γέλως.]

3. Ἰούδας δὲ ἐγέννησε τὸν Φαρὲς καὶ τὸν Ζαρὰ ἐκ τῆς Θάμαρ·

Ὁ Ἰούδας, τέταρτος μὲν ἦν υἱὸς τοῦ Ἰακώβ· ἔλαβε (α) δὲ τὴν Θάμαρ νύμφην εἰς τὸν πρῶτον ἑαυτοῦ υἱὸν [τὸν (2) Ἢρ·] τούτου δὲ τελευτήσαντος ἄπαιδος, ἔζευξεν αὐτὴν τῷ δευτέρῳ [Αὐνάν·] καὶ τούτου δὲ ὁμοίως ἀποθανόντος, ὑπέσχετο καὶ τὸν τρίτον αὐτῇ συνάψαι [Σηλώμ·] φοβηθεὶς δὲ, μὴ καὶ οὗτος εὐθὺς ἀποθάνῃ, τὸν γάμον ὑπερετίθετο. Ἡ δὲ νύμφη, λίαν ἐπιθυμοῦσα σπέρμα λαβεῖν ἀπὸ τοῦ ἀβραμιαίου γένους, ὡς λαμπροῦ καὶ περιβοήτου, ἐπεὶ τὸν πενθερὸν Ἰούδαν ὑπερτιθέμενον ἔγνω, κατασοφίζεται τοῦτον· καὶ περιθεμένη σχῆμα πόρνης, ἐκάθισε πρὸς ταῖς πύλαις τῆς πόλεως ἐγκαλυψαμένη. Θεασάμενος δὲ ταύτην Ἰούδας, καὶ ἀγνοήσας, εἰσῆλθε πρὸς αὐτὴν, ὡς εἰς πόρνην, καὶ συμφθαρεὶς, ἔγκυον διδύμων τέκνων ἐποίησε. Παραγενομένων δὲ τῶν ὠδίνων, ἐπεὶ τὸν Φαρὲς καὶ τὸν Ζαρὰ τίκτειν ἔμελλεν, ἐξήνεγκε πρῶτος ὁ Ζαρὰ τὴν χεῖρα· εἶτα ἡ μαῖα θεασαμένη τοῦτο, καὶ βουληθεῖσα γνώριμον ποιῆσαι τὸν πρωτότοκον, κοκκίνῳ τὴν ἐξενεχθεῖσαν ἔδησε χεῖρα· ὡς δὲ ἐδέθη, συνέστειλεν αὐτὴν τὸ παιδίον· συσταλείσης δὲ, προῆλθεν ὁ Φαρὲς, εἶτα ὁ Ζαρά. Ἡ μὲν οὖν ἱστορία τοιαύτη. Ἦν δὲ εἰκὸς, τὸν Φαρὲς παραλαβεῖν μόνον εἰς γενεαλογίαν, ὡς δι' αὐτοῦ βαδίζοντος τοῦ γένους ἐπὶ τὸν Δαυΐδ· νῦν δὲ καὶ τὸν

(1) Ταῦτα ἐν τῷ περισελιδίῳ παρὰ τῷ Α.

(α) Ἡ διήγησις ἐν Γενέσ. ΛΗ'. Ἰδ. καὶ ΚΘ', 35.

(2) Τὰ παρεντιθέμενα εὑρίσκονται ἐν τῷ περισελιδίῳ παρὰ τῷ Α.

Ζαρὰ τέθεικεν, ὡς τύπον τοῦ χριστιανικοῦ λαοῦ· ὁ γὰρ Φαρὲς τύπος ἦν τοῦ ἑβραϊκοῦ. Καθάπερ γὰρ ὁ Ζαρὰ, πρῶτος ἐξενεγκὼν τὴν χεῖρα, συνέστειλε ταύτην, εἶτα ἐξολισθήσαντος τοῦ Φαρὲς, τότε καὶ αὐτὸς ἐξῆλθεν ὁλοτελῶς· οὕτω καὶ τῆς εὐαγγελικῆς πολιτείας, μέρος μὲν ἐφάνη ἐν τοῖς χρόνοις τοῦ Ἀβραὰμ, εἶτα συσταλέντος, ἦλθεν ἡ νομικὴ, καὶ μετὰ ταύτην ἐξέλαμψεν ἐντελῶς ἡ εὐαγγελική. Ὁρᾷς, ὅτι οὐ μάτην ὁ Ζαρὰ παρείληπται (1).

Λοιπὸν οὖν, οὐδὲ τῆς Θάμαρ ἀκαίρως ἐμνημόνευσεν, οὐδὲ τῶν ἄλλων τριῶν γυναικῶν μετὰ τοῦτο. Ἀλλ' ἐπεὶ ἡ μὲν Θάμαρ ἀθεμιτόγαμος ἦν, ὡς τῷ πενθερῷ μιγεῖσα, πόρνη δὲ ἡ Ῥαὰβ, ἡ δὲ Ῥοὺθ, ἀλλόφυλος, ἡ δὲ τοῦ Οὐρίου Βηρσαβεὲ (2), μοιχαλὶς, ὡς αἱ κατ' αὐτὰς ἱστορίαι διδάσκουσιν, ἤγαγε τὰς τοιαύτας γυναῖκας εἰς μέσον, ἵνα δείξῃ, ὅτι οὐκ ἐπῃσχύνετο ὁ Χριστὸς ἀπὸ τοιούτων προγόνων καταγόμενος, ὧν ὁ μὲν ἐξ ἀθεμιτογαμίας ἦν, ὁ δὲ, ἐκ πορνείας, ὁ δὲ, ἐξ ἀλλοφύλου μητρὸς, ὁ δὲ, ἀπὸ μοιχαλίδος. Οὐδὲν γὰρ βλάπτει τὸν ἐνάρετον ἡ τῶν προγόνων αὐτοῦ παρανομία. Πᾶς γὰρ ἀπὸ τῶν οἰκείων πράξεων, ἀλλ' οὐκ ἀπὸ τῶν ἀλλοτρίων κρίνεται καλὸς ἢ φαῦλος. Καὶ γὰρ καὶ διὰ τοῦτο ἦλθεν ὁ Χριστὸς, οὐχ ἵνα φύγῃ τὰ ἡμέτερα ὀνείδη, ἀλλ' ἵνα δέξηται ταῦτα, καὶ ἀνέλῃ διὰ τῶν ἑαυτοῦ ἀρετῶν. Ὡς ἰατρὸς γὰρ, οὐχ ὡς κριτὴς, παραγέγονε. Μία μὲν οὖν αὕτη αἰτία. Δευτέρα δὲ ὅτι, ἐπειδὴ Ἰουδαῖοι τῆς κατὰ ψυχὴν ἀρετῆς ἀμελοῦντες, μέγα ἐπὶ τοῖς προγόνοις ἐκόμπαζον, τὴν εὐγένειαν ἐκείνων ἄνω καὶ κάτω περιφέροντες, καταστέλλει τὸ φύσημα τούτων, δεικνύων, ὅτι κἀκεῖνοι ἐκ παρανόμων γάμων ἐγένοντο. Αὐτίκα γὰρ ὁ πατριάρχης αὐτῶν καὶ ὁμώνυμος Ἰούδας, ἐξ ἀθεμιτογαμίας τὸν πρόγονον αὐτῶν Φαρὲς

(1) Ἐν τῷ περισελιδίῳ παρὰ τῷ Α ἀναγινώσκονται καὶ ταῦτα, εἰς τὰ ὀνόματα Ζαρὰ καὶ Φαρὲς ἀναφερόμενα. «Ζαρά ἐστιν ἀνατολή· Φαρὲς δὲ, μερισμὸς ἢ διακοπή. Ὅθεν καὶ οἱ Φαρισαῖοι, παρὰ τὸ μερίζειν ἑαυτοὺς τῆς τῶν πολλῶν ἐπιμιξίας.»

(2) Βηθσαβεέ. Β' Βασιλ. ΙΑ', 3.

καὶ τὸν Ζαρὰ ἀπεγέννησε. Καὶ ὁ περιβόητος δὲ Δαυῒδ, ἐκ μοιχείας τὸν Σολομῶντα. Καὶ λοιπὸν μάτην ἐπὶ τοῖς προγόνοις μεγαλαυχοῦσιν. Οἶμαι γὰρ διὰ τὴν αἰτίαν μᾶλλον ταύτην μνημονευθῆναι καὶ τοὺς ἀδελφοὺς τοῦ Ἰούδα· οἱ τέσσαρες γὰρ αὐτῶν ἀπὸ δουλίδων τῷ Ἰακὼβ ἐγεννήθησαν, καὶ ὅμως οὐκ ἔβλαψεν οὐδένα τούτων ἡ τοῦ γένους διαφορά. Πάντες γὰρ ὁμοίως ἐγένοντο καὶ πατριάρχαι, καὶ φύλαρχοι. Τρίτη δὲ αἰτία, ὅτι αἱ γυναῖκες ἐκεῖναι τύπος ἦσαν τῆς ἐξ ἐθνῶν ἐκκλησίας. Ὥσπερ γὰρ ἐκείνας, διαφόροις ἁμαρτήμασιν ὑποκειμένας, οἱ δηλωθέντες ἄνδρες ἠγάγοντο, οὕτω καὶ ὁ Χριστὸς τὴν ἀνθρωπίνην φύσιν, διαφόροις ἁμαρτήμασιν ὑποπεσοῦσαν, ἡρμόσατο ἑαυτῷ· καὶ ὥσπερ τὸ γένος τῶν τοιούτων γυναικῶν οὐκ ἀπηξίωσεν, οὕτως οὐδὲ τὴν τῆς ἐκκλησίας νύμφευσιν. Ἅμα δὲ καὶ διδασκόμεθα διὰ τῶν τοιούτων, μὴ ἐπὶ ταῖς τῶν προγόνων ἁμαρτίαις, ἀλλ᾿ ἐπὶ ταῖς οἰκείαις αἰσχύνεσθαι, μηδὲ μέγα φρονεῖν ἐπὶ προγόνοις, ἀλλ᾿ οἰκείας ἐπιμελεῖσθαι ἀρετῆς, μηδὲ φαυλίζειν τοὺς ἀπὸ διαβεβλημένων γάμων ἐναρέτους γεγενημένους, μηδὲ παρωθεῖσθαι τοὺς ἐκ διαφόρων ἁμαρτημάτων τῇ πίστει προσερχομένους.

3. Φαρὲς δὲ ἐγέννησε τὸν Ἐσρώμ· Ἐσρὼμ δὲ ἐγέν-
4 νησε τὸν Ἀράμ. Ἀρὰμ δὲ ἐγέννησε τὸν Ἀμιναδάβ·
Ἀμιναδὰβ δὲ ἐγέννησε τὸν Ναασσών· Ναασσὼν δὲ
5 ἐγέννησε τὸν Σαλμών· Σαλμὼν δὲ ἐγέννησε τὸν
Βοὸζ ἐκ τῆς Ῥαχάβ· Βοὸζ δὲ ἐγέννησε τὸν Ὠβὴδ
6 ἐκ τῆς Ῥούθ· Ὠβὴδ δὲ ἐγέννησε τὸν Ἰεσσαί. Ἰεσ-
σαὶ δὲ ἐγέννησε τὸν Δαυῒδ τὸν βασιλέα· Δαυῒδ δὲ
ὁ βασιλεὺς ἐγέννησε τὸν Σολομῶντα ἐκ τῆς τοῦ
7 Οὐρίου. Σολομὼν δὲ ἐγέννησε τὸν Ῥοβοάμ· Ῥο-
βοὰμ δὲ ἐγέννησε τὸν Ἀβιά· Ἀβιὰ δὲ ἐγέννησε
8 τὸν Ἀσά. Ἀσὰ δὲ ἐγέννησε τὸν Ἰωσαφάτ· Ἰωσα-
φὰτ δὲ ἐγέννησε τὸν Ἰωράμ· Ἰωρὰμ δὲ ἐγέννησε

9 τὸν Ὀζίαν. Ὀζίας δὲ ἐγέννησε τὸν Ἰωάθαμ· Ἰωά-
θαμ δὲ ἐγέννησε τὸν Ἄχαζ· Ἄχαζ δὲ ἐγέννησε τὸν Ἐ-
10 ζεκίαν. Ἐζεκίας δὲ ἐγέννησε τὸν Μανασσῆ· Μανασσῆς
δὲ ἐγέννησε τὸν Ἀμών· Ἀμὼν δὲ ἐγέννησε τὸν Ἰω-
11 σίαν. Ἰωσίας δὲ ἐγέννησε τὸν Ἰεχονίαν καὶ τοὺς
ἀδελφούς αὐτοῦ, ἐπὶ τῆς μετοικεσίας Βαβυλῶνος.

Η μὲν τετάρτη βίβλος τῶν Βασιλειῶν καὶ ἡ δευτέρα τῶν Παραλειπομένων (α) τρεῖς υἱοὺς ἱστοροῦσι τοῦ Ἰωσίου, τὸν Ἰωάχαζ καὶ τὸν Ἰωακείμ, ὃς καὶ Ἐλιακεὶμ ἐκαλεῖτο, καὶ τὸν Σεδεκίαν, ὃς καὶ Ματθανίας (β) ἐλέγετο, ἑνὸς δὲ τούτων, τοῦ Ἰωακεὶμ (1), ἀπογεννηθῆναι τὸν Ἰεχονίαν· ἡ δὲ τοῦ Ἔσδρα (2) βίβλος, τὸν Ἰεχονίαν, υἱὸν εἶναι τοῦ Ἰωσίου φησὶν, ὥσπερ καὶ ὁ παρὼν εὐαγγελιστής. Τί οὖν ἐροῦμεν; Ὅτι ὃν ἐκεῖναι εἶπον Ἰωάχαζ, τοῦτον αὕτη φησὶν Ἰεχονίαν· διώνυμος γὰρ ἦν, ὥσπερ καὶ οἱ ἀδελφοὶ αὐτοῦ. Καὶ γὰρ, ἅπερ ἔφασαν ἐκεῖναι παράσημα τοῦ Ἰωάχαζ, ταῦτα εἴρηκεν ἀπαραλλάκτως ἡ τοῦ Ἔσδρα βίβλος πάντα ἐπὶ τῷ Ἰεχονίᾳ, ὅτι τε μητέρα εἶχε τὴν Ἀμιτὰδ (3), θυγατέρα Ἱερεμίου, καὶ ὅτι εἴκοσι καὶ τριῶν ἐτῶν ἐβασίλευσε, καὶ ὅτι τρεῖς μόνους μῆνας βασιλεύσας, ἐξεβλήθη παρὰ τοῦ Φαραὼ, βασιλέως Αἰγύπτου, καὶ κατήχθη δοῦλος εἰς Αἴγυπτον.

Ὥστε λοιπὸν ἕτερος Ἰεχονίας ἦν, ὁ υἱὸς Ἰωακεὶμ, οὗτινος οὐδὲ ἀδελφοὺς οὐδεμία βίβλος ἀνέγραψεν. Εἰκὸς δὲ, μετὰ τὸ καταστροπωθῆναι τοὺς Αἰγυπτίους ὑπὸ Ναβουχοδονόσορ, βασιλέως Βαβυλῶνος, μετενεχθῆναι καὶ τὸν Ἰεχονίαν εἰς Βαβυλῶνα (4)· καὶ ἐν ταύτῃ γεννῆσαι τὸν Σαλαθιήλ. *Ἰωσιας δέ*,

(α) Δ′ Βασιλ. ΚΓ′. Β′ Παραλ. Λς′.
(β) Δ′ Βασιλ. ΚΔ′, 17.
(1) Ἰωάχαζ παρὰ τῷ Α.
(2) Ἀναφέρεται, ὡς φαίνεται, εἰς Α′ Ἔσδρα Α′, 32.
(3) Γράφεται καὶ Ἀμιτάλ.
(4) Β′ Παραλ. Λς′, 9. 10.

φησιν, *ἐγέννησε τὸν Ἰεχονίαν καὶ τοὺς ἀδελφοὺς αὐτοῦ ἐπὶ τῆς μετοικεσίας Βαβυλῶνος*. Καὶ μὴν πρὸ τῆς εἰς Βαβυλῶνα μετοικεσίας τῶν Ἰουδαίων τούτους ὁ Ἰωσίας ἐγέννησε. Λοιπὸν οὖν τὸ, *ἐπὶ τῆς μετοικεσίας*, ἀντὶ τοῦ, πλησίον τοῦ καιροῦ τῆς μετοικεσίας. Ἐμνημόνευσε δὲ καὶ τῶν ἀδελφῶν αὐτοῦ· διότι καὶ αὐτοὶ πάντες ἀμοιβαδὸν ἐβασίλευσαν, καὶ μετῳκίσθησαν καὶ οὗτοι ὑπὸ Ναβουχοδονόσορ αἰχμάλωτοι εἰς Βαβυλῶνα.

[Τί δὲ δήποτε(1) κατὰ τὴν μέσην ταύτην μερίδα τρεῖς παρέλιπε βασιλεῖς, τόν τε τοῦ Ἰωρὰμ υἱὸν, Ὀχοζίαν, καὶ τὸν τοῦ Ὀχοζίου υἱὸν, Ἰωὰς, καὶ τὸν τοῦ Ἰωὰς υἱὸν, Ἀμεσίαν (2); Ἀμεσίας γὰρ ἐγέννησε τὸν Ἀζαρίαν, κατὰ τὴν τετάρτην τῶν Βασιλειῶν βίβλον, ὃν Ὀζίαν (3) ἡ δευτέρα τῶν Παραλειπομένων ὠνόμασε· διώνυμος γὰρ ἦν. Πῶς οὖν ὁ Ματθαῖός φησιν, ὅτι Ἰωρὰμ ἐγέννησε τὸν Ὀζίαν; Ἀλλ' ὅτι μὲν Ἰωρὰμ ἐγέννησε τὸν Ὀζίαν, ἀπόγονον αὐτοῦ, δῆλον· διὰ τίνα δὲ λόγον οἱ τρεῖς παρειάθησαν, ὡς εἴρηται, βασιλεῖς, οὐδείς πω μέχρι καὶ νῦν εἶπε. Πάνυ γὰρ ἄπορος ὁ λόγος τοῖς γε κατὰ τὰς ἡμετέρας γενεὰς, ὅτι μηδὲ τῶν πρὸ ἡμῶν τις ἔλυσε τὸ ζητούμενον.]

12. Μετὰ δὲ τὴν μετοικεσίαν Βαβυλῶνος, Ἰεχο-
νίας ἐγέννησε τὸν Σαλαθιήλ· Σαλαθιὴλ δὲ ἐγέν-
13 νησε τὸν Ζοροβάβελ. Ζοροβάβελ δὲ ἐγέννησε τὸν
Ἀβιούδ· Ἀβιοὺδ δὲ ἐγέννησε τὸν Ἐλιακείμ· Ἐλια-
14 κεὶμ δὲ ἐγέννησε τὸν Ἀζώρ. Ἀζὼρ δὲ ἐγέννησε τὸν
Σαδώκ· Σαδὼκ δὲ ἐγέννησε τὸν Ἀχείμ· Ἀχεὶμ δὲ
15 ἐγέννησε τὸν Ἐλιούδ· Ἐλιοὺδ δὲ ἐγέννησε τὸν Ἐ-
λεάζαρ· Ἐλεάζαρ δὲ ἐγέννησε τὸν Ματθάν· Ματ-
16 θὰν δὲ ἐγέννησε τὸν Ἰακώβ. Ἰακὼβ δὲ ἐγέννησε

(1) Τὰ παρενταθημένα ἀναγινώσκονται ἐν τῷ περισελιδίῳ παρὰ τῷ Α.
(2) Κοινῶς γράφεται Ἀμασίας. Δ' Βασιλ ΙΔ', 1.
(3) Β' Παραλ. Κϛ', 1. Δ' Βασιλ. ΙΔ', 21.

τὸν Ἰωσὴφ, τὸν ἄνδρα Μαρίας, ἐξ ἧς ἐγεννήθη
Ἰησοῦς ὁ λεγόμενος Χριστός.

Καταντήσας εἰς τὸν Ἰωσὴφ, οὐκ ἔστησε μέχρι τούτου τὸν λόγον, ἀλλὰ προσέθηκεν, ὅτι *τὸν ἄνδρα Μαρίας*, διδάσκων, ὅτι διὰ ταύτην αὐτὸν ἐγενεαλόγησεν. Ἐπεὶ γὰρ οὐκ ἦν ἔθος γενεαλογεῖσθαι γυναῖκας, ἐσπούδασεν, ἵνα καὶ τὸ ἔθος φυλάξῃ, καὶ τρόπον ἕτερον ἀποδείξῃ τὸν Χριστὸν ἐκ γένους τοῦ Ἀβραὰμ καὶ τοῦ Δαυὶδ καταγόμενον. Διὸ καὶ γενεαλογήσας τὸν μνηστῆρα τῆς Θεομήτορος, διὰ τούτου τὸ σπουδαζόμενον ἀπέδειξεν. Ἐπεὶ γὰρ ὁ Ἰωσὴφ ἐκ τοῦ γένους ἐκείνων ἀπεδείχθη, πρόδηλον, ὅτι ἐκεῖθεν καὶ ἡ Θεοτόκος κατήγετο. Οὐ γὰρ ἐξῆν ἑτέρωθεν ἄγεσθαι μνηστὴν, ἀλλ' ἢ ἐκ τῆς ἑαυτοῦ φυλῆς, καὶ τῆς αὐτῆς πατριᾶς, εἴτουν συγγενείας. *Ἄνδρα* δὲ αὐτῆς εἶπε τὸν Ἰωσὴφ, ὡς μνηστῆρα. Καὶ γὰρ καὶ γυναῖκα ταύτην αὐτοῦ καλεῖ προϊὼν, ὡς μνηστήν. Οὕτω γὰρ ἦν ἔθος καλεῖσθαι καὶ πρὸ τῆς συναφείας.

17 Πᾶσαι οὖν αἱ γενεαὶ ἀπὸ Ἀβραὰμ ἕως Δαυὶδ,
γενεαὶ δεκατέσσαρες· καὶ ἀπὸ Δαυὶδ ἕως τῆς με-
τοικεσίας Βαβυλῶνος, γενεαὶ δεκατέσσαρες· καὶ
ἀπὸ τῆς μετοικεσίας Βαβυλῶνος ἕως τοῦ Χριστοῦ,
γενεαὶ δεκατέσσαρες.

Εἰς τρεῖς μερίδας διεῖλε τὰς γενεὰς ἁπάσας, εἰκότως· τρεῖς γὰρ πολιτεῖαι τούτων ἐγένοντο. Ἀπὸ μὲν γὰρ Ἀβραὰμ ἕως Δαυὶδ, μετὰ Μωϋσέα καὶ Ἰησοῦν τὸν τοῦ Ναυῆ, ὑπὸ τῶν κριτῶν ἡγεμονεύοντο· ἀπὸ δὲ τοῦ Δαυὶδ ἕως τῆς μετοικεσίας Βαβυλῶνος, ὑπὸ βασιλέων ἰθύνοντο· ἀπὸ δὲ τῆς μετοικεσίας Βαβυλῶνος ἕως τοῦ Χριστοῦ, ὑπὸ ἀρχιερέων ἐκυβερνῶντο. Ἐλθόντος δὲ τοῦ Χριστοῦ, τοῦ ἀληθῶς κριτοῦ καὶ βασιλέως καὶ ἀρχιερέως, ἐπαύθησαν αἱ δηλωθεῖσαι πολιτεῖαι. Ἄξιον δὲ ζητῆσαι, πῶς ἐν τῇ τρίτῃ μερίδι δώδεκα πρόσωπα θεὶς, δεκα-

τέσσαρας ταῦτα γενεὰς ἐκάλεσε; Διότι καὶ τὸν χρόνον τῆς μετοικεσίας (1) ἐν τάξει τέθεικε γενεᾶς, καὶ αὐτὸν τὸν Χριστὸν, ὡς ὁ μέγας φησὶ Χρυσόστομος.

18. Τοῦ δὲ Ἰησοῦ Χριστοῦ ἡ γέννησις οὕτως ἦν.

Οὕτως, ὡς εἰπεῖν μέλλει, ἤγουν ἀπόκειται (2).

18. Μνηστευθείσης γὰρ τῆς μητρὸς αὐτοῦ Μαρίας τῷ Ἰωσὴφ, πρὶν ἢ συνελθεῖν αὐτοὺς, εὑρέθη ἐν γαστρὶ ἔχουσα ἐκ Πνεύματος ἁγίου.

Πρὸ τοῦ συνελθεῖν αὐτοὺς εἰς συνάφειαν. Οὐκ εἶπε δὲ, ὅτι πρὸ τοῦ ἐλθεῖν αὐτὴν εἰς τὴν οἰκίαν αὐτοῦ· ἔνδον γὰρ ἦν. Ἔθος γὰρ τοῖς πολλοῖς, παρ' ἑαυτοῖς ἔχειν τὰς μνηστὰς δι' ἀσφάλειαν. *Εὑρέθη* δὲ εἶπε, διὰ τὸ ἀπροσδόκητον. Ἐπεὶ δὲ εἴρηκεν, ὅτι *εὑρέθη ἐν γαστρὶ ἔχουσα*, ἵνα μὴ θροηθῇ (3) τις, ἀκούσας τοῦτο μόνον, ἐθεράπευσε τὸν λόγον, προσθεὶς, ὅτι *ἐκ Πνεύματος ἁγίου*.

Καὶ τίνος ἕνεκεν οὐ γέγονεν ἔγκυος πρὸ τῆς μνηστείας; Ἵνα μὴ ἀποθάνῃ, ὡς ὑποπτευθεῖσα διαφθαρῆναι. Τίνα γὰρ ἂν ἔπεισεν, ὅτι οὐχ ὡμίλησεν ἀνδρί; Διὰ τοῦτο τοίνυν μετὰ τὴν μνηστείαν, καὶ ἔνδον τῆς οἰκίας αὐτοῦ, ἐγκυμονεῖ, ἵνα νομισθῇ συλλαβεῖν ἐξ αὐτοῦ, καὶ οὕτω διαδράσῃ τὸν κίνδυνον, καὶ ἵνα σχῇ τοῦτον χορηγόν τε τῶν ἀναγκαίων καὶ κηδεμόνα, καὶ μάλιστα παρὰ τὸν καιρὸν τῆς εἰς Αἴγυπτον φυγῆς.

Σὺ δὲ μὴ ζητήσῃς, πῶς συνέλαβε, μηδὲ περιεργάσῃ, πῶς διεπλάσθη τὸ ἔμβρυον. Τοῦτο γὰρ οὔτε ὁ εὐαγγελιστὴς ἐδίδαξεν, οὔτε πρὸ αὐτοῦ ὁ ἄγγελος, ὁ εὐαγγελισάμενος τῇ Θεοτόκῳ τὴν σύλληψιν. Ἠγνόησαν γὰρ τοῦτο καὶ αὐτοὶ, διὰ τὸ

(1) Παρὰ τῷ Χρυσοστόμῳ Τόμ. Ζ'. Σελ. 45. Β. ὑπάρχει, αἰχμαλωσίας.

(2) Τὸ, ἤγουν ἀπόκειται, παραλείπεται παρὰ τῷ Α. Προτιμότερον δὲ τὸ, ὑπόκειται.

(3) Θορυβηθῇ λέγεται ὡς ἐπὶ τὸ πλεῖστον ἐπὶ τῶν τοιούτων.

εἶναι πᾶσιν ἀκατάληπτον, καὶ μόνῃ τῇ μακαρίᾳ Τριάδι γνώριμον. Τοῦτο δὲ γίνωσκε μόνον, ὅτι σεσάρκωται ὁ υἱὸς, εὐδοκίᾳ τοῦ πατρὸς, καὶ συνεργίᾳ τοῦ ἁγίου Πνεύματος.

19. Ἰωσὴφ δὲ ὁ ἀνὴρ αὐτῆς, δίκαιος ὢν, καὶ μὴ θέλων αὐτὴν παραδειγματίσαι, ἐβουλήθη λάθρα ἀπολῦσαι αὐτήν.

Δίκαιος λέγεται μὲν, καὶ ὁ μισῶν τὴν πλεονεξίαν, λέγεται δὲ, καὶ ὁ καθόλου ἐνάρετος, ὥσπερ καὶ νῦν ὁ Ἰωσὴφ, δίκαιος εἶναι μαρτυρηθεὶς, διά τε τὰς ἄλλας αὐτοῦ ἀρετὰς, καὶ διὰ τὴν πραότητα καὶ ἀγαθωσύνην. *Παραδειγματίσαι* δὲ ἐλέγετο, ὅταν ἀνὴρ παρὰ τὸ συνέδριον ἦγε τὴν ὑποπτευομένην, καὶ κατηγόρει ταύτης, καὶ οὕτως αὐτὴν φανερῶς ἀπέλυεν ἀπὸ τῆς οἰκίας αὐτοῦ. Ὅπερ μὴ θέλων ποιῆσαι ὁ Ἰωσὴφ, *ἠβουλήθη λάθρα ἀπολῦσαι αὐτὴν*, ἵνα καὶ αὐτὸς ἀνεύθυνος ἀπὸ τοῦ νόμου μείνῃ, τοῦ κελεύοντος, ἀπολύειν τὰς κυούσας ἑτέρωθεν, κἀκείνην ἀπαθῆ κακῶν συντηρήσῃ, μὴ δημοσιεύσας τὸ γεγονός.

20. Ταῦτα δὲ αὐτοῦ ἐνθυμηθέντος, ἰδοὺ, ἄγγελος Κυρίου κατ' ὄναρ ἐφάνη αὐτῷ·

Ὅρα πραότητος ὑπερβολήν! Οὐ μόνον γὰρ οὐκ ἐξεῖπεν ἑτέρῳ περὶ τοῦ πράγματος, ἀλλ' οὐδὲ αὐτῇ τῇ ὑποπτευομένῃ· ἀλλὰ καθ' ἑαυτὸν ἐνεθυμήθη, *λάθρα ἀπολῦσαι αὐτήν*. Καὶ διὰ τί μὴ, πρὸ τοῦ ἐξογκωθῆναι τὴν γαστέρα αὐτῆς, ὁ ἄγγελος εἶπε τῷ Ἰωσὴφ τὰ περὶ τῆς ἀσπόρου συλλήψεως; Διότι ἔμελλεν ἀπιστεῖσθαι, διὰ τὸ παράδοξον. Λοιπὸν οὖν, ὁρωμένου τοῦ πράγματος, μηνύει, καὶ πείθει ῥᾳδίον. Καὶ διὰ τί μὴ ἡ Παρθένος τῷ Ἰωσὴφ ἀνήγγειλε, προδιδαχθεῖσα ταῦτα παρὰ τοῦ Γαβριήλ; Διότι ἐγίνωσκεν, ὡς οὐ πιστευθήσεται, μᾶλλον μὲν οὖν καὶ παροξυνεῖ, ὡς ἐπιχειροῦσα συσκιάζειν τὸ πεπλημμελημένον. Καὶ διὰ τί μὴ καὶ τῇ Παρθένῳ, μετὰ τὸν ὄγκον τῆς γαστρὸς, ἐμήνυσεν ὁ ἄγγελος τὴν ἐκ Πνεύματος ἁγίου σύλλη-

ψιν; Διότι, εἰ μὴ προμεμάθηκε τοῦτο, ἔμελλεν ἐν θορύβῳ εἶναι καὶ ταραχῇ, καὶ ἐπὶ βρόχον ἐλθεῖν, εὖ εἰδυῖα, ὡς οὐκ ἄν ποτε πείσῃ τινὰ, λέγουσα, μὴ ὁμιλῆσαι ἀνδρί. Διὰ τοῦτο, τῇ μὲν Παρθένῳ, πρὸ τῆς συλλήψεως, ὁ ἄγγελος διαλέγεται· τῷ δὲ Ἰωσὴφ, ἐν τῷ καιρῷ τῶν ὠδίνων.

Καὶ ὁ μὲν Ματθαῖος περὶ τοῦ ἀγγέλου τοῦ ἐπιστάντος τῷ Ἰωσὴφ ἀνέγραψεν· ὁ δὲ Λουκᾶς περὶ τοῦ εὐαγγελισαμένου τῇ Παρθένῳ τὴν θείαν σύλληψιν. Ἀμφότερα γὰρ γεγόνασι. Καὶ διὰ τί κατ' ὄναρ αὐτῷ φαίνεται ὁ ἄγγελος, καὶ μὴ φανερῶς, ὥσπερ καὶ τῇ Παρθένῳ; Διότι ἡ μὲν Παρθένος ἔχρῃζε φανερᾶς ὄψεως, διὰ τὸ παράδοξον τοῦ μηνύματος· ὁ δὲ Ἰωσὴφ, βλέπων μὲν καὶ τὸν ὄγκον τῆς γαστρὸς, γινώσκων δὲ καὶ τὸν βίον τῆς Παρθένου καθαρόν τε καὶ ἀνεπίληπτον, εὐχερέστερον ἔμελλε πιστεύειν. Ἄλλως τε δὲ, καὶ ὡς εὖ εἰδὼς διακρίνειν ὀνείρους, ἐν ὀνείρῳ βλέπει τὸν ἄγγελον.

20. Λέγων· Ἰωσὴφ, υἱὸς Δαυὶδ, μὴ φοβηθῇς παραλαβεῖν Μαριὰμ τὴν γυναῖκά σου.

Υἱὸν Δαυὶδ αὐτὸν ἐκάλεσεν, ἀνάγων τὴν διάνοιαν αὐτοῦ ἐπὶ τὸν Δαυὶδ, ἀφ' οὗ προσεδόκων Ἰουδαῖοι τὸν Χριστὸν ἔσεσθαι. Εἰπὼν δὲ, *μὴ φοβηθῇς*, ἀνεκάλυψεν αὐτῷ τὸ τῆς καρδίας αὐτοῦ μυστήριον. Ἐφοβεῖτο γὰρ κατέχειν τὴν Θεοτόκον, μὴ προσκρούσῃ τῷ θεῷ, μοιχαλίδα κατέχων παρὰ τὸν νόμον. Τί δέ ἐστι τὸ, *παραλαβεῖν*; Ἔνδον κατέχειν παρ' ἑαυτῷ, λαβεῖν αὖθις. Ἤδη γὰρ αὐτῷ κατὰ διάνοιαν ἀπολέλυτο. Παραλαβεῖν δὲ οὐκ εἰς γάμον, ἀλλ' εἰς φυλακήν. *Τὴν γυναῖκά σου* δὲ εἶπε, κἀντεῦθεν πληροφορῶν αὐτὸν, ὅτι οὐχ ὡμίλησεν ἀνδρί.

20. Τὸ γὰρ ἐν αὐτῇ γεννηθὲν, ἐκ Πνεύματός ἐστιν ἁγίου.

Τὸ ἐν αὐτῇ διαπλασθέν. *Γεννηθὲν* γὰρ εἶπεν, ἵνα μάθωμεν, ὅτι οὐ κατὰ μικρὸν ἐμορφώθη, νόμῳ σπέρματος, ἀλλ' εὐθὺς,

ὅσον εἰς μόρφωσιν, τέλειον διεπλάσθη. Ὅρα δὲ, πῶς πρότερον ἀνέμνησεν αὐτὸν τῆς ἐκ Δαυὶδ προσδοκίας, ἔπειτα ἐξεκάλυψεν αὐτῷ τὸν ἀπόρρητον φόβον τῆς καρδίας, καὶ ὃ ἐβουλήθη, εἶτα ἐδίδαξεν, ὅτι καθαρῶς μνηστή ἐστιν αὐτοῦ, καὶ τότε τὸ κεφάλαιον ἐπήνεγκεν, ὅτι *ἐκ Πνεύματός ἐστιν ἁγίου*, ἵνα εὐπαράδεκτον οὕτω γένηται.

[Τὸ (1) *ἔκ τινος*, ἢ γεννητικῶς, κατὰ τὸ, *Ἐγὼ ἐκ τοῦ Θεοῦ ἐξῆλθον* (α)· ἢ δημιουργικῶς, κατὰ τὸ, *Εἷς Θεὸς ὁ πατὴρ, ἐξ οὗ τὰ πάντα* (β)· ἢ φυσικῶς, ὡς ἡ ἐνέργεια ἐκ τοῦ ἐνεργοῦντος. Τὸ τοίνυν ἐν τῇ Παρθένῳ γεννηθὲν, οὔτε γεννητικῶς ἐκ τοῦ ἁγίου Πνεύματος· ὅτι τὸ γεννηθὲν σάρξ· οὔτε φυσικῶς· ὅτι τὸ πνεῦμα ἀσώματον. Λειπόμενον οὖν ἐστὶν, ἐξ αὐτοῦ εἶναι, ὡς δημιούργημα, καὶ κτίσμα αὐτοῦ].

21 Τέξεται δὲ υἱὸν, καὶ καλέσεις τὸ ὄνομα αὐτοῦ ΙΗΣΟΥΝ· αὐτὸς γὰρ σώσει τὸν λαὸν αὐτοῦ ἀπὸ τῶν ἁμαρτιῶν αὐτῶν.

Σὺ τοῦτον καλέσεις Ἰησοῦν, ὡς νόμῳ πατὴρ, εἰ καὶ μὴ φύσει, καὶ τὰ (2) πατρὸς ἐπιδείξῃ περὶ αὐτὸν, εἰ καὶ μὴ σόν ἐστι γέννημα. Διὰ τοῦτο γὰρ τὸ μὲν ὄνομα αὐτὸς ἄνωθεν ἐκόμισα, σὺ δὲ τοῦτο ἐπιθήσεις αὐτῷ. Ἐπεὶ δὲ τὸ Ἰησοῦς ὄνομα, Σωτῆρα σημαίνει, δείκνυσιν ὅτι δικαίως οὕτω κληθήσεται. *Αὐτὸς γὰρ σώσει*, φησὶ, *τὸν λαὸν αὐτοῦ*, οὐκ ἀπὸ πολεμίων αἰσθητῶν, ἀλλ', ὃ πολλῷ μεῖζον ἦν, *ἀπὸ τῶν ἁμαρτιῶν αὐτῶν*, ὅπερ οὐδεὶς ἀνθρώπων ποτὲ πεποίηκεν. Ὡς εἶναι κἀντεῦθεν γνώριμον, ὅτι θεός ἐστιν ὁ τικτόμενος. *Λαὸν* δὲ *αὐτοῦ* φησὶ, κατὰ μὲν τὴν πρόχειρον γνῶσιν, τοὺς Ἰουδαίους, ἐξ ὧν ἀνεβλάστησε·

(1) Τὰ παρεντεθειμένα ἀναγινώσκονται ἐν τῷ περισελιδίῳ παρὰ τῷ Α.

(α) Ἰωάν. Η', 42.

(β) Α' Κορ. Η', 6.

(2) Ὁ Χρυσόστομος παρεντίθησι καὶ τὸ, τοῦ. Τόμ. Ζ'. Σελ. 58. Α.

κατὰ δὲ τὴν βαθυτέραν, πάντας τοὺς αὐτῷ πιστεύσοντας, καὶ βασιλέα τοῦτον ἑαυτοῖς ἐπιγραψομένους.

22 (Τοῦτο δὲ ὅλον γέγονεν, ἵνα πληρωθῇ τὸ ῥηθὲν ὑπὸ τοῦ Κυρίου διὰ τοῦ προφήτου,

Ο ἄγγελος καὶ τοῦτο φησί. *Τοῦτο δὲ ὅλον*, τὸ τηλικοῦτον, φημὶ δὴ τὸ ἐγκυμονῆσαι τὴν Παρθένον ἐκ Πνεύματος ἁγίου. Εἶτα παράγει μαρτυρίαν, διὰ τοῦ προφήτου μὲν Ἡσαΐου ῥηθεῖσαν, οὐκ αὐτοῦ δὲ οὖσαν, ἀλλὰ τοῦ θεοῦ. *Τὸ ῥηθὲν γάρ*, φησιν, *ὑπὸ τοῦ Κυρίου διὰ τοῦ προφήτου*.

23. Λέγοντος· « Ἰδοὺ, ἡ παρθένος ἐν γαστρὶ ἕξει.

Ἐνταῦθα κακουργοῦσιν Ἰουδαῖοι, προβαλλόμενοί τινας ἑρμηνευτὰς, γράψαντας, *Ἰδοὺ ἡ νεᾶνις*. Πρὸς οὓς φαμὲν, ὅτι μᾶλλον τῶν ἄλλων ἁπάντων ἑρμηνευτῶν τὸ ἀξιοπιστότερον οἱ Ἑβδομήκοντα ἔχουσιν, οὐ μόνον διὰ τὸ πλῆθος καὶ τὴν συμφωνίαν, ἀλλὰ καὶ διὰ τὸν χρόνον. Οὗτοι μὲν γὰρ πρὸ ἑκατὸν ἢ καὶ πλειόνων ἐτῶν τῆς τοῦ Χριστοῦ παρουσίας ἑρμηνεύσαντες, πάσης εἰσὶν ὑποψίας ἀπηλλαγμένοι· οἱ δὲ γράψαντες τὸ, *Ἰδοὺ ἡ νεᾶνις*, μετὰ τὴν ἐνανθρώπησιν τοῦ Χριστοῦ ἑρμηνεύσαντες, ἀπεχθείᾳ μᾶλλον, ὡς Ἑβραῖοι, συνεσκίασαν τὴν ἀλήθειαν. Ἄλλως τε δὲ, καὶ τὸ τῆς νεανιότητος ὄνομα ἐπὶ τῆς παρθενίας ἡ Γραφὴ τίθησι. Καὶ γὰρ περὶ κόρης ἐπιβουλευομένης διαλεγομένη φησὶν, *Ἐὰν φωνήσῃ ἡ νεᾶνις* (α), τουτέστιν, ἡ παρθένος. Εἰ δὲ κατ' αὐτοὺς νεᾶνις, ἡ γεγαμημένη ἐστὶ, τί καινὸν, τὸ τὴν γεγαμημένην ἐγκυμονῆσαι καὶ τεκεῖν; Ὁ γὰρ προφήτης πρῶτον εἶπεν, *Ἰδοὺ, δώσει Κύριος ὑμῖν σημεῖον* (β)· εἶτα ἐπήγαγεν, *Ἰδοὺ ἡ παρθένος ἐν γαστρὶ ἕξει*. *Σημεῖον* δέ ἐστι τὸ ὑπὲρ τὴν φύσιν, ἀλλ' οὐ τὸ κατὰ φύσιν.

(α) Δευτερ. ΚΒ'. 27.
(β) Ἡσ. Ζ', 14.

23 Καὶ τέξεται υἱὸν, καὶ καλέσουσι τὸ ὄνομα αὐτοῦ Ἐμμανουήλ· » ὅ ἐστι μεθερμηνευόμενον, Μεθ' ἡμῶν ὁ Θεός.)

Καλέσουσι, τίνες; ὅσοι δηλαδὴ πιστεύσουσιν εἰς αὐτόν. Καὶ μὴν, οὐδεὶς αὐτὸν *Ἐμμανουὴλ* ὠνόμασεν. Ὀνομαστὶ μὲν, οὐδεὶς· πραγματικῶς δὲ, πάντες. Οἱ γὰρ πιστεύοντες, ὅτι ὁ διαλεγόμενος αὐτοῖς, οὗτός ἐστι θεὸς, ἀφ' ὧν οὕτως ἐπίστευον, συνωμολόγουν, ὅτι *Μεθ' ἡμῶν ὁ θεὸς*, εἴτουν συναναστρέφεται ἡμῖν, ὡς ἄνθρωπος. Τοῦτο δέ ἐστι τὸ *Ἐμμανουήλ*. Ἔθος δὲ, καὶ ἑτέρως πολλάκις τοῖς προφήταις κλήσεις ὀνομάζειν, τὰς ἀποβησομένας πράξεις. Καὶ γὰρ τουτὶ τὸ παιδίον ἐν ἄλλοις ὁ προφήτης ἐπιτρέπεται καλέσαι, *Ταχέως σκύλευσον*, *ὀξέως προνόμευσον* (α)· οὐχ ὡς οὕτω κληθέντος ὀνομαστὶ, ἀλλ' ὡς αὐτίκα τὸν διάβολον κατατροπωσαμένου καὶ σκυλεύσαντος, οὓς εἶχεν ἐκεῖνος αἰχμαλώτους, καὶ προνομεύσαντος, εἴτουν, διαρπάσαντος τὰ σκεύη τὰ τὴν πονηρίαν αὐτοῦ δεξάμενα, φημὶ δὴ, τελώνας καὶ πόρνας καὶ λῃστὰς καὶ τοὺς ἐξ ἐθνῶν. Καὶ πολλὰ τοιαῦτα εὑρήσομεν.

24 Διεγερθεὶς δὲ ὁ Ἰωσὴφ ἀπὸ τοῦ ὕπνου, ἐποίη-
25 σεν ὡς προσέταξεν αὐτῷ ὁ ἄγγελος Κυρίου· καὶ
παρέλαβε τὴν γυναῖκα αὐτοῦ.

Διὰ τί τῷ ἐνυπνίῳ ῥᾷον ἐπίστευσε περὶ τηλικούτου πράγματος; Διότι ὁ φανεὶς ἄγγελος ἀνεκάλυψεν αὐτῷ τὸ τῆς καρδίας αὐτοῦ ἐνθύμημα. Συνῆκε γὰρ, ὅτι ὄντως παρὰ θεοῦ ἧκεν ὁ φανείς. Μόνος γὰρ ὁ θεὸς οἶδε τὰ τῶν καρδιῶν ἐνθυμήματα. Ἐπεὶ δὲ ἀνέμνησεν αὐτὸν καὶ τῆς Ἡσαΐου προφητείας, ἔτι μᾶλλον εἰς πληροφορίαν ἐβεβαιώθη.

(α) Ἡσ. Η', 3.

25 **Καὶ οὐκ ἐγίνωσκεν αὐτήν, ἕως οὗ ἔτεκε τὸν υἱὸν αὐτῆς τὸν πρωτότοκον.**

Τό, ἕως, ἐνταῦθα τέθεικεν, οὐχ ἵνα ὑποπτεύσῃς, ὅτι μετὰ ταῦτα ἔγνω αὐτήν· ἀλλ' ἐπεὶ ἐκ πορνείας (α) γεγεννῆσθαι τὸν Χριστὸν ἐφλυάρουν Ἰουδαῖοι, πρὸς τὴν βλάσφημον ὑπόληψιν αὐτῶν ἱστάμενος ὁ εὐαγγελιστής, περὶ μόνου τοῦ μέχρι τῆς αὐτοῦ γεννήσεως ἐπληροφόρησε χρόνου, τὸ δὲ μετὰ ταῦτα, σοὶ κατέλιπε συλλογίζεσθαι. Πῶς γὰρ ἂν ἐπεχείρησεν, ἢ καὶ ὅλως ἐνεθυμήθη γνῶναι τὴν συλλαβοῦσαν ἐκ Πνεύματος ἁγίου, καὶ τοιοῦτον δοχεῖον γεγενημένην; *Γνῶσιν* δὲ ἐνταῦθα τὴν συνάφειαν εὐφήμως ἐκάλεσεν. Ἀλλὰ καὶ ἰδίωμά ἐστι τῆς Γραφῆς τὸ τὴν λέξιν πολλάκις, τήν, ἕως, μὴ ἐπὶ περιωρισμένου τιθέναι χρόνου, ὡς τὸ ἐπὶ τῆς κιβωτοῦ· *Καὶ οὐκ ἐπέστρεψεν ὁ κόραξ, ἕως οὗ ἐξηράνθη ἡ γῆ* (β)· οὔτε γὰρ μετὰ ταῦτα ἐπέστρεψε. Καὶ αὖθις· *Κάθου ἐκ δεξιῶν μου, ἕως ἂν θῶ τοὺς ἐχθρούς σου ὑποπόδιον τῶν ποδῶν σου* (γ)· καίτοι, καὶ μετὰ τὴν ὑποταγὴν τῶν ἐχθρῶν, ὁμοίως ἐκ δεξιῶν αὐτοῦ καθεδεῖται. Καὶ πολλὰ τοιαῦτα πολλαχοῦ κείμενα. *Πρωτότοκον* δὲ λέγει νῦν, οὐ τὸν πρῶτον ἐν ἀδελφοῖς, ἀλλὰ τὸν καὶ πρῶτον, καὶ μόνον. Ἔστι γάρ τι καὶ τοιοῦτον εἶδος ἐν ταῖς σημασίαις τοῦ πρωτοτόκου. Καὶ γὰρ *πρῶτον* ἐστιν, ὅτε τὸν μόνον ἡ Γραφὴ καλεῖ· ὡς τό· *Ἐγώ εἰμι θεὸς πρῶτος, καὶ μετ' ἐμὲ οὐκ ἔστιν ἕτερος* (δ).

[Τέσσαρα δὲ (1) παρὰ τῇ θείᾳ Γραφῇ τοῦ πρωτοτόκου τὰ σημαινόμενα. Δηλοῖ γὰρ τὸν πρῶτον τεχθέντα ἐν ἀδελφοῖς, ὡς ὁ Ῥουβεὶμ λέγεται πρωτότοκος ἐν υἱοῖς Ἰακὼβ (ε). Ἔτι δὲ

(α) Τοῦτο ἀναφέρεται, ὡς φαίνεται, εἰς Ἰωάν. Η', 41.
(β) Γενεσ. Η', 7.
(γ) Ψαλ. ΡΘ', 1.
(δ) Ἡσ. ΜΔ', 6.
(1) Ταῦτα ἐν τῷ περιθωρίῳ παρὰ τῷ Α.
(ε) Γενεσ. ΛΕ', 23.

καὶ τὸν πρῶτον καὶ μόνον τεχθέντα, ὡς ἐπὶ τοῦ προκειμένου ῥητοῦ. Πρὸς δὲ τούτοις, καὶ τὸν ἐξαίρετον καὶ τίμιον· ὡς τό· *Καὶ ἐκκλησία πρωτοτόκων ἀπογεγραμμένων ἐν οὐρανοῖς* (α). Ἐπὶ πᾶσι δέ, καὶ τὸν ἁπλῶς προόντα, ὡς τό· *Πρωτότοκος πάσης κτίσεως* (β), τουτέστι, πρὸ πάσης κτίσεως ὤν.]

25. **Καὶ ἐκάλεσε τὸ ὄνομα αὐτοῦ Ἰησοῦν.**

Ἐκάλεσεν αὐτὸ ὁ Ἰωσήφ, ὡς ἐδιδάχθη παρὰ τοῦ ἀγγέλου.

ΚΕΦΑΛΑΙΟΝ Α'.

Περὶ τῶν μάγων.

ΚΕΦ. ΙΙ, Ι. **Τοῦ δὲ Ἰησοῦ γεννηθέντος ἐν Βηθλεὲμ τῆς Ἰουδαίας, ἐν ἡμέραις Ἡρώδου τοῦ βασιλέως, ἰδοὺ μάγοι ἀπὸ ἀνατολῶν παρεγένοντο εἰς Ἱεροσόλυμα.**

Τίνος ἕνεκεν, καὶ τὸν τόπον λέγει, καὶ τὸν χρόνον, καὶ τὸ τοῦ Ἡρώδου ἀξίωμα; Τὸν μὲν τόπον, ἵνα δείξῃ, ὅτι πεπλήρωται ἡ τοῦ Μιχαίου προφητεία, εἰρηκότος· *Καὶ σὺ Βηθλεέμ, γῆ Ἰούδα, οὐδαμῶς ἐλαχίστη εἶ ἐν τοῖς ἡγεμόσιν Ἰούδα. Ἐκ σοῦ γὰρ ἐξελεύσεται ἡγούμενος, ὅστις ποιμανεῖ τὸν λαόν μου τὸν Ἰσραήλ* (γ)· τὸν δὲ χρόνον, ἵνα διδάξῃ, ὅτι ὁμοίως ἐπληρώθη καὶ ἡ προφητεία τοῦ Ἰακὼβ (δ), εἰπόντος· *Οὐκ ἐκλείψει ἄρχων ἐξ Ἰούδα, οὐδὲ ἡγούμενος ἐκ τῶν μηρῶν αὐτοῦ, ἕως ἂν ἔλθῃ, ᾧ ἀπόκειται*. Τοῦ Χριστοῦ γὰρ γεννηθῆναι μέλλοντος, ἐξέλιπεν ἄρχων ἐξ Ἰούδα, καὶ λοιπὸν ἦρξε

(α) Ἑβρ. ΙΒ', 23.
(β) Κολοσ. Α', 15.
(γ) Μιχ. Ε', 2.
(δ) Γενεσ. ΜΘ', 10.

τῶν Ἰουδαίων Ἡρώδης ὁ Ἰδουμαῖος, ἀλλόφυλος. Τὸ δὲ ἀξίωμα τοῦ Ἡρώδου· διότι καὶ ἕτερος γέγονεν Ἡρώδης, ὁ τετράρχης, ὁ τὸν Πρόδρομον ἀνελών.

Οὗτοι δὲ οἱ μάγοι, Πέρσαι ἦσαν. Οἱ Πέρσαι γὰρ μάλιστα τῶν ἄλλων ἤσκουν τὰ μαγικά. Ὅρα δὲ, ὅπως ἐκ προοιμίων ἀνοίγεται τοῖς ἔθνεσι θύρα πίστεως, εἰς αἰσχύνην τῶν Ἰουδαίων. Ἐπεὶ γὰρ τῶν προφητῶν ἀκούοντες προαναφωνούντων τὴν Χριστοῦ παρουσίαν, οὐ σφόδρα προσεῖχον, ᾠκονομήθη, βαρβάρους ἐλθεῖν, καὶ τούτους μάγους, καὶ ἐκ χώρας μακρᾶς, καὶ διδάξαι αὐτοὺς, ὃ παρὰ τῶν προφητῶν μαθεῖν οὐκ ἠνέσχοντο, ἵνα, εἰ φιλονεικήσουσιν ἔτι, πάσης ἀπολογίας ὦσιν ἐστερημένοι. Τί γὰρ ἂν καὶ δύναιντο λέγειν, ὅταν μάγοι μὲν ἀπὸ ὄψεως ἑνὸς ἀστέρος πιστεύσωσιν, αὐτοὶ δὲ μηδὲ τοῖς τοσούτοις προφήταις ἀνέχωνται πιστεύειν;

2 Λέγοντες· Ποῦ ἐστιν ὁ τεχθεὶς βασιλεὺς τῶν Ἰουδαίων; Εἴδομεν γὰρ αὐτοῦ τὸν ἀστέρα ἐν τῇ ἀνατολῇ, καὶ ἤλθομεν προσκυνῆσαι αὐτῷ.

Καὶ πόθεν ἔγνωσαν, ὅτι ὁ ἀστὴρ ἐκεῖνος βασιλέως Ἰουδαίων ἐδήλου γέννησιν; Ἐκ τοῦ γένους τοῦ ἀστρολόγου Βαλαὰμ καταγόμενοι, καὶ τὴν ἐκείνου μετιόντες ἐπιστήμην, εὕρισκον αὐτὸν προειρηκότα ὅτι, *Ἀνατελεῖ ἄστρον ἐξ Ἰακὼβ, καὶ ἀναστήσεται ἄνθρωπος ἐξ Ἰσραὴλ* (α). Καὶ λοιπὸν ἀπὸ τῆς τοιαύτης προφητείας ἐγίνωσκον, ὅτι βλαστῆσαι μέλλει ἐξ Ἰουδαίων βασιλεὺς, δίκην ἀστέρος ὑψηλὸς καὶ λαμπρότατος. Καὶ λοιπὸν ἔκτοτε παρετήρουν τοὺς ἀστέρας. Τηνικαῦτα δὲ τὸν ἀσυνήθη τοῦτον καὶ καινοφανῆ θεασάμενοι, μηδὲν μελλήσαντες ἦλθον προσκυνῆσαι τῷ γεννηθέντι, θέλοντες ἐκ πρώτης ἡλικίας αὐτῷ φιλίαν καταβαλέσθαι, καὶ ἵνα, γνόντες, τίς τε εἴη, καὶ ἐν ποίᾳ πόλει γεγέννηται, αὐξάνοντι, φίλῳ χρήσωνται. Ἀλλὰ μέ-

(α) Ἀριθ. ΚΔ΄, 17.

χρι μὲν Παλαιστίνης ὑπὸ τοῦ ἀστέρος ὡδηγοῦντο· τοῖς Ἱεροσολύμοις δὲ πλησιάσαντες, οὐκέτι τοῦτον εἶδον. Τοῦτο δὲ γέγονεν, ἵνα, τὸν ὁδηγὸν ἀπολέσαντες, ἀναγκασθῶσιν ἐρωτῆσαι, καὶ οὕτω γένηται κατάδηλον Ἰουδαίοις, ὅτι γεγέννηται ὁ Χριστὸς, ὡς μὴ δύνασθαι αὐτοὺς ἐς ὕστερον λέγειν, ὅτι οὐκ οἴδαμεν, εἰ γεγέννηται. Ἐμήνυσε δὲ τὸν Χριστὸν ἀστὴρ, ἵνα καὶ ἡ τοῦ Βαλαὰμ προφητεία πληρωθῇ. Ἐπεὶ γὰρ οἱ προφῆται, τοῖς Ἰουδαίοις περὶ τοῦ Χριστοῦ προμηνύοντες, οὐκ ἔμελλον πείθειν, λοιπὸν τοῖς ἔθνεσιν ἀστὴρ μηνύει τὸν ἥλιον τῆς δικαιοσύνης, ἐκ τῆς γῆς ἀνατέλλοντα. Οὔτε γὰρ προφήτην, οὔτε ἄγγελον ᾔδεισαν, ἵνα δι᾽ αὐτῶν ἑλκυσθῶσι. Μόνοι δὲ τὸν ἀςέρα τοῦτον παρεσημειώσαντο Πέρσαι, ὡς μόνοι περὶ τὴν ὀξυτέραν ἀςρολογίαν ἐκ νεότητος ἀσχολούμενοι. Οὐ πάντες δὲ οἱ Πέρσαι, ὅτι οὐδὲ πάντες ἦσαν ὀξεῖς, οὐδὲ ἔμελλον ὁμοίως πιστεύειν.

Πρὸς δὲ τοὺς προβαλλομένους τὸν ἀστέρα τοῦτον εἰς συνηγορίαν τῆς γενεθλιαλογίας, ῥητέον, ὅτι οὐκ ἦν οὗτος φύσει ἀστὴρ, ἀλλ᾽ ὄψει μόνον ἀστὴρ, καὶ ὡς ἀληθῶς θεία τις δύναμις, εἰς ταύτην μετασχηματισθεῖσα τὴν ὄψιν. Καὶ τοῦτο δῆλον ἀπὸ πολλῶν. Πρῶτον μὲν, ἀπὸ τῆς πορείας. Παντὸς γὰρ ἀστέρος ἐξ ἀνατολῆς εἰς δύσιν βαδίζοντος, οὗτος μόνος ἐξ ἄρκτου πρὸς μεσημβρίαν ἐφέρετο. Τοιαύτην γὰρ ἔλαχε θέσιν ἡ Παλαιστίνη πρὸς τὴν Περσίδα. Δεύτερον δὲ, ἀπὸ τῆς λαμπρότητος. Οὐδενὸς γὰρ ἀστέρος ἐν ἡμέρᾳ φαινομένου, διὰ τὴν ὑπερβολὴν τῆς ἡλιακῆς λαμπρότητος, τοῦτον μόνον, ἐν ἡμέρᾳ φαινόμενον, οὐκ ἠδύνατο ὁ ἥλιος ἀποκρύπτειν. Τρίτον, ἀπὸ τοῦ φαίνεσθαι κατὰ λόγον, καὶ πάλιν κρύπτεσθαι. Μέχρι μὲν γὰρ Παλαιστίνης ἐφαίνετο ὁδηγῶν αὐτούς· ἐπεὶ δὲ τῶν Ἱεροσολύμων ἐπέβησαν, ἔκρυψεν ἑαυτόν· εἶτα πάλιν ἐξελθοῦσιν αὐτοῖς ἀπὸ τῶν Ἱεροσολύμων ἐπεφάνη, καὶ βαδιζόντων μὲν προηγεῖτο, ἱςαμένων δὲ περιέμενε, πρὸς τὴν χρείαν αὐτῶν τὴν ἑαυτοῦ ποιούμενος κίνησιν. Τέταρτον, ἀπὸ τοῦ βαδίζειν πρόσγεια. Οὐ γὰρ ἂν

ἔδειξε τὸ σπήλαιον (1), εἰ παραπλησίως τοῖς ἄλλοις ἄστρασιν ὑψηλὸς ἐφέρετο· οὗτος δὲ, ἐλθὼν ἔστη ἐπάνω, οὗ ἦν τὸ παιδίον.

3 Ἀκούσας δὲ Ἡρώδης ὁ βασιλεὺς ἐταράχθη, καὶ
πᾶσα Ἱεροσόλυμα μετ' αὐτοῦ.

Ο μὲν Ἡρώδης ἐταράχθη, δειλιάσας περὶ τῆς βασιλείας ἑαυτοῦ τε καὶ τῶν παίδων αὐτοῦ. *Πᾶσα δὲ ἡ πόλις*, ἡ καλουμένη Ἱεροσόλυμα, διὰ τί τετάρακται; καίτοι χαίρειν αὐτὴν ἔδει μᾶλλον, ὅτι ἐγεννήθη αὐτοῖς βασιλεὺς, ὃν οἱ προφῆται πάλαι προκατήγγειλαν σωτῆρα καὶ λυτρωτὴν τοῦ Ἰσραὴλ, καὶ ἐγκαλλωπίζεσθαι (2) ὡς συγγενεῖς, ὅτι εὐθὺς ἐκ σπαργάνων τοὺς Πέρσας εἵλκυσεν εἰς προσκύνησιν. Ἀλλ' ἡ βασκανία τετύφλωκεν αὐτοὺς, καὶ εὐθὺς ἀκούσαντες ἐταράχθησαν, ὥσπερ δεδοικότες, μήποτε σωτηρίας τύχωσιν. Ἀλλὰ Πέρσαι μὲν, ἀλλογενεῖς ὄντες, οὐ μόνον οὐκ ἐφθόνησαν τῷ γεννηθέντι, ἀλλὰ καὶ ἀπὸ τῶν περάτων τῆς οἰκουμένης μέχρι τῆς Βηθλεὲμ ἦλθον δι' αὐτόν· Ἰουδαῖοι δὲ, συγγενεῖς τυγχάνοντες, καὶ ἐφθόνησαν αὐτῷ τῆς δόξης, εἰ μέλλοι μέγας ἔσεσθαι, καὶ τὴν Βηθλεὲμ ἐγγὺς ἔχοντες, οὐκ ἀπῆλθον. Οὕτω καὶ φθονεροὶ ἦσαν καὶ ὀκνηροί!

4 Καὶ συναγαγὼν πάντας τοὺς ἀρχιερεῖς καὶ
γραμματεῖς τοῦ λαοῦ, ἐπυνθάνετο παρ' αὐτῶν, ποῦ
ὁ Χριστὸς γεννᾶται.

Καὶ μὴν οἱ μάγοι οὐκ εἶπον, ὅτι τὸν Χριστὸν ζητοῦσι. Πῶς οὖν ὁ Ἡρώδης περὶ τοῦ Χριστοῦ ἐρωτᾷ; Διότι πάλαι ἤκουεν, ὅτι μέλλει γεννηθῆναι ὁ Χριστὸς βασιλεὺς τοῦ Ἰσραὴλ, καὶ εὐθὺς ἀκούσας, ὅτι βασιλεὺς ἐγεννήθη ἐν Ἰουδαίᾳ, καὶ ὅτι ἀστὴρ τοῦτον Πέρσαις ἐμήνυσε, συνῆκεν, ὅτι οὗτός ἐστιν ὁ λεγόμενος

(1) Τὴν καλύβην παρὰ τῷ Χρυσοστόμῳ. Τόμ. Ζ'. Σελ. 88. C. Ἴδ. καὶ κατωτέρω στίχ. 11.

(2) Αὐτοὺς ἔδει.

Χριστὸς, καὶ συγκαλεῖ τοὺς ἀρχιερεῖς καὶ τοὺς γραμματεῖς, ὡς τὰς προφητικὰς βίβλους καὶ ῥήσεις διὰ στόματος ἔχοντας, καὶ διερωτᾷ, *Ποῦ ὁ Χριστὸς γεννᾶται*, τουτέστιν, Ἐν ποίῳ τόπῳ τῆς γῆς εὑρίσκεται, ὅτι γεννᾶται· οἱ δὲ καὶ τὸν τόπον λέγουσι, καὶ μάρτυρα παράγουσι τὸν προφήτην. Χρὴ δὲ γινώσκειν, ὅτι ὀνομαστὶ Χριστὸν τὸν Χριστὸν φανερώτερον τῶν ἄλλων προφητῶν ὁ Δανιὴλ ἀνέγραψεν.

5 Οἱ δὲ εἶπον αὐτῷ· Ἐν Βηθλεὲμ τῆς Ἰουδαίας·
6 οὕτω γὰρ γέγραπται διὰ τοῦ προφήτου· «Καὶ σὺ
Βηθλεὲμ, γῆ Ἰούδα, οὐδαμῶς ἐλαχίστη εἶ ἐν τοῖς
ἡγεμόσιν Ἰούδα· ἐκ σοῦ γὰρ ἐξελεύσεται ἡγούμενος,
ὅστις ποιμανεῖ τὸν λαόν μου, τὸν Ἰσραήλ.»

Μιχαίου μὲν ἡ προφητεία, καθὼς ἀνωτέρω δεδηλώκαμεν· ἀπαγγέλλουσι δὲ αὐτὴν κατ' ἐπιτομὴν οἱ ἀρχιερεῖς καὶ γραμματεῖς. Ὅρα δὲ, ὁποῖα περὶ τῆς Βηθλεὲμ διὰ τοῦ προφήτου προανεφώνησεν ὁ θεός. Ὅτι εἰ καὶ τὸ φαινόμενον εὐτελὴς εἶ· ἀλλά γε τὸ νοούμενον οὐκ ἐλαχίστη τις ὑπάρχεις ἐν ὅλαις ταῖς ἡγεμονίαις τῆς τοῦ Ἰούδα φυλῆς. Ἑκάστη γὰρ φυλὴ διαφόρους εἶχεν ἡγεμονίας ἐν ταῖς οἰκείαις πόλεσι. Καὶ ὄντως ὀνομαστοτάτη γέγονε μετὰ τὴν γέννησιν τοῦ Σωτῆρος. Ἑκάστοτε γὰρ ἐκ περάτων τῆς οἰκουμένης ἔρχονται ταύτην ὀψόμενοι, καὶ προσκυνήσοντες τὸν τόπον, ἔνθα ὁ Χριστὸς γεγέννηται. Εἶτα τίθησι καὶ τὴν αἰτίαν τῆς ἐνδοξότητος· *ὅτι ἐκ σοῦ ἐξελεύσεται*, εἴτουν βλαστήσει, *ἡγούμενος*. *Ἡγούμενον* δὲ καὶ *ποιμένα* ἐκάλεσε, τὸν βασιλέα. Ὁ γὰρ Χριστὸς ἦν μὲν βασιλεὺς, καὶ ὡς θεός· *Ἡ βασιλεία γάρ*, φησιν, *ἡ ἐμὴ οὐκ ἔστιν ἐκ τοῦ κόσμου τούτου* (α)· ἦν δὲ καὶ ὡς ἄνθρωπος· εἶχε γὰρ ἔργα βασιλέως, τὸ νομοθετεῖν τοῖς ὑπηκόοις αὐτοῦ, τὸ ῥυθμίζειν,

(α) Ἰωάν. ΙΗ', 36.

τὸ περιέπειν, τὸ ὑπεραποθνήσκειν αὐτῶν, ἃ *μάλιστα χαρακτηρίζουσι* τὸν ἀληθῆ βασιλέα· τὸ γὰρ διάδημα καὶ ἡ πορφυρὶς, καὶ τὰ τοιαῦτα, τύφου μᾶλλον καὶ ἀλαζονείας εἰσί.

Καὶ πῶς εἶπεν αὐτὸν, *ποιμένα τοῦ Ἰσραήλ;* (σύμπασαν γὰρ τὴν οἰκουμένην ἐποίμανε). Πῶς; Ἵνα μὴ σκανδαλισθῶσιν Ἰουδαῖοι, ὡς μηδέν τι πλέον τῶν ἄλλων ἔχοντες, ἀλλ᾽ ἵνα μᾶλλον ἔχωσιν ἀφορμὴν οἰκειώσεως· ἐπεὶ καὶ ἐξ αὐτῶν ἐβλάστησε, καὶ παρ᾽ αὐτοῖς ἐγεννήθη. Εἰ δέ τις εἴποι· Καὶ πῶς οὐκ ἐποίμανεν αὐτούς; οὗτοι γάρ εἰσιν Ἰσραήλ· ἀκούσει, ὅτι καὶ τοῦτο πεποίηκεν. Ὅσοι γὰρ ἐξ αὐτῶν ἐπίστευσαν, ἐποίμανε τούτους. Ἄλλως τε δὲ, Ἰσραὴλ ἐστι, πᾶς εἰδὼς θεόν. *Ἰσραὴλ* γὰρ ἑρμηνεύεται, *Ὁρῶν θεόν*. Φησὶ γὰρ ὁ Παῦλος (α)· *Ὅτι οὐ πάντες οἱ ἐξ Ἰσραὴλ, οὗτοι Ἰσραήλ.* Εἰ δὲ μὴ πάντας τοὺς Ἑβραίους ἐποίμανεν, ἐκείνων ἐστὶ τὸ ἔγκλημα, μὴ θελησάντων ὑπ᾽ αὐτοῦ ποιμαίνεσθαι. Εἴρηκε γάρ· *Οὐκ ἀπεστάλην, εἰ μὴ εἰς τὰ πρόβατα τὰ ἀπολωλότα οἴκου Ἰσραὴλ* (ϐ). Καὶ ὁ εὐαγγελιστὴς δέ φησιν Ἰωάννης· ὅτι *Εἰς τὰ ἴδια ἦλθε, καὶ οἱ ἴδιοι αὐτὸν οὐ παρέλαβον* (γ).

Κἀνταῦθα δὲ κακουργοῦσιν Ἰουδαῖοι λέγοντες, ὅτι περὶ τοῦ Ζοροβάβελ εἶπε ταῦτα ἡ προφητεία. Πρὸς οὓς φαμὲν, ὅτι καὶ μὴν ὁ Ζοροβάβελ οὐκ ἐν Βηθλεὲμ, ἀλλ᾽ ἐν Βαβυλῶνι γεγέννηται. Σὺ δὲ θαύμασον τὴν οἰκονομίαν τοῦ θεοῦ, πῶς παρεσκεύασεν ὑπὸ μὲν τῶν μάγων διδαχθῆναι τοὺς Ἰουδαίους, ὅτι καὶ ἀστὴρ τὸν Χριστὸν ἐκήρυξεν, ὑπὸ δὲ τῶν Ἰουδαίων τοὺς μάγους, ὅτι καὶ προφῆται τοῦτον προκατήγγειλαν.

7 Τότε Ἡρώδης λάθρα καλέσας τοὺς μάγους, ἠκρίβωσε παρ᾽ αὐτῶν τὸν χρόνον τοῦ φαινομένου ἀστέρος.

(α) Ῥωμ. Θ᾽, 6.
(ϐ) Ματθ. ΙΕ᾽, 24.
(γ) Ἰωάν. Α᾽, 11.

Διὰ τί λάθρα τούτους ἐκάλεσε; Διότι ὑπώπτευε τοὺς Ἰουδαίους, ὡς συγγενεῖς τοῦ Χριστοῦ, καὶ οὐκ ἤθελεν ἀκούειν αὐτοὺς, ἃ ἔμελλεν ἐρωτῆσαι καὶ παραγγεῖλαι, μήποτε νοήσαντες, ὅτι ἐπιβουλεύει αὐτῷ, διασώσωσιν αὐτὸν, ὡς ἴδιον βασιλέα. *Ἠκρίβωσε* δὲ, ἀντὶ τοῦ ἀκριβῶς ἔμαθεν. *Ἠκρίβωσε* δὲ *τὸν χρόνον τοῦ ἀστέρος*, ὅτε ἐφάνη αὐτοῖς, ἵνα ἐκεῖθεν ἀριθμήσῃ τὸν χρόνον τῆς τοῦ Χριστοῦ γεννήσεως. Προσεδόκησε γὰρ, ὅτι, ὅτε οὗτος ἐφάνη, τότε πάντως ἐγεννήθη καὶ ὁ Χριστός.

8 Καὶ πέμψας αὐτοὺς εἰς Βηθλεὲμ, εἶπε· Πορευθέντες ἀκριβῶς ἐξετάσατε περὶ τοῦ παιδίου· ἐπὰν δὲ εὕρητε, ἀπαγγείλατέ μοι, ὅπως κἀγὼ ἐλθὼν προσκυνήσω αὐτῷ.

Ὅρα τὸν δόλον τοῦ Ἡρώδου, καὶ διάσυρε τὴν ἄνοιαν αὐτοῦ! Εἰ μὲν γὰρ ἀληθῶς ἔμελλεν αὐτῷ προσκυνῆσαι, διὰ τί λάθρα τοῦτο παρήγγειλεν; εἰ δὲ ἀνελεῖν αὐτὸν ἐβούλετο, πῶς οὐ συνεῖδεν, ὅτι ἐκ τοῦ λάθρα παραγγέλλειν, εἰς ὑποψίαν δόλου τούτους ἐνίησι; Πρῶτον δὲ ἠκρίβωσε περὶ τοῦ ἀστέρος, καὶ τότε παρήγγειλεν, ἵνα, εἰ μὴ δηλώσουσιν αὐτῷ, περὶ οὗ παρήγγειλεν, ἀπὸ τοῦ χρόνου τοῦ ἀστέρος δυνηθῇ θηρᾶσαι τὸν ἐπιβουλευόμενον. Ἀλλ᾽, ὦ θεομάχε! φαίην ἂν πρὸς αὐτόν. Πῶς ἐπιχειρεῖς ἀνελεῖν τὸν ἀνάλωτον; πῶς οὐ συνῆκας, ὅτι ὃν προφῆται πάλαι κατήγγειλαν, καὶ ἀστὴρ ἐμήνυσε, καὶ μάγοι προσκυνεῖν ἐπείγονται, τούτου περιγενέσθαι παντελῶς ἀδύνατον;

9 Οἱ δὲ ἀκούσαντες τοῦ βασιλέως, ἐπορεύθησαν· καὶ, ἰδοὺ, ὁ ἀστὴρ, ὃν εἶδον ἐν τῇ ἀνατολῇ, προῆγεν αὐτοὺς, ἕως ἐλθὼν ἔστη ἐπάνω, οὗ ἦν τὸ παιδίον.

Ἐπεὶ τὸ χωρίον ἔμαθον, τίνος ἕνεκεν ὁ ἀστὴρ πάλιν ἐφάνη αὐτοῖς; Ἵνα ὑποδείξῃ τὸ παιδίον. Πῶς γὰρ ἂν ἐπέγνωσαν

αὐτὸ ἐν καλύβῃ γεγεννημένον, καὶ μήτε μητέρα ἔχον λαμπράν; Διὰ τοῦτο τοίνυν *ἐλθὼν ἔστη ἐπάνω, ὅπου ἦν τὸ παιδίον*, δεικνύων, ὅτι θεῖόν ἐστι τὸ γεννηθέν.

10 Ἰδόντες δὲ τὸν ἀστέρα, ἐχάρησαν χαρὰν μεγάλην σφόδρα.

Ἐχάρησαν, ὡς εὑρόντες τὸν ἀψευδέστατον ὁδηγόν. Ἐπληροφορήθησαν γὰρ λοιπὸν, ὅτι καὶ τὸ ζητούμενον εὑρήσουσιν.

11 Καὶ ἐλθόντες εἰς τὴν οἰκίαν, εὗρον τὸ παιδίον μετὰ Μαρίας τῆς μητρὸς αὐτοῦ.

Οἰκίαν ἐνταῦθα, τὴν καλύβην εἴρηκεν, ἣν ὁ Λουκᾶς (α) *κατάλυμα* εἶπεν. Οἰκία μὲν γὰρ ἦν, διὰ τὸ ὁπωςδήποτε οἰκεῖσθαι· κατάλυμα δὲ, ὡς καταγωγὴ τῶν εἰσερχομένων. *Καταλύειν* γὰρ λέγομεν καὶ τὸ κατασκηνοῦν. Πάντων γὰρ τῶν ἐκ Δαυῒδ καταγομένων συνδεδραμηκότων εἰς τὴν πόλιν αὐτοῦ, τὴν Βηθλεὲμ, διὰ τὴν παρὰ Καίσαρος ἀπογραφὴν, ὡς (β) ὁ Λουκᾶς ἱστόρησεν, οὐχ εὗρον ἐλεύθερον (1) οἶκον ξενίας οἱ περὶ τὴν Παρθένον· διὸ καὶ εἰς καλύβην τινὰ κατέλυσαν, ἐν ᾗ φάτνη ἀλόγων ἦν. Αὐτίκα δὲ γεννήσασα τὸν Χριστὸν ἡ Παρθένος, ἐπεὶ οὐκ ἦν τόπος ἄλλος ἐν τῷ καταλύματι ἐκείνῳ, σπαργανώσασα ἀνέκλινε τὸ βρέφος ἐν τῇ φάτνῃ, κατὰ τὸν Λουκᾶν (γ). Εἶτα, καθώς φησιν ὁ Χρυσόστομος (2), ἀνείλετο τοῦτο, καὶ ἐπὶ τῶν γονάτων εἶχεν, ὅτε οἱ μάγοι εἰσῄεσαν. Οὐδὲ γὰρ ἐν ὀδύναις ἦν, ὡς αἱ ἄλλαι μητέρες· διότι οὐκ ἐξ ἀνδρὸς ἐγέννησεν.

11 Καὶ πεσόντες προσεκύνησαν αὐτῷ· καὶ ἀνοίξαντες

(α) Λουκ. Β', 7.
(β) Λουκ. Β', 1.
(1) Ἕτοιμον, σχολάζοντα.
(γ) Λουκ. Β', 7.
(2) Τόμ. Ζ'. Σελ. 118. Β.

τοὺς θησαυροὺς αὐτῶν, προσήνεγκαν αὐτῷ δῶρα, χρυσὸν, καὶ λίβανον, καὶ σμύρναν.

Καὶ πῶς ἐπείσθησαν, ὅτι οὗτός ἐστιν, οὐδὲν μέγα περὶ αὐτὸν ὁρῶντες, ἀλλὰ καλύβην, καὶ μητέρα πενιχρὰν, καὶ τὸ παιδίον εὐτελῶς ἐσπαργανωμένον; Πῶς; Πρῶτα μὲν, ἀπὸ τοῦ ἐφισταμένου ἀστέρος, ἔπειτα δὲ καὶ θεία τις ἔλλαμψις ἐπληροφόρησε τὰς ψυχὰς αὐτῶν. Καὶ τοῦτο δῆλον, ἀφ᾽ ὧν προσήνεγκαν δώρων. Σύμβολον γὰρ, ὁ μὲν χρυσὸς, βασιλείας· χρυσὸν γὰρ οἱ ὑπήκοοι τοῖς βασιλεῦσι δασμοφοροῦσιν· ὁ δὲ λίβανος, θεότητος· λίβανος γὰρ τῷ θεῷ ἐθυμιᾶτο· ἡ δὲ σμύρνα, νεκρώσεως· ταύτῃ γὰρ οἱ πάλαι τοὺς νεκροὺς ἤλειφον, χάριν τοῦ μὴ σήπεσθαι, μηδὲ ὄζειν. Ἔδειξαν οὖν, ἀφ᾽ ὧν προσήγαγον, ὅτι τὸ φαινόμενον τοῦτο παιδίον, καὶ βασιλεύς ἐστι, καὶ θεὸς, καὶ νεκρωθήσεται, ὡς ἄνθρωπος, διὰ τοὺς ἀνθρώπους.

Ἔστι δὲ καὶ ἑτέρως εἰπεῖν, ὅτι, ἐπεὶ οἱ βασιλεῖς Βαβυλῶνος τὴν Ἱερουσαλὴμ πάλαι πολιορκήσαντες, τά τε θεῖα κειμήλια ἀπεσύλησαν, καὶ τὰς θυσίας ἔπαυσαν, καὶ τὸν λαὸν κατέσφαξαν· ἡ δὲ τῆς Βαβυλῶνος βασιλεία μετὰ καὶ τῶν χρημάτων εἰς τοὺς Πέρσας μετέπεσε· κομίζουσι λοιπὸν οἱ Πέρσαι, διάδοχοι τῶν Βαβυλωνίων γεγονότες, τῷ δεσπότῃ τοῦ ἀτιμασθέντος τότε ναοῦ χρυσὸν μὲν, ἀντὶ τῶν ἀφαιρεθέντων χρυσῶν κειμηλίων· λίβανον δὲ, ἀντὶ τῶν θυσιῶν· σμύρναν δὲ, ὑπὲρ τῶν κατασφαγέντων.

Σὺ δὲ γίνωσκε, ὅτι, ὥσπερ οἱ μάγοι, εἰ μὴ πόῤῥω τῆς ἑαυτῶν ἐγένοντο γῆς, οὐκ ἂν εἶδον τὸν Χριστόν· οὕτως οὐδὲ αὐτὸς τοῦτον ἴδῃς, εἰ μὴ πόῤῥω τῶν γηΐνων σχέσεων ἀποστῇς. Ἄφες καὶ σὺ τὸν ἐπίβουλον βασιλέα, καὶ τὴν ταραττομένην πόλιν, λέγω δὴ τὸν ἐνεδρεύοντα κοσμοκράτορα, καὶ τὴν πολιτικὴν τύρβην, καὶ σπεῦσον ἐπὶ τὸν Χριστόν. Κἂν μάγος περίεργος εἴης, κἂν ποιμὴν ἁπλοῦς, οὐδέν σε κωλύσει τοῦτο,

μόνον ἐὰν, ἄξιον σεαυτὸν τοιαύτης θέας ἀπεργασάμενος, ἐπὶ τῷ προσκυνῆσαι ἥκῃς, καὶ μὴ ἐπὶ τῷ ἀτιμάσαι. Καὶ γὰρ ἀτιμάζει τὸν Χριστὸν ὁ ἀναξίως αὐτοῦ μεταλαμβάνων. Καὶ προσάγαγε αὐτῷ ἀντὶ μὲν χρυσοῦ, λαμπρότητα καθαρῶν πράξεων καὶ τιμίων λόγων· ἀντὶ δὲ λιβάνου, προσευχήν· *Κατευθυνθήτω γάρ*, φησιν, *ἡ προσευχή μου, ὡς θυμίαμα ἐνώπιόν σου* (α)· ἀντὶ δὲ σμύρνης, νέκρωσιν παθῶν, ἥτις μάλιστα συνέχει τὴν οὐσίαν τῆς ψυχῆς, καὶ εὐωδίας ἐμπίπλησι.

Σκόπει δὲ, ὅτι τῶν μάγων ἐλθόντων εἰς Ἱεροσόλυμα, καὶ περὶ τοῦ ἀστέρος εἰπόντων, εὐθὺς ἐθορυβήθη πᾶσα ἡ πόλις, καὶ ὁ προφήτης εἰς μέσον ἤγετο, καὶ ὁ τοῦ τόκου τόπος ἐφανεροῦτο, καὶ ἄλλά τινα ἐγίνετο, τὰ κατὰ τοὺς ἀγραυλοῦντας ποιμένας, τὰ κατὰ τοὺς αἰνοῦντας τὸν Θεὸν ἀγγέλους, τὰ κατὰ τὸν Συμεὼν, τὰ κατὰ τὴν Ἄνναν, ἅπερ ὁ Λουκᾶς (β) ἀνέγραψε. Ταῦτα δὲ πάντα ἐτελεῖτο, ἵνα, καθὼς προειρήκαμεν, μὴ δύνωνται λέγειν ἐς ὕστερον Ἰουδαῖοι, ὅτι οὐκ ἔγνωσαν, πότε γεγέννηται. Καὶ γὰρ, ὥς φησιν ὁ Χρυσόστομος (1), ἄχρι συμπληρώσεως τῶν ἡμερῶν τοῦ καθαρισμοῦ, τουτέστιν ἐπὶ τεσσαράκοντα ἡμέρας, ἐν Βηθλεὲμ ἦν τὸ παιδίον. Καὶ εἰ μὴ ἑκόντες ἐκώφευον καὶ ἔμυον πρὸς τὰ λεγόμενα καὶ δρώμενα, πάντως ἂν εἰσῆλθον εἰς Βηθλεὲμ, καὶ εἶδον αὐτό. Νῦν δὲ, Πέρσαι μὲν ἀπὸ περάτων τῆς οἰκουμένης ἦλθον ἕως τῆς Βηθλεὲμ, Ἑβραῖοι δὲ παρακαθήμενοι τῇ Βηθλεὲμ, οὐκ ἠθέλησαν εἰσελθεῖν εἰς αὐτὴν, οὐδὲ ἰδεῖν τὰ παρὰ τῶν ὁρώντων θρυλλούμενα. Καὶ γὰρ καὶ οἱ ποιμένες πᾶσιν, οἷς ἐνετύγχανον, ἀνήγγελον, ἃ εἶδον, ὡς εἴρηκεν ὁ Λουκᾶς (γ). Οἱ μέν τοι Πέρσαι,

(α) Ψαλμ. ΡΜ', 2.
(β) Λουκ. Β', 8 καὶ ἑξῆς.
(1) Τομ. Ζ'. Σελ. 103. Β.
(γ) Λουκ. Β', 18.

πρὸ τοῦ δήμου τῶν Ἑβραίων ἰδόντες τὸν Χριστὸν, ἐσήμαναν, ὡς ἐν συμβόλοις, ὅτι τὰ ἔθνη πρὸ τοῦ δήμου τῶν Ἑβραίων ἐπιγνώσονται αὐτόν. Ὅπερ καὶ ὁ Παῦλος ἔλεγε πρὸς Ἰουδαίους· ὅτι *Ὑμῖν ἀναγκαῖον ἦν πρῶτον λαληθῆναι τὸν λόγον τοῦ Κυρίου· ἐπειδὴ δὲ ἀναξίως ἑαυτοὺς ἐκρίνατε, ἰδοὺ, στρεφόμεθα εἰς τὰ ἔθνη* (α).

12 Καὶ χρηματισθέντες κατ' ὄναρ, μὴ ἀνακάμψαι πρὸς Ἡρώδην, δι' ἄλλης ὁδοῦ ἀνεχώρησαν εἰς τὴν χώραν αὐτῶν·

Πρὸ μὲν τοῦ ἰδεῖν τὸ παιδίον, ἀστὴρ αὐτοὺς ὡδήγει· μετὰ δὲ τὸ ἰδεῖν, ἄγγελος αὐτοῖς λοιπὸν, ὡς ἁγιασθεῖσιν, ὁμιλεῖ. *Χρηματισθέντες* δὲ, ἀντὶ τοῦ παραγγελθέντες. *Ἀνεχώρησαν* δὲ εὐπειθῶς, ὡς πιστοὶ, καὶ ἀπῆλθον *εἰς τὴν χώραν αὐτῶν*, ἐσόμενοι διδάσκαλοι τῶν γεγενημένων, καὶ οὐκ ἀνέκαμψαν πρὸς Ἡρώδην, ἵνα συνήσῃ, ὅτι μάτην ἐπιβουλεύει, καὶ παυθῇ τῆς ἐπιχειρήσεως.

13 Ἀναχωρησάντων δὲ αὐτῶν, ἰδοὺ, ἄγγελος Κυρίου φαίνεται κατ' ὄναρ τῷ Ἰωσὴφ, λέγων· Ἐγερθεὶς παράλαβε τὸ παιδίον καὶ τὴν μητέρα αὐτοῦ, καὶ φεῦγε εἰς Αἴγυπτον.

Πληρωθεισῶν τῶν τεσσαράκοντα ἡμερῶν τοῦ καθαρισμοῦ, ὥς φησιν (β) ὁ Λουκᾶς, *ἀνήγαγον τὸν Ἰησοῦν εἰς Ἱεροσόλυμα, παραστῆσαι τῷ Κυρίῳ*, καθὼς γέγραπται ἐν νόμῳ Κυρίου. Καὶ (γ) *ὡς ἐτέλεσαν ἅπαντα τὰ κατὰ τὸν νόμον Κυρίου, ὑπέστρεψαν εἰς τὴν Γαλιλαίαν, εἰς τὴν πόλιν αὐτῶν Ναζαρέτ*. Καὶ λοιπὸν εὐθὺς ἄγγελος φαίνεται τῷ Ἰωσὴφ κατ'

(α) Πραξ. ΙΓ', 46.
(β) Λουκ. Β', 22.
(γ) Λουκ. Β', 39.

ὄναρ, κελεύων φυγεῖν αὐτοὺς εἰς Αἴγυπτον. Ἃ τοίνυν, ὡς φιλοσύντομος, παρῆκεν ὁ Ματθαῖος, ταῦτα, ὡς ἀκριβὴς, ὁ Λουκᾶς ἀνέγραψεν.

Καὶ διὰ τί οὐκ ἔμεινεν ὁ Χριστὸς ἀνάλωτος ἐν τῇ Ναζαρέτ; Διότι, εἰ τοῦτο γέγονεν, ἔλεγον ἄν τινες ἰσχυρῶς, ὅτι κατὰ φαντασίαν ἐνηνθρώπησε, μὴ ὑποκείμενος ἀνθρωπίνοις πάθεσι. Καὶ μὴν τοὺς ἐν Βηθλεὲμ καὶ τοῖς ὁρίοις αὐτῆς παῖδας ἀνεῖλεν Ἡρώδης, οὐ μὴν τοὺς ἐν Ναζαρέτ· ἀλλὰ προεγίνωσκεν ὁ θεὸς, ὅτι μένων ἐν Ναζαρὲτ καταμηνυθήσεται τῷ Ἡρώδῃ· διὸ καὶ ἀπὸ ταύτης φεύγειν προσέταξεν. Εἰς Αἴγυπτον δὲ πέμπεται, ἅμα μὲν διὰ τὴν αἰτίαν, ἣν εἶπεν ὁ εὐαγγελιστὴς, ὅτι «ἵνα πληρωθῇ τὸ ῥηθὲν ὑπὸ τοῦ Κυρίου διὰ τοῦ προφήτου, λέγοντος· Ἐξ *Αἰγύπτου ἐκάλεσα τὸν υἱόν μου·*» ἅμα δὲ, ἐπειδὴ ἡ Βαβυλὼν καὶ ἡ Αἴγυπτος μάλιστα τῆς οἰκουμένης ἁπάσης τῇ φλογὶ τῆς ἀσεβείας ἦσαν ἐκκεκαυμέναι, τῇ μὲν τοὺς μάγους ἀπέστειλε, τῆς δὲ αὐτὸς ἐπέβη, βουλόμενος ἀμφοτέρας διορθώσασθαι. Διδάσκει δὲ ἡμᾶς ἐντεῦθεν, καὶ ὅτι χρὴ τὸν πιστὸν εὐθὺς ἐκ προοιμίων πειρασμοὺς προσδοκᾷν. Ὅρα οὖν αὐτὸν ἐκ σπαργάνων ἐπιβουλευόμενον καὶ φεύγοντα πρὸς τὴν ὑπερορίαν· φεύγει δὲ καὶ ἡ μήτηρ καὶ ὁ Ἰωσήφ. Καὶ οἱ μάγοι δὲ ἐν τάξει φυγάδων λεληθότως ἀνεχώρησαν. Καὶ μυρίους ἅπαντες (1) ὑπέστησαν πειρασμοὺς, ἵνα, ὅταν καὶ σὺ διακονῇς πνευματικῷ πράγματι, καὶ περιπίπτῃς πειρασμοῖς, ἔχῃς ὑπόδειγμα, καὶ μὴ δυσφορῇς, ἀλλὰ γινώσκῃς, ὅτι πειρασμοὶ τοῖς ἀγαθοῖς πράγμασι συγκεκλήρωνται, τοῦ διαβόλου μὲν εἰς ἐμπόδιον αὐτοὺς ἐπεγείροντος, τοῦ θεοῦ δὲ παραχωροῦντος, εἰς δοκίμιον τῶν ἀγαπώντων αὐτόν.

Καὶ βλέπε παράδοξον! Παλαιστίνη μὲν ἐπιβουλεύει, Αἴγυ-

(1) Ἐλλείπει τι ἐνταῦθα, οἷον, οἱ δίκαιοι, οἱ ἅγιοι, οἱ πιστοὶ, ἢ τοιοῦτόν τι.

πτος δὲ σώζει τὸν φεύγοντα· ἵνα μάθῃς, ὅτι ὁ θεὸς τοῖς ἐπιπόνοις τὰ ἡδέα συνέζευξε, καὶ ἀμφοτέρωθεν ὑφαίνεται τῶν ἁγίων ὁ βίος· ὃ δὴ καὶ ἐνταῦθα γέγονε. Πρῶτον, ὑποψία περὶ τὴν Παρθένον, εἶτα, μετὰ τὸν τόκον, χαρὰ, πάλιν φυγὴ εἰς Αἴγυπτον, εἶτα ἐκεῖθεν ἀνάκλησις, αὖθις φόβος, διὰ τὸν Ἀρχέλαον, ἔπειτα ἐν τῇ Ναζαρὲτ ἄνεσις. Οὔπω γὰρ ἦν τοῦ θαυματουργεῖν καιρός. Εἰ γὰρ ἐκ πρώτης ἡλικίας ἐπεδείξατο θαύματα, οὐκ ἂν ἐπιστεύθη γεγονέναι ἄνθρωπος, ὡς προέφημεν. Διὰ τοῦτο κύησις ἐννεάμηνος, καὶ γέννησις, καὶ γαλακτοτροφία, καὶ τὰ ἑξῆς, ἵνα διὰ πάντων εὐπαράδεκτος ἡ ἐνανθρώπησις αὐτοῦ γένηται. Οὐκ ἔτι δὲ ὁ ἄγγελος ὀνομάζει τὴν Παρθένον γυναῖκα τοῦ Ἰωσὴφ, ἀλλὰ μητέρα τοῦ παιδίου. Ἐλύθη γὰρ ἤδη ἡ ὑποψία, καὶ πεπληροφόρητο λοιπὸν Ἰωσὴφ, ὅτι θεῖός ἐστιν ὁ τόκος. Εἰπὼν δὲ, ὅτι *φεῦγε εἰς Αἴγυπτον*, οὐκ ἐπηγγείλατο συνοδεύσειν αὐτοῖς, αἰνιττόμενος, ὅτι μέγαν ἔχουσι συνοδοιπόρον τὸ παιδίον, ὃ καὶ εἰς Αἴγυπτον ὑπερορισθὲν, δέδωκε τοῖς Αἰγυπτίοις ἀφορμὴν οἰκειώσεως. Ὕστερον γὰρ ἅπαντες οὗτοι δεξάμενοι τὸ κήρυγμα τοῦ εὐαγγελίου, μέγα ἐφρόνουν ἐπὶ τῷ ὑποδέξασθαι φεύγοντα τὸν Κύριον.

13 Καὶ ἴσθι ἐκεῖ ἕως ἂν εἴπω σοι· μέλλει γὰρ Ἡρώδης ζητεῖν τὸ παιδίον, τοῦ ἀπολέσαι αὐτό.

Ἴσθι *ἐκεῖ*, ἀντὶ τοῦ, οἴκει, διάτριβε. Ταῦτα δὲ ἀκούσας Ἰωσὴφ, οὐκ ἐσκανδαλίσθη. Συνῆκε γὰρ, ὅτι, ἐπεὶ ἄγγελοι διακονοῦσιν εἰς τὰ κατὰ τὸ παιδίον, οἰκονομικῶς πάντα γίνεται, καὶ οὐ χρὴ περιεργάζεσθαι, οὐδὲ ἀντιλέγειν, ἀλλ' εὐπειθῶς εἴκειν, οἷς ἂν ὁ θεὸς κελεύῃ.

14 Ὁ δὲ ἐγερθεὶς παρέλαβε τὸ παιδίον καὶ τὴν μητέρα αὐτοῦ νυκτὸς, καὶ ἀνεχώρησεν εἰς Αἴγυπτον.
15 Καὶ ἦν ἐκεῖ ἕως τῆς τελευτῆς Ἡρώδου· ἵνα πλη-

ρωθῇ τὸ ῥηθὲν ὑπὸ τοῦ Κυρίου διὰ τοῦ προφήτου, λέγοντος· «Ἐξ Αἰγύπτου ἐκάλεσα τὸν υἱόν μου.»

Τὸ δὲ, *Ἐξ Αἰγύπτου ἐκάλεσα τὸν υἱόν μου*, περὶ τῆς ἀνακλήσεως ἑαυτῶν Ἰουδαῖοι ῥηθῆναι λέγουσι. Πρὸς οὓς (1) φαμὲν, ὅτι καὶ τοῦτο προφητείας νόμος ἐστὶ, τὸ πολλὰ πολλάκις ῥηθῆναι μὲν ἐπ' ἄλλων, πληρωθῆναι δὲ ἐφ' ἑτέρων· ὡς τὸ ἐπὶ τοῦ Συμεὼν καὶ τοῦ Λευῒ ῥηθὲν, ὅτι *Διαμεριῶ αὐτοὺς ἐν Ἰακὼβ, καὶ διασπερῶ αὐτοὺς ἐν Ἰσραὴλ* (α)· καὶ γὰρ ἐπὶ τῶν ἐκγόνων αὐτῶν ἐξέβη. Καὶ τὸ ἐπὶ τοῦ Ἰακὼβ δὲ εἰρημένον, ὅτι *Γίνου κύριος τοῦ ἀδελφοῦ σου, καὶ προσκυνησάτωσάν σε οἱ υἱοὶ τοῦ πατρός σου* (β), οὐκ ἐπ' αὐτοῦ τέλος ἔσχε· (πῶς γάρ; τοῦ δεδοικότος καὶ τρέμοντος καὶ μυριάκις προσκυνοῦντος τὸν ἀδελφὸν αὐτοῦ τὸν Ἡσαῦ·) ἀλλ' ἐπὶ τὸν ἐκγόνων αὐτοῦ. Καὶ τὸ παρὰ τοῦ Νῶε δὲ λεχθὲν ἐπὶ τοῦ Χαναὰν, ἐπὶ τῶν ἐκγόνων αὐτοῦ πεπλήρωται. Οὕτω δὴ κἀνταῦθα λέγομεν. Τίς γὰρ ἀληθέστερος υἱὸς θεοῦ; ὁ τὸν μόσχον προσκυνήσας, καὶ τελεσθεὶς (2) τῷ Βεελφεγὼρ, καὶ θύσας τοὺς υἱοὺς αὐτοῦ καὶ τὰς θυγατέρας τοῖς δαιμονίοις, ἢ ὁ φύσει υἱὸς καὶ ὁμότιμος τῷ γεγεννηκότι;

[Τοῦτο (3) τοῦ Ἰωὴλ μέν ἐστιν, ὡς ὁ Νύσσης λέγει· ἐν πολλοῖς δὲ τῶν ἀντιγράφων οὐχ εὕρηται, παρ' Ἰουδαίων ἐκβληθὲν, μετὰ τὸ εὐαγγέλιον.]

(1) Ἴδ. Χρυσος. Τομ. Ζ'. Σελ. 124. B. C.
(α) Γενεσ. ΜΘ', 7.
(β) Γενεσ. ΚΖ', 29.
(2) Χρυσος. Τομ. Ζ'. Σελ. 125. Α. τῷ Βεελφεγὼρ τελούμενος. Καὶ Σελ. 162 Δ. τῷ Βεελφεγὼρ ἐτελέσθησαν.
(3) Τὰ παρεντεθειμένα ἀναγινώσκονται ἐν τῷ περισελιδίῳ παρὰ τῷ Α.

ΚΕΦΑΛΑΙΟΝ Β'.

Περὶ τῶν ἀναιρεθέντων παίδων.

16 Τότε Ἡρώδης ἰδὼν, ὅτι ἐνεπαίχθη ὑπὸ τῶν μάγων, ἐθυμώθη λίαν·

Τότε· πότε; Μεθὸ δηλαδὴ οἱ περὶ τὸν Ἰησοῦν ἔφυγον εἰς Αἴγυπτον. Ἄχρι γὰρ τότε περὶ φροντίδας ἑτέρας ὁ Ἡρώδης ἀσχολούμενος, οἷα τῆς γυναικὸς αὐτοῦ καὶ τῶν παίδων συσκευασαμένων ἐπιβουλὴν κατ' αὐτοῦ, τῶν μάγων ἐπελάθετο, κατὰ θείαν πρόνοιαν, ἵνα διασωθῇ εἰς Αἴγυπτον τὸ παιδίον. Οἱ μὲν οὖν μάγοι, τῷ ἀγγέλῳ πεισθέντες, ἀνεχώρησαν· οὗτος δὲ ὑπέλαβεν, ὅτι ἐνέπαιξαν αὐτῷ, μὴ μηνύσαντες, ὡς ὑπέσχοντο. Ἔδει δὲ, μὴ θυμωθῆναι, ἀλλὰ φοβηθῆναι, καὶ συνιδεῖν, ὅτι μάτην σπεύδει. Καὶ γὰρ καὶ πρότερον ἤκουσε παρὰ μὲν τῶν μάγων, ὅτι ἀστὴρ τὸν γεννηθέντα μεμήνυκε· παρὰ δὲ τῶν ἀρχιερέων καὶ γραμματέων, ὅτι προφῆται περὶ αὐτοῦ προανεφώνησαν· ὁ δὲ μάλιστα μαίνεται, ἵνα δειχθῇ τέλεον ἡ πονηρία καὶ ἄνοια αὐτοῦ.

16 Καὶ ἀποστείλας ἀνεῖλε πάντας τοὺς παῖδας τοὺς ἐν Βηθλεὲμ καὶ ἐν πᾶσι τοῖς ὁρίοις αὐτῆς, ἀπὸ διετοῦς καὶ κατωτέρω, κατὰ τὸν χρόνον, ὃν ἠκρίβωσε παρὰ τῶν μάγων.

Ἐντεῦθεν ὁρμώμενοί τινες εἶπον, δύο ἐνιαυτῶν εἶναι τὸν Χριστὸν, ὁπηνίκα ὑπὸ τῶν μάγων προσεκυνήθη. Φανῆναι μὲν γὰρ τὸν ἀστέρα ἅμα τῇ γεννήσει αὐτοῦ, τοὺς δύο δὲ ἐνιαυτοὺς ἀναλωθῆναι κατὰ τὴν τῶν μάγων ὁδοιπορίαν. Ὁ δὲ Χρυσόστομος (1) ἐπιστομίζει τοὺς οὕτω λέγοντας. Πῶς γὰρ ἦν εἰκὸς, διετῆ χρόνον αὐτοὺς ὁδεύειν, εἰ καὶ δι' ἐθνῶν καὶ τόπων ἀσυνήθων

(1) Τομ. Ζ'. Σελ. 108. Α.

ἐβάδιζον; Τίνος δὲ καὶ χάριν οἱ περὶ τὸν Χριστὸν δύο ἐνιαυτοὺς ἔμελλον ἐνδημεῖν τῇ Βηθλεὲμ, μετὰ τὴν ἀπογραφὴν, ἧς χάριν ἦλθον ἐκεῖ; Ἀλλὰ φανῆναι μὲν τὸν ἀστέρα πρὸ (1) χρόνου, δι' ὅσου ἔμελλον ὁδεύοντες φθάσαι, καὶ ἐπιστῆναι αὐτίκα γεννηθέντι τῷ Χριστῷ. Διὰ τοῦτο γὰρ προέλαβεν ὁ ἀστὴρ, ἵνα φθάσαντες εὕρωσιν αὐτὸν ἐν σπαργάνοις. Τοῦτο γὰρ ἦν τὸ παράδοξον. Ὥςε ἄδηλον, εἴτε οὗτοι πρὸ τῶν ποιμένων, εἴτε πρὸ τούτων οἱ ποιμένες εἶδον τὸν Χριςόν. Ὁπότερον γὰρ ἂν εἴποις, ἀκινδύνως ἐρεῖς.

Εἰ δὲ ἀπὸ διετοῦς καὶ κατωτέρω τοὺς παῖδας ὁ Ἡρώδης ἀναιρεῖ, μὴ θαυμάσῃς. Ὑπώπτευσε γὰρ, μὴ εὐθὺς ὁραθῆναι τὸν ἀστέρα τοῖς μάγοις, ἀλλ' ἴσως προλαβεῖν, καὶ διὰ τοῦτο, ἀσφαλείας ἕνεκεν, ἐπλάτυνέ τε τὸν καιρὸν, καὶ μέχρι τῶν ὁρίων τῆς Βηθλεὲμ τὸν φόνον ἐξέτεινεν, ἵνα συγκλείσῃ πανταχόθεν τὸ θήραμα, καὶ τῷ πλήθει τῶν ἀναιρουμένων συνανέλῃ καὶ τὸν Χριστόν. Καὶ τοὺς μὲν διετεῖς ἀναιρεῖ, ἵνα ἔχῃ πλάτος ὁ χρόνος, καθὼς εἰρήκαμεν· τοὺς κατωτέρω δὲ φονεύει, κατὰ τὸν χρόνον, ὃν ἠκρίβωσε παρὰ τῶν μάγων. Ὥςε καὶ τὸν χρόνον, ὃν ἔμαθε παρὰ τῶν μάγων, ἐτήρησε, καὶ πλάτος ἕτερον αὐτὸς προσέθηκε. Λοιπὸν οὖν τὸ, *Κατὰ τὸν χρόνον, ὃν ἠκρίβωσε παρὰ τῶν μάγων*, μὴ πρὸς τὸ, *ἀπὸ διετοῦς*, νοήσῃς, ἀλλὰ πρὸς τὸ, *κατωτέρω*, σύνταξον. Χρὴ γὰρ μετὰ τὸ, *ἀπὸ διετοῦς*, ςίζειν, εἶτα τὸ ἑξῆς ὅλον ἀναγινώσκειν. Εἰ γὰρ, ὥς φασιν, ἔμαθε παρὰ τῶν μάγων διετῆ πληρωθῆναι χρόνον, οὐκ ἂν ἀνεῖλε τοὺς κατωτέρω.

Ἀποροῦσι δέ τινες, διὰ τί, τοῦ Χριστοῦ φυγαδευθέντος, περιώφθησαν οἱ παῖδες ἀδίκως ἀντ' αὐτοῦ κατασφαττόμενοι; Πρὸς οὓς λέγομεν, ὅτι πολλοὶ μὲν οἱ ἀδικοῦντες, οὐδεὶς δὲ ὁ

(1) Παρὰ τῷ Χρυσοστόμῳ προστίθεται καὶ τὸ, πολλοῦ. Παρὰ δὲ τῷ Εὐθυμίῳ ἴσως, τόσου.

ἀδικούμενος. Πᾶς γὰρ ἀδικεῖσθαι δοκῶν, ἢ διὰ λύσιν οἰκείων ἁμαρτημάτων πάσχει κακῶς, καὶ οὐκ ἀδικεῖται, εἰ μὴ καὶ μᾶλλον εὐεργετεῖται· ἢ δι' ἀφορμὴν στεφάνων, καὶ ὁμοίως εὐεργετεῖται, προσκαίρου κακοπαθείας αἰωνίαν ἀνάπαυσιν ἀντικομιζόμενος· καὶ ὁ μὲν ἀδικῶν, ἀδικεῖ· ὁ δὲ κακῶς πάσχων, οὐκ ἀδικεῖται. Ἐπεὶ τοίνυν οἱ παῖδες οὗτοι διὰ λύσιν οἰκείων ἁμαρτημάτων οὐκ ἀνῃρέθησαν, πρόδηλον, ὅτι δι' ἀφορμὴν ςεφάνων πεπόνθασι, καὶ οὐκ ἠδικήθησαν. Ἴσως δὲ καὶ οὐδ' ἔμελλον ἀποβῆναι χρηστοί. Εἰ γὰρ τοὺς ἁμαρτάνοντας οὐκ ἐκκόπτει πολλάκις ἀπὸ τῆς ζωῆς ὁ θεὸς, ἀναμένων τὴν ἐπιστροφὴν αὐτῶν, πολλῷ μᾶλλον οὐκ ἂν ἐῤῥιζοτόμησε τοὺς μέλλοντας ἔσεσθαι μεγάλους εἰς ἀρετήν. Οὐκ εἰς μακρὰν δὲ καὶ ὁ παιδοκτόνος Ἡρώδης δίκην ἔδωκε τῆς τοιαύτης μιαιφονίας, πικρῷ θανάτῳ καταλύσας τὸν βίον, ὡς Ἰώσηπος ἱστορεῖ (1).

17 Τότε ἐπληρώθη τὸ ῥηθὲν ὑπὸ Ἱερεμίου τοῦ προ-
18 φήτου, λέγοντος· « Φωνὴ ἐν Ῥαμᾷ ἠκούσθη,
θρῆνος καὶ κλαυθμὸς καὶ ὀδυρμὸς πολύς· Ῥαχὴλ
κλαίουσα τὰ τέκνα αὐτῆς· καὶ οὐκ ἤθελε παρακλη-
θῆναι, ὅτι οὐκ εἰσί. »

Ἔνθα φησὶν, ὅτι *Τότε ἐπληρώθη τὸ ῥηθὲν*, δείκνυσιν, ὅτι τοῦτο γέγονε, προειδότος τοῦ θεοῦ, καὶ προαναφωνήσαντος αὐτὸ διὰ τοῦ προφήτου, καὶ συγχωρήσαντος γενέσθαι δι' οἰκονομίαν. *Ῥαμὰ* μὲν οὖν, ὄνομα ἦν τόπου, ἐν Βηθλεέμ· *Ῥαχὴλ* δὲ, τὴν Βηθλεὲμ ὠνόμασεν, ἀπὸ Ῥαχὴλ, τῆς γυναικὸς Ἰακὼβ, ταφείσης ἐν Βηθλεέμ. Εἰπὼν δὲ, ὅτι *φωνὴ ἐν Ῥαμᾷ ἠκούσθη*, ἑρμηνεύει, τίς ἦν ἡ φωνὴ, ὅτι *θρῆνος* καὶ τὰ ἑξῆς, διὰ τὴν ὠμοτάτην ἀναίρεσιν τῶν παιδίων. *Καὶ οὐκ ἤθε-*

(1) Ἰώσηπος ἐν Ἰουδ. πολ. Βιβλ. Α'. Κεφ· κα'. Σελ. 772. F.

λεν ἡ Βηθλεὲμ παρηγορηθῆναι· διότι οὐκ εἰσὶ τὰ παιδία αὐτῆς, τουτέστιν οὐ ζῶσιν. Ἐντεῦθεν δὲ τὴν ὑπερβολὴν τοῦ πάθους ἐνέφηνεν.

19 Τελευτήσαντος δὲ τοῦ Ἡρώδου, ἰδοὺ ἄγγελος
Κυρίου κατ' ὄναρ φαίνεται τῷ Ἰωσὴφ ἐν Αἰγύπτῳ,
20 λέγων· Ἐγερθεὶς παράλαβε τὸ παιδίον καὶ τὴν μη-
τέρα αὐτοῦ, καὶ πορεύου εἰς γῆν Ἰσραήλ· τεθνή-
κασι γὰρ οἱ ζητοῦντες τὴν ψυχὴν τοῦ παιδίου.

Γῆν *Ἰσραὴλ* ἁπλῶς εἶπε τὴν Παλαιστίνην· *ζητοῦντας δὲ τὴν ψυχὴν τοῦ παιδίου*, τοῦ ἐξᾶραι αὐτὴν, καὶ διαζεῦξαι τοῦ σώματος, φησὶ, τοὺς περὶ τὸν Ἡρώδην.

† Πικρὰν (1) τελευτὴν ἔσχεν ὁ Ἡρώδης, πυρετῷ καὶ δυσεντερίᾳ, καὶ κνησμῷ καὶ ὄγκῳ ποδῶν, καὶ σήψει τοῦ αἰδοίου σκώληκας γεννώσῃ, καὶ δυσπνοίᾳ, καὶ τρόμῳ, καὶ σπασμῷ τῶν μελῶν, ἀποῤῥήξας τὴν πονηρὰν ψυχήν.

21 Ὁ δὲ ἐγερθεὶς παρέλαβε τὸ παιδίον καὶ τὴν μη-
22 τέρα αὐτοῦ, καὶ ἦλθεν εἰς γῆν Ἰσραήλ. Ἀκούσας
δὲ, ὅτι Ἀρχέλαος βασιλεύει ἐπὶ τῆς Ἰουδαίας ἀντὶ
Ἡρώδου τοῦ πατρὸς αὐτοῦ, ἐφοβήθη ἐκεῖ ἀπελθεῖν·

Ἐβούλετο μὲν κατοικῆσαι ἐν τοῖς μέρεσι τῆς Ἰουδαίας· χῶραι γὰρ ἦσαν τῆς Παλαιστίνης ἥτε Ἰουδαία καὶ ἡ Γαλιλαία· διὰ δὲ τὸν Ἀρχέλαον ἐφοβήθη ἐκεῖ ἀπελθεῖν, μήποτε καὶ αὐτὸς μιμήσηται τὸν πατέρα. Οὐ γὰρ εἰδικῶς ἐσήμανεν ὁ ἄγγελος τὸν τόπον τῆς κατοικίας, ἵνα ἔχοι θαῤῥεῖν.

Χρὴ δὲ γινώσκειν, ὅτι τοῦ παιδοκτόνου Ἡρώδου τελευτήσαντος, τοῖς προκριθεῖσι τέσσαρσι τούτου παισὶ τὴν βασιλείαν αὐτοῦ διεῖλεν ὁ Καῖσαρ Αὔγουστος. Καὶ τῷ μὲν Ἀρχελάῳ, τὴν Ἰουδαίαν χώραν ἀπένειμε, τοῖς ἄλλοις δὲ τὰς ἄλλας μερίδας, ὡς φησὶν ὁ Λουκᾶς (α). Ὠνόμασε δὲ αὐτοὺς βασιλεῖς *Τετράρχας*· διότι ἕκαστος τετάρτης μερίδος ἦρχεν. Εἰ δὲ ὁ Λουκᾶς τὸν Πόντιον Πιλάτον ἡγεμονεύειν τῆς Ἰουδαίας ἀνέγραψεν, οὐδὲν καινόν. Ὕστερον γὰρ, Ἀρχελάου τῆς βασιλείας ἐκπεσόντος ἐκ κατηγορίας, οὐκέτι βασιλεὺς, ἀλλ' ἐπίτροπος, εἴτουν ἡγεμὼν, τῆς Ἰουδαίας ὁ Πιλάτος ὑπὸ Τιβερίου Καίσαρος ἀπὸ Ῥώμης ἐξαπεστάλη.

(1) Ταῦτα εὕρηκεν ὁ Ἐντένιος ἐν τῷ περισελιδίῳ τοῦ ἑαυτοῦ χειρογράφου· ἀλλ' οὔτε παρὰ τῷ Α οὔτε παρὰ τῷ Β εὑρίσκονται, καὶ μετηνέχθησαν ἐνταῦθα ἐκ τοῦ Θεοφυλάκτου. Ἴδ· Θεοφυλ. Σελ. 16. Β. Ἐκδ. Παρισ. τοῦ 1631.

22 Χρηματισθεὶς δὲ κατ' ὄναρ, ἀνεχώρησεν εἰς τὰ
23 μέρη τῆς Γαλιλαίας. Καὶ ἐλθὼν κατῴκησεν εἰς
πόλιν λεγομένην Ναζαρέτ·

Καὶ μὴν, εἰ τὴν Ἰουδαίαν ἐφοβήθη δι' Ἀρχέλαον, ἔδει φοβηθῆναι καὶ τὴν Γαλιλαίαν διὰ τὸν ἀδελφὸν αὐτοῦ Ἡρώδην, τετραρχοῦντα αὐτῆς, ὥς φησι Λουκᾶς. Ἀλλ' ἡ Βηθλεὲμ ἦν ὕποπτος, ἐν τῇ Ἰουδαίᾳ κειμένη.

23 Ὅπως πληρωθῇ τὸ ῥηθὲν διὰ τῶν προφητῶν, ὅτι
Ναζωραῖος κληθήσεται.

Καὶ ποῖοι προφῆται τοῦτο εἶπον, μὴ ζητήσῃς· οὐχ εὑρήσεις γάρ· διότι πολλὰ τῶν προφητικῶν βιβλίων ἀπώλοντο, τὰ μὲν, ἐν ταῖς αἰχμαλωσίαις, τὰ δὲ, καὶ ἐξ ἀμελείας τῶν Ἑβραίων, τινὰ δὲ, καὶ ἐκ κακουργίας.

(α) Λουκ. Γ', 1.

ΚΕΦΑΛΑΙΟΝ Γ΄.

Πρῶτος Ἰωάννης ἐκήρυξε βασιλείαν οὐρανῶν.

Κεφ. III, 1. Ἐν δὲ ταῖς ἡμέραις ἐκείναις παραγίνεται Ἰωάννης ὁ βαπτιστὴς, κηρύσσων ἐν τῇ ἐρήμῳ τῆς Ἰουδαίας·

Ἐν ποίαις ἡμέραις; Οὐ γὰρ, ὁπότε παῖς ὢν ὁ Ἰησοῦς, εἰς Ναζαρὲτ ἦλθεν ἐξ Αἰγύπτου, ἀλλ᾽ ἐν τῷ τριακοστῷ αὐτοῦ πάντως ἔτει, καθὼς ἱστορεῖ Λουκᾶς (α). Ἀλλ᾽ ἔθος ἐστὶ τῇ Γραφῇ τὸ, *Ἐν ταῖς ἡμέραις ἐκείναις*, ἀκωλύτως (1) λέγειν, ἐφ᾽ οὗ ἂν ἐθελήσῃ χρόνου, δηλούσῃ μόνον τὸν καιρὸν ἐκεῖνον, ἐν ᾧ γέγονεν, ἃ διηγήσασθαι βούλεται, καθάπερ καὶ νῦν ὁ εὐαγγελιστὴς ἐποίησε, τὰ ἐν μέσῳ παραδραμών.

Καὶ διὰ τὶ μετὰ τριακοστὸν ἔτος ὁ Χριστὸς ἦλθεν ἐπὶ τὸ βάπτισμα; Διότι ἡ ἡλικία αὕτη στερεοῦ καὶ καθεστηκότος ἐστὶ φρονήματος. Ἐπεὶ γὰρ ἔμελλε μεταποιεῖν μὲν τὸν παλαιὸν νόμον, νομοθετεῖν δὲ τὸν νέον, τὸ δὲ μεταποιεῖν καὶ νομοθετεῖν τοιούτου δεῖται φρονήματος, ἀνέμεινε ταύτην τὴν ἡλικίαν. Διελθὼν γὰρ πρότερον τὰς ἐπισφαλεῖς ἡλικίας, λέγω δὴ τὴν παιδικὴν, ἐν ᾗ πολὺ τὸ ἀνόητον, καὶ τὴν μειρακιώδη, ἐν ᾗ σφοδρὸν τὸ φιλήδονον, καὶ τὴν νεανικὴν, ἐν ᾗ λίαν τὸ φιλοχρήματον, ἐν τῇ ἀνδρικῇ, κατά τε σῶμα καὶ φρόνημα, λοιπὸν ἦλθεν ἐπὶ τὸ βάπτισμα, ἵνα, ἀπὸ τούτου ἀναδειχθεὶς, ἐντεῦθεν ἄρξηται τοῦ διδάσκειν καὶ σημεῖα ποιεῖν. Διὰ τοῦτο γὰρ τότε καὶ ὁ Ἰωάννης ὑπὸ θεοῦ πέμπεται πρὸς τὸν Ἰορδάνην κηρύσσων βάπτισμα, ἵνα διὰ τὸ βάπτισμα συνδράμωσι πολλοὶ, καὶ ἐπιστὰς ὁ Χριστὸς μέσον πολλῶν μαρτυρηθῇ, κάτωθεν μὲν παρὰ Ἰωάννου, ἄνωθεν δὲ παρὰ τοῦ πατρὸς καὶ τοῦ ἁγίου Πνεύματος, καὶ ἐντεῦθεν ἐπισπασάμενος αὐτοὺς ἄρξηται μυσταγωγεῖν καὶ θαυματουργεῖν.

Καὶ πόθεν ὁ Ἰωάννης παραγέγονεν; Ἀπὸ τῆς ἐνδοτέρας ἐρήμου. Φησὶ γὰρ ὁ Λουκᾶς, ὅτι *Ἐγένετο ῥῆμα θεοῦ ἐπὶ Ἰωάννην τὸν τοῦ Ζαχαρίου υἱὸν ἐν τῇ ἐρήμῳ. Καὶ ἦλθεν εἰς τὴν περίχωρον τοῦ Ἰορδάνου* (α). Ταύτην τοίνυν τὴν περίχωρον ὁ Ματθαῖος *ἔρημον τῆς Ἰουδαίας* ὠνόμασε. Δύο γὰρ νοοῦμεν ἐρήμους· μίαν μὲν τὴν ἐνδοτέραν, ἀφ᾽ ἧς ἦλθε· δευτέραν δὲ, τὴν παρὰ (1) τὸν Ἰορδάνην, ἐφ᾽ ἣν ἐξῆλθεν.

2. Καὶ λέγων· Μετανοεῖτε· ἤγγικε γὰρ ἡ βασιλεία τῶν οὐρανῶν.

Μετανοεῖτέ, φησιν, ἐφ᾽ οἷς ἡμαρτήκατε. Ἤγγικε γὰρ ὁ Χριςὸς, ὀπίσω μου ἐρχόμενος· τοῦτον γὰρ νῦν ὀνομάζει *βασιλείαν οὐρανῶν*, ὡς βασιλέα οὐράνιον, κατὰ τὴν θεότητα, ὃς εὑρίσκων ἡμᾶς μετανοοῦντας, δωρήσεται ἄφεσιν τῶν ἡμαρτημένων (2).

Ἢ *βασιλείαν οὐρανῶν* λέγει τὴν πολιτείαν τῶν ἀγγέλων, ἣν ὁ Χριστὸς ὅσον οὔπω νομοθετεῖν ἔμελλε διὰ τῶν εὐαγγελικῶν ἐντολῶν. Λέγεται δὲ *βασιλεία οὐρανῶν* καὶ ἡ ἀπόλαυσις τῶν ἐν οὐρανοῖς ἀγαθῶν. Δηλοῖ δὲ καὶ ἄλλα πλείονα τὸ ὄνομα τῆς βασιλείας τῶν οὐρανῶν, πολυσήμαντον ὂν, ὡς προϊόντες εὑρήσομεν.

3. Οὗτος γάρ ἐστιν ὁ ῥηθεὶς ὑπὸ Ἡσαΐου τοῦ προφήτου, λέγοντος· «Φωνὴ βοῶντος ἐν τῇ ἐρήμῳ·

(α) Λουκ. Γ΄, 23.

(1) Οὕτω καὶ ἐν τοῖς δυσὶ χειρογράφοις· ἀλλ᾽ ἴσως, ἀπολύτως.

(α) Λουκ. Γ΄, 2. 3.

(1) Περὶ τὸν, παρὰ τῷ Α.

(2) Τῶν ἁμαρτημάτων, παρὰ τῷ Α.

Ἑτοιμάσατε τὴν ὁδὸν Κυρίου· εὐθείας ποιεῖτε τὰς τρίβους αὐτοῦ. »

Τὸ, *φωνὴ βοῶντος ἐν τῇ ἐρήμῳ*, ἐλλειπτικόν ἐστι. Νοεῖται γὰ, ὅτι *Φωνὴ* ἐξακούεταί μοι *ἀνδρὸς βοῶντος ἐν τῇ ἐρήμῳ*, δηλαδὴ τῇ παρὰ τὸν Ἰορδάνην· βοῶντος δὲ ταῦτα· *Ἑτοιμάσατε τὴν ὁδὸν Κυρίου* καὶ τὰ ἑξῆς. *Ὁδὸν* δὲ *Κυρίου καὶ τρίβους* αὐτοῦ καλεῖ τὰς ψυχὰς, ὧν ἐπιβαίνειν ἔμελλεν ὁ λόγος τοῦ εὐαγγελίου, ἃς καὶ προτρέπεται ἑτοιμάζειν, ἤγουν καθαίρειν, τῷ ἐργαλείῳ τῆς μετανοίας ἀνασπῶντας μὲν τὰς ἀκάνθας τῶν παθῶν, ἐκρίπτοντας δὲ τοὺς λίθους τῆς ἁμαρτίας, καὶ οὕτως εὐθείας καὶ ὁμαλὰς αὐτὰς ἀπεργάζεσθαι πρὸς ὑποδοχὴν αὐτοῦ.

4 Αὐτὸς δὲ ὁ Ἰωάννης εἶχε τὸ ἔνδυμα αὐτοῦ ἀπὸ τριχῶν καμήλου, καὶ ζώνην δερματίνην περὶ τὴν ὀσφῦν αὐτοῦ· ἡ δὲ τροφὴ αὐτοῦ ἦν ἀκρίδες καὶ μέλι ἄγριον.

Ἐμνημόνευσε καὶ τῆς στολῆς, καὶ τῆς τροφῆς αὐτοῦ, δεικνύων τὸ λιτὸν καὶ σχέδιον αὐτῶν, καὶ διδάσκων, μικρὰ μὲν φροντίζειν τοῦ σώματος, καταφρονεῖν δὲ τῆς πολυτελείας. Μὴ ζητήσῃς δὲ, τίς ὕφηνεν αὐτῷ τὸ ἔνδυμα, ἢ πόθεν ἔσχε τὴν ζώνην· ἐπεὶ θαυμασιώτερον μᾶλλον, πῶς ἐν ἐρήμῳ νηπιόθεν ἀέρος ἀνωμαλίαις μετὰ τοιαύτης ἡλικίας ἐπάλαιε· γίνωσκε δὲ μόνον, ὅτι κατὰ θείαν πρόνοιαν ἐκεῖνά τε ἐκτήσατο, καὶ διήρκει ταλαιπωρούμενος (1).

Ἀκρίδας δὲ, τινὲς μὲν ἀκρέμονας βοτανῶν εἶναι εἶπον, τινὲς δὲ, βοτάνην ἀκρίδα καλουμένην· ἄλλοι δὲ τὸ ζῶον αὐτό. Φασὶ γὰρ, μέχρι καὶ σήμερον ἐν τοῖς μέρεσιν ἐκείνοις πολλοὺς ἐσθίειν αὐτὸ τεταριχευμένον· καὶ γὰρ μετὰ τῶν καθαρῶν ζώων

(1) Τ. ε. διαρκῶς ἐνεκαρτέρει τῇ ταλαιπωρίᾳ καὶ σκληραγωγίᾳ.

καὶ τοῦτο τάξαι τὸν νομοθέτην· ἔχειν δὲ δυσώδη καὶ πονηρὰν γεῦσιν. Κρεῖττον δὲ τὸ πρῶτον. *Μέλι* δὲ *ἄγριον*, τὸ ἐν ταῖς τῶν πετρῶν σχισμαῖς ὑπὸ τῶν ἀγρίων μελισσῶν γεωργούμενον, πικρὸν καὶ ἀηδὲς ὄν.

†† Εἰς (1) μετάνοιαν παρεκάλει καὶ ἀπὸ τοῦ σχήματος· πενθικὴν γὰρ εἶχε τὴν στολήν. Λέγουσι δὲ, τὴν κάμηλον μεταξὺ εἶναι καθαροῦ καὶ μή· καθὸ μὲν γὰρ μηρυκίζει, καθαρόν ἐςι· καθὸ δὲ οὐκ ἔστι δίχηλον κατὰ τοὺς ὄνυχας, οὐκ ἔςι καθαρόν. Ἐπεὶ οὖν καὶ ὁ Ἰωάννης, τόν τε καθαρὸν δοκοῦντα λαὸν, τὸν ἰουδαϊκὸν, καὶ τὸν ἀκάθαρτον, τὸν ἐθνικὸν, προσῆγε τῷ θεῷ, διὰ τοῦτο ἐφόρει τὰς τρίχας τῆς καμήλου.

†† Πάντες οἱ ἅγιοι ἐζωσμένοι εἰσάγονται παρὰ τῇ Γραφῇ, ὡς ἀεὶ ἐν ἔργῳ ὄντες· οἱ γὰρ ἀμελεῖς καὶ τρυφηλοὶ οὐ ζώννυνται· ἢ ὅτι ἐνέκρωσαν τὰ πάθη τῆς ἐπιθυμίας. Τὸ γὰρ δέρμα νεκροῦ ζώου ἐστὶ μέρος.

5 Τότε ἐξεπορεύετο πρὸς αὐτὸν Ἱεροσόλυμα, καὶ
πᾶσα ἡ Ἰουδαία, καὶ πᾶσα ἡ περίχωρος τοῦ
6 Ἰορδάνου. Καὶ ἐβαπτίζοντο ἐν τῷ Ἰορδάνῃ ὑπ'
αὐτοῦ, ἐξομολογούμενοι τὰς ἁμαρτίας αὐτῶν.

Ἀνεπτέρωσε γὰρ ἅπαντας, πρῶτον μὲν, ἡ τοῦ βαπτίζοντος ὑπόληψις· ἀρχιερέως γὰρ ἦν υἱὸς, καὶ ἄρτι πρῶτον ἐκ τῆς ἐρήμου κατέβη, πολλὰς ἀρετὰς ἐπικομιζόμενος, καὶ ἀπὸ μόνης ὄψεως πολλὴν ἀπήστραπτεν εὐλάβειαν· δεύτερον δὲ, ἡ τοῦ κηρύγματος καινοφάνεια· βασιλείαν γὰρ οὐρανῶν κατήγγειλε, περὶ ἧς τότε πρῶτον ἤκουον· τρίτον δὲ καὶ πλεῖον, ὁ προφήτης Ἡσαΐας τὸ, *Φωνὴ βοῶντος ἐν τῇ ἐρήμῳ*, περὶ αὐτοῦ προαναφωνήσας.

(1) Ταῦτα εὕρηκεν ὁ Ἐντένιος ἐν τῷ περισελιδίῳ τοῦ ἑαυτοῦ χειρογράφου· δὲν εὑρίσκονται δὲ οὔτε παρὰ τῷ Α οὔτε παρὰ τῷ Β. Μετηνέχθησαν δ' ἐνταῦθα ἐκ τοῦ Θεοφυλάκτου. Σελ. 17. 18.

Καὶ πῶς οὐδεὶς τῶν εὐαγγελιστῶν ἀνέγραψεν, ὅτι ὁ Ἰωάννης ἐβόησε πρὸς τοὺς ὄχλους, *Ἑτοιμάσατε τὴν ὁδὸν Κυρίου*, ὡς ὁ προφήτης περὶ αὐτοῦ φησί; Ῥητῶς μὲν οὐδεὶς ἀνέγραψε τοῦτο· εἰκὸς δὲ βοῆσαι μὲν αὐτὸν καὶ τοῦτο, μὴ ἀναγραφῆναι δὲ, ὡς ἔξωθεν νοούμενον. Ἄλλως τε δὲ τὸ, *μετανοεῖτε*, καὶ τὸ, *ποιήσατε καρποὺς ἀξίους τῆς μετανοίας*, ἴσα εἰσὶ τῷ, *ἑτοιμάσατε τὴν ὁδὸν Κυρίου*. Ἑτοιμασία γὰρ καὶ ἀνακάθαρσις τῆς δηλωθείσης ὁδοῦ ἡ μετάνοια, καὶ ἡ καρποφορία τῶν ἀρετῶν.

Ἐξεπορεύετο δὲ πρὸς αὐτὸν Ἱεροσόλυμα ἡ πόλις, εἴτουν οἱ Ἱεροσολυμῖται· οὕτω γὰρ εἶπεν ὁ Μάρκος (α). Ὁποίαν δὲ δύναμιν εἶχε τὸ βάπτισμα τοῦ Ἰωάννου, καὶ τίνα διαφορὰν πρὸς τὸ βάπτισμα τὸ νομοθετηθὲν ὑπὸ τοῦ Χριστοῦ, ἀκριβῶς εὑρήσεις ἐν τῇ ἐξηγήσει τοῦ κατὰ Μάρκον εὐαγγελίου. Ἐπιτηδειότερον γὰρ ἦν, ἐν ἐκείνῃ ταύτην ἑρμηνευθῆναι, ἔνθα κεῖται τό· *Καὶ κηρύσσων βάπτισμα μετανοίας εἰς ἄφεσιν ἁμαρτιῶν* (β).

7 Ἰδὼν δὲ πολλοὺς τῶν Φαρισαίων καὶ Σαδδουκαίων
ἐρχομένους ἐπὶ τὸ βάπτισμα αὐτοῦ, εἶπεν αὐτοῖς·
Γεννήματα ἐχιδνῶν! Τίς ὑπέδειξεν ὑμῖν φυγεῖν ἀπὸ
τῆς μελλούσης ὀργῆς;

Τὸ γένος τῶν Ἰουδαίων καλεῖται διαφόροις ὀνόμασι. Λέγονται γὰρ Ἑβραῖοι μὲν, ἀπὸ τοῦ Ἔβερ, ὡς κεχρημένοι τῇ διαλέκτῳ αὐτοῦ· μόνου γὰρ ἐκείνου τὴν γλῶσσαν ἀσύγχυτον διετήρησεν ὁ θεὸς, μὴ θελήσαντος κοινωνῆσαι τοῖς τὸν πύργον τῆς Χαλάνης οἰκοδομοῦσι (1)· πρόγονος δὲ ἦν οὗτος τοῦ Ἀβραάμ· Ἰσραηλῖται δὲ, ἀπὸ τοῦ Ἰακὼβ, ὃς, ἰδὼν ἐν τῇ κλίμακι τὸν θεὸν, ἐπωνομάσθη καὶ *Ἰσραήλ*· τὸ γὰρ Ἰσραὴλ, *Ὁρῶν θεὸν*,

(α) Μάρκ. Α', 5.

(β) Μαρκ. Α', 4.

(1) Ἀναφέρεται εἰς Γενέσ. ΙΑ'.

ἑρμηνεύεται· Ἰουδαῖοι δὲ, ἀπὸ τοῦ Δαυΐδ· ὃν ἐκ τῆς Ἰούδα φυλῆς ἐπιλεξάμενος ὁ θεὸς εἰς τὴν βασιλείαν, καὶ τοῖς ἀπ' αὐτοῦ καταγομένοις τὸ βασιλεύειν ἀποκληρώσας, ὀνομαστὴν ἄγαν τὴν φυλὴν ταύτην, ὡς τοῦ λοιποῦ βασιλικὴν, ἐποίησεν, ὥστε καὶ τοὺς ἐκ τῶν ἄλλων φυλῶν χρόνῳ ὕστερον Ἰουδαίους κοινῶς ἀπὸ ταύτης λέγεσθαι.

Τούτων οὕτως εὐκρινηθέντων, εἰπεῖν χρὴ καὶ περὶ τῶν προκειμένων δύο ἰουδαϊκῶν αἱρέσεων. Οἱ Σαδδουκαῖοι, τἄλλα μὲν Ἰουδαῖοι ἦσαν, Πνεῦμα δὲ ἅγιον καὶ ἀγγέλους καὶ νεκρῶν ἀνάστασιν ἀθετοῦσι, καὶ οὐδ' ὅλως εἶναί φασιν. Οἱ Φαρισαῖοι δὲ, καὶ αὐτοὶ τἄλλα μὲν Ἰουδαῖοι, εἶχον δὲ περιττάς τινας παρατηρήσεις, οἷον νηστείαν δὶς τῆς ἑβδομάδος, ἀποδεκατώσεις τῆς οὐσίας εἰς τοὺς πένητας, βαπτισμοὺς καὶ καθαρισμοὺς ξεστῶν καὶ πινάκων καὶ ποτηρίων, καὶ τοιαῦτα ἕτερα ἔθη. Ὥσπερ δὲ οἱ γραμματεῖς, εἴτουν οἱ νομικοὶ καὶ διδάσκαλοι, διαφορώτεροι τῶν ἄλλων ἦσαν, οὕτω δὴ καὶ οἱ Φαρισαῖοι καὶ Σαδδουκαῖοι μέγα ἐφρόνουν, ὡς περιττότεροι τῶν ἄλλων.

Τούτους προσιόντας ἰδὼν ὁ Ἰωάννης, καὶ ἐπιγνοὺς αὐτοὺς, τοῦτο μὲν, ἐκ τῆς ἐνοικούσης αὐτῷ θείας χάριτος, τοῦτο δὲ, καὶ ἐκ τῶν παρασήμων τῆς στολῆς καὶ τοῦ σχήματος, παῤῥησιαστικώτερον αὐτοῖς διαλέγεται. Καὶ γὰρ ἐθάῤῥει τῷ ἀποστείλαντι αὐτόν. Μίγνυσι δὲ τῇ αὐστηρίᾳ τῶν ἐλέγχων καὶ ἔπαινον, ἵνα τῇ μὲν ταπεινωθῶσι, τῷ δὲ παρηγορηθῶσιν. Ἤλεγξε μὲν γὰρ αὐτοὺς, *γεννήματα ἐχιδνῶν*, τούτους προσαγορεύσας. Ὥσπερ γὰρ τὰ γεννήματα τῶν ἐχιδνῶν ἀποκτείνουσι τὰς ἑαυτῶν μητέρας, διαβιβρώσκοντα τὰς τούτων γαστέρας ἐν τῷ κυΐσκεσθαι· οὕτω δὴ καὶ οἱ Ἰουδαῖοι τοὺς πνευματικοὺς αὐτῶν πατέρας, τοὺς προφήτας, ἀπέκτεινον. Ἐπῄνεσε δὲ αὐτοὺς, εἰπὼν, *τίς ὑπέδειξεν ὑμῖν φυγεῖν ἀπὸ τῆς μελλούσης ὀργῆς*; Ἐνέφηνε γὰρ, ὅτι οὐδεὶς ἄλλος (1), εἰ μὴ ἡ σύνεσις αὐτῶν.

(1) Ὑπέδειξε δηλαδή.

Μέλλουσαν δὲ ὀργὴν λέγει, ἢ τὴν ἀπὸ Ῥωμαίων ἐν τῇ πολιορκίᾳ, ἢ τὴν ἀπὸ θεοῦ ἐν ἡμέρᾳ κρίσεως, ἣν ἔφευγον ἐρχόμενοι εἰς μετάνοιαν. Προηγουμένως μὲν οὖν πρὸς τοὺς Φαρισαίους καὶ Σαδδουκαίους ἀπέτεινε τὸν λόγον, ὡς δοκοῦντας φρονιμωτέρους· διὰ μέσου δὲ αὐτῶν ἔλεγε ταῦτα πρὸς τοὺς μέλλοντας εἰς Χριστὸν πιστεύειν, οἳ πάντως καὶ τὴν δηλωθεῖσαν ὀργὴν ἔμελλον ἐκφυγεῖν. Εἰ δὲ ὁ Λουκᾶς φησὶν, ὅτι ἔλεγε ταῦτα (α) τοῖς ἐκπορευομένοις ὄχλοις βαπτισθῆναι ὑπ' αὐτοῦ, μὴ ταραχθῇς. Εἰκὸς γὰρ, δὶς ταῦτα τὸν Ἰωάννην εἰπεῖν, νῦν μὲν τούτοις, νῦν δὲ ἐκείνοις. Ἐκπλήττεται δὲ ὁ Ἰωάννης τὴν ἀθρόαν αὐτῶν μεταβολὴν, πῶς, προφητοκτόνοι ὄντες, οὐκ ἀναιροῦσι καὶ αὐτὸν, ἀλλ' ἔρχονται εἰς μετάνοιαν.

8. Ποιήσατε οὖν καρποὺς ἀξίους τῆς μετανοίας.

Ἐπεὶ τοίνυν μετανοεῖτε, γινώσκετε, ὅτι οὐκ ἀρκεῖ μόνον τὸ φυγεῖν τὴν κακίαν, ἀλλὰ χρὴ καὶ ἀρετὴν ἐπιδείξασθαι· *Ἔκκλινον* γὰρ, φησὶν, *ἀπὸ κακοῦ, καὶ ποίησον ἀγαθόν* (β).

9. Καὶ μὴ δόξητε λέγειν ἐν ἑαυτοῖς· Πατέρα ἔχομεν τὸν Ἀβραάμ.

Μὴ *δόξητε*, ἀντὶ τοῦ, *μὴ θελήσητε*. Παραινεῖ δὲ, μὴ λέγειν ἐν ταῖς ἑαυτῶν ψυχαῖς, ὅτι πατέρα ἔχομεν τὸν Ἀβραὰμ, καὶ ἀρκεῖ ἡμῖν εἰς ἀρετὴν τὸ ἀπ' ἐκείνου κατάγεσθαι. Οὐ χρὴ γὰρ, μέγα φρονοῦντας ἐπὶ ταῖς τῶν προγόνων ἀρεταῖς, αὐτοὺς ἀμελεῖν οἰκείων κατορθωμάτων.

9. Λέγω γὰρ ὑμῖν, ὅτι δύναται ὁ θεὸς ἐκ τῶν λίθων τούτων ἐγεῖραι τέκνα τῷ Ἀβραάμ.

Μὴ νομίσητε, φησὶν, ὅτι, ἐὰν ὑμεῖς ἀπόλησθε, ὡς ἄκαρποι

(α) Λουκ. Γ', 7.
(β) Ψαλμ. ΛΓ', 15.

ἀρετῆς, οὐκέτι ἕξει τέκνα ὁ Ἀβραάμ. Δύναται γὰρ ὁ θεὸς ἐκ τῶν ἀψύχων τούτων λίθων ἐγεῖραι τέκνα τῷ Ἀβραάμ. Καὶ γὰρ καὶ τὸν Ἰσαὰκ ἐκ τῆς ἀψύχου καὶ λιθώδους μήτρας τῆς Σάῤῥας ἤγειρεν αὐτῷ. Ἔστι δὲ καὶ ἑτέρως εἰπεῖν· Μὴ κομπάζετε ἐπὶ τῷ ἔχειν ῥίζαν γένους τὸν Ἀβραάμ. Τοῦτο γὰρ οὐχ ὑμέτερόν ἐστι κατόρθωμα, ἀλλὰ θεοῦ δῶρον, ὃς δύναται μὴ μόνον ἐξ ἀνθρώπων, ἀλλὰ καὶ ἐκ τῶν φαινομένων τούτων λίθων ἐγεῖραι τέκνα τῷ Ἀβραὰμ, οἷα παντοδύναμος.

Τινὲς δέ φασι, τοὺς ἐξ ἐθνῶν πεπιστευκότας αἰνίττεσθαι τὸν λόγον, οἳ πεπωρωμένοι, καὶ ἀναίσθητοι ὄντες τῆς ἀληθείας πρότερον, διὰ τῆς πίστεως υἱοθετήθησαν ὕστερον. Ἄλλοι δὲ λέγουσι, παραδηλοῦσθαι τοὺς ἐν τῷ καιρῷ τοῦ πάθους τοῦ Σωτῆρος, ἀπὸ τοῦ σχίζεσθαι τὰς πέτρας, διὰ πίστεως υἱοθετηθέντας. Καὶ οὗτοι δὲ, κἀκεῖνοι τῷ Ἀβραὰμ υἱοθετήθησαν, ὡς τοῦ κατ' αὐτὸν αἰωνίου κλήρου μεταλαχόντες. Κυρίως γὰρ τέκνα τοῦ Ἀβραάμ εἰσιν, οἱ τὰς ἀρετὰς αὐτοῦ μιμούμενοι, καὶ τῆς αὐτῆς αὐτῷ καταξιούμενοι μερίδος ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν, κἂν ἐξ Ἰουδαίων εἶεν, κἂν ἐξ ἐθνῶν. Μείζων γὰρ ἡ ἐξ ἀρετῆς συγγένεια τῆς ἐξ αἵματος οἰκειώσεως, ὅσον καὶ ἡ ψυχὴ τιμιωτέρα τοῦ σώματος.

10. Ἤδη δὲ καὶ ἡ ἀξίνη πρὸς τὴν ῥίζαν τῶν δένδρων κεῖται· πᾶν οὖν δένδρον μὴ ποιοῦν καρπὸν καλὸν, ἐκκόπτεται, καὶ εἰς πῦρ βάλλεται.

Φοβήσας δὲ αὐτοὺς, ὡς ἀποπεσουμένους τοῦ γένους τοῦ Ἀβραὰμ, εἰ μὴ προσέχοιεν, ἐπιτείνει τὸν φόβον ἔτι. Οὐ μόνον γὰρ, φησὶν, ἀποπεσεῖσθε τοῦ τοιούτου γένους, ἀλλ', ὡς ἀνίατοι λοιπὸν, ταχέως ἀποκοπέντες τῆς ἐνταῦθα ζωῆς, καὶ ἐκεῖ τιμωρηθήσεσθε. *Ἀξίνην* μὲν γὰρ τροπικῶς ὠνόμασε τὸν θάνατον· *δένδρα* δὲ, τοὺς ἀνθρώπους· *ῥίζαν* δὲ αὐτῶν, τὴν ζωήν· *πῦρ* δὲ εἶπε, τὸ τῆς γεέννης.

Τινὲς δὲ *ῥίζαν* μὲν ἡρμήνευσαν, τὸν Ἀβραὰμ, *δένδρα* δὲ, τούτους τοὺς ἀναβλαστήσαντας ἐξ αὐτοῦ Ἰουδαίους, *ἀξίνην* δὲ, τὸν Χριστὸν, ὃς ἔμελλεν ἀποτεμεῖν μὲν αὐτοὺς, μένοντας ἀκάρπους εἰς τὴν πίστιν τοῦ εὐαγγελίου, ἐγκεντρίσαι δὲ τοὺς ἐξ ἐθνῶν. Οὕτως οὖν κατασείσας αὐτῶν τὸ φρόνημα, καὶ μαλάξας τῆς τούτων καρδίας τὸ σκληρὸν, τῷ φόβῳ τῆς ἐκπτώσεως τοῦ γένους Ἀβραὰμ, καὶ τῇ ἐκτομῇ, καὶ τῷ πυρὶ, λοιπὸν εἰσάγει τὸν περὶ τοῦ Χριστοῦ λόγον, μετὰ πολλῆς τῆς ὑπεροχῆς, ἵνα φανέντι προσδράμωσιν αὐτῷ.

[*Ἀξίνη* μὲν (1), ἡ εὐαγγελικὴ τομὴ, ἐκτέμνουσα τοὺς ἀκάρπους εἰς ἀρετὰς καὶ πίστιν Ἰουδαίους ἀπὸ τοῦ νόμου, οὐ μὴν ἐκριζοῦσα· ῥίζα γὰρ αὐτῶν ὁ νόμος, ᾧ ἀντ᾽ ἐκείνων οἱ πιστεύσαντες ἐγκεντρίζονται· *δένδρα* δὲ οἱ Ἰσραηλῖται.]

11 Ἐγὼ μὲν βαπτίζω ὑμᾶς ἐν ὕδατι, εἰς μετάνοιαν· ὁ δὲ ὀπίσω μου ἐρχόμενος, ἰσχυρότερός μου ἐστὶν, οὗ οὐκ εἰμὶ ἱκανὸς τὰ ὑποδήματα βαστάσαι· αὐτὸς ὑμᾶς βαπτίσει ἐν πνεύματι ἁγίῳ καὶ πυρί.

Εἰς μετάνοιαν, ἀντὶ τοῦ, *διὰ τὴν μετάνοιαν*. Ἐξομολογουμένους γὰρ αὐτοὺς, εἴτουν μετανοοῦντας, ἐβάπτιζε, διότι μετενόησαν. Καὶ ἦν τὸ τοιοῦτον βάπτισμα, ἀπόδειξις μετανοίας. *Ὀπίσω δὲ αὐτοῦ ἐρχόμενον* λέγει τὸν Ἰησοῦν, οὗ ἔμπροσθεν αὐτὸς κατεσκεύαζε τὴν ὁδὸν αὐτοῦ, βοῶν, *Ἑτοιμάσατε τὴν ὁδὸν Κυρίου*, ὡς ἀνωτέρω ἐξηγησάμεθα. *Ἰσχυρότερον* δὲ αὐτὸν εἴρηκεν, ὡς ἡνωμένον θεότητι. Τὸ δὲ, *Οὗ οὐκ εἰμὶ ἱκανὸς τὰ ὑποδήματα βαστάσαι*, τὴν ὑπερβάλλουσαν ὑπεροχὴν (2) τοῦ κηρυσσομένου παρίστησι. Λέγει γὰρ, ὅτι οὐδὲ εἰς τοὺς ἐσχάτους αὐτοῦ δούλους ταγῆναι δύναμαι, διὰ τὸ μέγεθος τῆς ἡνωμένης αὐτῷ θεότητος. Τοῖς γὰρ ἐσχάτοις οἰκέταις ἐπιτέτραπται ἡ τοιαύτη ὑπηρεσία.

(1) Ταῦτα ἐν τῷ περισελιδίῳ παρὰ τῷ Α.
(2) Ἀρχὴν, ἀντὶ τοῦ, ὑπεροχὴν, παρὰ τῷ Α.

Οἱ δὲ λοιποὶ εὐαγγελισταὶ (α), *λῦσαι τὸν ἱμάντα τῶν ὑποδημάτων αὐτοῦ*, εἶπον, ὡς εἶναι δῆλον, ὅτι καὶ ἀμφότερα ὁ Ἰωάννης εἶπε, νῦν μὲν τοῦτο, νῦν δὲ ἐκεῖνο. Εἰπὼν δὲ, ὅτι *αὐτὸς ὑμᾶς βαπτίσει ἐν πνεύματι ἁγίῳ*, ἐδήλωσε καὶ τὴν τοῦ δεσποτικοῦ βαπτίσματος ὑπεροχήν. Τὸ μὲν ἐμόν, φησι, βάπτισμα ἀποχὴν ἁμαρτιῶν ἐνεργεῖ, τὸ δὲ τούτου, μετοχὴν Πνεύματος ἁγίου παρέχει. Ματθαῖος μὲν οὖν καὶ (β) Μάρκος καὶ (γ) Ἰωάννης εἶπον, ὅτι *ἐν Πνεύματι ἁγίῳ*· Λουκᾶς δὲ, ὅτι *ἐν Πνεύματι ἁγίῳ καὶ πυρί* (δ). Καὶ δῆλον πάλιν, ὅτι καὶ τοῦτο, κἀκεῖνο εἴρηκεν ὁ βαπτιστὴς, ἐν διαφόροις καιροῖς. Ἐμφαίνει δὲ ὁ λόγος προηγουμένως μὲν τὴν τοῦ ἁγίου Πνεύματος, ἐν εἴδει πυρίνων γλωσσῶν, ἐπὶ τοὺς ἀποστόλους κάθοδον· τηνικαῦτα γὰρ ἐν Πνεύματι ἁγίῳ καὶ πυρὶ ἐβαπτίσθησαν· ἔπειτα δὲ καὶ τὸ νομοθετηθὲν ὑπὸ Χριστοῦ βάπτισμα. Καὶ γὰρ ἐφίπταται παντὶ βαπτιζομένῳ Πνεῦμα ἅγιον, οὐ μόνον ἁγιάζον, ἀλλὰ καὶ ὡς πῦρ ἀοράτως ἀναλίσκον τὸν ῥύπον τῆς ψυχῆς αὐτοῦ. *Οὐκ εἰμὶ δὲ ἱκανὸς*, ἀντὶ τοῦ, *οὐκ εἰμὶ ἄξιος*. Οὕτω γὰρ ἔγραψεν ὁ Ἰωάννης (ε).

[*Αὐτὸς* (1) *ὑμᾶς βαπτίσει*. Τῇ μεταφορᾷ τῆς λέξεως τὸ δαψιλὲς τῆς χάριτος ἐμφαίνει ὁ βαπτιστὴς, καὶ τῇ ἐπεξηγήσει τοῦ πυρὸς πάλιν, τὸ σφοδρὸν καὶ ἀκάθεκτον τῆς χάριτος ἐνδείκνυται.]

(α) Μαρκ. Α′, 7. Λουκ. Γ′, 16. Ἰωάν. Α′, 27.
(β) Μαρκ. Ά, 8,
(γ) Ιωάν. Ά, 33.
(δ) Λουκ. Γ′, 16.
(ε) Ἰωάν. Ά, 27.
(1) Τὰ παρενтεθειμένα εὑρίσκονται παρὰ τῷ Α, ἐν τῷ περισελιδίῳ· παραλείπονται δὲ παρὰ τῷ Β.

12 Οὗ τὸ πτύον ἐν τῇ χειρὶ αὐτοῦ, και διακαθαριεῖ τὴν ἅλωνα αὐτοῦ, καὶ συνάξει τὸν σῖτον αὐτοῦ εἰς τὴν ἀποθήκην, τὸ δὲ ἄχυρον κατακαύσει πυρὶ ἀσβέστῳ.

Ἐκ τούτων παριστᾷ, ὅτι καὶ κριτής ἐστιν οὗτος τοῦ μέλλοντος αἰῶνος. Καὶ *ἅλωνα* μὲν ὀνομάζει, τὴν πάνδημον ἐκκλησίαν τῆς οἰκουμένης, εἰς ἣν πάντες οἱ γεωργηθέντες ὑπὸ τῆς δεσποτικῆς ἐπιμελείας συνάγονται· *πτύον* δὲ, τὴν δικαίαν αὐτοῦ κρίσιν, ἥτις τοὺς μὲν παντὶ ἀνέμῳ τῆς ἁμαρτίας ῥιπιζομένους, ὡς ἀχυρώδεις, ἐκδίδωσι πυρὶ ἀσβέστῳ τῆς γεέννης, τοὺς δὲ βάρος ἔχοντας ἀρετῆς, συλλέγει εἰς τὴν ἀποθήκην τῶν οὐρανίων σκηνῶν.

Νῦν μὲν γὰρ, ὡς ἐν ἅλωνι, ἀναμὶξ ὁ σῖτος καὶ τὸ ἄχυρον· τότε δὲ, πολλὴ ἔσται ἡ διάκρισις, ὅτε μέλλει ὁ σῖτος εἰς τὴν ἀποθήκην συγκομισθῆναι. *Ἐν τῇ χειρὶ* δὲ *αὐτοῦ* εἶπε, διὰ τὸ εἶναι πρόχειρον καὶ ἕτοιμον εἰς τὸ διακρῖναι. Ὅρα δὲ, ὅτι μετὰ τὸ βαπτίζειν ἐν Πνεύματι ἁγίῳ καὶ πυρὶ, διακαθαίρει τὴν ἅλωνα, ἵνα μὴ μετὰ τὸ βάπτισμα ῥαθυμήσῃς.

13 Τότε παραγίνεται ὁ Ἰησοῦς ἀπὸ τῆς Γαλιλαίας ἐπὶ τὸν Ἰορδάνην πρὸς τὸν Ἰωάννην, τοῦ βαπτισθῆναι ὑπ᾽ αὐτοῦ.

Μετὰ τῶν δούλων ὁ δεσπότης· ἀλλ᾽ ἐκεῖνοι μὲν, ἵνα μετανοήσωσι, παρεγίνοντο· οὗτος δὲ, ἵνα ἀναδειχθῇ τῷ λαῷ. Οὕτω γὰρ καὶ ὁ Ἰωάννης εἶπεν, ὅτι *Ἵνα φανερωθῇ τῷ Ἰσραὴλ* (α).

14 Ὁ δὲ Ἰωάννης διεκώλυεν αὐτὸν, λέγων· Ἐγὼ χρείαν

(α) Ἰωάν. Α, 31.

ἔχω ὑπὸ σοῦ βαπτισθῆναι, καὶ σὺ ἔρχῃ πρός με;

Ἔγνω, τίς ἦν, ὑπὸ τοῦ ἐνοικοῦντος αὐτῷ θείου Πνεύματος. Φησὶ γὰρ ὁ εὐαγγελιστὴς Ἰωάννης, ὅτι *Βλέπει ὁ Ἰωάννης τὸν Ἰησοῦν ἐρχόμενον πρὸς αὐτὸν, καὶ λέγει· Ἴδε ὁ ἀμνὸς τοῦ Θεοῦ, ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου, καὶ τὰ ἑξῆς* (α). *Νῦν δὲ διεκώλυεν αὐτὸν, λέγων· Ἐγὼ χρείαν ἔχω ὑπὸ σοῦ βαπτισθῆναι·* ἐγὼ ὁ ὑπεύθυνος ἁμαρτίαις, ὑπὸ τοῦ ἀναμαρτήτου, ὁ βαπτίζων ἐν ψιλῷ ὕδατι, ὑπὸ τοῦ βαπτίζοντος ἐν Πνεύματι ἁγίῳ καὶ πυρὶ, ὁ δοῦλος, ὑπὸ τοῦ δεσπότου, ὁ ἄνθρωπος, ὑπὸ τοῦ θεοῦ· καὶ σὺ λοιπὸν ἀνάπαλιν ἔρχῃ πρός με; Οἱ μὲν οὖν ἄλλοι κατ᾽ ἐρώτησιν ἀναγινώσκουσι τὸ, *καὶ σὺ ἔρχῃ πρός με;* Ὁ θεολόγος δὲ Γρηγόριος κατὰ ἀπόφασιν, ὡς προφητεύσαντος, ὅτι ἀκολουθήσεις μοι ἀναιρουμένῳ, τουτέστιν ἀναιρεθήσῃ καὶ σύ.

15 Ἀποκριθεὶς δὲ ὁ Ἰησοῦς εἶπε πρὸς αὐτόν· Ἄφες ἄρτι.

Παραχώρησον τόγε νῦν ἔχον, μὴ (1) προβαλλόμενος εἰς παραίτησιν τὰ τῆς ἐμῆς ἀναμαρτησίας καὶ θεότητος· νῦν γὰρ οὐκ ἔστι τούτων καιρός· ἀλλ᾽ οἰκονομικῶς ὑπὸ σοῦ βαπτίζομαι. Ὥσπερ γὰρ διὰ τοὺς ἀνθρώπους γέγονα ἄνθρωπος, ἵνα ὡς ἄνθρωπος καταβαλῶ τὸν καταβαλόντα αὐτοὺς διάβολον· οὕτω δι᾽ αὐτοὺς, ὡς αὐτοὶ, βαπτίζομαι, ἵνα ἐνθάψω τοῖς ὕδασι τὸν ῥύπον τῶν μελλόντων ἀναγεννηθῆναι δι᾽ ὕδατος καὶ πνεύματος. Ἅμα δὲ καὶ ἕτερόν τι οἰκονομῶ, τὸ ἀπὸ τοῦ βαπτίσματος ἀναδειχθῆναί με τῷ λαῷ.

15 Οὕτω γὰρ πρέπον ἐστὶν ἡμῖν πληρῶσαι πᾶσαν δικαιοσύνην.

Οὕτως ἁρμόζει μοι, πληρῶσαι πᾶσαν ἐντολὴν θεοῦ. *Δικαιο-*

(α) Ἰωάν. Α, 29.

(1) Τὸ μόριον, μὴ, προσετέθη, ὡς ἀπαιτούσης αὐτὸ τῆς ἐννοίας.

σύνην γὰρ νῦν, τὴν ἐντολὴν (1) τοῦ θεοῦ λέγει. Πάσας τὰς ἐντολάς, φησιν, ἐξεπλήρωσα, ὅσας ὁ νόμος ἐκέλευσεν· αὕτη δὲ μόνη ὑπελείφθη, ἡ περὶ τοῦ βαπτισθῆναι. Λοιπὸν οὖν οὕτω πρέπει μοι πληρῶσαι πᾶσαν ἐντολήν, ἤγουν, διὰ τοῦ βαπτισθῆναι· ἵνα, ἐπεὶ ὁ παλαιὸς Ἀδὰμ τὴν μίαν ἐντολὴν οὐκ ἐπλήρωσεν, ἐγὼ λοιπὸν, ὁ νέος Ἀδὰμ, ἀντ' αὐτοῦ πληρώσω πάσας, καὶ ἀναπληρώσω τὸ ἐκείνου ὑστέρημα· καὶ ἧς ἐκεῖνος πάλαι καταδίκης τοῖς ἐξ αὐτοῦ μετέδωκε, ταύτης ἐγὼ νῦν ἀπαλλάξω τοὺς ἐξ ἐμοῦ. Ἐντολὴ δὲ ἦν θεοῦ, καὶ τὸ Ἰωάννου βάπτισμα. Εἴρηκε γὰρ αὐτὸς, ὅτι *Ὁ πέμψας με βαπτίζειν ἐν ὕδατι, ἐκεῖνός μοι εἶπε*, καὶ τὰ ἑξῆς (α).

16. Τότε ἀφίησιν αὐτόν. Καὶ βαπτισθεὶς ὁ Ἰησοῦς ἀνέβη εὐθὺς ἀπὸ τοῦ ὕδατος.

Φασί τινες, ὅτι ἕκαστον τῶν βαπτιζομένων, χαλῶν ὁ Βαπτιστὴς ἄχρι τραχήλου, κατεῖχεν αὐτὸν, ἕως ἂν ἐξομολογήσαιτο τὰς ἁμαρτίας αὐτοῦ, καὶ τότε ἀφεθεὶς ἀνέδυεν ἀπὸ τοῦ ὕδατος· ὁ δὲ Χριστὸς, μὴ ἔχων ἁμαρτίαν, οὐκ ἐνεβράδυνε τῷ ὕδατι, καὶ τούτου χάριν (2) εἰπεῖν τὸν εὐαγγελιστὴν, ὅτι *εὐθὺς ἀνέβη ἀπὸ τοῦ ὕδατος*.

16. Καὶ ἰδοὺ ἀνεῴχθησαν αὐτῷ οἱ οὐρανοί, καὶ εἶδε τὸ πνεῦμα τοῦ θεοῦ καταβαῖνον ὡσεὶ περιστερὰν,
17. καὶ ἐρχόμενον ἐπ' αὐτόν. Καὶ ἰδοὺ φωνὴ ἐκ τῶν οὐρανῶν, λέγουσα· Οὗτός ἐστιν ὁ υἱός μου ὁ ἀγαπητὸς, ἐν ᾧ εὐδόκησα.

Η μὲν παρακοὴ τοῦ πάλαι Ἀδὰμ ἀπέκλεισεν ἡμῖν τὸν παράδεισον, ἡ δ' ὑπακοὴ τοῦ νέου, ἤνοιξε τοὺς οὐρανοὺς, περιποιησαμένου ἡμῖν ἀπόλαυσιν μείζονα τῆς ἀπολωλυίας. Ὅρα δὲ, πῶς ὁ Χριστὸς ἀναδείκνυται τῷ λαῷ λαμπρῶς τε καὶ μεγαλοπρεπῶς. Ἐπεὶ γὰρ ὁ Ἰωάννης προεῖπε περὶ αὐτοῦ τοῖς ὄχλοις, καὶ ἠρέμα τούτῳ προσεῖχον, ὡς εἶδον καὶ αὐτὸν βαπτιζόμενον, ὡς ἕνα τῶν πολλῶν, ἐσκανδαλίσθησαν. Καὶ λοιπὸν ἀνοίγονται μὲν οἱ οὐρανοὶ, δεικνύοντες, ὅτι ἐξ αὐτῶν κατῆλθε καὶ ἡ περιστερὰ, καὶ ἡ φωνή· κάτεισι δὲ ἡ μὲν φωνὴ, ἵνα μάθωσιν οἱ παρόντες, τίς ἐστιν ὁ βαπτιζόμενος· ἡ δὲ περιστερὰ, ἵνα ἑλκύσῃ τὴν φωνὴν ἐπ' αὐτὸν, καὶ μὴ νομίσωσιν, ὅτι περὶ Ἰωάννου μαρτυρεῖ ἡ φωνή. Καὶ ὁ μὲν πατὴρ ἄνωθεν ἐμαρτύρησε περὶ τοῦ υἱοῦ· τὸ δὲ Πνεῦμα τὸ ἅγιον κατέβη ἐπ' αὐτὸν, ἀντὶ δακτύλου δεικνύον, ὅτι οὗτός ἐστιν ὁ μαρτυρούμενος. *Ἐν εἴδει δὲ περιστερᾶς*· διότι τουτὶ τὸ ζῶον ἐκ φύσεως μιμήματα ἔχει τοῦ ἁγίου Πνεύματος. Φιλάνθρωπον γάρ ἐστι καὶ ἀνεξίκακον· ἀποστερούμενον γὰρ τῶν νεοσσῶν ὑπομένει, καὶ οὐδὲν ἧττον τοὺς ἀποστεροῦντας προσίεται. Καὶ καθαρώτατόν ἐστι, καὶ τῇ εὐωδίᾳ χαίρει.

Ἅμα δὲ ταύτης τῆς περιστερᾶς τύπος ἦν ἐκείνη ἡ τῷ Νῶε τοῦ κατακλυσμοῦ τὴν λύσιν εὐαγγελισαμένη. Ὥσπερ γὰρ τότε κατακλυσμὸς ἦν ἐξ ὕδατος· οὕτω καὶ νῦν ἐξ ἁμαρτίας· καὶ ὥσπερ ἐκείνη εὐηγγελίσατο τὴν κόπασιν ἐκείνου τοῦ κατακλυσμοῦ· οὕτω καὶ αὕτη τοῦ παρόντος. Ἠνεῴχθησαν δὲ οἱ οὐρανοὶ, καὶ κατῆλθεν ἐπὶ τὸν βαπτιζόμενον τὸ Πνεῦμα τὸ ἅγιον, ἵνα μάθωμεν, ὅτι ἐπὶ παντὸς ἀνθρώπου βαπτιζομένου ἀνοίγονται μὲν οἱ οὐρανοὶ, καλοῦντες αὐτὸν εἰς τὴν ἄνω κατοικίαν· ἐπιφοιτᾷ δὲ τούτῳ καὶ τὸ Πνεῦμα τὸ ἅγιον. Εἰ δὲ μὴ τοῖς αἰσθητοῖς ταῦτα βλέπομεν ὀφθαλμοῖς, μὴ ἀπιστήσῃς. Τὰ σημεῖα γὰρ οὐ τοῖς πιστεύουσιν, ἀλλὰ τοῖς ἀπίστοις. Ἡμῖν δὲ ἀρκεῖ ἡ πίστις ἀντὶ σημείων.

Σὺ δὲ προσεπιθεώρησον ὅτι, ὥσπερ ἐπὶ τοῦ πάσχα ἐν μιᾷ

---

(1) Παρὰ τῷ Χρυσοστόμῳ Τόμ. Ζ΄. Σελ. 140. Β. τὴν ἐκπλήρωσιν τῶν ἐντολῶν.

(α) Ἰωάν. Α΄, 33.

(2) Ἀπὸ κοινοῦ τὸ, φασίν.

τραπέζῃ πεπλήρωκε μὲν καὶ ἔπαυσε τὸ ἰουδαϊκὸν πάσχα, ἀρχὴν δὲ τῷ οἰκείῳ δέδωκεν· οὕτω καὶ ἐπὶ τοῦ βαπτίσματος, ἐν ἑνὶ ποταμῷ καὶ ἄμφω πεποίηκεν. Ἥτε γὰρ ἄνοιξις τῶν οὐρανῶν, καὶ ἡ ἐπιφοίτησις τοῦ ἁγίου Πνεύματος, τοῦ χριστιανικοῦ βαπτίσματος ἦσαν προχαράγματα. Τί δέ ἐστι τὸ, *ἐν ᾧ εὐδόκησα;* Ἀντὶ τοῦ, *ᾧ ἐπαναπαύομαι*· ἢ, ἐπειδὴ, γεννηθέντος αὐτοῦ, οἱ ἄγγελοι ὕμνουν λέγοντες, (α) *Δόξα ἐν ὑψίστοις θεῷ, καὶ ἐπὶ γῆς εἰρήνη, ἐν ἀνθρώποις εὐδοκία· εὐδοκία* δέ ἐστιν, ἡ ἀγαθὴ θέλησις· ἀγαθὴ δὲ θέλησις ἦν, τὸ σωθῆναι τοὺς ἀνθρώπους· νῦν εἶπεν, ὅτι οὗτός ἐστιν, ἐν ᾧ τὰ ἀγαθὰ ἠθέλησα, τουτέστι δι' οὗ ἡ σωτηρία τῶν ἀνθρώπων.

ΚΕΦ. IV, 1. Τότε ὁ Ἰησοῦς ἀνήχθη εἰς τὴν ἔρημον ὑπὸ τοῦ πνεύματος, πειρασθῆναι ὑπὸ τοῦ διαβόλου.

Ἐπειδὴ, ὡς ἄνθρωπος, πάντα πρὸς διδασκαλίαν τῶν ἀνθρώπων καὶ ἔπραττε καὶ ὑπέμενεν, ἐκδίδωσιν ἑαυτὸν μετὰ τὸ βάπτισμα τῷ ἁγίῳ Πνεύματι, καὶ ὑπ' αὐτοῦ ἄγεται, πρὸς ὃ ἂν ἐκεῖνο κελεύῃ. Καὶ ἀνάγεται εἰς τὴν ἔρημον, ἐπὶ τῷ πολεμηθῆναι ὑπὸ τοῦ διαβόλου, ἵνα καὶ σὺ μετὰ τὸ βάπτισμα μηκέτι σεαυτὸν ἄγῃς, ἀλλὰ ἄγῃ μᾶλλον ὑπὸ τοῦ Πνεύματος, καὶ ἵνα, μετὰ τὸ βάπτισμα περιπίπτων πειρασμοῖς, μὴ ταράττῃ. Διὰ τοῦτο γὰρ ὡπλίσθης, ἵνα πολεμῇς. Ὅθεν οὐδὲ κωλύει τοὺς πειρασμοὺς ἐπιόντας ὁ θεός. Πρῶτον μὲν, ἵνα γνῷς τὴν δύναμιν τῆς περιτεθείσης σοι πανοπλίας· ἔπειτα, ἵνα μάθῃς πολεμεῖν· εἶτα, ἵνα γένῃ δόκιμος· εἶθ' οὕτως, ἵνα μὴ ὑψηλοφρονῇς· ἐπὶ δὲ τούτοις, ἵνα εἰδῇς, ὅτι μέγαν ἐνεπιστεύθης θησαυρόν. Εἰ γὰρ μὴ τοῦτο ἦν, οὐκ ἂν προσέβαλε μάτην ὁ ἐχθρός. Ἔνθα γὰρ ἴδῃ πλοῦτον, ἐκεῖ παρατάττεται.

Ἀνήχθη δὲ εἰς ἔρημον ἄβατον, ὃ δηλῶν ὁ Μάρκος, εἴρη-

(α) Λουκ. Β', 14.

κεν (α), ὅτι *Καὶ ἦν ἐκεῖ μετὰ τῶν θηρίων*, ἔνθα καὶ μᾶλλον ὁ πόλεμος. Τότε γὰρ ἐπιτίθεται μᾶλλον ὁ διάβολος, ὅταν ἴδῃ μεμονωμένον τὸν ἄνθρωπον, καὶ παρακλήσεως πάσης ἐστερημένον.

2 Καὶ νηστεύσας ἡμέρας τεσσαράκοντα καὶ νύκτας τεσσαράκοντα, ὕστερον ἐπείνασε.

Ἐνήστευσε πρῶτον, διδάσκων ὅτι μέγα προπύργιον ἡ νηστεία τοῖς ἀνταγωνιζομένοις τῷ δαίμονι· οὐχ ὑπερέβη δὲ τὸ μέτρον, ὃ ἐνήστευσε πρὸ αὐτοῦ Ἠλίας, καὶ πρὸ ἐκείνου Μωϋσῆς, ἵνα μὴ ὑπερελάσας τὴν δύναμιν τῆς ἀνθρωπίνης φύσεως, ἀπιστηθῇ, ὅτι ἄνθρωπός ἐστιν. Ὅθεν *ὕστερον ἐπείνασε*, βεβαιῶν, ὅτι ἄνθρωπός ἐστιν. Ἴδιον γὰρ ἀνθρώπου τὸ ἐκ νηστείας πεινᾷν. Περιττὸν δὲ δοκεῖ τὸ περὶ τῶν νυκτῶν. Οἶμαι δὲ διὰ τὰς νηστείας τῶν Ἑβραίων τοῦτο προστεθῆναι, οἳ τὰς ἡμέρας νηστεύοντες, ἐν ταῖς νυξὶν ἐσθίουσιν. Ὁ δὲ Μάρκος καὶ ὁ Λουκᾶς παρῆκαν τὰς νύκτας, ὡς νοουμένας.

3 Καὶ προσελθὼν αὐτῷ ὁ πειράζων εἶπεν· Εἰ υἱὸς εἶ τοῦ θεοῦ, εἰπὲ, ἵνα οἱ λίθοι οὗτοι ἄρτοι γένωνται.

Ὁ δὲ Μάρκος καὶ ὁ Λουκᾶς εἶπον, ὅτι καὶ ἐν ταῖς τεσσαράκοντα ἡμέραις ἦν πειραζόμενος (β)· ὡς εἶναι δῆλον, ὅτι ἐν ἐκείναις μὲν πόῤῥωθεν αὐτὸν ἐπείραζε δι' ὕπνου, δι' ἀκηδίας, διὰ δειλίας καὶ τῶν τοιούτων· ἐπεὶ δὲ ἔγνω τοῦτον πεινάσαντα, λοιπὸν προσῆλθεν ἐγγὺς, καὶ φανερῶς αὐτῷ προσβάλλει διὰ τοῦ ἐπιτηδείου τῇ πείνῃ πάθους, λέγω δὴ, τῆς γαστριμαργίας. Καὶ σκόπει, τί ποιεῖ. Ἤκουσε καὶ παρὰ τοῦ

(α) Μάρκ. Α', 13.
(β) Μαρκ. Α', 13. Λουκ. Δ', 2.

Ἰωάννου, καὶ παρὰ τῆς κατενεχθείσης ἄνωθεν φωνῆς, ὅτι οὗτος υἱός ἐστι τοῦ θεοῦ, καὶ ἀγνοῶν, ὅτι ὁ υἱὸς τοῦ θεοῦ ἐνηνθρώπησεν· ἔλαθε γὰρ αὐτὸν ἡ ἀπόῤῥητος αὐτοῦ ἐνανθρώπησις· ὑπέλαβεν, ὅτι ἄνθρωπος ὤν, υἱοθετήθη τῷ θεῷ διὰ τὰς ἀρετὰς αὐτοῦ. Καὶ λοιπὸν ἐφθόνησεν αὐτῷ τῆς τηλικαύτης τιμῆς, ὥσπερ καὶ τῷ παλαιῷ Ἀδὰμ, καὶ ἔσπευσεν ἐκβαλεῖν καὶ τοῦτον ταύτης, ὡς ἐκεῖνον ἐκείνης.

Διὸ καὶ προσελθὼν ἐγγὺς, πρώτην προσάγει πεῖραν, τὴν γαστριμαργίαν, δι' ἧς εἷλε καὶ τὸν πρῶτον Ἀδάμ· καὶ ἐπεὶ οὐδαμοῦ βρῶσις ἦν, διὰ τὴν ἄγαν ἐρημίαν, ἐγίνωσκε δὲ τῇ πείνῃ τὸν ἄρτον εἶναι κατάλληλον, αὐτὸς μὲν οὐ προσφέρει· διότι οὐκ ἔμελλεν αὐτὸν παρὰ τοῦ πολεμίου λαβεῖν ὁ Χριςός· ἐπιτάττει δὲ αὐτῷ, ποιῆσαι τοὺς ὑποδεικνυμένους λίθους, ἄρτους· καὶ ἵνα μὴ νοήσῃ τὴν ἐπιβουλὴν ὁ Χριστὸς, ὅρα μηχανὴν καὶ πονηρίας ὑπερβολήν! Οὐκ εἶπεν ἁπλῶς, ὅτι Ποίησον τοὺς λίθους ἄρτους, ἀλλὰ προέταξε τὸ, *Εἰ υἱὸς εἶ τοῦ θεοῦ*, ἵνα δόξῃ, ὅτι πρὸς ἀπόδειξιν τοῦ εἶναι αὐτὸν υἱὸν θεοῦ ζητεῖ γενέσθαι τὴν μεταποίησιν τῶν λίθων εἰς ἄρτους. Ὤιετο γὰρ, ὅτι παρακνισθήσεται τῷ λόγῳ, καθάπερ ὀνειδισθεὶς ἐπὶ τῷ μὴ εἶναι υἱὸς θεοῦ, καὶ ἀγνοῶν τὸν δόλον, μεταβαλεῖ τοὺς λίθους εἰς ἄρτους, ὡς ἔχων ἐκ θεοῦ δύναμιν, καὶ λοιπὸν, ἰδὼν αὐτοὺς, πάνυ πεινῶν, ἡττηθήσεται τῆς γαστρός. Ἀλλ' οὐκ ἔλαθε τὸν δρασσόμενον τοὺς σοφοὺς ἐν τῇ πανουργίᾳ αὐτῶν (α).

4 Ὁ δὲ ἀποκριθεὶς εἶπε· Γέγραπται· « Οὐκ ἐπ' ἄρτῳ μόνῳ ζήσεται ἄνθρωπος, ἀλλ' ἐπὶ παντὶ ῥήματι ἐκπορευομένῳ διὰ στόματος θεοῦ. »

Συνεὶς τὴν πανουργίαν αὐτοῦ, τὸ μὲν ἐπιζητηθὲν σημεῖον οὐκ ἐποίησε· διότι τὰ σημεῖα δι' ὠφέλειαν τῶν ὁρώντων εἴωθε

(α) Ἰώβ Ε', 13. Α' Κορ. Γ', 19.

γίνεσθαι· ὁ δὲ διάβολος οὐδὲν ἔμελλεν ἐντεῦθεν ὠφεληθῆναι· καὶ γὰρ ὕστερον, ἰδὼν πάντα, ὅσα ἐποίησεν ὁ Χριστὸς, οὐδὲν μετεβλήθη· πρὸς δὲ τὸν κεκρυμμένον αὐτοῦ σκοπὸν ἀπολογεῖται, καὶ ἀπὸ τῆς ἐν τῇ βίβλῳ τοῦ Δευτερονομίου (α) γραφῆς ἐπιστομίζει αὐτὸν, ὡσανεὶ λέγων, Τί μοι ποιεῖν ἄρτους ἐκ λίθων ἐπιτάττεις; Πάντως διὰ τὴν συνέχουσάν με πεῖναν, ἵνα φανέντων δελεασθῶ; *Ἀλλ' οὐκ ἐπ' ἄρτῳ μόνῳ ζήσεται ἄνθρωπος*, ἀλλ' ἔστι καὶ ἕτερος τρόπος τροφῆς. Καὶ γὰρ πᾶν ῥῆμα, ἐκπορευόμενον διὰ στόματος θεοῦ ἐπὶ τὸν πεινῶντα, δίκην τροφῆς συνέχει τὴν ζωὴν αὐτοῦ, καὶ ἀρκεῖ αὐτῷ. Οὕτω μακροθύμως ἀπεκρούσατο τὴν μηχανὴν τῆς γαστριμαργίας. Ἀπαρατήρητον (1) δὲ τὸ, τὸν Ματθαῖον μὲν *λίθους* εἰπεῖν πληθυντικῶς, τὸν δὲ Λουκᾶν (β), *λίθον* ἑνικῶς. Πολλαχοῦ γὰρ τῶν εὐαγγελιστῶν τοιαύτας εὑρήσεις ἀβλαβεῖς ἀδιαφορίας.

†† Ἀπὸ (2) τῆς Παλαιᾶς ἐστὶν ἡ μαρτυρία. Μωϋσέως γὰρ ὁ λόγος. Καὶ γὰρ καὶ οἱ Ἑβραῖοι τῷ μάννᾳ ἐτράφησαν, οὐκ ἄρτῳ ὄντι, ἀλλὰ διὰ ῥήματος θεοῦ πᾶσαν χρείαν τῶν Ἑβραίων πληροῦντι, καὶ πάντα γινομένῳ, ὅσα ἂν φαγεῖν τις ἐπεθύμει· εἴτε γὰρ ἰχθύος, εἴτε ὠοῦ, εἴτε τυροῦ ἐπεθύμει ὁ Ἰουδαῖος, τοιαύτην γεῦσιν παρεῖχεν αὐτῷ τὸ μάννα.

5 Τότε παραλαμβάνει αὐτὸν ὁ διάβολος εἰς τὴν ἁγίαν πόλιν.

Παραλαμβάνει, ἀντὶ τοῦ, *παραλαβὼν ἄγει*. Καὶ γὰρ ἀφῆκε τὸν ἐχθρὸν ἄγειν αὐτὸν, ὅπου θέλει, καὶ πολεμεῖν, ὡς βούλεται, ἵνα πανταχόθεν ἡττηθεὶς, μόνος δραπετεύσῃ. *Ἁγίαν*

(α) Δευτερ. Η', 3.

(1) Τ. ε. μὴ δέον παρατηρήσεως ἀκριβεστέρας.

(β) Λουκ. Δ', 3.

(2) Παρ' οὐδετέρῳ τῶν δύο χειρογράφων ταῦτα· ἐλήφθησαν δ' ἐκ τοῦ Θεοφυλάκτου. Σελ. 22.

δὲ *πόλιν* λέγει τὴν Ἱερουσαλὴμ, ὡς τῷ θεῷ ἀφωρισμένην, καὶ διὰ τοῦτο σεβασμίαν· ἢ ὡς τὸν ἅγιον ναὸν ἔχουσαν.

5 **Καὶ** ἵστησιν αὐτὸν ἐπὶ τὸ πτερύγιον τοῦ ἱεροῦ.

Τὸ *πτερύγιον* οἰκοδόμημα ἦν ὑψηλὸν ἄγαν, παρῳκοδομημένον τῇ πλευρᾷ τοῦ ἱεροῦ, ἤτοι τοῦ ναοῦ.

6 **Καὶ** λέγει αὐτῷ· Εἰ υἱὸς εἶ τοῦ θεοῦ, βάλε σεαυτὸν κάτω· γέγραπται γάρ· «Ὅτι τοῖς ἀγγέλοις αὑτοῦ ἐντελεῖται περὶ σοῦ, καὶ ἐπὶ χειρῶν ἀροῦσί σε, μήποτε προσκόψῃς πρὸς λίθον τὸν πόδα σου.»

Ἡττηθεὶς τὴν πρώτην πεῖραν, ἐπὶ δεύτερον ἀγῶνα χωρεῖ, καὶ διὰ κενοδοξίας ἑλεῖν αὐτὸν ἐπιχειρεῖ. Διὸ καὶ ἐπιτάττει, καταχρημνίσαι ἑαυτὸν καὶ διασωθῆναι. Ἵνα δὲ παρακνίσῃ πάλιν αὐτὸν, πάλιν προτάττει τὸ, *Εἰ υἱὸς εἶ τοῦ θεοῦ*, ὡς ἂν δόξῃ πάλιν ζητεῖν καὶ τοῦτο τὸ σημεῖον, εἰς ἀπόδειξιν τοῦ εἶναι αὐτὸν υἱὸν τοῦ θεοῦ, ἅτε τοῦ προτέρου μὴ γεγονότος. Ὤιετο γὰρ, ὅτι ῥᾷον πεισθήσεται, εἰ καὶ μὴ δι' ἕτερον, ἀλλά γε διὰ τοὺς μέλλοντας αὐτὸν ὁρᾷν οὕτω τερατουργοῦντα· πολλοὶ γὰρ ἦσαν τότε κάτω παρόντες· καὶ λοιπὸν περιπεσεῖται τῷ ὑφαπλωθέντι δικτύῳ τῆς κενοδοξίας, ὡς τοῦ ἐπαινεθῆναι παρ' αὐτῶν ἕνεκεν κάτω βαλὼν ἑαυτόν. Ἐφέλκεται δὲ τοῦτον καὶ ἀπὸ τῆς δαυϊτικῆς γραφῆς, ἵνα δόξῃ καὶ αὐτὸς ἀπὸ γραφῆς πείθειν ἀξιοπίστως· ἀλλ' οὐδ' ἐνταῦθα λέληθε κακουργῶν.

7 **Ἔφη** αὐτῷ ὁ Ἰησοῦς· Πάλιν γέγραπται· «Οὐκ ἐκπειράσεις Κύριον τὸν θεόν σου.»

Γέγραπται ἐν τῷ Δευτερονομίῳ (α) καὶ τοῦτο. Ἐκπειράζει δὲ τὸν θεὸν ὁ, μηδεμιᾶς ἀνάγκης ἐπικειμένης, ἐπιῤῥίπτων ἑαυτὸν εἰς προφανῆ κίνδυνον, ἐν τῷ θαῤῥεῖν τῷ θεῷ.

(α) Δευτερ. ϛ', 16.

8 **Πάλιν** παραλαμβάνει αὐτὸν ὁ διάβολος εἰς ὄρος
ὑψηλὸν λίαν, καὶ δείκνυσιν αὐτῷ πάσας τὰς βα-
9 σιλείας τοῦ κόσμου καὶ τὴν δόξαν αὐτῶν, καὶ
λέγει αὐτῷ· Ταῦτα πάντα σοι δώσω, ἐὰν πεσὼν
προσκυνήσῃς μοι.

Περιττὸν ἦν, ἀναγραφῆναι καὶ τὸ ὄνομα τοῦ ὄρους· ποία γὰρ ἐκεῖθεν ὠφέλεια; Τέως δ' οὖν ἀποτυχὼν καὶ τῆς δευτέρας προσβολῆς ὁ ἐχθρὸς καὶ εἰς τρίτην παρασκευάζεται, τὴν διὰ φιλαργυρίας, ἣν καὶ τελευταίαν ἐτήρησεν, ὡς χαλεπωτέραν, καὶ ἀνάγει αὐτὸν εἰς ὄρος ὑψηλότατον, καὶ τῷ δακτύλῳ δείκνυσιν αὐτῷ, *ἐν στιγμῇ χρόνου* (α), καθὼς προσέθηκεν ὁ Λουκᾶς, τουτέστιν ἐν βραχεῖ καιρῷ, τὰ μέρη τῆς οἰκουμένης, ἐν οἷς ἔκειντο αἱ βασιλεῖαι τοῦ κόσμου, λέγων· ἐν τούτῳ μὲν τῷ μέρει κεῖται ἡ βασιλεία τῶν Ῥωμαίων, ἐν τούτῳ δὲ, ἡ τῶν Περσῶν, ἐν ἐκείνῳ δὲ, ἡ τῶν Ἀσσυρίων, καὶ τὰ ἑξῆς ὁμοίως· καὶ ὅτι ἡ μὲν ἔχει δόξαν ἐπὶ τοῖςδε τοῖς εἴδεσιν (1), ἡ δὲ, ἐπὶ τοῖςδε, καὶ ἄλλη, ἐπ' ἄλλοις, καὶ ἁπλῶς πάντα καταλέγει. Εἶτα φησὶ, *Ταῦτα πάντα σοι δώσω*, δηλαδὴ τὰ τῶν βασιλειῶν τοῦ κόσμου, *ἐὰν πεσὼν προσκυνήσῃς μοι*. Πῶς, ὦ δόλιε, τὰ τοσαῦτα καὶ τοιαῦτα προσκυνήματος ἑνὸς ἀπεμπολεῖς; Πάντως, ἵνα, τῇ εὐκολίᾳ τοῦ ἐπιτάγματος ἀπατήσας, περιπείρῃς αὐτὸν τῷ ἀγκίστρῳ τῆς φιλαργυρίας, ὡς ἔρωτι τοῦ κτήσασθαι τὸν πλοῦτον τῶν βασιλειῶν προσκυνήσαντά σε. Πλατύτερον δέ φησιν ὁ Λουκᾶς, ὅτι εἶπεν αὐτῷ ὁ διάβολος, *Σοὶ δώσω τὴν ἐξουσίαν ταύτην ἅπασαν, καὶ τὴν δόξαν αὐτῶν· ὅτι ἐμοὶ παραδέδοται, καὶ ᾧ ἐὰν θέλω δίδωμι αὐτήν. Σὺ οὖν ἐὰν προσκυνήσῃς ἐνώπιόν μου, ἔσται σου πᾶσα* (β). Ὁ μὲν οὖν

(α) Λουκ. Δ', 5.

(1) Νοεῖται, τῶν χρημάτων καὶ πραγμάτων.

(β) Λουκ. Δ', 6. 7.

Ματθαῖος ταῦτα παρέλειψεν, ὡς οὐκ ἀναγκαῖα· ὁ δὲ Λουκᾶς προσέθηκεν αὐτὰ, ὡς τηνικαῦτα ῥηθέντα. Πολλὰς δὲ τοιαύτας παραλείψεις καὶ προσθήκας ἐν τοῖς εὐαγγελισταῖς εὑρήσεις, καὶ ἐπὶ πασῶν ἔχε λύσιν τὰς δηλωθείσας αἰτίας.

[Ἡ (1) χρονικὴ στιγμὴ τῆς ἀστρονομίας, οὐ πάνυ τι βραχὺ διάστημα κέκτηται. Ἤρκει οὖν εἰς μόνον τὸ δεῖξαι τὰ μέρη τῆς οἰκουμένης, ἐν οἷς ἔκειντο αἱ βασιλεῖαι, καὶ εἰς τὸ εἰπεῖν ὀλίγα περὶ τῆς δόξης αὐτῶν.]

10 Τότε λέγει αὐτῷ ὁ Ἰησοῦς· Ὕπαγε ὀπίσω μου, σατανᾶ· γέγραπται γάρ· «Κύριον τὸν θεόν σου προσκυνήσεις, καὶ αὐτῷ μόνῳ λατρεύσεις.»

Καὶ τοῦτο ἐν τῷ Δευτερονομίῳ (α) γέγραπται. Σκόπει δὲ, ὅτι ἐπὶ μὲν τοῖς προλαβοῦσι πειρασμοῖς μακροθύμως ἀπεκρίνετο· ὅτε δὲ εἶδεν αὐτὸν τὴν τοῦ θεοῦ προσκύνησιν εἰς ἑαυτὸν ἀναισχύντως ἕλκοντα, καὶ θεοῦ τιμὴν ἀπαιτοῦντα, τότε ἐπετίμησεν αὐτῷ εἰπὼν, *Ὕπαγε* (2) *σατανᾶ*, τουτέστιν, ἀναχώρει ἀντικείμενε. Ὁ δὲ Λουκᾶς (β), *Ὕπαγε ὀπίσω μου, σατανᾶ*, ἔγραψεν, ὅ ἐστιν ἀφανίσθητι. Ὁ γὰρ ὀπίσω τινὸς γενόμενος, οὐ φαίνεται αὐτῷ. Οὐκ ἠνέσχετο δὲ ἐλέγξαι αὐτὸν ψευσάμενον, ὅτι ὁ κόσμος αὐτῷ παραδέδοται, ἀλλὰ πάλιν ἀπὸ τῆς Γραφῆς αὐτὸν καταισχύνει. Καὶ λοιπὸν μάστιξ τῷ πονηρῷ γέγονεν ἡ ἐπιτίμησις. Οὐκέτι γὰρ ἐκαρτέρησεν.

(1) Ταῦτα ἀναγινώσκονται καὶ ἐν ταῖς δυσὶ χειρογράφοις ἐν τῷ περιτελιδίῳ, καὶ ἀναφέρονται εἰς τὸ παρὰ τῷ Λουκᾷ, ἐν στιγμῇ χρόνου, περὶ οὗ ἐν τῇ ἑρμηνείᾳ.

(α) Δευτερ. ς', 13.

(2) Ὁ Χρυσόστομος Τομ. Ζ'. Σελ. 172. Α. Β. τὸ χωρίον τοῦτο ἑρμηνεύων δὶς ἔχει τὸ, ὀπίσω μου. Ὁ δὲ Εὐθύμιος ἀνέγνωσε παρὰ τῷ Ματθαίῳ μόνον, ὕπαγε σατανᾶ, καὶ τοῦτο ἑρμηνεύει· τὸ δὲ, ὀπίσω μου, θεωρεῖ ὡς μόνον τοῦ Λουκᾶ ἴδιον.

(β) Λουκ. Δ', 8.

Καὶ διὰ τί Ματθαῖος μὲν τελευταῖον ἔγραψε τὸν πειρασμὸν τῆς φιλαργυρίας, ὁ δὲ Λουκᾶς μᾶλλον τὸν τῆς κενοδοξίας; Διότι Ματθαῖος μὲν καὶ τῆς τάξεως τῶν πειρασμῶν ἐφρόντισε· Λουκᾶς δὲ μόνης τῆς διηγήσεως αὐτῶν. Τί οὖν ἀπὸ τῶν πειρασμῶν τοῦ Σωτῆρος παιδευόμεθα; Τὸ μὴ πείθεσθαι τῷ ἐχθρῷ μηδέποτε, μηδὲ εἰ χρήσιμα καὶ ἀναγκαῖα ἐπιτάττει· σαίνει μὲν γὰρ τῷ χρηστῷ, τελευτᾷ δὲ εἰς πονηρόν· τὸ μὴ διὰ λιμὸν ἢ τοιαύτην ἄλλην ἀνάγκην ποιεῖν θέλημα τοῦ δαίμονος, ἀλλὰ καταφεύγειν ἐπὶ τὸν θεόν· τὸ μὴ ἐκπειράζειν τὸν θεὸν, καὶ τὸ μὴ προσέχειν τῷ διαβόλῳ σημεῖα ζητοῦντι. Δόλον γὰρ τούτοις ἐναποκρύψας αἰτεῖ. Τινὲς δέ φασι τὸν διάβολον ὑποδεῖξαι τῷ Χριστῷ πάσας τὰς βασιλείας τοῦ κόσμου καὶ τὴν δόξαν αὐτῶν, οὐ κατ' αἴσθησιν τοπικῶς, ἀλλὰ κατὰ διάνοιαν ὑπογραφικῶς. Τοῦτο δὲ εἶπον, διὰ τὸ ἐν στιγμῇ χρόνου ταύτας ὑποδεῖξαι.

11. Τότε ἀφίησιν αὐτὸν ὁ διάβολος.

Ὁ δὲ Λουκᾶς ἔγραψεν, ὅτι *Καὶ συντελέσας πάντα πειρασμὸν ὁ διάβολος, ἀπέστη ἀπ' αὐτοῦ ἄχρι καιροῦ* (α). Καὶ φαίνεται, ὅτι οἱ ἀπαριθμηθέντες τρεῖς πειρασμοὶ, κεφάλαια πάντων εἰσὶ τῶν πειρασμῶν. Ἐκ τούτων γὰρ καὶ οἱ ἄλλοι πάντες ἀπογεννῶνται, καὶ ὁ τὰ πάθη ταῦτα νικήσας, ἔχει κατὰ πάντων τὰ νικητήρια. Τὸ δὲ, *ἄχρι καιροῦ*, σημαίνει, ὅτι μέχρι τῆς παρὰ τῶν Ἰουδαίων ἐπιβουλῆς. Τότε γὰρ πάλιν προσέβαλεν, οὐ δι' ἑαυτοῦ, ἀλλὰ διὰ τῶν Ἰουδαίων, ὡς δι' ὀργάνων τινῶν.

†† Τοὺς τρεῖς (1) πειρασμοὺς ἐνίκησεν ὁ Κύριος, τὸν τῆς γαστριμαργίας, τὸν τῆς κενοδοξίας καὶ τὸν τῆς φιλοχρηματίας, ἤγουν φιλοπλουτίας. Οὗτοι γάρ εἰσιν οἱ ἄρχοντες τῶν

(α) Λουκ. Δ', 13.

(1) Ταῦτα δὲν εὑρίσκονται παρ' οὐδετέρῳ τῶν δύο χειρογράφων· ἐλήφθησαν δὲ ἐκ τοῦ Θεοφυλάκτου. Σελ. 23. Β.

παθῶν. Τούτους οὖν νικήσας, καὶ τοὺς ἄλλους πολλῷ μᾶλλον. Ὅθεν ὁ Λουκᾶς φησὶν (α), ὅτι πάντα πειρασμὸν ἐτέλεσεν. Ὅτι δὲ ἄγγελοι διακονοῦσιν αὐτῷ, δείκνυσιν, ὅτι καὶ ἡμῖν μετὰ τὴν νίκην ἄγγελοι ὑπηρετοῦσι. Πάντα γὰρ δι' ἡμᾶς καὶ ποιεῖ καὶ δείκνυσιν ὁ Χριστός· ἐπεὶ αὐτῷ, ὡς Θεῷ, ἀεὶ οἱ ἄγγελοι ὑπουργοῦσιν.

11 Καὶ ἰδοὺ, ἄγγελοι προσῆλθον, καὶ διηκόνουν αὐτῷ.

Ὅτε μὲν οἱ ἀγῶνες ἦσαν, οὐκ εἴασεν αὐτοὺς φαίνεσθαι, ἵνα μὴ ἀπολέσῃ τὴν ἄγραν (1)· ὅτε δὲ τὸν ἀνταγωνιστὴν ἐνίκησε κατὰ κράτος, καὶ φυγεῖν παρεσκεύασε, τότε φαίνονται λοιπὸν, ἵνα μάθῃς, ὅτι καὶ σὲ μετὰ τὰς κατ' ἐκείνου νίκας, ἄγγελοι δέξονται καὶ δορυφορήσουσιν.

12. Ἀκούσας δὲ ὁ Ἰησοῦς, ὅτι Ἰωάννης παρεδόθη, ἀνεχώρησεν εἰς τὴν Γαλιλαίαν.

Ἀκούσας, ὅτι παρεδόθη εἰς τὸ δεσμωτήριον ὑπὸ Ἡρώδου τοῦ τετράρχου, καθὼς ἐρεῖ προϊών.

Ἀνεχώρησε δὲ, παιδεύων ἡμᾶς φεύγειν τοὺς πειρασμούς. Οὐκ ἔστι γὰρ ἔγκλημα, τὸ μὴ ἐπιῤῥίπτειν ἑαυτὸν εἰς κίνδυνον, ἀλλὰ τὸ ἐμπεσόντα μὴ στῆναι γενναίως. Εἰς τὴν Γαλιλαίαν δὲ ἄπεισιν, ἅμα μὲν, ἵνα πληρωθῇ ἡ περὶ αὐτῆς προφητεία, ὡς ῥηθήσεται· ἅμα δὲ, ἵνα ἐκεῖθεν ἁλιεύσῃ τοὺς ἁλιεῖς, λέγω δὴ τοὺς ἀποστόλους. Ἐκεῖ γὰρ διέτριβον. Καὶ γὰρ καὶ οἱ ἄγγελοι ὕστερον, εἰς οὐρανὸν ἀναλαμβανομένου τοῦ Χριστοῦ, Γαλιλαίους αὐτοὺς ἐκάλεσαν, εἰπόντες, ὅτι *Ἄνδρες (β) Γαλιλαῖοι, τί ἑστήκατε ἐμβλέποντες εἰς τὸν οὐρανόν;*

(α) Λουκ. Δ', 13.

(1) Χρυσόστομος Τόμ. Ζ'. Σελ. 172. Ε. «Ὥστε μὴ ταύτῃ σοβῆσαι τὴν ἄγραν.» Ἐννοεῖ δὲ ἄγραν τὴν παρὰ τοῦ διαβόλου προσαγομένην.

(β) Πραξ. Α', 11.

13. Καὶ καταλιπὼν τὴν Ναζαρὲτ, ἐλθὼν κατῴκησεν εἰς Καπερναοὺμ τὴν παραθαλασσίαν, ἐν ὁρίοις Ζαβουλὼν καὶ Νεφθαλείμ.

Καταλιπὼν, ἀντὶ τοῦ, παραδραμών. Τότε γὰρ οὐκ εἰσῆλθεν εἰς τὴν Ναζαρέτ.

14 Ἵνα πληρωθῇ τὸ ῥηθὲν διὰ Ἡσαΐου τοῦ προφήτου,
15 λέγοντος· «Γῆ Ζαβουλὼν καὶ γῆ Νεφθαλείμ, ὁδὸν
θαλάσσης, πέραν τοῦ Ἰορδάνου, Γαλιλαία τῶν
16 ἐθνῶν· ὁ λαὸς, ὁ καθήμενος ἐν σκότει, εἶδε φῶς
μέγα· καὶ τοῖς καθημένοις ἐν χώρᾳ καὶ σκιᾷ θανάτου, φῶς ἀνέτειλεν αὐτοῖς.»

Ἡ Γαλιλαία, χώρα μὲν ἦν τῆς Παλαιστίνης, ὡς προειρήκαμεν· ἐκληροδοτήθη δὲ πάλαι ταῖς δυσὶ φυλαῖς, τῇ τοῦ Ζαβουλὼν, καὶ τῇ τοῦ Νεφθαλείμ· μέρος δὲ αὐτῆς ἔθνη κατῴκουν ἀλλόφυλα. Καὶ δοκεῖ μὲν ἡ τῶν προφητικῶν τούτων ῥητῶν σύνταξις δυσχερὴς, διά τε τὸ ἐλλείπειν τινὰ, καὶ διὰ τὸ ἀγνοεῖσθαι τὴν ἔννοιαν αὐτῶν· ἐγὼ δὲ ταύτην ἀπὸ τῆς προφητικῆς βίβλου διαγνοὺς, ἔγνων, πῶς χρὴ ταῦτα συντάττειν. Προσήκει γὰρ οὕτως: Ὦ γῆ τοῦ Ζαβουλὼν, καὶ ὦ γῆ τοῦ Νεφθαλείμ· λέγει δὲ τὴν Γαλιλαίαν, ὡς εἴρηται· καὶ, ὦ οἱ κατὰ τὴν ὁδὸν τῆς θαλάσσης, τουτέστιν, οἱ παρὰ τὴν θάλασσαν τῆς Γαλιλαίας οἰκοῦντες· καὶ, ὦ οἱ πέραν τοῦ Ἰορδάνου, καὶ, ὦ Γαλιλαία τῶν ἐθνῶν· ἐκάλεσε δὲ Γαλιλαίαν τῶν ἐθνῶν, τὸ μέρος τῆς Γαλιλαίας, ὃ τὰ ἔθνη κατῴκουν· εἶτα, ἐπισυνάψας πάντας τοὺς ἐν τοῖς δηλωθεῖσι τόποις, εὐηγγελίσατο τὰ σωτήρια, εἰπών· *Ὁ λαὸς ὁ καθήμενος ἐν σκότει, ἴδε φῶς μέγα*, καὶ τὰ ἑξῆς. Καὶ *σκότος* μὲν ὠνόμασε, τὴν πλάνην· ἐπλανῶντο γὰρ Ἰουδαῖοι μὲν, περὶ τὰς γραφάς· τὰ ἔθνη δὲ περὶ τὸ σέβας·

φῶς δὲ *μέγα*, τὸν Χριστὸν, ὃς ἀλλαχοῦ (α) *φῶς ἀληθινὸν* προσηγόρευται. Καὶ γὰρ αὐτὸς τούτους ἐξήγαγεν ἐκ τῆς πλάνης, δίκην φωτὸς αὐτοῖς ἐπιλάμψας. Εἶτα πάλιν ἑρμήνευσε τὸ τοιοῦτον σκότος, *χώραν θανάτου καὶ σκιὰν θανάτου* τοῦτο καλέσας. Ὥσπερ γὰρ τοῦ σωματικοῦ θανάτου χώρα καὶ σκιὰ ὁ τάφος ἐστί· χώρα μὲν, ὡς τόπος· σκιὰ δὲ, ὡς σκότος· σκότος γὰρ ἡ σκιά· οὕτω καὶ τοῦ ψυχικοῦ θανάτου χώρα καὶ σκιὰ, ἡ πλάνη ἐκείνη ἦν· χώρα μὲν, ὡς τρόπον τάφου συνέχουσα τοὺς ἐμπεπτωκότας αὐτῇ νενεκρωμένους εἰς αἴσθησιν ἀληθείας· σκιὰ δὲ, ὡς σκοτίζουσα αὐτούς. Εἰ δὲ μὴ ἀκέραια τὰ προφητικὰ τέθεικε ῥητὰ, μὴ θαυμάσῃς. Χρὴ γὰρ καθολικῶς γινώσκειν, ὅτι οἱ εὐαγγελισταὶ ποτὲ μὲν ἀκεραίων τῶν ῥητῶν ἀπομνημονεύουσι, ποτὲ δὲ, ἐπιτέμνουσιν αὐτὰ, ποτὲ δὲ, τὴν μὲν τῶν ῥητῶν διάνοιαν ὁλόκληρον ἀποσώζουσι, λέξεις δέ τινας ἀπαρατηρήτως ὑπαλλάττουσιν, ὅταν οὐδέν τι μέλλοι τῷ λόγῳ τοῦτο λυμαίνεσθαι.

ΚΕΦΑΛΑΙΟΝ Δʹ.

Περὶ τῆς διδασκαλίας τοῦ Σωτῆρος.

17 Ἀπὸ τότε ἤρξατο ὁ Ἰησοῦς κηρύσσειν, καὶ λέ-
γειν· Μετανοεῖτε· ἤγγικε γὰρ ἡ βασιλεία τῶν οὐ-
ρανῶν.

Τοῦτο πρὸ τοῦ Σωτῆρος ὁ Ἰωάννης ἐκήρυξεν. Ἄρχεται δὲ καὶ ὁ Χριστὸς ἐντεῦθεν, ἵνα δείξῃ, ὅτι προοίμιον αὐτοῦ ἦν ὁ Ἰωάννης, καὶ ὅτι οὐκ ἔστιν οὗτος ἐναντίος ἐκείνῳ. Καὶ γὰρ ἔδει

(α) Ἰωάν. Αʹ, 9.

πρῶτον ἄλλον μαρτυρῆσαι περὶ αὐτοῦ, καὶ τότε αὐτὸν ἐλθεῖν. Τινὲς δὲ λέγουσιν, ὅτι δοκεῖ μὲν ὁ Χριστὸς τὰ αὐτὰ τῷ Ἰωάννῃ κηρύσσειν, οἷον τὸ, *μετανοεῖτε*, καὶ τὸ, *ἤγγικεν ἡ βασιλεία τῶν οὐρανῶν*, οὐκ ἔστι δέ· ὁ μὲν γὰρ Ἰωάννης, *μετανοεῖτε*, ἔλεγεν, ἐφ' οἷς ἡμαρτήκατε· ὁ δὲ Χριστὸς, *μετανοεῖτε*, ἀντὶ τοῦ, μεταβάλλεσθε ἀπὸ τῆς Παλαιᾶς ἐπὶ τὴν Καινήν. Καὶ παράγουσι μάρτυρα τὸν Μάρκον (α), προσθέντα τὸ, *Καὶ πιστεύετε ἐν τῷ εὐαγγελίῳ*. Καὶ ὁ μὲν Ἰωάννης, φασὶ, βασιλείαν οὐρανῶν, τὸν Χριστὸν ὠνόμασεν· ὁ δὲ Χριστὸς, τὴν οὐράνιον καὶ ἀγγελικὴν πολιτείαν, ἣν αὐτὸς ἔμελλε νομοθετεῖν, ὡς προειρήκαμεν. Ὁ μέντοι Μάρκος, ἀντὶ τοῦ, *βασιλεία τῶν οὐρανῶν*, *ἡ βασιλεία τοῦ θεοῦ*, εἶπε (β)· καὶ νοεῖται ἔτι, ὅτι ἤγγικεν ἡ βασιλεία τοῦ θεοῦ, ἵνα βασιλεύσῃ τῶν πιστευόντων. Τῶν μὲν γὰρ ἀπίστων φύσει ἐστὶ βασιλεὺς ὁ υἱὸς καὶ λόγος· τῶν δὲ πιστευόντων, καὶ φύσει καὶ προαιρέσει, ἑκουσίως δεχομένων τὸ ὑπ' αὐτοῦ βασιλεύεσθαι.

18 Περιπατῶν δὲ ὁ Ἰησοῦς παρὰ τὴν θάλασσαν τῆς
Γαλιλαίας, εἶδε δύο ἀδελφοὺς, Σίμωνα τὸν λεγό-
μενον Πέτρον, καὶ Ἀνδρέαν τὸν ἀδελφὸν αὐτοῦ,
βάλλοντας ἀμφίβληστρον εἰς τὴν θάλασσαν· (ἦ-
19 σαν γὰρ ἁλιεῖς). Καὶ λέγει αὐτοῖς· Δεῦτε ὀπίσω
20 μου, καὶ ποιήσω ὑμᾶς ἁλιεῖς ἀνθρώπων. Οἱ δὲ
εὐθέως ἀφέντες τὰ δίκτυα, ἠκολούθησαν αὐτῷ.

Ματθαῖος μὲν ἐνταῦθά φησιν, ὅτι μετὰ τὸ παραδοθῆναι τὸν Ἰωάννην, ἠκολούθησαν οὗτοι τῷ Ἰησοῦ· ὁ δὲ εὐαγγελιστὴς Ἰωάννης (γ) μᾶλλον, ὅτι πρὸ τοῦ παραδοθῆναι. Καὶ Ματ-

(α) Μαρκ Αʹ, 15.
(β) Μαρκ. Αʹ, 15.
(γ) Ἰωαν. Αʹ, 35. καὶ ἑξῆς.

θαῖος μὲν εἶπεν, ὅτι καὶ ἀμφοτέρους ὁ Ἰησοῦς ἐκάλεσεν· ὁ δὲ Ἰωάννης, ὅτι τὸν μὲν Ἀνδρέαν, ὁ Ἰησοῦς, τὸν δὲ Πέτρον, ὁ Ἀνδρέας. Ὅθεν φανερὸν, ὅτι δευτέρα αὕτη ἡ κλῆσις ἦν. Καὶ γὰρ ἀκολουθήσαντες αὐτῷ, πρὸ τοῦ παραδοθῆναι τὸν Ἰωάννην, ἐπανῆλθον πάλιν εἰς τὴν ἰδίαν πατρίδα, καὶ τὴν προτέραν τέχνην μετεχειρίζοντο, ἅτε τὸν μὲν Ἰωάννην ἰδόντες παραδοθέντα, τὸν δὲ Ἰησοῦν ἀναχωρήσαντα. Λοιπὸν οὖν ὁ Χριστὸς, ἐνδοὺς αὐτοῖς τὸ πρῶτον, ἔρχεται πάλιν ἀνακτησόμενος, καὶ κελεύει ἀκολουθεῖν, ἵνα, ἀνθ' ὧν εἶχον δικτύων, λαβόντες παρ' αὐτοῦ τὴν λογικὴν σαγήνην, καὶ βάλλοντες εἰς τὴν θάλασσαν τοῦ βίου, τοὺς ἀνθρώπους θηρεύσωσιν, ἀντὶ τῶν ἰχθύων. Σκόπει δὲ, πῶς εὐθέως ὑπήκουσαν, καὶ ἀφῆκαν, ἃ εἶχον, μηδέν τι προφασισάμενοι. Καὶ γὰρ οὕτως ὁ Χριστὸς βούλεται, παντὸς ἀναγκαίου προτιμᾷν τὸ ἀκολουθεῖν αὐτῷ. *Δεῦτε δὲ ὀπίσω μου*, εἶπεν, ἀντὶ τοῦ, *ἀκολουθήσατέ μοι*.

[Ἀδελφοὶ (1) δύο, γεγόνασι πρώτη κλῆσις τῷ Χριστῷ, διδάσκοντι καὶ διὰ τούτου τὸ προσήκειν ἀδελφικῶς πολιτεύεσθαι, καὶ ἀδελφὰ φρονεῖν, τοὺς μαθητευομένους αὐτῷ].

21 Καὶ προβὰς ἐκεῖθεν, εἶδεν ἄλλους δύο ἀδελφοὺς,
Ἰάκωβον τὸν τοῦ Ζεβεδαίου, καὶ Ἰωάννην τὸν
ἀδελφὸν αὐτοῦ, ἐν τῷ πλοίῳ μετὰ Ζεβεδαίου τοῦ
πατρὸς αὐτῶν, καταρτίζοντας τὰ δίκτυα αὐτῶν·
22 καὶ ἐκάλεσεν αὐτούς. Οἱ δὲ εὐθέως ἀφέντες
τὸ πλοῖον καὶ τὸν πατέρα αὐτῶν, ἠκολούθησαν
αὐτῷ.

Ὅρα καὶ τὴν τούτων πίστιν, δι' ἣν καὶ τοῦ πατρὸς κατεφρόνησαν. Χρὴ γὰρ καὶ τῶν γονέων προτιμᾷν τὸν Χριστόν. Οὐ μικρὰ δὲ ἀπόδειξις τῆς ἀρετῆς αὐτῶν, τὸ πενίαν φέρειν

(1) Τὰ παρεντεθειμένα ἀναγινώσκονται ἐν τῷ περισελιδίῳ παρὰ τῷ Α.

εὐκόλως, καὶ τὸ ἀπὸ τῶν οἰκείων τρέφεσθαι χειρῶν, καὶ τὸ συνδεδέσθαι ἀλλήλοις, καὶ τὸ τὸν πατέρα μεθ' ἑαυτῶν ἔχειν καὶ θεραπεύειν. Εἰκὸς δὲ, καὶ τούτους ἀκοῦσαι παρὰ Πέτρου καὶ Ἀνδρέου, ὅτι ὑπέσχετο ποιῆσαι τοὺς ἀκολουθοῦντας αὐτῷ, ἁλιεῖς ἀνθρώπων.

23 Καὶ περιῆγεν ὅλην τὴν Γαλιλαίαν ὁ Ἰησοῦς, διδάσκων ἐν ταῖς συναγωγαῖς αὐτῶν.

Περιῆγεν, ἀντὶ τοῦ, *περιήρχετο*. Ἐν ταῖς συναγωγαῖς δὲ ἐδίδασκε· τοῦτο μὲν, ἵνα πλείονας ἐφελκύσηται· τοῦτο δὲ, ἵνα μηδεὶς ἔχοι λέγειν, ὅτι λάθρα διδάσκων τοὺς ἀμαθεῖς, ἐξαπατᾷ τούτους, μὴ θαῤῥῶν ἐν πλήθει διδάσκειν.

23 Καὶ κηρύσσων τὸ εὐαγγέλιον τῆς βασιλείας.

Ὁ δὲ Μάρκος (α), *τῆς βασιλείας τοῦ θεοῦ*, ἔγραψεν. *Εὐαγγέλιον τῆς βασιλείας τοῦ θεοῦ* ἡ καινὴ Διαθήκη, ὡς περὶ τῆς βασιλείας τοῦ θεοῦ διαλαμβάνουσα, ἢ ὡς εἰσάγουσα εἰς τὴν βασιλείαν τοῦ θεοῦ τοὺς πειθομένους αὐτῇ.

23 Καὶ θεραπεύων πᾶσαν νόσον καὶ πᾶσαν μαλακίαν ἐν τῷ λαῷ.

Νόσος μέν ἐστιν, ἡ χρονία παρατροπὴ τῆς τοῦ σώματος ἕξεως· *μαλακία* δὲ, ἀρχὴ χαυνώσεως σώματος, προάγγελος νόσου. Ἀλλ' οὕτω μὲν ἐπὶ σώματος· ἐπὶ δὲ ψυχῆς, νόσος μὲν, ἁμαρτίας ἐνέργεια· μαλακία δὲ, χαύνωσις λογισμοῦ, πρὸς συγκατάθεσιν ἐνεργείας.

24 Καὶ ἀπῆλθεν ἡ ἀκοὴ αὐτοῦ εἰς ὅλην τὴν Συρίαν·

Ὁ δὲ Μάρκος εἶπεν, *Ἐξῆλθε δὲ ἡ ἀκοὴ αὐτοῦ εὐθὺς εἰς ὅλην τὴν περίχωρον τῆς Γαλιλαίας* (β). Ὁ δὲ Λουκᾶς, *Καὶ*

(α) Μαρκ. Α', 14.
(β) Μαρκ. Α', 28.

ἐξεπορεύετο ἦχος περὶ αὐτοῦ εἰς πάντα τόπον τῆς περιχώρου (α). Ἀκοὴν δὲ καὶ ἦχον, τὴν περὶ αὐτοῦ φήμην λέγουσιν. Ἣν δὲ εἶπε Συρίαν ὁ Ματθαῖος, ταύτην εἶπον οἱ ἄλλοι περίχωρον τῆς Γαλιλαίας. Ἀπῆλθε δὲ ἡ περὶ αὐτοῦ ἀκοή· διότι τοιαῦτα ἐδίδασκεν, οἷα οὐδέποτε ἤκουσαν, καὶ ὅτι τοὺς λόγους ἐβεβαίου τοῖς θαύμασι, καὶ ὅτι ἐξουσιαστικῶς καὶ ἐδίδασκε, καὶ ἐθαυματούργει, ὡς εὑρήσεις φανερώτερον ἐν τῷ Μάρκῳ.

24 Καὶ προσήνεγκαν αὐτῷ πάντας τοὺς κακῶς ἔχοντας, ποικίλαις νόσοις καὶ βασάνοις συνεχομένους, καὶ δαιμονιζομένους, καὶ σεληνιαζομένους, καὶ παραλυτικούς· καὶ ἐθεράπευσεν αὐτούς.

Μετὰ τὸ, *ποικίλαις νόσοις*, στικτέον τελείαν. Βασάνους δὲ λέγει, τὰς ἀπὸ τῶν νόσων ὀδύνας· ὁ δὲ *σεληνιασμὸς*, πάθος ἐστὶν ἀπὸ σεσηπότων χυμῶν συνιστάμενος. Ἐπεὶ γὰρ ἡ σελήνη, πλησιφαὴς γινομένη, φύσιν ἔχει, διὰ τῆς ἐκεῖθεν πεμπομένης αὐγῆς ἀνασχεῖν τὰς ἐν τοῖς σώμασιν ὑγρότητας, ταράσσονται τηνικαῦτα καὶ οὗτοι, καὶ λοιπὸν ἐξ αὐτῶν ἀτμὸς δριμὺς καὶ πονηρὸς ἀναφερόμενος, σπαράσσει τὸν ἐγκέφαλον, καὶ διαστρέφει τὸν ἄνθρωπον. Διότι δὲ ταῦτα πάσχουσιν ὑπὸ σελήνης, λέγεται *σεληνιασμός*. Διὰ τί δὲ παρ᾽ οὐδενὸς τούτων πρὸ τῆς θεραπείας οὐκ ἐπεζήτησε πίστιν, ὡς παρὰ πολλῶν ἄλλων ὕστερον; Διότι οὔπω τῆς ἑαυτοῦ δυνάμεως ἀπόδειξιν σαφῆ δέδωκεν. Ἄλλως τε δὲ, αὐτὸ τοῦτο, τὸ προσιέναι καὶ προσάγειν, οὐ τῆς τυχούσης πίστεως ἦν.

25 Καὶ ἠκολούθησαν αὐτῷ ὄχλοι πολλοὶ ἀπὸ τῆς Γαλιλαίας καὶ Δεκαπόλεως, καὶ Ἱεροσολύμων καὶ Ἰουδαίας, καὶ πέραν τοῦ Ἰορδάνου.

Καὶ ἀπὸ τοῦ τόπου δηλαδὴ, τοῦ πέραν τοῦ Ἰορδάνου.

(α) Λουκ. Δ', 37.

ΚΕΦΑΛΑΙΟΝ Ε'.

Περὶ τῶν μακαρισμῶν.

ΚΕΦ. V, 1. Ἰδὼν δὲ τοὺς ὄχλους, ἀνέβη εἰς τὸ ὄρος.

[Εἰς (1)] ὄρος ἀναβὰς ἐξέθετο τοὺς μακαρισμοὺς ὁ Κύριος, διδάσκων κἀντεῦθεν, ὅτι χρὴ τὸν μακαρισμοῦ τυχεῖν ἐφιέμενον ἀποστῆναι τῶν χαμαιζήλων, καὶ πρὸς τὰ ὑψηλότερα μετεωρισθῆναι.]

Ἀνέβη δὲ εἰς τὸ ὄρος τὸ πλησίον, ἅμα μὲν ἐκκλίνων τοὺς ἐν μέσῳ θορύβους, ἅμα δὲ καὶ ἀπερίσπαστον τὴν διδασκαλίαν ποιήσασθαι βουλόμενος. Μετέβη γὰρ ἀπὸ τῆς θεραπείας τῶν σωμάτων ἐπὶ τὴν ἰατρείαν τῶν ψυχῶν. Οὕτω γὰρ ἀεὶ ποιῶν διετέλει, μεταβαίνων ἀπ᾽ ἐκείνης ἐπὶ ταύτην, καὶ αὖθις ἀπὸ ταύτης ἐπ᾽ ἐκείνην, καὶ ποικίλην παρεχόμενος τὴν ὠφέλειαν.

1 Καὶ καθίσαντος αὐτοῦ, προσῆλθον αὐτῷ οἱ μαθηταὶ αὐτοῦ.

Συνανῆλθον μὲν καὶ οἱ ὄχλοι, προσῆλθον δὲ οἱ μαθηταὶ, ὡς οἰκειότερον αὐτῷ διακείμενοι, θέλοντες διδαχθῆναί τι παρ᾽ αὐτοῦ.

2 Καὶ ἀνοίξας τὸ στόμα αὐτοῦ, ἐδίδασκεν αὐτούς.

Τίνος ἕνεκεν εἶπεν, ὅτι *Καὶ ἀνοίξας τὸ στόμα αὐτοῦ;* Διότι καὶ μὴ ἀνοίγων αὐτὸ ἐδίδασκεν αὐτοὺς, ἀφ᾽ ὧν ἔπραττε. Πρὸς μὲν οὖν τοὺς μαθητὰς ἀποτείνει τοὺς λόγους, ἵνα ἀνεπαχθὴς δόξῃ τοῖς ὄχλοις, κοινοὺς δὲ αὐτοὺς ποιεῖται πρὸς πάντας ἀνθρώπους καὶ καθολικούς.

(1) Τὰ παρεντεθειμένα ἀναγινώσκονται ἐν τῷ περιθωρίῳ παρὰ τῷ Α.

3 Λέγων· Μακάριοι οἱ πτωχοὶ τῷ πνεύματι· ὅτι αὐτῶν ἐστιν ἡ βασιλεία τῶν οὐρανῶν.

Οὐκ εἶπεν, *οἱ πτωχοὶ τοῖς χρήμασιν*, ἀλλ', *οἱ πτωχοὶ τῷ πνεύματι*, τουτέστιν οἱ ταπεινοὶ τῇ προαιρέσει καὶ τῇ ψυχῇ (1)· ταύτην νῦν πνεῦμα ὀνομάσας. Οὐ γὰρ ὁ ἐκ περιστάσεώς τινος ταπεινὸς, οὗτος μακαριστός· διότι οὐδὲν τῶν ἀπροαιρέτων μακαριστόν. Πᾶσα γὰρ ἀρετὴ τῷ ἑκουσίῳ χαρακτηρίζεται. Πτωχὸν δὲ ἐνταῦθα, τὸν ταπεινὸν ἐκάλεσεν, ἀπὸ τοῦ κατεπτηχέναι, ὅ ἐστι πεφοβῆσθαι. Ὁ γὰρ ταπεινόφρων ἀεὶ φοβεῖται τὸν θεὸν, ὡς μηδέποτε εὐαρεστήσας αὐτῷ. Σκόπει δὲ, ὁποῖον θεμέλιον τῆς διδασκαλίας κατεβάλετο. Ἐπεὶ γὰρ ἡ ὑψηλοφροσύνη τόν τε διάβολον κατέβαλε, καὶ τὸν πρωτόπλαστον ἐξέβαλεν, οἰηθέντα θεὸν ἔσεσθαι μετὰ τὴν τοῦ ξύλου βρῶσιν, καὶ ῥίζα καὶ πηγὴ τῶν κακῶν ἁπάντων γέγονεν αὕτη, ἀντίπαλον αὐτῇ κατασκευάζει φάρμακον, τὴν ταπεινοφροσύνην, καὶ ῥίζαν ταύτην καὶ κρηπῖδα τῶν ἀρετῶν ὑποτίθησιν, ἧς ὑποσπασθείσης ἅπαντα τἄλλα, καὶ εἰ μέχρι τοῦ οὐρανοῦ φθάνουσιν, ὑποσύρονται καὶ καταπίπτουσιν, ὡς ἐπὶ τοῦ Φαρισαίου.

Κατάλληλον δὲ καὶ τὸ ταύτης ἔπαθλον. Ἀντὶ γὰρ τῆς ἄκρας ἀτιμίας, ἄκρα τιμὴ, καὶ ἧς οὐκ ἔστιν εὑρεῖν ἐπέκεινα. Ἐν τάξει δὲ μακαρισμοῦ τὰς ἐντολὰς ταύτας εἰσήγαγεν, ἀνεπαχθέστερον τὸν λόγον ποιῶν. Ἔδει γὰρ ἐν ἀρχῇ πρᾳότερον αὐτοῖς ὁμιλῆσαι, καὶ οὕτως ἠρέμα προβαίνειν εἰς τὸ ἐπιτάττειν.

†† Τίνος ἕνεκεν (2) οὐκ εἶπεν, *οἱ ταπεινοὶ*, ἀλλ' *οἱ πτωχοί*; Ὅτι τοῦτο ἐκείνου πλέον. Καὶ γὰρ πολλοὶ τῆς ταπεινοφροσύνης οἱ τρόποι· καὶ ὁ μέν ἐστι ταπεινὸς συμμέτρως· ὁ δὲ, μεθ' ὑπερβολῆς ἁπάσης. Ταύτην καὶ ὁ μακάριος Δαυῒδ (α) ἐπαινεῖ λέγων· *Καρδίαν συντετριμμένην καὶ τεταπεινωμένην ὁ θεὸς οὐκ ἐξουδενώσει.*

(1) τῇ ψυχῇ καὶ τῇ προαιρέσει, παρὰ τῷ Α.

(2) Τὸ σχόλιον τοῦτο δὲν εὑρίσκεται παρ' οὐδετέρῳ τῶν δύο χειρογράφων. Εἴληπται δὲ ἐκ τοῦ Χρυσοστόμου Τομ. Ζ'. Σελ. 185. Ε. 186. Α.

4 Μακάριοι οἱ πενθοῦντες· ὅτι αὐτοὶ παρακληθήσονται.

Ἐπεὶ πάντες ὑπελάμβανον μακαρίους μὲν, τοὺς ἐν χαρᾷ, ἀθλίους δὲ, τοὺς ἐν θλίψει, πρόῤῥιζον ἀνασπᾷ τὴν τοιαύτην ὑπόληψιν, τοὐναντίον ὑποτιθέμενος. *Πενθοῦντας* δὲ λέγει, οὐ τοὺς ἁπλῶς πενθοῦντας, ἀλλὰ τοὺς ὑπὲρ ἁμαρτημάτων. Τὸ γὰρ ὑπὲρ βιωτικοῦ πράγματος πενθεῖν, ἄθλιον καὶ κεκωλυμένον. Φησὶ γὰρ ὁ Παῦλος, ὅτι *Ἡ μὲν τοῦ κόσμου λύπη, θάνατον κατεργάζεται· ἡ δὲ κατὰ θεὸν, μετάνοιαν εἰς σωτηρίαν ἀμεταμέλητον* (β). Καὶ πῶς ὁ Παῦλος πάλιν εἶπε, *Χαίρετε ἐν Κυρίῳ πάντοτε* (γ); Διότι κἀκεῖνος τὴν ἐκ τοῦ πένθους λέγει χαράν. Ἔχει γὰρ τοῦτο χαρὰν συγκεκληρωμένην. Καθάπερ γὰρ, ὑετοῦ σφοδροῦ καταῤῥαγέντος, εὐδία γίνεσθαι εἴωθεν, οὕτω καὶ, δακρύων κατενεχθέντων, γαλήνη καὶ χαρὰ τῇ ψυχῇ ἐγγίνεται.

Βούλεται δὲ νῦν ὁ λόγος πενθεῖν ἡμᾶς μὴ μόνον ὑπὲρ τῶν οἰκείων ἁμαρτημάτων, ἀλλὰ καὶ ὑπὲρ τῶν ἀλλοτρίων, οἵα ἦν ἡ ψυχὴ Μωϋσέως, καὶ Δαυῒδ, καὶ Παύλου, καὶ τῶν τοιούτων. *Παρακληθήσονται* δὲ, ἤγουν εὐφρανθήσονται. Ποῦ; Καὶ ἐνταῦθα καὶ ἐκεῖ· ἐνταῦθα μὲν, τῇ ἐλπίδι τῆς ἀπολυτρώσεως αὐτῶν· ἐκεῖ δὲ, οὐ μόνον τῇ ἀφέσει τούτων, ἀλλὰ καὶ τῇ μακαριότητι.

†† Εἰ γὰρ (1) οἱ παῖδας καὶ γυναῖκας ἀποθανόντας θρηνοῦν-

(α) Ψαλμ. Ν', 19.

(β) Β' Κορ. Ζ', 10.

(γ) Φιλιπ. Δ', 4.

(1) Τὸ σχόλιον τοῦτο δὲν εὑρίσκεται παρ' οὐδετέρῳ τῶν δύο χειρογράφων· εἴληπται δὲ καὶ τοῦτο ἐκ τοῦ Χρυσοστόμου. Τομ. Ζ'. Σελ. 187. D

τες, οὐ χρημάτων, οὐ σωμάτων ἐρῶσιν· οὐδὲ κατ᾿ ἐκεῖνον τῆς ὀδύνης τὸν καιρὸν ἄλλου τινὸς ἐφίενται, οὐχ ὕβρεσι παροξύνονται, οὐχ ὑπὸ ἄλλου πολιορκοῦνταί τινος πάθους· πόσῳ μᾶλλον οἱ τὰ ἁμαρτήματα πενθοῦντες τὰ ἑαυτῶν, ὡς πενθεῖν ἄξιον;

5 Μακάριοι οἱ πρᾳεῖς· ὅτι αὐτοὶ κληρονομήσουσι τὴν γῆν.

Ἐπεὶ πάλαι τοῖς ἀνθρώποις περισπούδαστος ἦν ἡ κληρονομία τῆς γῆς, τίθησι καὶ ταύτην ἔπαθλον ἀρετῆς. Καὶ τινὲς μὲν γῆν νοητὴν ἐν οὐρανῷ λέγουσιν· ὁ δὲ Χρυσόστομος φησὶ (1), ὅτι καὶ αἰσθητὸν τέθεικεν ἔπαθλον, διὰ τοὺς παχυτέρους, τοὺς τὰ αἰσθητὰ πρὸ τῶν νοητῶν ζητοῦντας. Εἴωθε γὰρ δι᾿ ὅλου τοῦ εὐαγγελίου προτρέπειν εἰς ἀρετὴν, ποτὲ μὲν, ἀπὸ τῶν μελλόντων, ποτὲ δὲ, ἀπὸ τῶν παρόντων, καὶ οὔτε, ὅταν νοητὰ ἔπαθλα τίθησιν, ἀποστερεῖ τῶν αἰσθητῶν, οὔτε, ὅταν αἰσθητὰ, ἀφαιρεῖται τὰ νοητά. *Ζητεῖτε* (α) *γὰρ*, φησι, *τὴν βασιλείαν τοῦ θεοῦ, καὶ ταῦτα πάντα προστεθήσεται ὑμῖν*. Καὶ αὖθις· *Οὐδεὶς ἐστιν, ὃς ἀφῆκεν οἰκίαν ἢ γονεῖς*, καὶ τὰ ἑξῆς, *ὃς οὐ μὴ ἀπολάβῃ πολλαπλασίονα ἐν τῷ καιρῷ τούτῳ, καὶ ἐν τῷ αἰῶνι τῷ μέλλοντι ζωὴν αἰώνιον* (ϐ).

†† *Πρᾳεῖς* (2) λέγονται, οὐχ οἱ μηδόλως ὀργιζόμενοι· οἱ τοιοῦτοι γὰρ ἀναίσθητοι· ἀλλ᾿ οἱ θυμὸν μὲν ἔχοντες, κρατοῦντες δὲ, καὶ ὅτε δεῖ ὀργιζόμενοι, ὡς καὶ Δαυῒδ εἶπεν· *Ὀργίζεσθε, καὶ μὴ ἁμαρτάνετε* (γ).

(1) Τόμ. Ζ΄. Σελ. 188. C.
(α) Ματθ. ϛ΄, 33.
(ϐ) Λουκ. ΙΗ΄, 29. 30.
(2) Ἐκ τοῦ Θεοφυλάκτου. Σελ. 26. C.
(γ) Ψαλμ. Δ΄. 5.

6 Μακάριοι οἱ πεινῶντες καὶ διψῶντες τὴν δικαιοσύνην· ὅτι αὐτοὶ χορτασθήσονται.

Ἐπεὶ μέλλει περὶ ἐλεημοσύνης εἰπεῖν, προαναιρεῖ τὴν πλεονεξίαν, ἵνα καθαρὸς ὁ ἔλεος γίνηται. Ἡ δικαιοσύνη γὰρ ἀντίπαλός ἐστι τῇ πλεονεξίᾳ. *Οἱ πεινῶντες δὲ καὶ διψῶντες* εἶπεν, ἀντὶ τοῦ, οἱ σφόδρα ἐπιθυμοῦντες· ἵνα ὁ σφοδρὸς ἔρως τῆς πλεονεξίας, ἐπὶ τὴν δικαιοσύνην μεταστὰς, ἀνέλῃ ἐκείνην. *Χορτασθήσονται* δὲ, παντὸς ἀγαθοῦ.

†† Ἐπειδὴ (1) οἱ πλεονέκται δοκοῦσιν εὔποροι εἶναι καὶ χορτάζεσθαι· διὰ τοῦτό φησιν, ὅτι οἱ δίκαιοι μᾶλλον χορτασθήσονται.

7 Μακάριοι οἱ ἐλεήμονες· ὅτι αὐτοὶ ἐλεηθήσονται.

Παρὰ τοῦ θεοῦ, δηλονότι· πλὴν οὐ τοσοῦτον, ὅσον ἠλέησαν. Ὅση γάρ ἐστι διαφορὰ πονηρίας καὶ ἀγαθότητος, ἢ μᾶλλον, ὅση ἀνθρώπου καὶ θεοῦ, τοσαύτη καὶ ἀνθρωπίνης καὶ θείας ἐλεημοσύνης.

†† Οὐχὶ (2) διὰ χρημάτων μόνον ἐστὶν ἐλεεῖν, ἀλλὰ καὶ λόγου· κἂν μηδὲν ἔχῃς, διὰ δακρύων. Ποικίλος γὰρ ὁ τῆς ἐλεημοσύνης τρόπος, καὶ πλατεῖα αὕτη ἡ ἐντολή. Ἐλεηθήσονται δὲ ἐνταῦθα μὲν, παρὰ ἀνθρώπων· ἐκεῖ δὲ, παρὰ τοῦ θεοῦ.

8 Μακάριοι οἱ καθαροὶ τῇ καρδίᾳ· ὅτι αὐτοὶ τὸν θεὸν ὄψονται.

Καθαροὺς τῇ καρδίᾳ νόει, τοὺς μηδέν τι πονηρὸν ἑαυτοῖς συνειδότας, ἢ τοὺς φυλάσσοντας τὴν καρδίαν ἀμόλυντον ἀπὸ τῶν ἡδυπαθειῶν, ὅπερ ὁ Παῦλος ἁγιασμὸν ἐκάλεσεν, εἰπών· *Εἰρήνην διώκετε μετὰ πάντων, καὶ τὸν ἁγιασμὸν, οὗ χω-*

(1) Καὶ τοῦτο ἐκ τοῦ Θεοφυλάκτου. Σελ. 26. D.
(2) Θεοφύλακτος Σελ. 26. Ε. καὶ Χρυσόστομος Τομ. Ζ΄. Σελ. 189. D.

ρὶς οὐδεὶς ὄψεται τὸν Κύριον. (α) Ὄψονται δὲ τὸν θεὸν, ὡς δυνατὸν ἀνθρωπίνῃ φύσει. Τέθεικε δὲ τὸν μακαρισμὸν τοῦτον μετὰ τὸν τῆς ἐλεημοσύνης· διότι πολλοὶ δικαιοσύνην καὶ ἐλεημοσύνην κατορθοῦντες, ἡττῶνται τῆς ἡδυπαθείας, καὶ δείκνυσιν, ὅτι οὐκ ἀρκοῦσιν ἐκεῖναι μόναι αἱ ἀρεταί.

†† *Καθαροὶ* (1) *τῇ καρδίᾳ* εἰσὶν οἱ σώφρονες. Τοῦ ἁγιασμοῦ γὰρ, ἤτοι τῆς σωφροσύνης χωρὶς, οὐδεὶς ὄψεται τὸν Κύριον (β). Ὥσπερ γὰρ τὸ κάτοπτρον, ἐὰν ᾖ καθαρὸν, τότε δέχεται τὰς ἐμφάσεις· οὕτω καὶ ἡ καθαρὰ ψυχὴ δέχεται ὄψιν θεοῦ.

9 Μακάριοι οἱ εἰρηνοποιοί· ὅτι αὐτοὶ υἱοὶ θεοῦ κληθήσονται.

Οἱ μὴ μόνον αὐτοὶ μὴ στασιάζοντες, ἀλλὰ καὶ ἑτέρους στασιάζοντας συνάγοντες εἰς εἰρήνην. Υἱοὶ δὲ *θεοῦ κληθήσονται*, ὡς μιμησάμενοι τὸν μονογενῆ υἱὸν αὐτοῦ· ᾧ γέγονεν· ἔργον, συναγαγεῖν τὰ διεστῶτα, καὶκαταλλάξαι τὰ ἐκπεπολεμωμένα. Εἴη δ' ἂν μεμακαρισμένος εἰρηνοποιὸς, καὶ ὁ εἰρηνεύσας τὸ θέλημα τῆς ἰδίας σαρκὸς μετὰ τοῦ θελήματος τῆς ψυχῆς αὐτοῦ, καὶ ὑποτάξας τὸ χεῖρον τῷ κρείττονι.

†† Οὐ μόνον (2) οἱ εἰρηνεύοντες αὐτοὶ πρὸς πάντας, ἀλλὰ καὶ οἱ ἑτέρους ςασιάζοντας καταλλάσσοντες. Εἰρηνοποιοὶ δέ εἰσι καὶ οἱ διὰ διδασκαλίας τοὺς ἐχθροὺς τοῦ θεοῦ ἐπιστρέφοντες. Υἱοὶ δὲ θεοῦ οἱ τοιοῦτοι· καὶ γὰρ καὶ ὁ μονογενὴς κατήλλαξεν ἡμᾶς τῷ θεῷ.

(α) Ἑβρ. ΙΒ', 14.
(1) Ἐκ τοῦ Θεοφυλάκτου. Σελ. 26. Ε.
(β) Ἑβρ. ΙΒ', 14.
(2) Ἐκ τοῦ Θεοφυλάκτου. Σελ. 27. Α.

10 Μακάριοι οἱ δεδιωγμένοι ἕνεκεν δικαιοσύνης· ὅτι αὐτῶν ἐστιν ἡ βασιλεία τῶν οὐρανῶν.

Τοῦτο εἶπεν, ἵνα μὴ νομίσῃς, ὅτι πανταχοῦ καλὸν ἡ εἰρήνη. *Δικαιοσύνην* δὲ νῦν, καθόλου πᾶσαν ἀρετὴν ὠνόμασεν. Ἐπεὶ δὲ καὶ τούτου τοῦ κατορθώματος ἔπαθλον τέθεικε τὴν βασιλείαν τῶν οὐρανῶν, μὴ δυσχεράνῃς ἐπὶ τοῖς ἀλλοῖον ἔχουσιν ἔπαθλον. Εἰ γὰρ καὶ διάφοροι δοκοῦσιν αἱ ῥηθεῖσαι ἀμοιβαὶ διὰ τὴν ἑτερότητα τῶν ὀνομάτων, ἀλλ' οὖν πᾶσαι τὴν βασιλείαν τῶν οὐρανῶν αἰνίττονται. Πάντες γὰρ οἱ τούτων ἀξιωθέντες, καὶ τῆς βασιλείας τῶν οὐρανῶν ἀπολαύουσι· διὸ καὶ πάντες μακάριοι ὠνομάσθησαν.

[*Βασιλείαν* (1) *τῶν οὐρανῶν*, οἱ μὲν λέγουσι, τὴν ἐν οὐρανοῖς διαγωγὴν, οἱ δὲ, τὴν ἰσάγγελον ἐν οὐρανοῖς κατάστασιν, οἱ δὲ, τὸ εἶδος τῆς θεϊκῆς ὡραιότητος τῶν φορεσάντων τὴν εἰκόνα τοῦ ἐπουρανίου, ἥτις δίδοται κατὰ τὸ ποιόν τε καὶ ποσὸν τῆς ἐν ἑκάστῳ δικαιοσύνης, οἱ δὲ, τὴν κατὰ χάριν μετάδοσιν τῶν φυσικῶς προσόντων τῷ θεῷ ἀγαθῶν. Τῶν τεσσάρων δὲ, τὸ τρίτον καὶ τὸ τέταρτον, καὶ *βασιλείαν τοῦ θεοῦ* λέγουσιν.]

†† Οὐ μόνον (2) οἱ μάρτυρες διώκονται, ἀλλὰ καὶ πολλοὶ ἕνεκεν τοῦ βοηθεῖν τοῖς ἀδικουμένοις, καὶ πάσης ἁπλῶς ἀρετῆς. Δικαιοσύνη γάρ, ἡ πᾶσα ἀρετή. Ἐπεὶ καὶ κλέπται καὶ φονεῖς διώκονται, ἀλλ' οὐ μακάριοι.

11 Μακάριοί ἐστε, ὅταν ὀνειδίσωσιν ὑμᾶς καὶ διώξωσι,

(1) Ταῦτα καὶ παρὰ τοῖς δυσὶ χειρογράφοις ἐν τῷ περισελιδίῳ.

(2) Τὸ σχόλιον τοῦτο εὕρηκεν ὁ Εντένιος ἐν τῷ περισελιδίῳ τοῦ ἑαυτοῦ χειρογράφου· δὲν εὑρίσκεται δὲ οὔτε παρὰ τῷ Α, οὔτε παρὰ τῷ Β, καὶ ἐλήφθη ἐκ τοῦ Θεοφυλάκτου Σελ. 27. Β.

καὶ εἴπωσι πᾶν πονηρὸν ῥῆμα καθ' ὑμῶν, ψευδόμενοι, ἕνεκεν ἐμοῦ.

Ἵνα μὴ ὑπολάβῃς, ὅτι τὸ ἁπλῶς πονηροῖς ῥήμασι βάλλεσθαι μακάριον, δύο προσέθηκε διορισμοὺς, τὸ, ψευδῆ τὰ λεγόμενα εἶναι, καὶ διὰ τὸν Χριστὸν ταῦτα λέγεσθαι. Εἰ γὰρ μὴ ταῦτα οὕτως ἔχει, μᾶλλον ἄθλιος ὁ κακῶς ἀκούων. Τί τῶν ῥηθεισῶν τούτων παραινέσεων παραδοξότερον γένοιτ' ἂν, ὅταν τὰ πᾶσι φευκτὰ, πᾶσι ποθεινὰ γίνηται, διὰ τὴν τῶν ἐπάθλων μεγαλειότητα; Ὁ δὲ καὶ φορτικὰ, καὶ ἐναντία τῇ μέχρι τότε συνηθείᾳ τῶν ἀνθρώπων δογματίσας, ὅμως καὶ ἔπεισε, καὶ πείθει σχεδὸν πᾶσαν τὴν οἰκουμένην.

12 Χαίρετε καὶ ἀγαλλιᾶσθε· ὅτι ὁ μισθὸς ὑμῶν πολὺς ἐν τοῖς οὐρανοῖς.

Χαίρετε καὶ *ἀγαλλιᾶσθε* πάντες οἱ ὀνειδιζόμενοι, καὶ διωκόμενοι, καὶ κακῶς ἀκούοντες, ὡς εἴρηται. Εἰπὼν δὲ, ὅτι *ὁ μισθὸς ὑμῶν πολὺς ἐν τοῖς οὐρανοῖς*, ἐπήγαγε καὶ ἑτέραν παράκλησιν.

†† Τὸ γὰρ (1) ὑπομεῖναι ὄνειδος, μέγα καὶ χαλεπώτατον. Διὸ καὶ ὁ Ἰὼβ, τοὺς ἄλλους ὑπομείνας πειρασμοὺς, τότε μάλιστα ἐταράχθη, ὅτε ὠνείδιζον αὐτῷ οἱ ἄλλοι φίλοι, ὡς δι' ἁμαρτίας πάσχοντι.

12 Οὕτω γὰρ ἐδίωξαν τοὺς προφήτας τοὺς πρὸ ὑμῶν.

Ἐντεῦθεν φανερὸν, ὅτι τὸ, *μακάριοί ἐστε*, καὶ τὰ ἑξῆς, ἰδίως πρὸς τοὺς μαθητὰς εἴρηκε· διὰ μέσου δὲ αὐτῶν, καὶ πρὸς ἅπαντας, ὅσοι μέλλουσι μιμεῖσθαι τοὺς μαθητὰς αὐτοῦ. Οὕτω γὰρ ἐδίωξάν, φησι, τοὺς προφήτας τοὺς πρὸ ὑμῶν. Πῶς

(1) Ἐκ τοῦ Θεοφυλάκτου, Σελ. 27. C.

οὕτως; Ὀνειδίζοντες δηλονότι, καὶ διώκοντες, καὶ λέγοντες πᾶν πονηρὸν ῥῆμα κατ' αὐτῶν ψευδόμενοι, ἕνεκεν τοῦ θεοῦ. Ὥσπερ γὰρ ὑμεῖς παρ' ἐμοῦ ἀποσταλήσεσθε, κηρύξοντες, ὅσα ἐντέλλομαι· οὕτω δὴ κἀκεῖνοι παρὰ τοῦ θεοῦ ἀπεστάλησαν. Εἰπὼν δὲ, ὅτι *τοὺς προφήτας τοὺς πρὸ ὑμῶν*, ἐνέφηνεν, ὅτι καὶ οὗτοι προφητεύσουσιν. Εἰ τοίνυν ἐκείνοις οὐκ ἦν ἐπίψογον, τὸ πάσχειν διὰ θεὸν, πάντως οὐδ' ὑμῖν. Οὕτω τοῖς προφήταις παρισώσας αὐτοὺς, ἀνέστησεν αὐτῶν τὰ φρονήματα.

Βλέπε δὲ, μετὰ πόσας ἐντολὰς τὸν μακαρισμὸν τοῦ διωγμοῦ τοῦ ἕνεκεν δικαιοσύνης, καὶ τὸν τοῦ ὀνειδισμοῦ, καὶ τῆς διώξεως, καὶ τῆς κακολογίας τέθεικε, δηλῶν, ὅτι χρὴ πάσαις ταῖς προλαβούσαις ἐντολαῖς συγκεκροτῆσθαι τὸν εἰς τούτους τοὺς ἀγῶνας ἀποδυόμενον. Διὰ τοῦτο γὰρ καὶ τάξει τινὶ χρησάμενος χρυσῆν ἡμῖν σειρὰν ὕφηνεν. Ὁ μὲν γὰρ ταπεινὸς, καὶ τὰ οἰκεῖα πενθήσει παραπτώματα· ὁ δὲ ταῦτα πενθῶν, καὶ πρᾶος ἔσται· ὁ δὲ πρᾶος, πάντως ἔσται καὶ δίκαιος· ὁ δὲ δίκαιος, καὶ ἐλεήσει· ὁ δὲ ταῦτα πάντα κατορθώσας, καὶ καθαρὸς ἔσται τῇ καρδίᾳ· ὁ δὲ τοιοῦτος, καὶ εἰρηνοποιός· ὁ δὲ μέχρι τούτου προκόψας, καὶ πρὸς κινδύνους παρατάξεται, καὶ τὰ ἑξῆς ὑποστήσεται μεγαλοψύχως. Παραινέσας τοίνυν, ἃ προσῆκεν, ἀναπαύει πάλιν αὐτοὺς τοῖς ἐγκωμίοις.

13 Ὑμεῖς ἐστε τὸ ἅλας τῆς γῆς.

Γῆν ἐνταῦθα τοὺς ἀνθρώπους ἐκάλεσεν, ὡς ἐκ γῆς πλασθέντας. Ὃ δὲ λέγει, τοιοῦτόν ἐστιν: Οἱ ἄνθρωποι πάντες σεσήπασι ταῖς ἁμαρτίαις, διαφθαρέντες ὑπὸ τῆς ὑγρότητος τῶν παθῶν. Ὑμεῖς οὖν, ἐκλεγέντες παρ' ἐμοῦ πρὸς ἰατρείαν τῆς παγκοσμίου ταύτης σηπεδόνος, ἐστὲ τὸ ἅλας τῶν ἀνθρώπων, δύναμιν λογικὴν ἐξ ἐμοῦ λαμβάνοντες στύφειν (1) αὐτοὺς καὶ

(1) Τὸ, στύφειν, δὲν ἐξαρτᾶται τόσον ὀρθῶς ἀπὸ τοῦ, δύναμιν, καὶ πρέπει νὰ προστεθῇ ἢ τὸ, τοῦ, ἢ τὸ, ὥστε.

ἐπισφίγγειν, καὶ ἀποκτείνειν μὲν τοὺς ἀοράτους σκώληκας, φημὶ δὴ τοὺς ἐμπαθεῖς λογισμοὺς, ἀπαλλάττειν δὲ τῆς δυσωδίας τῶν ἁμαρτημάτων.

†† Οἱ μὲν προφῆται (1) εἰς ἓν ἔθνος ἀπεστάλησαν· ὑμεῖς δὲ τῆς γῆς ἁπάσης ἐστὲ τὸ ἅλας, διὰ τῆς διδασκαλίας καὶ τῶν ἐλέγχων στύφοντες τοὺς χαύνους, ἵνα μὴ γεννήσωσι τοὺς ἀτελευτήτους σκώληκας. Ὥστε μὴ ἀποβάλλητε τὴν στυφνότητα τῶν ἐλέγχων, κἂν ὀνειδίζησθε, κἂν διώκησθε. Διό φησιν· *Ἐὰν δὲ τὸ ἅλας μωρανθῇ, ἐν τίνι ἁλισθήσεται; Εἰς οὐδὲν ἰσχύει ἔτι, εἰ μὴ βληθῆναι ἔξω, καὶ καταπατεῖσθαι ὑπὸ τῶν ἀνθρώπων.* Ὁ γὰρ διδάσκαλος ἐὰν μωρανθῇ, τουτέστιν, εἰ οὐκ ἐλέγχει καὶ στύφει, ἀλλὰ χαυνωθῇ, ἐν τίνι ἁλισθήσεται, τουτέστι, διορθωθήσεται; Ἀπὸ τότε οὖν ἔξω ῥίπτεται τοῦ διδασκαλικοῦ ἀξιώματος καὶ καταπατεῖται, τουτέστι, καταφρονεῖται.

13 Ἐὰν δὲ τὸ ἅλας μωρανθῇ, ἐν τίνι ἁλισθήσεται;

Μωρία ἅλατός ἐστιν, ἡ ἀσθένεια τῆς ποιότητος αὐτοῦ. Λέγει τοίνυν, ὅτι **Βλέπετε**, οἵαν διακονίαν ἐγχειρίζεσθαι μέλλετε, καὶ ἀγωνίζεσθε, μὴ χαυνωθῆναι διωγμοῖς, ἢ ὀνειδισμοῖς, ἢ κακολογίαις, ὡς προδεδήλωται, μηδ' ἀποβαλεῖν τὴν ὠφέλιμον ποιότητα. *Ἐὰν γὰρ τὸ ἅλας μωρανθῇ, ἐν τίνι ἁλισθήσεται;* τουτέστιν, ἐὰν ὑμεῖς χαυνωθῆτε, ἢ τὴν ὠφέλιμον ποιότητα ἀποβάλητε, ἐν τίνι ἑτέρῳ ἅλατι ἁλισθήσεσθε, εἴτουν ἀρτυθήσεσθε; ὡς ὁ Μάρκος (α) εἶπεν. Ὑμεῖς γάρ ἐστε τὸ ἐκλεγὲν ἅλας, καὶ οὐχ ὑπολέλειπται ἕτερον. Ὅσῳ τοίνυν προεκρίθητε πάντων εἰς τὴν τοιαύτην διακονίαν, τοσούτῳ προσέχειν ὀφείλετε, ἵνα μὴ καὶ τῆς ἑαυτῶν χαυνότητος, καὶ ἀνενεργησίας, καὶ τῆς τῶν σεσημμένων, ὡς εἴρηται, ἀπωλείας ἀπαιτηθῆτε δίκην.

(1) Τὸ σχόλιον τοῦτο ἐκ τοῦ Θεοφυλάκτου Σελ. 27. Ε.

(α) Μαρκ. Θ', 50. — Ὁ Μάρκος ἔχει, ἀρτύσετε· ὁ δὲ ὑπομνηματιστὴς μετήλλαξε τὸν χρόνον πρὸς τὸ παρὰ τῷ Ματθαίῳ.

13 Εἰς οὐδὲν ἰσχύει ἔτι, εἰ μὴ βληθῆναι ἔξω, καὶ καταπατεῖσθαι ὑπὸ τῶν ἀνθρώπων.

Εἰς οὐδὲν ἔτι χρησιμεύει, μωρανθὲν τὸ δηλωθὲν ἅλας, εἰ μὴ εἰς τὸ ῥιφῆναι ἔξω τῆς δεσποτικῆς αὐλῆς, καὶ *καταπατεῖσθαι*, ὅ ἐστι καταφρονεῖσθαι παρὰ τῶν ἀνθρώπων.

14 Ὑμεῖς ἐστε τὸ φῶς τοῦ κόσμου.

Κόσμον πάλιν, τοὺς ἐν τῷ κόσμῳ εἶπεν ἀνθρώπους, ὧν σκοτισθέντων τῷ ζόφῳ τῆς πλάνης, ὑμεῖς, φησὶν, ἐξελέγητε εἶναι φῶς αὐτῶν, ὥστε φωτίζειν τὰ ὄμματα τῶν ψυχῶν αὐτῶν, φωτὶ διδασκαλίας καὶ φωτὶ γνώσεως, χειραγωγεῖν αὐτοὺς ἐπὶ τὴν ὀρθὴν τρίβον τῆς εὐσεβείας. Δύο τοίνυν διακονίας ἐνεχειρίσθησαν, τὸ *ἁλίζειν*, καὶ τὸ *φωτίζειν*. Δεῖ γὰρ πρῶτον ἀπαλλαγῆναι τῆς σηπεδόνος, εἶτα συνετισθῆναι.

14 Οὐ δύναται πόλις κρυβῆναι ἐπάνω ὄρους κειμένη.

Διὰ ταύτης τῆς παραβολῆς, καὶ τῆς μετὰ ταύτην, εἰς ἀκρίβειαν, καὶ ἀσφάλειαν βίου τούτους ἐνάγει, καὶ ἐναγωνίους εἶναι κελεύει, ὡς ὑπὸ τοῖς ἁπάντων ὀφθαλμοῖς τοῦ λοιποῦ κειμένους, καὶ ἐν μέσῳ τῷ θεάτρῳ τῆς οἰκουμένης ἀγωνιζομένους. *Οὐ δύναται*, φησι, *πόλις κρυβῆναι ἐπάνω ὄρους κειμένη*, οὐδὲ ὑμεῖς δύνασθε κρυβῆναι, ἐπὶ τοῦ ὕψους τῆς διδασκαλίας τεθέντες. Λοιπὸν οὖν προσέχετε, πῶς πολιτεύεσθε, καὶ γίνεσθε τοῖς ἀποβλέπουσιν εἰς ὑμᾶς κάλλιστον ἀρχέτυπον καὶ βίου καὶ λόγου.

15 Οὐδὲ καίουσι λύχνον, καὶ τιθέασιν αὐτὸν ὑπὸ τὸν μόδιον, ἀλλ' ἐπὶ τὴν λυχνίαν, καὶ λάμπει πᾶσι τοῖς ἐν τῇ οἰκίᾳ.

Οὐδ' *ἀνάπτουσί τινες λύχνον*, καὶ τὰ ἑξῆς. Λοιπὸν οὖν

οὐδ᾽ ἐγὼ, ἀνάψας ὑμᾶς φωτὶ θεογνωσίας, βούλομαι ὑμᾶς κρύπτεσθαι· ἀλλ᾽ ἰδοὺ τίθημι ὑμᾶς ἐπὶ τὴν λυχνίαν, λέγω δὴ, ἐπὶ τὸν ὑψηλὸν τόπον τῆς διδασκαλίας, ὥστε φωτίζειν πάντας τοὺς ἐν τῇ οἰκουμένῃ.

16 Οὕτω λαμψάτω τὸ φῶς ὑμῶν ἔμπροσθεν τῶν ἀνθρώπων, ὅπως ἴδωσιν ὑμῶν τὰ καλὰ ἔργα, καὶ δοξάσωσι τὸν πατέρα ὑμῶν τὸν ἐν τοῖς οὐρανοῖς.

[*Λαμψάτω* (1) οὖν εἰπὼν, οὐ κελεύει θεατρίζειν τὴν ἀρετὴν, ἀλλ᾽ ἐργάζεσθαι αὐτὴν, εἰωθυῖαν ἀφ᾽ ἑαυτῆς λάμπειν, καὶ ἑαυτὴν δημοσιεύειν κατὰ τὴν τοῦ μύρου φύσιν.] Διὰ τοῦτο δὲ *λαμψάτω* ἡ καθαρότης τοῦ βίου καὶ λόγου ὑμῶν ἐνώπιον τῶν ἀνθρώπων, οὐχ ἕνεκεν ἀνθρωπαρεσκείας, ἀλλ᾽ *ἵνα ἴδωσιν ὑμῶν τὰ καλὰ ἔργα*, τὰ ἐν πράξεσι καὶ λόγοις, καὶ μιμήσωνται ταῦτα. Ἔτι δὲ καὶ ἵνα *δοξάσωσι τὸν πατέρα ὑμῶν τὸν ἐν τοῖς οὐρανοῖς*, ἤτοι τὸν θεὸν, ᾧτινι διὰ πίστεως υἱοθετήθητε, υἱοὶ μὲν αὐτοῦ, ἀδελφοὶ δὲ ἐμοῦ γενόμενοι. Ὑμνήσουσι γὰρ αὐτὸν, ὡς τοιαύτην ἐντειλάμενον πολιτείαν. Καὶ μὴν αὐτὸς ταύτην ἐνετείλατο· ἀλλ᾽ εἴωθε τὰ ἑαυτοῦ κατορθώματα τῷ πατρὶ πολλάκις ἀνατιθέναι, ὡς προϊόντες εὑρήσομεν, τιμῶν ὡς πατέρα, καὶ ἅμα δεικνύων, ὅτι ἕν εἰσιν, ὥσπερ τῇ φύσει, οὕτω καὶ τῷ θελήματι.

[Ὑμῶν, (2) φησὶν, ἐργαζομένων τὰ καλὰ, λαμψάτω τὸ ἀπ᾽ αὐτῶν φῶς ὑμῶν, ὃ καὶ, μηδενὸς δημοσιεύοντος, εἴωθεν αὐτὸ ἑαυτὸ θριαμβεύειν, ἀποπαλλόμενον τῶν καλῶν.]

17 Μὴ νομίσητε, ὅτι ἦλθον καταλῦσαι τὸν νόμον, ἢ

(1) Τὰ παρεντεθειμένα ἀναγινώσκονται ἐν τῷ περισελιδίῳ παρὰ τῷ Α.

(2) Τὰ παρεντεθειμένα εὑρίσκονται παρ᾽ ἀμφοτέροις τοῖς χειρογράφοις ἐν τῷ περισελιδίῳ.

τοὺς προφήτας· οὐκ ἦλθον καταλῦσαι, ἀλλὰ πληρῶσαι.

Ἐπειδὴ μείζονα τῶν παλαιῶν παραγγελμάτων ἔμελλε νομοθετεῖν, λέγων· *Ἠκούσατε (α), ὅτι ἐῤῥέθη τοῖς ἀρχαίοις· Οὐ φονεύσεις· ὃς δ᾽ ἂν φονεύσῃ, ἔνοχος ἔσται τῇ κρίσει. Ἐγὼ δὲ λέγω ὑμῖν, ὅτι πᾶς ὁ ὀργιζόμενος τῷ ἀδελφῷ αὐτοῦ εἰκῇ, ἔνοχος ἔσται τῇ κρίσει*, καὶ τὰ ἑξῆς· καὶ θείας τινὸς καὶ οὐρανίου πολιτείας ἐβούλετο τεμεῖν ὁδὸν, ἵνα μή τινες, διὰ τὸ ξενίζον, ὑπολάβωσιν, ὅτι ἀναιρῶν τὰ παλαιὰ, νομοθετεῖ νέα, καὶ νομίσωσιν αὐτὸν ἀντίθεον, προθεραπεύει τὴν τοιαύτην ὑπόληψιν.

Ἀλλὰ, πῶς ἐπλήρωσε τὸν νόμον καὶ τοὺς προφήτας, ἴδωμεν. Τοὺς προφήτας μὲν ἐπλήρωσε, πληρώσας ἔργοις πάντα, ὅσα περὶ αὐτοῦ προεφήτευσαν· διὸ καὶ καθ᾽ ἕκαστον τῶν προφητευθέντων προσέθηκαν οἱ εὐαγγελισταὶ τὸ, *Ἵνα πληρωθῇ τὸ ῥηθὲν διὰ τοῦ προφήτου*· τὸν δὲ νόμον, ἑνὶ μὲν τρόπῳ πεπλήρωκεν, ἐν τῷ μηδὲν νόμιμον παραβῆναι· εἴρηκε γὰρ πρὸς τὸν Ἰωάννην, ὅτι *Οὕτω (β) πρέπον ἐστὶν ἡμῖν, πληρῶσαι πᾶσαν δικαιοσύνην*· ἑτέρῳ δὲ, ἐν τῷ προσθεῖναι αὐτῷ τὰ λείποντα, ὃ καὶ μᾶλλον ἐνταῦθα νοεῖν ἁρμόδιον. Τοῦ νόμου γὰρ τὰ τέλη τῶν ἁμαρτημάτων κωλύοντος, ὁ Χριστὸς καὶ τὰς ἀρχὰς ἐκώλυσεν. Ὁ φόνος μὲν γὰρ καρπός ἐστιν ἁμαρτίας· ῥίζα δὲ ταύτης ἡ ὀργή· καὶ εἰ μή τις ἀνέλῃ τὴν ῥίζαν, ἔστιν ὅτε καρποφορήσει. Δέδεικται τοίνυν, ὅτι ἐλλιπὴς ἦν ἡ περὶ τοῦ μὴ φονεύειν ἐντολή· ἀνεπλήρωσε δὲ ταύτην ὁ Χριστὸς, ἐντειλάμενος μὴ ὀργίζεσθαι. Τοῦτο δὲ καὶ ἐπὶ τῶν ἄλλων ἐντολῶν εὑρήσεις προϊών.

(α) Ματθ. Ε′, 21. 22.

(β) Ματθ. Γ′, 15.

Καὶ διὰ τί ἀτελὴς ἦν ὁ παλαιὸς νόμος; Διότι σκληροτράχηλοι ἦσαν οἱ Ἑβραῖοι, καὶ οὐκ ἠνείχοντο ζυγὸν βαρύν. Τοίνυν ἐκείνους μὲν ὡς νηπίους εἰς ἀρετὴν, γάλα ἐπότισεν· ἡμῖν δὲ, ὡς ἀνδράσι, προσήγαγε στερεὰν τροφήν.

Καὶ πῶς ὁ Χριστὸς εἴρηκεν ἀλλαχοῦ (α), ὅτι *Ὁ ζυγός μου χρηστὸς, καὶ τὸ φορτίον μου ἐλαφρόν;* Διότι ἐλαφρύνει τοῦτον ἡ τῶν πόνων ἀντίδοσις, καὶ ἡ μεγαλειότης τῶν ἐπάθλων. Ὁ νόμος μὲν γὰρ τοῖς κατορθοῦσιν αὐτὸν, τὰ ἀγαθὰ τῆς γῆς ἐπηγγείλατο δώσειν· ὁ δὲ Χριστὸς, τὰ ἀγαθὰ τοῦ οὐρανοῦ.

[Ἄλλως (1) τε, οὐ κατέλυσεν, ἀλλ' ἐπλήρωσε τὸν παλαιὸν νόμον ὁ Χριστός· οὐδὲ γὰρ ἀντέκειτο τῷ εὐαγγελίῳ, μᾶλλον μὲν οὖν ὁδὸς ἦν οὗτος ἐπὶ τὸ εὐαγγέλιον, καὶ προκήρυξις αὐτοῦ, καὶ σκιὰ, καὶ τύπος· ἐλθόντος δὲ τοῦ εὐαγγελίου, ἐπληρώθη οὗτος, καὶ πέπαυται, ὡς νὺξ, ἡμέρας φανείσης, ὡς σκιὰ, χρωμάτων ἐπιβληθέντων. Ἔδει γὰρ τὸν παιδαγωγὸν (2) τῷ διδασκάλῳ παραχωρῆσαι.

Καὶ ἄλλως δὲ πεπλήρωκεν ὁ Χριστὸς τὸν νόμον, τὰ διατάγματα τούτου φυλάξας, καὶ πέπαυκε, διὰ τοῦ τελείου τὸ ἀτελὲς ἀποκρύψας. Ὅθεν οὐκ ἀντίκεινται τοῖς τοῦ νόμου τὰ τοῦ εὐαγγελίου, ἀλλὰ συμφωνοῦσιν· ὁ μὲν γὰρ προτέλειον ἦν, τὸ δὲ, τελειότης.]

18 Ἀμὴν γὰρ λέγω ὑμῖν, ἕως ἂν παρέλθῃ ὁ οὐρανὸς καὶ ἡ γῆ, ἰῶτα ἓν ἢ μία κεραία οὐ μὴ παρέλθῃ ἀπὸ τοῦ νόμου, ἕως ἂν πάντα γένηται.

Τὸ, *ἀμὴν*, ἐπίῤῥημά ἐστι βεβαιωτικὸν, ἀντὶ τοῦ, *ἀληθῶς*· ἡ δὲ

(α) Ματθ. ΙΑ', 30.

(1) Τὰ παραντεθειμένα ἀναγινώσκονται ἐν τῷ περισελιδίῳ παρὰ τῷ Α.

(2) Ἀναφέρεται εἰς τὸ Γαλατ. Γ', 24.

τῶν ἐφεξῆς ῥητῶν διάνοια, τοιαύτη ἐστὶν, Ὅτι ἕως ἂν ὁ κόσμος διαμένῃ· τοῦτο γὰρ δηλοῖ τὸ, *ἕως ἂν παρέλθῃ ὁ οὐρανὸς καὶ ἡ γῆ*· οὐ μὴ παρέλθῃ ἀτέλεστον οὐδὲ τὸ εὐτελέστατον ἐπίταγμα τοῦ νόμου, ἕως ἂν πάντα τὰ νόμιμα γένηται, ἤτοι πληρωθῇ ἔργοις παρ' ἐμοῦ. Διὰ γὰρ τοῦ *ἰῶτα* καὶ τῆς *κεραίας* τὸ εὐτελέστατον ἐδήλωσεν· ἐν γὰρ ταῖς γραμμαῖς ταῦτά εἰσιν εὐτελέστατα, ὡς εὐχερέστερον τῶν ἄλλων ἐγχαρασσόμενα. Ἔστι δὲ τὸ μὲν *ἰῶτα*, γραμμὴ ὀρθή· ἡ δὲ *κεραία*, γραμμὴ πλαγία. Σχῆμα δέ ἐστι βεβαιώσεως τὸ λέγειν, ὅτι *Ἕως ἂν παρέλθῃ ὁ οὐρανὸς καὶ ἡ γῆ*, οὐ μὴ ἐάσω τόδε. Εἴρηκε δὲ τοῦτο ὁ Χριστὸς, βεβαιῶν, ὅτι οὐ μεταποιεῖ τὸν νόμον, ὡς μὴ δυνάμενος ποιεῖν, ἃ ἐκεῖνος ἐντέλλεται· καὶ γὰρ μέχρι θανάτου τοῦτον ἐξετέλει.

19 Ὃς ἐὰν οὖν λύσῃ μίαν τῶν ἐντολῶν τούτων τῶν ἐλαχίστων, καὶ διδάξῃ οὕτω τοὺς ἀνθρώπους, ἐλάχιστος κληθήσεται ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν·

[Τῶν (1) μικροτέρων, ἵνα μὴ λέγω τῶν μειζόνων.]

Ἐπείπερ δὲ ἀπήλλαξεν ἑαυτὸν τῆς πονηρᾶς ὑποψίας, λοιπὸν ἐκφοβεῖ, καὶ ἀπειλὴν τίθησι μεγίστην, ὑπὲρ τῆς μελλούσης νομοθεσίας αὐτοῦ. Ὅστις ἀθετήσῃ, φησὶ, μίαν τῶν ἐντολῶν τούτων, ὧν μέλλω νομοθετῆσαι, καὶ μὴ μόνον ἀθετήσῃ, ἀλλὰ καὶ ἑτέροις ὑπόδειγμα τοιοῦτον γένηται· — ἐλαχίστας δὲ ταύτας ἐκάλεσε, τοῦτο μὲν, μετριοφρονῶν, τοῦτο δὲ, ἵνα μὴ ἐπαίρωνται οἱ κατορθοῦντες αὐτάς· ἅμα δὲ καὶ παιδεύων ἡμᾶς, ἐξευτελίζειν τὰ οἰκεῖα, ἐπεὶ μεγάλαι εἰσὶ καὶ ὑψηλαί· — ὁ τοιοῦτος οὖν *ἐλάχιστος κληθήσεται*, τουτέστιν, ἔσχατος πάντων, φαυλότατος, ἀπεῤῥιμμένος, ὅ ἐστιν, εἰς τὴν κόλασιν ἐμβληθήσεται. *Βασιλείαν* δὲ *τῶν οὐρανῶν* νῦν, τὴν δευτέραν

(1) Τὰ παρεντεθειμένα ἀναγινώσκονται παρὰ τῷ Α ἐν τῷ περισελιδίῳ.

παρουσίαν αὐτοῦ φησὶν, ἐν ᾗ βασιλεὺς οὗτος ἁπάντων ἀναφανήσεται.

19 Ὃς δ᾽ ἂν ποιήσῃ καὶ διδάξῃ, οὗτος μέγας κληθήσεται ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν.

Ὅρα, πῶς εἶπεν, ὅτι χρὴ πρῶτον ποιεῖν, εἶτα διδάσκειν, καὶ μὴ μόνον ποιεῖν, ἀλλὰ καὶ διδάσκειν. Ὥσπερ γὰρ μεμπτὸν, τὸ μὴ ποιεῖν μὲν, διδάσκειν δέ· οὕτω πάλιν ἀτελὲς τὸ ποιεῖν μὲν, μὴ διδάσκειν δέ. Τελεία δὲ ἀρετὴ, τὸ μὴ μόνον ἑαυτῷ χρησιμεύειν, ἀλλὰ καὶ τὸ ἑτέροις. Σὺ δὲ οὐκ ἂν ὀρθῶς διδάξῃς, ὃ μὴ πεποίηκας, οὐδ᾽ εὐχερῶς πείσῃς ἕτερον ποιεῖν, ὃ μὴ σὺ πεποίηκας. Ἀκούσεις γὰρ, *Ἰατρὲ θεράπευσον σεαυτόν.* (α)

20 Λέγω γὰρ ὑμῖν, ὅτι ἐὰν μὴ περισσεύσῃ ἡ δικαιοσύνη ὑμῶν πλεῖον τῶν γραμματέων καὶ φαρισαίων, οὐ μὴ εἰσέλθητε εἰς τὴν βασιλείαν τῶν οὐρανῶν.

Ἐκεῖνοι μὲν γὰρ οὐ ποιοῦσιν, ἀλλὰ μόνον διδάσκουσιν, ἀντιφθεγγόμενον τῇ διδασκαλίᾳ τὸν βίον ἔχοντες· ὑμεῖς δὲ καὶ ποιεῖν, καὶ διδάσκειν ὀφείλετε, ἵνα συνᾴδωσι τὰ ἔργα τοῖς λόγοις. Ἢ καὶ ἑτέρως τοῦτο νοήσεις, ὅτι Ἐκεῖνοι μὲν τὰ τέλη τῶν ἁμαρτημάτων φυλάττουσιν· ὑμεῖς δὲ καὶ τὰς ἀρχὰς φυλάττειν ὀφείλετε, εἴγε γραμματεῖς καὶ φαρισαίους ἐνταῦθα τοὺς κατορθοῦντας, καὶ οὐ τοὺς παρανομοῦντας λάβοις. *Δικαιοσύνην* δὲ εἶπεν ἁπλῶς πᾶσαν ἀρετήν.

Ὅρα δὲ, ὅπως καὶ διὰ τῶν παρόντων ῥημάτων, καὶ διὰ τῶν ἀνωτέρω εἰρημένων, οὐ διαβάλλει τὴν παλαιὰν νομοθεσίαν, ἀλλ᾽ ἐπιτείνει μᾶλλον αὐτήν. Καὶ εἰ ἀδιάβλητός ἐστι, διὰ τί οὐ σώζει τοὺς μετερχομένους αὐτήν; Μέχρι μὲν τῆς τοῦ

(α) Λουκ. Δ', 23.

Χριστοῦ παρουσίας ἔσωζε τοὺς ἀκριβεῖς φύλακας αὐτῆς, μετὰ τοῦτο δὲ, τῆς νηπιότητος εἰς ἀνδρότητα προκοψάσης, καὶ πολλῆς χάριτος δοθείσης τοῖς ἀνθρώποις, καὶ μεγίστων ἐπάθλων προτεθέντων εἰς ἀμοιβὴν τῶν κατορθωμάτων· (οὐκέτι γὰρ κληρονομία γῆς, καὶ τῶν ἐκ γῆς ἀγαθῶν, οὐδὲ πολυπαιδία καὶ γῆρας καὶ νῖκαι κατ᾽ ἐχθρῶν, ἀλλ᾽ οὐρανοῦ κληρονομία καὶ τῶν οὐρανίων ἀγαθῶν, καὶ υἱοθεσία θεοῦ, καὶ ἀδελφότης πρὸς τὸν μονογενῆ, καὶ νῖκαι κατὰ δαιμόνων, καὶ κοινωνία βασιλείας ἀτελευτήτου)· εἰκότως καὶ μεγάλους ἀγῶνας ἀπαιτοῦνται πάντες οἱ τῶν τοιούτων ἐπάθλων τυχεῖν μέλλοντες, καὶ οἵους ὑποτίθενται αἱ ἐντολαὶ τοῦ Χριστοῦ, τοῦ καὶ τὰ δηλωθέντα ἔπαθλα ἐπαγγειλαμένου. Τὰ γὰρ μεγέθη τῶν ἀγώνων, πρὸς τὰ μεγέθη τῶν ἐπάθλων ἐνομοθέτησεν.

21 Ἠκούσατε, ὅτι ἐῤῥέθη τοῖς ἀρχαίοις· «Οὐ φονεύσεις· ὃς δ᾽ ἂν φονεύσῃ, ἔνοχος ἔσται τῇ κρίσει.»
22 Ἐγὼ δὲ λέγω ὑμῖν, ὅτι πᾶς ὁ ὀργιζόμενος τῷ ἀδελφῷ αὐτοῦ εἰκῆ, ἔνοχος ἔσται τῇ κρίσει.

[Τῆς (1) βίβλου τῆς Ἐξόδου· *Οὐ φονεύσεις* (α). Καὶ μετὰ πολλὰ, *Ἐὰν* (β) *πατάξῃ τίς τινα, θανάτῳ θανατούσθω*, καὶ τὰ ἑξῆς.]

Προαπαλύνας τὰς καρδίας αὐτῶν ἐν τοῖς μακαρισμοῖς, καὶ παραθήξας εἰς ἀρετὴν, ἅπτεται λοιπὸν καὶ μειζόνων ἐντολῶν. Ἀπὸ τῶν φυσικωτέρων δὲ ἄρχεται παθῶν, θυμοῦ, λέγω, καὶ ἐπιθυμίας. Καὶ πρῶτον μὲν περὶ τοῦ θυμοῦ διαλέγεται, εἶτα διαλαμβάνει καὶ περὶ τῆς ἐπιθυμίας.

(1) Τὰ παρεντεθειμένα ἀναγινώσκονται ἐν τῷ περιθελιδίῳ παρ᾽ ἀμφοτέροις τοῖς χειρογράφοις.

(α) Ἐξοδ. Κ', 13.

(β) Ἐξοδ. ΚΑ', 12.

Ἄξιον δὲ ζητῆσαι, διὰ τί μὴ ἤρξατο ἀπὸ τῆς ἐν τῷ νόμῳ πρώτης κειμένης ἐντολῆς; Διότι, περὶ τῆς θεότητος οὖσαν, ἔδει καὶ αὐτὴν ἀναπληρῶσαι, καὶ προσθεῖναι φανερῶς περὶ τῆς ἑαυτοῦ θεότητος· οὔπω δὲ καιρὸς ἦν. Εἰ γὰρ καὶ μετὰ τὴν διδασκαλίαν καὶ τὰ σημεῖα, δαιμονῶντα αὐτὸν ἐκάλουν· καίτοι μηδὲν περὶ αὐτῆς φανερὸν εἰπόντα· τί οὐκ ἂν καὶ εἶπον, καὶ ἐποίησαν, εἰ πρὸ τούτων ἁπάντων ἐπεχείρησέ τι τοιοῦτον φθέγξασθαι; Καὶ διὰ τί μὴ φανερῶς ἔλεγεν, ὅτι θεός ἐστι; Διότι θορυβεῖν ἔμελλε τοὺς ἀκροατάς. Εἰ γὰρ οἱ μαθηταί, συνόντες αὐτῷ, καὶ καθ' ἑκάστην διδασκόμενοι, καὶ θαυματουργοῦντα βλέποντες, καὶ τῶν ἀποῤῥήτων κοινωνοῦντες, καὶ δύναμιν παρ' αὐτοῦ τοσαύτην λαβόντες, ὡς καὶ νεκροὺς ἀνιστᾷν (1), οὐκ ἠδύναντο πάντα βαστάζειν πρὸ τῆς ἐπιδημίας τοῦ ἁγίου Πνεύματος· πῶς δῆμος ἀσύνετος, καὶ τοσαύτης ἀρετῆς ἀπολιμπανόμενος, ἔμελλε μὴ ταραχθῆναι, καὶ μὴ μάλιστα νομίσαι τοῦτον ἀντίθεον, καὶ τὴν τοῦ θεοῦ τιμὴν ἀναισχύντως σφετεριζόμενον; Διὰ τοῦτο σοφῶς τε καὶ οἰκονομικῶς, ποτὲ μέν, θεοπρεπεῖς ἐργαζόμενος παραδοξοποιΐας, ταύτας ἀφίησι κηρύττειν, ὅτι θεός ἐστι· ποτὲ δέ, παρακιρνᾷ καὶ ῥήματα τοῖς λόγοις, ἐμφαντικὰ τῆς αὐτοῦ θεότητος. Ἐκ τοῦ φανεροῦ δέ, καὶ ὡς ἐπὶ τὸ πλεῖστον, ταπεινὰ περὶ ἑαυτοῦ φθέγγεται, διὰ τὴν ἀσθένειαν τῶν ἀκροατῶν. Ἐγίνωσκε γάρ, ὅτι τὰ ἔργα τοῦτον (2) φανερώσουσιν, ἃ οὐδεὶς ἄλλος ἐποίησεν. Ἀλαζονικὸν γάρ, τὸ περὶ ἑαυτοῦ τινα μεγάλα λέγειν, καὶ ὕποπτον.

Ἀλλ' ἐπὶ τὸ προκείμενον ἐπανελθόντες, θεασώμεθα, πῶς οὐ καταλύει τὸν νόμον, ἀλλὰ μᾶλλον ἀναπληροῖ, ὡς ἐλλιπῶς ἔχοντα. Φησὶ γάρ, ὅτι ἐλέχθη παρὰ τοῦ νομοθέτου πρὸς τοὺς ἀρχαίους Ἑβραίους, ὅτι Οὐ φονεύσεις ὁμόφυλον, ὦ ἄνθρωπε·

(1) Ταῦτα ἀναφέρονται εἰς Ματθ. ί, 8.
(2) Πιθανώτερον τὴν αὐτήν, ὡς φαίνεται ὅτι ἀνέγνωσε καὶ ὁ Ἑντένιος.

ὃς δ' ἂν φονεύσῃ, ὑπεύθυνος ἔσται τῇ κατακρίσει, εἰς τὸ δοῦναι δίκην ἀξίαν τοῦ φόνου. Ἐγὼ δὲ λέγω ὑμῖν, ὅτι *Πᾶς ὁ ὀργιζόμενος τῷ ἀδελφῷ αὐτοῦ μάτην*, *ἀκαίρως*· ταῦτα γὰρ δηλοῖ τό, εἰκῆ· *ἔνοχος ἔσται τῇ κατακρίσει*. Προσθεὶς δὲ τό, *εἰκῆ*, οὐκ ἀνεῖλε παντάπασι τὴν ὀργήν, ἀλλὰ μόνην τὴν ἄκαιρον ἐξέβαλεν· ἡ γὰρ εὔκαιρος, ὠφέλιμος. Ἔστι δὲ εὔκαιρος ὀργή, ἡ γινομένη κατὰ τῶν πολιτευομένων ἐναντίως τῶν ἐντολῶν τοῦ θεοῦ, ὅταν μὴ πρὸς ἐκδίκησιν ἡμετέραν; ἀλλὰ πρὸς ὠφέλειαν τῶν κακῶς βιούντων ἐξ ἀγάπης καὶ φιλαδελφίας ὀργιζώμεθα, μετὰ τῆς προσηκούσης εὐσχημοσύνης. *Ὀργίζεσθε* (α) γάρ, φησι, *καὶ μὴ ἁμαρτάνετε*, τουτέστι, μὴ ἐν τῷ ὀργίζεσθαι πταίετε, κακῶς χρώμενοι τῇ ὀργῇ. Ἀδελφοὺς δὲ ἡμᾶς ἀλλήλων ἐκάλεσεν, ὡς τὸν αὐτὸν ἔχοντας θεόν, καὶ τὸν αὐτὸν προπάτορα, καὶ τὴν αὐτὴν φύσιν, καὶ τὴν αὐτὴν πίστιν, καὶ τὰς αὐτὰς ἐντολάς, καὶ τὰς αὐτὰς ἐπαγγελίας τῶν ἐπάθλων. Εἶδες, τί προσέταξε. Τοῦ φόνου τὴν ῥίζαν ἐξέκοψεν· ὁ γὰρ μὴ οὕτως ὀργιζόμενος, οὐχ ἥξει ποτὲ πρὸς φόνον, ὥσπερ οὐδ' ὁ ῥίζαν ἐκκόπτων, ἐάσει κλάδον φῦναί ποτε.

22 Ὃς δ' ἂν εἴπῃ τῷ ἀδελφῷ αὐτοῦ, ῥακά, ἔνοχος ἔσται τῷ συνεδρίῳ.

Ἀνωτέρω μέν, τὸν ψιλῶς ὀργιζόμενον κατέκρινεν· ἐνταῦθα δέ, τὸν καὶ μέχρι λόγου προϊόντα. Τὸ *ῥακὰ* δέ, ἑβραϊκή ἐστι φωνή, δηλοῦσα τό, Σύ. Ἐπεὶ γὰρ ὀργιζόμενός τις κατά τινος οὐκ ἀξιοῖ καλέσαι τοῦτον ἐξ ὀνόματος, ὡς ἀνάξιον ὀνόματος· ἀντὶ ὀνόματος δὲ τὸ Σὺ τίθησιν, εἰς ἔνδειγμα τῆς ὀργῆς καὶ βδελύξεως· κατέκρινε καὶ τοῦτον, ὡς τὴν κοινὴν φύσιν βδελυσσόμενον, καὶ ἔνοχον αὐτὸν τῷ συνεδρίῳ τῶν πρεσβυτέρων τοῦ λαοῦ κατέστησεν, εἰς τὸ παρ' αὐτῶν ἐπιτιμηθῆναι.

(α) Ἐφεσ. Δ', 26.

22 Ὃς δ᾽ ἂν εἴπῃ, μωρὲ, ἔνοχος ἔσται εἰς τὴν γέενναν
τοῦ πυρός.

Τοῦτον μεγάλως κατέκρινεν, ὡς ἀφαιρούμενον ἀπὸ τοῦ ἀδελφοῦ τὴν φρόνησιν, καθ᾽ ἣν τῶν ἀλόγων διαφέρομεν, ἢ μᾶλλον, ὡς εἰς τὴν πίστιν ὑβρίζοντα. Εἰ γὰρ ὁ πιστὸς ἀδελφὸς, μωρός ἐστιν, ὡς οὗτός φησι, μωρὰ καὶ ἡ πίστις αὐτοῦ.

Ἐνταῦθα δὲ πρῶτον ἐξέφηνε τὸ ὄνομα τῆς γεέννης τοῦ πυρός. *Γέενναν* δὲ καλεῖσθαι ταύτην φασίν, οἱ μὲν, ὡς ἀεὶ γεννῶσαν τὸ πῦρ· οἱ δὲ, ἑβραϊκὸν ὄνομα τοῦτο λέγουσι, δηλοῦν τὴν τοιαύτην κόλασιν. Εἰ τοίνυν τὰς δοκούσας παρ᾽ ἡμῖν ἐλαφρὰς ὕβρεις οὕτως ἐκόλασε, ποίας ἐσμὲν ἄξιοι καταδίκης, οἱ τὰς βαρείας κατὰ τῶν ἀδελφῶν ἀφειδῶς ἐκχέοντες; Ἐκόλασεν οὖν τὰς δοκούσας ἐλαφρὰς, διὰ τὰς βαρείας· ἵνα ταύτας φοβερὰς κρίνοντες, ἐκείνας φοβερωτέρας νομίζωμεν. Ἄλλως τε καὶ, διότι τοῖς ὀργιζομένοις οὐ μόνον αἱ μεγάλαι ὕβρεις, ἀλλὰ καὶ αἱ μικραὶ, φόνους ἐξαρτύουσι πολλάκις, δίκην σπινθῆρος ἐξάπτουσαι τὴν ὀργήν.

23 Ἐὰν οὖν προσφέρῃς τὸ δῶρόν σου ἐπὶ τὸ θυσια-
στήριον, κἀκεῖ μνησθῇς, ὅτι ὁ ἀδελφός σου ἔχει
24 τὶ κατὰ σοῦ· ἄφες ἐκεῖ τὸ δῶρόν σου ἔμπρο-
σθεν τοῦ θυσιαστηρίου, καὶ ὕπαγε, πρῶτον διαλλά-
γηθι τῷ ἀδελφῷ σου, καὶ τότε ἐλθὼν πρόσφερε τὸ
δῶρόν σου.

Πάντα, ὅσα τε ἀνωτέρω εἶπε, καὶ ὅσα νῦν λέγει, καὶ ὅσα μετὰ τοῦτο ἐρεῖ, ὑπὲρ ἀγάπης εἰσὶν, ἣν μάλιστα περὶ πολλοῦ τίθεται, καὶ διαφερόντως ἐπαινεῖ, ὡς ἐν πολλοῖς προβαίνοντες εὑρήσομεν. Θεὸς γὰρ ὢν, ἀγαπῶν ἡμᾶς, ἐνηνθρώπησε, καὶ πάντα πέπονθεν, ἵνα καὶ ἡμεῖς τὸν θεόν τε καὶ ἑαυτοὺς ἀγαπῶμεν, καὶ διὰ τῆς ἀγάπης συνδεθῶμεν ἀλλήλοις, καὶ

γενώμεθα ἓν σῶμα, κεφαλὴν ἔχοντες αὐτὸν τὸν Χριστόν. Διὸ καὶ πρῶτον τὰ νεῦρα τῆς μάχης ὑποτέμνων, τὰ λυμαντικὰ τῆς ἀγάπης ἀπέλαυνε. Καὶ ὅρα φιλανθρωπίας ὑπερβολήν! Καταφρονεῖ τῆς εἰς αὐτὸν τιμῆς, ὑπὲρ τῆς εἰς τὸν ἀδελφὸν ἀγάπης, μονονουχὶ λέγων: Ἐγκοπτέσθω ἡ ἐμὴ λατρεία, ἵνα σὺ διαλλαγῇς πρὸς τὸν ἀδελφόν σου. Καὶ γὰρ θυσία ἐστὶ καὶ ἡ πρὸς τὸν ἀδελφὸν καταλλαγὴ, καὶ χωρὶς ταύτης οὐδὲ ἐκείνην προσδέχεται.

Λοιπὸν οὖν, κἂν ὕμνον προσάγῃς θεῷ, κἂν εὐχήν· καὶ ταῦτα γὰρ θυσία ἐστι· κἂν ὁτιοῦν ἕτερον; μὴ ἀκατάλλακτος ταῦτα προσαγάγῃς, εἰδὼς, ὅτι οὐδὲν προσδέξεται τούτων, εἰ μὴ πρῶτον διαλλαγῇς. Ἀδιορίστως δὲ καὶ πρὸς τὸν ἀδικήσαντα ὁ λόγος, καὶ πρὸς τὸν κακῶς πεπονθότα· καὶ εἰ μὲν κακῶς πέπονθας, ἄφες αὐτῷ τὴν ἀδικίαν, καὶ συγγνωμόνησον· εἰ δὲ ἠδίκησας, θεράπευσον τὴν ἀδικίαν, καὶ μηδὲν ἐλλείψῃς, ὅσα πρὸς καταλλαγὴν φέρουσιν. Ἐδίδαξε τοίνυν, ὅτι οὗ ἡ θυσία δι᾽ ἔχθραν ἀπρόσδεκτος, τούτου καὶ ὁ βίος ἅπας βδελυκτός ἐστι τῷ θεῷ.

25 Ἴσθι εὐνοῶν τῷ ἀντιδίκῳ σου ταχὺ, ἕως ὅτου εἶ
ἐν τῇ ὁδῷ μετ᾽ αὐτοῦ· μήποτέ σε παραδῷ ὁ ἀντί-
δικος τῷ κριτῇ, καὶ ὁ κριτής σε παραδῷ τῷ ὑπη-
26 ρέτῃ, καὶ εἰς φυλακὴν βληθήσῃ. Ἀμὴν λέγω σοὶ,
οὐ μὴ ἐξέλθῃς ἐκεῖθεν, ἕως ἂν ἀποδῷς τὸν ἔσχα-
τον κοδράντην.

Ὥσπερ εἴωθε προτρέπειν εἰς ἀρετὴν, οὐ μόνον ἀπὸ τῶν μελλόντων, ἀλλὰ καὶ ἀπὸ τῶν παρόντων, καθὼς ἐν τοῖς μακαρισμοῖς εἰρήκαμεν· οὕτω πάλιν εἴωθεν ἀποτρέπειν τῆς κακίας, οὐ μόνον ἀπὸ τῶν μελλόντων, ἀλλὰ καὶ ἀπὸ τῶν παρόντων. Ἀποτρέψας γὰρ τῆς ἔχθρας διὰ τῆς μελλούσης γεέννης, νῦν ἀποτρέπει ταύτης καὶ φοβεῖ, καὶ διὰ τοῦ παρόντος κριτοῦ,

καὶ τῶν καθ' ἑκάστην γινομένων. Φησὶν οὖν ὅτι, καὶ ἐὰν εἰς δικαστήριον ἑλκυσθῇς, *ἴσθι εὐνοῶν τῷ ἀντιδίκῳ σου*, τουτέστι, γενοῦ εὔνους αὐτῷ καὶ φίλος, ἐν ὅσῳ τυγχάνεις *ἐν τῇ ὁδῷ μετ' αὐτοῦ*, τῇ πρὸς τὸν δικαστὴν φερούσῃ, ὅ ἐστι, πρὸ τοῦ ἐλθεῖν εἰς τὸν δικαστήν. Ἔξεστι γάρ σοι τηνικαῦτα καταλλαγῆναι, χρήματα καταβαλλομένῳ, ἅπερ ὁ Λουκᾶς (α) *ἐργασίαν* ἐκάλεσεν, ὡς ἐργαζόμενα, ὃ βουλόμεθα, καὶ ἀνύοντα τὸ σπουδαζόμενον. Κρεῖσσον γὰρ ζημιωθῆναι, ἢ δικασθῆναι. Ζημιωθεὶς μὲν γὰρ διὰ τὴν ἀγάπην, τρία κερδανεῖς κάλλιστα, τὸ μὴ ἐμβληθῆναι τῇ φυλακῇ, τὸ μὴ ζημιωθῆναι τὰ ἔσχατα, καὶ τὸ καταλλαγῆναι τῷ ἐχθρῷ· δικασθεὶς δὲ, τρία τοὐναντίον ὑποστήσῃ τὰ κάκιστα, τὸ ἐμβληθῆναι τῇ φυλακῇ, τὸ ἀποδοῦναι τὸν ἔσχατον κοδράντην· ὅντινα *ἔσχατον λεπτὸν* εἶπεν ὁ Λουκᾶς (β), τουτέστι καὶ τὸ λεπτότατον εἶδος, ὧν δοῦναι κατεδικάσθης· καὶ τρίτον, τὸ μηδὲ οὕτω καταλλαγῆναι. Εἰκὸς γὰρ, τὸν ἀντίδικον ὁπωσδήποτε περιγενέσθαι σου. Εἰσὶ δέ τινες ἀναγωγικῶς ἑρμηνεύοντες τὰ ῥηθέντα, ὅπερ ὁ Χρυσόστομος (1) ἐπὶ τοῦ παρόντος οὐκ ἀπεδέξατο.

[*Ἀντίδικον* (2) τινες, τὸ συνειδὸς λέγουσιν, ὡς ἀντικείμενον ἀεὶ τῷ πονηρῷ θελήματι, καὶ κατηγοροῦν τοῦ ποιοῦντος τὸ κακόν· *ὁδὸν* δὲ, τὸν παρόντα βίον, ᾧ χρὴ εὐνοεῖν, ἤγουν πείθεσθαι, τὰ μὲν καλὰ ἐπιτρέποντι, τῶν δὲ κακῶν ἀποτρέποντι.]

27 Ἠκούσατε, ὅτι ἐῤῥέθη τοῖς ἀρχαίοις· «Οὐ μοι-
28 χεύσεις.» Ἐγὼ δὲ λέγω ὑμῖν, ὅτι πᾶς ὁ βλέπων

(α) Λουκ. ΙΒ΄. 58.
(β) Λουκ. ΙΒ΄. 59.
(1) Τομ. Ζ΄. Σελ. 219. C.
(2) Τὰ παρεντεθειμένα ἀναγινώσκονται παρ' ἀμφοτέροις τοῖς χειρογράφοις ἐν τῷ περιθωρίῳ.

γυναῖκα πρὸς τὸ ἐπιθυμῆσαι αὐτῆς, ἤδη ἐμοίχευσεν αὐτὴν ἐν τῇ καρδίᾳ αὐτοῦ.

Καὶ ἐν τῷ νόμῳ μετὰ τὸ, *Οὐ φονεύσεις*, τὸ, *Οὐ μοιχεύσεις*, κεῖται. Λοιπὸν οὖν ἀπαρτίσας τὴν προτέραν ἐντολὴν, καὶ ἐπὶ τὴν μετ' ἐκείνην πρόεισι, καὶ τὸν θυμὸν ῥυθμίσας, παιδαγωγεῖ καὶ τὴν ἐπιθυμίαν. Ὥσπερ δὲ ἐπὶ τῆς προτέρας ἐντολῆς, προσθεὶς τὸ, *εἰκῆ*, διέστειλε τὴν εὔκαιρον ὀργὴν ἀπὸ τῆς ἀκαίρου· οὕτω δὴ καὶ ἐπὶ τῆς παρούσης, τὸ, *πρὸς τὸ ἐπιθυμῆσαι*, προσθεὶς, διέστειλε τὴν ἀπαθῆ ὄψιν ἀπὸ τῆς ἐμπαθοῦς. Οὐκ εἶπε γὰρ, ὅτι, *ὁ βλέπων*, ἁπλῶς, ἀλλ', *ὁ βλέπων πρὸς τὸ ἐπιθυμῆσαι*, τουτέστιν, ὁ βλέπων περιέργως, ὁ βλέπων ἐμπαθῶς, ὥστε ἐπιθυμῆσαι συνουσίας. Ὁ τοιοῦτος γὰρ ἤδη τοῦ πάθους ἐνέπλησε τὴν καρδίαν ἑαυτοῦ, καὶ λοιπὸν τῇ προαιρέσει ἐμοίχευσεν. Ἢ, ὁ διὰ τοῦτο βλέπων, ἵνα ἐπιθυμήσῃ. Ὁ τοιοῦτος γὰρ ἐζήτησε τὸ πάθος, καὶ ηὐτομόλησε πρὸς τὴν ἐπιθυμίαν, καὶ προδέδωκεν ἑαυτὸν τῷ πάθει, καὶ εἰ καὶ μὴ τῷ σώματι ἥψατο τῆς γυναικὸς, ἀλλά γε τῇ προαιρέσει. Ὁ δὲ κατὰ πάροδον βλέπων, ἢ κατά τινα χρείαν ἄλλην, ἀνέγκλητος. Γυναῖκα δὲ νῦν λέγει, καὶ τὴν ἐζευγμένην ἀνδρὶ, καὶ τὴν ἀπολελυμένην, καὶ τὴν παρθένον.

Χρὴ δὲ γινώσκειν, ὅτι τὰ τοιαῦτα παραγγέλματα, εἰ καὶ πρὸς ἄνδρας ἀποτείνεσθαι δοκοῦσιν, ἀλλά γε καὶ πρὸς γυναῖκας ὁρῶσιν. Ὁ γὰρ ἀνὴρ κεφαλὴ τῆς γυναικός ἐστι· τῇ δὲ κεφαλῇ καὶ τὰ μέλη ἥνωνται. Ἐκόλασε τοίνυν τὴν περίεργον θέαν· διότι ἐκ ταύτης καταῤῥεῖ πάθος ἐπὶ τὴν καρδίαν· αὕτη δὲ παθοῦσα, παροξύνει τὸ σῶμα πρὸς συνουσίαν. Προανεῖλεν οὖν τὴν ῥίζαν, ἵνα μὴ κλάδος φυεὶς ἐνέγκῃ καρπόν.

29 Εἰ δὲ ὁ ὀφθαλμός σου ὁ δεξιὸς σκανδαλίζει σε, ἔξελε αὐτὸν, καὶ βάλε ἀπὸ σοῦ· συμφέρει γάρ σοι, ἵνα ἀπόληται ἓν τῶν μελῶν σου, καὶ μὴ ὅλον τὸ

30 σῶμά σου βληθῇ εἰς γέενναν. Καὶ εἰ ἡ δεξιά σου
χεὶρ σκανδαλίζει σε, ἔκκοψον αὐτὴν, καὶ βάλε ἀπὸ
σοῦ· συμφέρει γάρ σοι, ἵνα ἀπόληται ἓν τῶν με-
λῶν σου, καὶ μὴ ὅλον τὸ σῶμά σου βληθῇ εἰς
γέενναν.

Οὐ περὶ μελῶν σώματός φησιν· ἀνέγκλητα γὰρ τὰ μέλη τοῦ σώματος· ὑπὸ γὰρ τῆς ψυχῆς ἄγονται, καὶ πρὸς ὃ ἂν αὕτη κελεύσῃ κινοῦνται· ἀλλ' *ὀφθαλμὸν μὲν δεξιὸν* καλεῖ, τὸν δίκην ὀφθαλμοῦ στεργόμενον δεξιὸν φίλον· *χεῖρα δὲ δεξιὰν*, τὸν δίκην χειρὸς χρησιμεύοντα δεξιὸν ὑπηρέτην, καὶ εἴτε ἄνδρες εἶεν, εἴτε γυναῖκες. Λέγει τοίνυν ὅτι, ἐὰν οἱ τοιοῦτοι σκανδαλίζωσί σε πρὸς ἐμπάθειαν, μηδὲ τούτων φείσῃ· ἀλλ' ἔκκοψον αὐτοὺς τῆς πρὸς σὲ σχέσεως, καὶ ῥίψον πόῤῥω σου. Καὶ οὐκ εἶπε *κόψον*, ἀλλ' *ἔκκοψον*, τὴν παντελῆ διάζευξιν ἐμφήνας. Καὶ εἰπὼν *ἔκκοψον*, οὐκ ἔστη μέχρι τούτου· ἀλλ' ἐπέτεινε τὸν λόγον, προσθεὶς τὸ, *Καὶ βάλε ἀπὸ σοῦ*, ἵνα μὴ πλησίον τυγχάνων αὖθις οἰκειωθῇ. Ἐπεὶ δὲ ἀποτόμως ἐκέλευσεν, ἔδειξε λοιπὸν τὸ ἐντεῦθεν κέρδος, ἀπὸ τοῦ συμφέροντος.

31 Ἐῤῥέθη δὲ, ὅτι «ὃς ἂν ἀπολύσῃ τὴν γυναῖκα αὐτοῦ,
32 δότω αὐτῇ ἀποστάσιον». Ἐγὼ δὲ λέγω ὑμῖν, ὅτι
ὃς ἂν ἀπολύσῃ τὴν γυναῖκα αὐτοῦ, παρεκτὸς λό-
γου πορνείας, ποιεῖ αὐτὴν μοιχᾶσθαι· καὶ ὃς ἐὰν
ἀπολελυμένην γαμήσῃ, μοιχᾶται.

Ἰδοὺ καὶ ἕτερον εἶδος μοιχείας δείκνυσι. Νόμος γὰρ ἦν παλαιὸς κελεύων τὸν ὁπωσδήποτε μισοῦντα τὴν ἰδίαν γυναῖκα, μὴ κατέχειν, ἀλλ' ἐκβάλλειν αὐτὴν, δόντα αὐτῇ *ἀποστάσιον*, ὅ ἐστιν ἔγγραφον ἀπολύσεως, καὶ ἐκβάλλειν μὲν αὐτὴν, ἵνα μὴ φόνος γένηται· δυσκατάλλακτοι γὰρ ἦσαν Ἰουδαῖοι, οὐ πρὸς τὰς γαμετὰς μόνον, ἀλλὰ καὶ πρὸς τὰ τέκνα· διὸ καὶ ὁ Χριστὸς εἴρηκε πρὸς αὐτοὺς ἐν τῷ τεσσαρακοστῷ κεφαλαίῳ (α), ὅτι *Μωϋσῆς πρὸς τὴν σκληροκαρδίαν ὑμῶν ἐπέτρεψεν ὑμῖν ἀπολῦσαι τὰς γυναῖκας ὑμῶν*· διδόναι δὲ ἀποστάσιον, ἵνα μετὰ τοῦτο, γαμηθείσης αὐτῆς ἑτέρῳ ἀνδρὶ, μὴ δυνηθῇ, ὡς οἰκείας γυναικὸς, πάλιν ἐπιλαμβάνεσθαι, καὶ γίνωνται συγχύσεις καὶ στάσεις ἐντεῦθεν.

Ὁ δὲ Χριστὸς νῦν, ἡμερωτέρους αὐτοὺς διὰ τῶν προλαβόντων λόγων καταστήσας, κελεύει, μὴ ἀπολύειν τὴν γυναῖκα, *παρεκτὸς λόγου πορνείας*, τουτέστι, δίχα αἰτίας πορνείας· *πορνείαν* ἐνταῦθα, τὴν μοιχείαν ὀνομάσας· ἀλλὰ μηδ' ἀπολελυμένην ὑφ' ἑτέρου ἀνδρὸς γαμεῖν. Δίχα γὰρ λόγου πορνείας ὁ μὲν ἀπολύσας τὴν ἑαυτοῦ, ποιεῖ αὐτὴν μοιχεύειν, συμπλεκομένην ἑτέρῳ ἀνδρί· ὁ δὲ γαμήσας ἀπολελυμένην ὑφ' ἑτέρου, μοιχεύει τὴν ἀλλοτρίαν. Ταῦτα δὲ νομοθετήσας, σώφρονα καὶ τὴν γυναῖκα πεποίηκεν. Ἀκούσασα γὰρ, ὅτι ἀπολυθεῖσαν αὐτὴν οὐδεὶς γαμήσει, στέρξει τὸν οἰκεῖον ἄνδρα, καὶ θεραπεύσει. Οὕτω μοιχείας ὑποβαλὼν ἐγκλήματι καὶ τὸν ἀλόγως ἐκβάλλοντα τὴν ἑαυτοῦ γυναῖκα, καὶ τὸν γαμοῦντα τὴν ἀπολελυμένην ἑτέρῳ, ἐπέσφιγξε τὴν εἰρήνην τῶν συζύγων, καὶ τὸ, μὴ μοιχεύειν, μᾶλλον ἐπέτεινεν. Ὁ γὰρ μὴ ἐκβάλλων, ἀλλὰ στέργων τὴν ἑαυτοῦ, οὐκ ἂν ἐπιθυμήσῃ τῆς ἀλλοτρίας· καὶ ὁ κωλυόμενος γαμεῖν τὴν ἀπολελυμένην ἑτέρῳ, οὐκ ἂν ἀπολύσῃ τὴν ἑαυτοῦ.

33 Πάλιν ἠκούσατε, ὅτι ἐῤῥέθη τοῖς ἀρχαίοις· «Οὐκ
ἐπιορκήσεις, ἀποδώσεις δὲ τῷ Κυρίῳ τοὺς ὅρκους
34 σου». Ἐγὼ δὲ λέγω ὑμῖν, μὴ ὀμόσαι ὅλως.

Ὁ μὲν παλαιὸς νόμος φησὶν, ὅτι *Οὐκ ἐπιορκήσεις, προσενέγκῃς δὲ τῷ Θεῷ τοὺς ὅρκους σου*· τοῦτο δὲ εἶπε, φόβον τοῦ μὴ ἐπιορκῆσαι ἐπικρεμαννὺς τῷ ὀμνύοντι, γινώσκοντι, ὅτι

(α) Ματθ. ΙΘ', 8.

ὁ θεὸς αὐτὸς δέχεται τὸν ὅρκον, ὁ πάντα γινώσκων· *ἐγὼ δὲ λέγω ὑμῖν, Μὴ ὀμόσαι ὅλως.* Ὁ μὲν γὰρ εὐορκῶν, ἴσως ἐπιορκήσει ποτὲ, τῇ συνηθείᾳ τοῦ ὀμνύειν· ὁ δὲ μηδέποτε ὀμνύων, οὐκ ἐπιορκήσει ποτέ. Ἄλλως τε δὲ, καὶ τὸ μὲν ὀμνύοντα μὴ ἐπιορκεῖν, εὐσέβειαν εἰς θεὸν ἐπαίδευε· τὸ δὲ μὴ ὀμνύειν ὅλως, ἐπιτείνει μάλιστα τὴν εὐσέβειαν· κἀκεῖνο μὲν τῆς μέσης καὶ ἀτελοῦς ἦν φιλοσοφίας· τοῦτο δὲ τῆς ἄκρας καὶ τελείας ἐστίν.

[Τὸ μὲν (1), *Οὐκ ἐπιορκήσεις*, γέγραπται ἐν τῇ βίβλῳ τῆς Ἐξόδου (α)· τὸ δὲ, *Ἀποδώσεις τῷ Κυρίῳ τοὺς ὅρκους σου*, ἐν τῇ βίβλῳ τοῦ Δευτερονομίου (β), πλὴν δι᾽ ἑτέρων λέξεων· καὶ *Τῷ ὀνόματι Κυρίου ὀμῇ* (2). Τοῦτο δὲ προσέταξεν, ἵνα μὴ κατὰ τῶν ψευδωνύμων θεῶν ὀμνύωσιν.

Τὸ, *Μὴ ὀμόσαι*, καὶ τὸ μὴ ἀπαιτῆσαι ὅρκον συνεισάγει. Ὃ γὰρ σὺ φεύγεις, πῶς ἐπάξεις τῷ ἀδελφῷ σου, εἴπερ φιλάδελφος εἶ, καὶ οὐ φιλοχρήματος;]

34 Μήτε ἐν τῷ οὐρανῷ, ὅτι θρόνος ἐστὶ τοῦ θεοῦ·
35 μήτε ἐν τῇ γῇ, ὅτι ὑποπόδιόν ἐστι τῶν ποδῶν αὐτοῦ· μήτε εἰς Ἱεροσόλυμα, ὅτι πόλις ἐστὶ τοῦ μεγάλου βασιλέως.

Ἵνα μὴ νομίσωσιν, ὅτι μόνον τὸ κατὰ θεοῦ ὀμνύειν ἐκώλυσε, λέγω δὴ τὸ, Μὰ τὸν θεὸν, προστίθησι λοιπὸν καὶ τἄλλα εἴδη τῶν ὅρκων, ἐν οἷς Ἰουδαῖοι τηνικαῦτα ὤμνυον. Ὁ γὰρ κατὰ τούτων ὀμνύων, ὀμνύει πάλιν κατὰ τοῦ θεοῦ, τοῦ πληροῦντος αὐτὰ, καὶ δεσπόζοντος αὐτῶν. Τίμια γὰρ ταῦτα οὐ δι᾽ ἑαυτὰ, ἀλλὰ δι᾽ αὐτόν. Προφητικὸν δὲ, *Ὁ οὐρανός μοι θρόνος, ἡ*

(1) Τὰ παρεντεθειμένα ἀναγινώσκονται παρὰ τῷ Α ἐν τῷ περισελιδίῳ.
(α) Ἐξοδ. Κ', 7.
(β) Δευτερ. ΚΓ', 21—23.
(2) Γνωστὸν, ὅτι ταῦτα δὲν εὑρίσκονται αὐτολεξεὶ ἐν τῇ Π. Δ.

δὲ γῆ ὑποπόδιον τῶν ποδῶν μου· (α) δηλοῦν ὅτι ὁ θεὸς τὰ πάντα πληροῖ. Φησὶ γάρ· *Οὐχὶ τὸν οὐρανὸν καὶ τὴν γῆν ἐγὼ πληρῶ* (β); Δαυϊτικὸν δὲ, *Ἡ πόλις τοῦ βασιλέως τοῦ μεγάλου* (γ).

36 Μήτε ἐν τῇ κεφαλῇ σου ὀμόσῃς, ὅτι οὐ δύνασαι μίαν τρίχα λευκὴν ἢ μέλαιναν ποιῆσαι.

Μηδὲ τὸν εὐτελέστατον, καὶ διὰ τοῦτο προχειρότατον ὅρκον ὀμόσῃς, φημὶ δὴ, τὸν κατὰ τῆς ἰδίας κεφαλῆς, ἵνα μὴ καὶ εἰς μείζονα προβῇς. Ἄλλως τε δὲ, καὶ αὕτη κτίσμα, καὶ κτῆμα θεοῦ ἐστι, καὶ πάλιν κατὰ τοῦ θεοῦ, τοῦ ἐξουσιάζοντος αὐτῆς, γίνεται ὁ ὅρκος. Εἰ γὰρ καὶ σή ἐστι, ἀλλ᾽ οὐ σὸν ποίημα· καὶ δῆλον, ἀπὸ τοῦ μὴ δύνασθαί σε μίαν τρίχα ποιῆσαι λευκὴν ἢ μέλαιναν.

37 Ἔστω δὲ ὁ λόγος ὑμῶν· Ναὶ ναὶ, Οὒ οὔ· τὸ δὲ περισσὸν τούτων, ἐκ τοῦ πονηροῦ ἐστιν.

Ἔστω, φησὶν, *ὁ λόγος ὑμῶν*, ὁ βεβαιωτικὸς, ὅτε μὲν κατατίθεσθε, *Ναί·* ὅτε δὲ ἀρνεῖσθε, *Οὔ·* καὶ τούτοις μόνοις εἰς βεβαίωσιν ἀντὶ ὅρκων χρήσασθε, καὶ μηδὲν πλέον τοῦ Ναὶ καὶ Οὔ. Περισσὸν δὲ τούτων λέγει, τὸν ὅρκον. Καὶ εἰ ἐκ τοῦ διαβόλου ἐστὶν ὁ ὅρκος, πῶς ὁ παλαιὸς νόμος αὐτὸν ἐπέτρεψε; Διότι καὶ αἱ ζωοθυσίαι ἐκ τοῦ πονηροῦ μὲν ἦσαν, καὶ τῆς εἰδωλικῆς πλάνης ἐτύγχανον, ἐπέτρεψε δὲ ὅμως αὐτὰς ὁ νόμος τηνικαῦτα, διὰ τὴν τῶν Ἑβραίων ἀσθένειαν, οἰκονομίᾳ σοφῇ. Ἐπεὶ γὰρ λαίμαργοι μὲν ὄντες, ἠγάπων τὸ ζωοθυτεῖν· ἀπειθεῖς δὲ τυγχάνοντες, ἐφίλουν τὸν ὅρκον, ἵνα λοιπὸν μήτε τοῖς

(α) Ἡσ. Ξς', 1.
(β) Ἱερ. ΚΓ', 24.
(γ) Ψαλμ. ΜΖ', 3.

εἰδώλοις θύωσι, μήτε κατὰ εἰδώλων ὀμνύωσι, συνεχώρησε μὲν καὶ τὸ θύειν, καὶ τὸ ὀμνύειν, καὶ εἴ τι τοιοῦτον· ἐπὶ τὸν θεὸν δὲ πάντα μετέστησεν. Ἔμελλε γὰρ, καιροῦ καλοῦντος, ἐκκόψαι καὶ ταῦτα, δι' ὑψηλοτέρας νομοθεσίας. Ἐπεὶ καὶ τὸ θηλάζειν, νηπίοις μὲν λυσιτελὲς, ἀνδράσι δὲ καὶ λίαν ἀνεπιτήδειον, καὶ διὰ τοῦτο νηπιάζουσι μὲν τοῦτο παραχωροῦμεν, ἀνδρουμένους δὲ λοιπὸν ἀπάγομεν αὐτοῦ καὶ κωλύομεν. Τί οὖν; Ἐάν τις ὅρκον ἀπαιτῇ καὶ καταναγκάζῃ, ἔστω σοι τῆς ἀνάγκης ταύτης ὁ τοῦ θεοῦ φόβος ἀναγκαιότερος, καὶ πάντα παθεῖν ἑλοῦ μᾶλλον, ἢ παραβῆναι τὴν ἐντολήν. Καὶ γὰρ ἐπὶ πάσης ἐντολῆς πολλάκις ἀπαντήσεταί σοι βία, καὶ βιωτικὸς κίνδυνος, καὶ εἰ μὴ πανταχοῦ βιαιοτέραν νομίσῃς τὴν θείαν ἐντολὴν, οἰχήσονταί σοι πᾶσαι κεναὶ καὶ ἄπρακτοι. Προϊὼν γὰρ εἶπεν ὁ Κύριος, ὅτι (α) βιαστή ἐστιν ἡ βασιλεία τοῦ θεοῦ, καὶ βιασταὶ ἁρπάζουσιν αὐτήν.

38 Ἠκούσατε, ὅτι ἐῤῥέθη· «Ὀφθαλμὸν ἀντὶ ὀφθαλμοῦ,
39 καὶ ὀδόντα ἀντὶ ὀδόντος». Ἐγὼ δὲ λέγω ὑμῖν, μὴ
ἀντιστῆναι τῷ πονηρῷ.

Τινὲς μέμφονται τῷ παλαιῷ νόμῳ, κελεύοντι ὀφθαλμὸν ἀντὶ ὀφθαλμοῦ καὶ ὀδόντα ἀντὶ ὀδόντος ἐκβάλλειν, καὶ ἀσυμπαθῶς κατὰ τοῦ ἐκβαλόντος ὀφθαλμὸν ἢ ὀδόντα τινὸς τὴν ταυτοπάθειαν ἀποφηναμένῳ. Ἔστι δὲ μάλιστα φιλάνθρωπος οὗτος ὁ νόμος. Τοῦτο γὰρ ἐκέλευσεν, ἵνα φόβῳ τῆς ταυτοπαθείας μὴ τοὺς ἀλλήλων ἐκκόπτωσιν ὀφθαλμοὺς καὶ ὀδόντας οἱ τότε ἄνθρωποι, σφόδρα λυττῶντες εἰς τὰς κατ' ἀλλήλων πληγάς. Ὁ δὲ Χριστὸς φιλανθρωπότερον νομοθετῶν, οὐκ ἐκ τῆς ταυτοπαθείας ἀνεχαίτισε τὰ τοιαῦτα, ἀλλ' ἐκ τῆς μελλούσης κολάσεως. Εἰρηκὼς γὰρ ἐν τοῖς προλαβοῦσιν, ὅτι *Ὃς δ' ἂν*

(α) Ματθ. ΙΑ', 12.

εἴπῃ τῷ ἀδελφῷ αὐτοῦ, μωρὲ, ἔνοχος ἔσται εἰς τὴν γέενναν τοῦ πυρὸς (α), δέδωκε νοεῖν, ὅτι ὁ πλήξας μεῖζον τιμωρηθήσεται, ὁ δὲ πηρώσας, ἔτι πλεῖον. Ὅθεν ἐκέλευσε *μὴ ἀντιστῆναι τῷ πονηρῷ*. Πονηρὸν δὲ νῦν, τινὲς μὲν, τὸν πλήξαντα εἶπον· ὁ δὲ Χρυσόστομος (1) τὸν διάβολον εἴρηκε. Τοῦτο δὲ εἶπεν ὁ Χριστὸς, διδάσκων, ὅτι ἐκείνου παροξύναντος, ταῦτα ἐτολμήθη, καὶ ἐπὶ τοῦτον μεθιστὰς τὸν θυμὸν τοῦ πεπονθότος, ἀγριούμενον κατὰ τοῦ τολμήσαντος. Τί οὖν; οὐ δεῖ ἀντιστῆναι τῷ διαβόλῳ; Ναί· ἀλλὰ μὴ ἐν τῷ ἀμύνεσθαι τὸν ἀδελφόν· ταύτην γὰρ τὴν ἀντίστασιν ἐκώλυσεν· ἀλλ' ἐν τῷ μακροθυμεῖν τε καὶ ὑπομένειν. Οὐ γὰρ θυμῷ σβέννυται θυμὸς, ὥσπερ οὐδὲ πυρὶ, πῦρ· ἀλλὰ τὰ ἐναντία γίνονται τῶν ἐναντίων ἰάματα.

39 Ἀλλ' ὅστις σε ῥαπίσει ἐπὶ τὴν δεξιάν σου σιαγόνα,
στρέψον αὐτῷ καὶ τὴν ἄλλην.

Κελεύει, μὴ μόνον μὴ ἀμύνεσθαι, ἀλλὰ καὶ μᾶλλον ἐμπαρέχειν ἑαυτὸν τῷ παίοντι, καὶ διὰ τῆς ἀνεξικακίας καὶ μεγαλοψυχίας ἀναστέλλειν αὐτόν. Βλέπων γὰρ ταῦτα ἐκεῖνος, οὐ μόνον οὐκ ἐπάξει πληγὴν δευτέραν, ἀλλὰ καὶ ἐπὶ τῇ πρώτῃ μεταμελήσεται, καὶ καταλλαγήσεται· ἀντιδρῶντος δέ σου, μᾶλλον ἐξαφθήσεται καὶ ἀγριωθήσεται.

Καὶ διὰ τί, πολλῶν ὄντων μελῶν τοῦ σώματος, περὶ μόνου τοῦ ὀφθαλμοῦ καὶ τοῦ ὀδόντος διέλαβεν ὁ νόμος; Διότι κατὰ τούτων μάλιστα τῶν μερῶν εἰώθασιν ἐπάγειν τὰς πληγὰς οἱ μαχόμενοι, ὡς ἀφυλάκτων, καὶ προχείρων, καὶ ῥᾳδίως τραυματιζομένων. Ὁ δ' ἐπὶ τούτοις νόμος, καὶ ἐπὶ πάντα τὰ λοιπὰ ἐκτείνεται μέλη. Καὶ ἡ δεξιὰ δὲ σιαγὼν πρόχειρος εἰς ὕβριν, ἐπιτηδειότερον ἐμπίπτουσα τῇ δεξιᾷ χειρὶ τοῦ ὑβρίζοντος· καὶ ἡ ἐπὶ ταύτῃ ἐντολὴ καὶ ἐπὶ τὰ λοιπὰ ὁμοίως διήκει.

(α) Ματθ. Ε', 22.

(1) Τομ. Ζ'. Σελ. 234. Ε.

40 Καὶ τῷ θέλοντί σοι κριθῆναι, καὶ τὸν χιτῶνά σου λαβεῖν, ἄφες αὐτῷ καὶ τὸ ἱμάτιον.

Βούλεταί σε τὴν ἀνεξικακίαν καὶ μεγαλοψυχίαν ταύτην, μὴ μόνον ἐπὶ πληγῶν καὶ ὕβρεων, ἀλλὰ καὶ ἐπὶ κτημάτων καὶ χρημάτων παρέχεσθαι. Ὁ γὰρ περὶ τοῦ χιτῶνος λόγος, ὡς προχείρου εἰς τὸ ἀφαιρεῖσθαι, καὶ ἐπὶ ταῦτα διήκει. Φησὶ γὰρ, ὅτι *Τῷ θέλοντί σοι δικάσασθαι, καὶ τὸν χιτῶνά σου λαβεῖν, ἄφες αὐτῷ καὶ τὸ ἱμάτιον*, καὶ νίκησον τὴν αὐτοῦ πλεονεξίαν, μὴ μόνον τῇ ἑκουσίῳ παραχωρήσει τοῦ ἀπαιτουμένου, ἀλλὰ καὶ τῇ προσθήκῃ τοῦ μὴ ἀπαιτουμένου. Τοῦτο γάρ σου ποιοῦντος, ἢ καταλείψει τὸ ἀπαιτούμενον, αἰδεσθεὶς τὴν τηλικαύτην σου φιλοσοφίαν, ἢ τὸ ἀπαιτούμενον μόνον λαβὼν, οὐχ ἅψεται μὲν τοῦ μὴ ἀπαιτουμένου, καταγνώσεται δὲ πολλὰ τῆς ἑαυτοῦ πλεονεξίας. Καὶ εἰ μὲν μὴ συνδικασθῇς αὐτῷ, ἀλλὰ δώσῃς, τὸ σεαυτοῦ συμφέρον μόνον ἐποίησας· εἰ δὲ προσθήσῃς, κἀκείνου τὴν ψυχὴν ὠφέλησας, καὶ διπλοῦν ἀγαθὸν κατώρθωσας, αὐτός τε δικαστηρίων ἀπαλλαγεὶς, καὶ τὸν πλεονέκτην ἐντρέψας.

Ἱμάτιον μὲν οὖν ἐστι, τὸ παρ' ἡμῖν ἐπανωφόριον· *χιτὼν* δὲ, τὸ ἔνδον. Ἀδιαφόρως δὲ πολλάκις λέγεται καὶ ὁ χιτὼν, ἱμάτιον, καὶ τὸ ἱμάτιον, χιτών. Ἔστι δὲ ὅτε καὶ πάντα χιτῶνες, καὶ πάντα ἱμάτια. Εἰ δὲ ὁ Λουκᾶς φησὶν (α), ὅτι *Ἀπὸ τοῦ αἴροντός σου τὸ ἱμάτιον, καὶ τὸν χιτῶνα μὴ κωλύσῃς*, οὐκ ἔστιν ἐναντιολογία. Καὶ ἄμφω γὰρ τὰ ῥητὰ εἶπεν ὁ Χριστὸς, ἐκεῖνο μὲν, ἐπὶ τοῦ ὄρους, τὸ δὲ παρὰ τῷ Λουκᾷ, ἐπὶ τόπου πεδινοῦ. Τί οὖν; γυμνὸν δεῖ περιέναι; Μέγα μὲν οὖν, τὸ δι' ὠφέλειαν τοῦ ἀδελφοῦ περιέναι γυμνόν· οὐκ ἂν δὲ εἰς τοσαύτην ἐκεῖνος ἀπανθρωπίαν ἐλάσῃ, δυσωπηθεὶς, ὡς εἴρηται, τὴν σὴν μεγαλοψυχίαν.

(α) Λουκ. ϛ', 29

41 Καὶ ὅστις σε ἀγγαρεύσει μίλιον ἓν, ὕπαγε μετ' αὐτοῦ δύο.

Ὁ μὲν παλαιὸς νόμος περὶ μόνου τοῦ βαρυτέρου εἴδους τῆς κακώσεως διαλαβὼν, τὰ ἐλαφρὰ παρέδραμεν· ὁ δὲ Χριστὸς καὶ περὶ τούτων ἐνομοθέτησεν, ἀρξάμενος μὲν ἀπὸ τοῦ βαρυτέρου, καταλήξας δὲ εἰς τὸ ἐλαφρότερον. Βαρύτερον μὲν γὰρ τῶν ἄλλων, ἡ τοῦ ὀφθαλμοῦ καὶ τοῦ ὀδόντος ἐκκοπή· τοῦ μὲν, ὁδηγοῦντος, τοῦ δὲ, τῇ τροφῇ διακονοῦντος· εἶτα ἡ κατὰ τῆς σιαγόνος ὕβρις, ὡς ἐπονειδιστοτάτη· ἔπειτα ἡ τοῦ χιτῶνος ἀφαίρεσις· ἐλαφρότερον δὲ τούτων, ἡ ἀγγαρεία. Ὥσπερ δὲ ἐπὶ τῶν ἄλλων εἰδῶν τῆς κακώσεως, μετὰ προσθήκης φιλοσοφεῖν ἐκέλευσεν· οὕτω καὶ ἐπὶ τῆς ἀγγαρείας, καὶ ὑπερβῆναι τὴν ἄδικον τοῦ κακῶς ποιοῦντος ἐπιθυμίαν, καὶ πλέον παθεῖν, ἢ ἐκεῖνος ποιῆσαι βούλεται. Εἶδες ἐν σώματι παθητῷ φυτευομένην ἀπάθειαν; Κατενόησας ἀγγελικὴν πολιτείαν, ἐν ἀνθρώποις κατασπειρομένην; Τὸ γὰρ μὴ ἐπιθυμεῖν ἐμπαθῶς, μηδὲ θυμοῦσθαι κατὰ πάθος, τῆς οὐρανίου πολιτείας εἰσὶν, ἃ διὰ τῶν εἰρημένων ἐντολῶν ἐνομοθέτησεν ὁ Χριστός. Ἐν μὲν γὰρ τῷ κελεῦσαι, μὴ ὀργίζεσθαι τῷ ἀδελφῷ εἰκῆ, μηδὲ λέγειν αὐτῷ ῥακὰ, μηδὲ ὀνομάζειν τοῦτον μωρὸν, μηδὲ προσάγειν θεῷ τὸ δῶρον πρὸ τῆς εἰς (1) τὸν ἀδελφὸν διαλλαγῆς, καὶ εὐνοεῖν τῷ ἀντιδίκῳ, τὰ νεῦρα τοῦ ἐμπαθοῦς ἐξέκοψε θυμοῦ· ἐν δὲ τῷ προστάξαι, μὴ βλέπειν ἀκολάστοις ὀφθαλμοῖς γυναῖκα, καὶ ἀποῤῥίψαι τὸν σκανδαλίζοντα καὶ τὴν σκανδαλίζουσαν, καὶ μὴ ἀπολύειν ἀλόγως τὴν ἰδίαν γυναῖκα, μηδὲ γαμεῖν ἀπολελυμένην ἑτέρῳ, τῆς ἐμπαθοῦς ἐπιθυμίας ἀνέσπασε τὰς ῥίζας. Καὶ πάλιν ἐν μὲν τῷ ἐπιτάξαι, μὴ ὀμνύειν ὅλως, τὴν περὶ τὰ χρήματα καὶ κτήματα ἐπιθυμίαν ἐξήλασεν· ἐν δὲ

(1) Συνηθέστερον, πρός.

τῷ ἐντείλασθαι, μὴ ἀνθίστασθαι τῷ πονηρῷ, καὶ στρέφειν καὶ τὴν ἄλλην σιαγόνα, καὶ ἀφιέναι καὶ τὸ ἱμάτιον, καὶ ὑπάγειν μίλια δύο, τὸν εἰς τὸ ἀμύνασθαι θυμὸν κατέστειλεν.

42 Τῷ *αἰτοῦντί σε δίδου.*

Ὅτε δὲ ἵστατο ἐπὶ τόπου πεδινοῦ διδάσκων, φανερώτερον εἶπεν, ὅτι *Παντὶ τῷ αἰτοῦντί σε δίδου*, ὡς ὁ Λουκᾶς ἔγραψε (α). Κελεύει δὲ, μὴ διακρῖναι τὸν ἄξιον ἀπὸ τοῦ ἀναξίου. Ἐν ὅσῳ γὰρ αἰτεῖ, δεόμενός ἐστιν, οἷος ἂν καὶ εἴη. Ἐπεὶ καὶ ὁ θεὸς πάντα τὰ πρὸς σύστασιν τῆς ζωῆς πᾶσιν ἀνθρώποις ὁμοίως ἀνῆκεν, ἀγαθοῖς τε καὶ πονηροῖς, πιστοῖς τε καὶ ἀπίστοις.

42 Καὶ τὸν θέλοντα ἀπὸ σοῦ δανείσασθαι μὴ ἀποστραφῇς.

Νῦν μὲν, δίχα τόκου δανείζειν ἐνετείλατο· ὅτε δὲ, ὡς ἔφαμεν, ἐδίδασκεν ἐπὶ τόπου πεδινοῦ, προσέταξε, μηδὲ τὸ δανειζόμενον ἀπαιτεῖν. *Ἐὰν γὰρ δανείζητέ*, φησι (β), *παρ' ὧν ἐλπίζετε ἀπολαβεῖν, ποία ὑμῖν χάρις ἐστιν;* ὡς εἶναι τὸ μὲν, πρὸς ἀτελεστέρους, τὸ δὲ, πρὸς τελειοτέρους.

43 Ἠκούσατε, ὅτι ἐῤῥέθη· «Ἀγαπήσεις τὸν πλησίον
44 σου, καὶ μισήσεις τὸν ἐχθρόν σου». Ἐγὼ δὲ λέγω
ὑμῖν, ἀγαπᾶτε τοὺς ἐχθροὺς ὑμῶν, εὐλογεῖτε
τοὺς καταρωμένους ὑμᾶς, καλῶς ποιεῖτε τοῖς μισοῦσιν ὑμᾶς, καὶ προσεύχεσθε ὑπὲρ τῶν ἐπηρεαζόντων ὑμᾶς καὶ διωκόντων ὑμᾶς.

Καταμαράνας, ὡς εἴρηται, τὸν θυμὸν καὶ τὴν ἐπιθυμίαν, καὶ παντὸς τοιούτου πάθους ἀπαλλάξας τὸν πειθόμενον, λοιπὸν

(α) Λουκ. ς', 30.
(β) Λουκ. ς', 34.

ἐκέλευσε καὶ εὐεργετεῖν, ἐν τῷ διδόναι τοῖς αἰτοῦσι, καὶ δανείζειν τοῖς χρήζουσιν. Εἶτα, προϊὼν, ἀνήγαγεν εἰς τὴν ἄκραν ἀρετήν. Κορωνὶς γὰρ καὶ κορυφὴ πάσης ἀρετῆς, τὸ ἀγαπᾷν τοὺς ἐχθροὺς, καὶ τὰ ἑξῆς. Ἀγαπᾷν δὲ αὐτοὺς, οὐ καθό εἰσιν ἐχθροὶ, ἀλλὰ καθό εἰσιν ἄνθρωποι. Καὶ μὴ μόνον ἀγαπᾷν, ἀλλὰ καὶ ὑπερεύχεσθαι. Τῷ δὲ ἀγαπᾷν τοὺς ἐχθροὺς ἕπεται καὶ τἄλλα, λέγω δὴ τὸ εὐλογεῖν τοὺς καταρωμένους, καὶ καλῶς ποιεῖν τοῖς μισοῦσι, καὶ εὔχεσθαι ὑπὲρ τῶν ἐπηρεαζόντων. Ταῦτα γὰρ ἡ τελεία ἀγάπη. Σκόπει δὲ καὶ τὸ ἔπαθλον τῆς τηλικαύτης ἀρετῆς, ὡς μέγιστον. Ἐπεὶ γὰρ τὸ τοιοῦτον κατόρθωμα μεῖζον ἦν παντὸς, τίθησιν αὐτῷ καὶ τὸν μισθὸν μείζονα παντός. Φησὶ γάρ·

45 Ὅπως γένησθε υἱοὶ τοῦ πατρὸς ὑμῶν τοῦ ἐν οὐρανοῖς· ὅτι τὸν ἥλιον αὐτοῦ ἀνατέλλει ἐπὶ πονηροὺς καὶ ἀγαθοὺς, καὶ βρέχει ἐπὶ δικαίους καὶ ἀδίκους.

Πατὴρ μὲν τῶν ἀνθρώπων ἐστὶν ὁ θεὸς, ὡς ποιητὴς αὐτῶν· (πατέρας γὰρ λέγομεν, καὶ τοὺς ἔργων τινῶν ποιητάς)· ἔτι δὲ καὶ ὡς κηδεμὼν καὶ προνοητὴς αὐτῶν· ἴδιον γὰρ πατρὸς κήδεσθαι καὶ προνοεῖσθαι τοῦ οἰκείου παιδός· υἱοὶ δὲ τοῦ θεοῦ γίνονται, οἱ ὁμοιούμενοι αὐτῷ δι' ἀρετῆς, καθόσον ἐστὶν ἀνθρώπῳ δυνατόν· ἴδιον γὰρ υἱοῦ ὁμοιοῦσθαι τῷ οἰκείῳ πατρί. *Ὅπως*, φησὶ, *γένησθε υἱοὶ τοῦ θεοῦ*, οὐ φύσει, ἀλλ' ὁμοιώσει, διὰ τοῦ ἀγαπᾷν τοὺς ἐχθροὺς ὑμῶν· ἐπείπερ ἐκεῖνος, ὑπὸ τῶν πονηρῶν καὶ τῶν ἀδίκων βλασφημίαις, ὡς βέλεσι, βαλλόμενος, καὶ ὑβριζόμενος, καὶ τῆς οἰκείας τιμῆς ἀποστερούμενος, ὅμως ἀγαπῶν αὐτοὺς, *ἀνατέλλει τὸν ἥλιον αὐτοῦ ἐπὶ πονηροὺς καὶ ἀγαθοὺς, καὶ βρέχει* ἐπίσης *ἐπὶ δικαίους καὶ ἀδίκους*. Ἀλλὰ σὺ μὲν, παρὰ τῶν ὁμοδούλων πάσχεις κακῶς· ἐκεῖνος δὲ, παρὰ τῶν δούλων. Καὶ σὺ μὲν, ὀλίγα καὶ μικρὰ τούτους εὐεργετήσεις· ἐκεῖνος δὲ πολλὰ καὶ μεγάλα. Καὶ ὅμως

δίδωσί σοι ὅμοιον αὐτῷ διὰ τῆς τοιαύτης μιμήσεως γενέσθαι, καὶ υἱὸν αὐτοῦ ὀνομάζεσθαι.

Διὰ μέντοι τοῦ ἡλίου καὶ τῆς βροχῆς πάντα τὰ πρὸς ζωὴν ἐπιτήδεια δεδήλωκε. Διὰ τούτων γὰρ πάντα τὰ ἐκ γῆς γεννῶνται, καὶ τρέφονται, καὶ αὔξονται, καὶ τελειοῦνται.

Ἔστι δὲ καὶ ἑτέρως εἰπεῖν. *Ὅπως γένησθε υἱοὶ τοῦ θεοῦ*, ἐν τῷ ὁμοιωθῆναι τῷ υἱῷ αὐτοῦ, ὃς μυρία δεινὰ παρὰ τῶν ἐχθρῶν αὐτοῦ παθὼν, ἠγάπα αὐτοὺς καὶ εὐηργέτει, διδάσκων καὶ ἰώμενος, καὶ τέλος ὑπ᾽ αὐτῶν σταυρωθεὶς, ηὔχετο ὑπὲρ αὐτῶν, λέγων (α)· *Πάτερ, ἄφες αὐτοῖς· οὐ γὰρ οἴδασι, τί ποιοῦσι*. Βούλεταί σε τοίνυν ὁ Χριστὸς τοῖς φίλοις μὲν διαλλάττεσθαι· *Ὕπαγε* (β) γάρ, φησι, *πρῶτον διαλλάγηθι τῷ ἀδελφῷ σου*· τοὺς ἐχθροὺς δὲ ἀγαπᾷν, καὶ εὔχεσθαι ὑπὲρ αὐτῶν, ὡς προείρηται.

46 Ἐὰν γὰρ ἀγαπήσητε τοὺς ἀγαπῶντας ὑμᾶς, τίνα
μισθὸν ἔχετε; Οὐχὶ καὶ οἱ τελῶναι τὸ αὐτὸ ποι-
47 οῦσι; Καὶ ἐὰν ἀσπάσησθε τοὺς ἀδελφοὺς ὑμῶν μό-
νον, τί περισσὸν ποιεῖτε; Οὐχὶ καὶ οἱ τελῶναι
οὕτω ποιοῦσιν;

Οὐκ ἔστιν ἀρετὴ τὸ ἀγαπᾷν τὸν ἀγαπῶντα, ἀλλὰ φύσεως ἀκολουθία. Καὶ γὰρ *καὶ οἱ τελῶναι τοῦτο ποιοῦσι*, παρ᾽ οἷς οὐδὲ ἴχνος ἀρετῆς. Τελῶναι δέ εἰσιν, οἱ φορολόγοι καὶ οἱ κομμερκιάριοι. Σφόδρα δὲ διεβάλλοντο τὰ τοιαῦτα ἐπιτηδεύματα, ὡς ἄδικα καὶ πλεονεκτικὰ καὶ ἀσυμπαθῆ. Ἐπεὶ, καὶ ἐν τῇ ἐπὶ τοῦ πεδινοῦ τόπου διδασκαλίᾳ, ἀντὶ τοῦ εἰπεῖν, *οἱ τελῶναι, οἱ ἁμαρτωλοὶ* (γ) εἶπεν. Ὅταν δὲ μηδὲ τοὺς ἀγα-

(α) Λουκ. ΚΓ', 34.
(β) Ματθ. Ε', 24.
(γ) Λουκ. ς', 32.

πῶντας ἀγαπῶμεν, ἐν τῷ φθονεῖν εὐδοκιμοῦσιν αὐτοῖς, τίνος οὐκ ἂν εἴημεν ἄξιοι κατακρίσεως, οἱ περισσεύειν τῶν γραμματέων καὶ φαρισαίων ἐν δικαιοσύνῃ κεκελευσμένοι, ἐλλείποντες καὶ τῶν παρ᾽ ἐκείνοις διαβεβλημένων τελωνῶν;

48 Ἔσεσθε οὖν ὑμεῖς τέλειοι, ὥσπερ ὁ πατὴρ ὑμῶν
ὁ ἐν τοῖς οὐρανοῖς τέλειός ἐστιν.

Οἱ μὲν ἀγαπῶντες τοὺς ἀγαπῶντας αὐτοὺς, ἀτελεῖς εἰσιν εἰς ἀγάπην· οἱ δὲ τοὺς ἐχθροὺς, οὗτοι τέλειοι.

ΚΕΦ. VI, 1. Προσέχετε τὴν ἐλεημοσύνην ὑμῶν μὴ ποιεῖν ἔμπροσθεν τῶν ἀνθρώπων, πρὸς τὸ θεαθῆναι αὐτοῖς· εἰ δὲ μήγε, μισθὸν οὐκ ἔχετε παρὰ τῷ πατρὶ ὑμῶν τῷ ἐν τοῖς οὐρανοῖς.

Φυτεύσας ἤδη τὰς ἀρετὰς, λοιπὸν ἀναιρεῖ καὶ τὸ παραφυόμενον καὶ ἐνοχλοῦν αὐταῖς πάθος, λέγω δὴ τὴν κενοδοξίαν, ἣν καὶ, μετὰ τὸ φυτεῦσαι τὰ κατορθώματα, ἀνασπᾷ· διότι οὐ πρὸ τούτων, ἀλλὰ μετὰ ταῦτα παραφύεται. Κενοδοξία γὰρ τὸ πρὸς ἐπίδειξιν ἀνθρώπων κατορθοῦν τι. Καὶ ὅρα, πόθεν ἄρχεται διώκειν αὐτήν· ἀπὸ τῆς ἐλεημοσύνης, καὶ τῆς εὐχῆς, καὶ τῆς νηστείας· διότι τούτοις μάλιστα τοῖς κατορθώμασιν ἐμφιλοχωρεῖ. Ὁ γοῦν φαρισαῖος προσηύχετό τε, κενοδόξως ἐπιδεικνύμενος τῷ τελώνῃ, καὶ κομπάζων ἔλεγε· *Νηστεύω δὶς τῆς ἑβδομάδος* (1), *ἀποδεκατῶ μου πάντα τὰ ὑπάρχοντα* (α).

Προσέχετε δὲ εἶπεν, ἐμφαίνων, ὅτι τὸ θηρίον τοῦτο λεληθότως παρεισδύεται, δίκην κλέπτου. Εἰπὼν δὲ, *Προσέχετε, τὴν ἐλεημοσύνην ὑμῶν μὴ ποιεῖν ἔμπροσθεν τῶν ἀνθρώπων*, οὐκ ἔστη μέχρι τούτου, ἵνα μὴ, διὰ τὸ βλέπειν τινὰς, παρα-

(1) Ἑρμηνεία τοῦ ὀνόματος σάββατον. Οὕτω φέρεται καὶ παρὰ Χρυσοστόμῳ Τομ. Ζ'. Σελ. 352. Α.
(α) Λουκ. ΙΗ', 12.

δράμης τὸν δεόμενον· ἀλλὰ προσέθηκε, *πρὸς τὸ θεαθῆναι αὐτοῖς·* λέγων, Προσέχετε, μὴ διὰ τοῦτο ποιεῖν αὐτὴν ἐνώπιον τῶν ἀνθρώπων, διὰ τὸ θεαθῆναι αὐτοῖς. Εἰ γὰρ μὴ διὰ τοῦτο ταύτην ποιήσητε, οὐδὲν κωλύει καὶ ἔμπροσθεν αὐτῶν ταύτην ποιεῖν. Ὁ σκοπὸς γὰρ αὐτῆς ἐξετάζεται, οὐχ ὁ τρόπος. Ἔστι γὰρ καὶ ἔμπροσθεν τῶν ἀνθρώπων ποιοῦντα, μὴ ποιεῖν πρὸς ἐπίδειξιν, ὅταν τις διὰ μόνην ποιῇ συμπάθειαν· καὶ μὴ ἔμπροσθεν αὐτῶν ποιοῦντα, ποιεῖν πρὸς ἐπίδειξιν, ὅταν μὴ διὰ ταύτην (1) ποιῇ, ἀλλὰ διὰ τὸ κηρυχθῆναι ὑπὸ τοῦ ἐλεηθέντος.

Μισθὸν δέ, φησιν, *οὐκ ἔχετε παρὰ τῷ θεῷ·* διότι παρὰ ἀνθρώποις ἐζητήσατε μισθὸν τῆς τοιαύτης ἐλεημοσύνης, τὸν ὑπὲρ ταύτης ἔπαινον. Συνεχῶς δὲ τίθησιν ἐν τοῖς λόγοις *τὸν πατέρα, τὸν ἐν τοῖς οὐρανοῖς*, ἐντρέπων αὐτοὺς, ὅτι, πατέρα ἔχοντες οὐράνιον, γήϊνα φρονοῦσι, καὶ ἅμα παραθήγων εἰς τὸ πολιτεύεσθαι ἀξίως τοιούτου πατρός.

2 Ὅταν οὖν ποιῇς ἐλεημοσύνην, μὴ σαλπίσῃς ἔμπρο-
σθέν σου, ὥσπερ οἱ ὑποκριταὶ ποιοῦσιν ἐν ταῖς συν-
αγωγαῖς καὶ ἐν ταῖς ῥύμαις, ὅπως δοξασθῶσιν
ὑπὸ τῶν ἀνθρώπων. Ἀμὴν λέγω ὑμῖν, ἀπέχουσι τὸν
μισθὸν αὐτῶν.

Ἐπιτείνει τὴν ἀποτροπὴν τῆς πρὸς ἐπίδειξιν ἐλεημοσύνης. *Μὴ σαλπίσῃς* δὲ, ἀντὶ τοῦ, μὴ δημοσιεύσῃς, πρὸς τὸ γνωσθῆναι τοῖς ἀνθρώποις. Οἱ γὰρ σαλπίζοντες, πρὸς τὸ ἀκουσθῆναι τῷ πλήθει σαλπίζουσι. Φασὶ δέ τινες, ὅτι οἱ ὑποκριταὶ τότε, διὰ σάλπιγγος συνεκάλουν τοὺς δεομένους. Ὑποκριτὴς δέ ἐστιν, ὁ ἕτερον μὲν ὤν, ἕτερον δὲ φαινόμενος, δι' ἀνθρωπίνην ἀρέσκειαν. Κἀκείνων γὰρ, τὸ μὲν προσωπεῖον ἐλεη-

(1) Τὴν συμπάθειαν δηλαδή.

μοσύνης ἦν· τὸ δὲ πρόσωπον, δοξομανίας. *Ἀπέχουσι* δὲ, ἀντὶ τοῦ, ἔχουσι.

3 Σοῦ δὲ ποιοῦντος ἐλεημοσύνην, μὴ γνώτω ἡ ἀρι-
4 στερά σου, τί ποιεῖ ἡ δεξιά σου· ὅπως ᾖ σου ἡ
ἐλεημοσύνη ἐν τῷ κρυπτῷ· καὶ ὁ πατήρ σου ὁ βλέ-
πων ἐν τῷ κρυπτῷ, αὐτὸς ἀποδώσει σοι ἐν τῷ
φανερῷ.

Εἰπὼν, πῶς δεῖ μὴ ποιεῖν, λοιπὸν λέγει, καὶ πῶς δεῖ ποιεῖν. Ἐνταῦθα δὲ, διὰ τῆς ἀριστερᾶς χειρὸς, τοὺς ἐγγυτάτω καὶ οἰκειοτάτους ᾐνίξατο. Οὐδὲν γάρ σοι τῆς χειρός σου ἐγγύτερόν τε καὶ οἰκειότερον. Μηδὲ οὗτοί, φησι, γνώτωσαν τῆς δεξιᾶς σου τὴν ἐλεημοσύνην. Ἢ καὶ καθ' ὑπερβολὴν ὁ λόγος, ὅτι καὶ αὐτὴν λαθέτω ἡ δεξιὰ τὴν ἀριστερὰν, δι' οὗ δηλοῦται τὸ δεῖν λίαν λανθάνειν.

[Καὶ (1) καθ' ἕτερον δὲ λόγον. *Δεξιὰ* μὲν, ἡ ἀρετὴ, *ἀριστερὰ* δὲ, ἡ κακία. Μὴ γνώτω οὖν ἡ κακία τὴν πρᾶξιν τῆς ἀρετῆς, δι' ἐπιμιξίας, ἀλλ' ἀμιγὲς ἐνεργείσθω τὸ καλόν.]

Τὸ δὲ ἑξῆς προσέθηκε, διδάσκων, ὅτι τε τὸν θεὸν ἔχεις συνίστορα, τὸν δίκην πατρὸς χαίροντα βλέπειν τὰ σὰ κατορθώματα, καὶ ὅτι οὐκ ἀπολέσεις, ἃ δίδως, ἀλλὰ παρ' αὐτοῦ πάντως ἀπολήψῃ τὸν ὑπὲρ τῆς ἐλεημοσύνης μισθόν. Οὐκ εἶπε δὲ, πόθεν χρὴ ποιεῖν ἐλεημοσύνην, οἷον ὅτι ἀπὸ δικαίων πόρων· πᾶσι γὰρ τοῦτο γνώριμον ἦν· ἄλλως τε καὶ ἀνωτέρω, τοὺς πεινῶντας καὶ διψῶντας τὴν δικαιοσύνην ἐμακάρισεν (α).

5 Καὶ ὅταν προσεύχῃ, οὐκ ἔσῃ ὥσπερ οἱ ὑποκριταί·
ὅτι φιλοῦσιν ἐν ταῖς συναγωγαῖς καὶ ἐν ταῖς γω-
νίαις τῶν πλατειῶν ἑστῶτες προσεύχεσθαι, ὅπως

(1) Τὰ παρεντεθειμένα ἀναγινώσκονται ἐν τῷ περισελιδίῳ παρὰ τῷ Α.
(α) Ματθ. Ε', 6.

ἂν φανῶσι τοῖς ἀνθρώποις. Ἀμὴν λέγω ὑμῖν, ὅτι ἀπέχουσι τὸν μισθὸν αὐτῶν.

Στενωποὶ μέν εἰσιν, αἱ στεναὶ ὁδοὶ, δι' ὧν ὀλίγοι βαδίζουσιν, ἃς ἡμεῖς *ἐμβόλους* καλοῦμεν· πλατεῖαι δὲ, αἱ λεωφόροι, δι' ὧν πολλοὶ ἅμα βαίνειν δύνανται, ἃς ἡμεῖς *ἐξαέρους* λέγομεν, ὡς ὑπαίθρους.

6 Σὺ δὲ ὅταν προσεύχῃ, εἴσελθε εἰς τὸ ταμιεῖόν σου, καὶ κλείσας τὴν θύραν σου, πρόσευξαι τῷ πατρί σου τῷ ἐν τῷ κρυπτῷ· καὶ ὁ πατήρ σου ὁ βλέπων ἐν τῷ κρυπτῷ, ἀποδώσει σοι ἐν τῷ φανερῷ.

Ὁμοίως κἀνταῦθα εἰπὼν, πῶς δεῖ μὴ ποιεῖν, λέγει, καὶ πῶς δεῖ ποιεῖν, καὶ τούτῳ τῷ τρόπῳ πολλαχοῦ τῆς διδασκαλίας αὐτοῦ κέχρηται. *Τῷ πατρί σου* δὲ, *τῷ ἐν τῷ κρυπτῷ*, ἀντὶ τοῦ, τῷ ἀοράτῳ. Πάλιν δὲ προσέθηκεν, ὅτι *ὁ βλέπων ἐν τῷ κρυπτῷ, ἀποδώσει σοι ἐν τῷ φανερῷ*, δηλῶν, ὅτι εἰ ζητεῖς θεατὰς, ἔχεις ἀντὶ πάντων αὐτὸν τὸν θεόν· εἰ δὲ καὶ ἀνθρώπους θέλεις θεωροὺς, ἕξεις καὶ τούτους ἐν τῷ καιρῷ τῆς ἀναῤῥήσεώς τε καὶ μισθαποδοσίας, καὶ οὐ πολλοὺς, ἀλλὰ πάντας, καὶ οὐκ ἀνθρώπους μόνον, ἀλλὰ καὶ ἀγγέλους, καὶ ἀρχαγγέλους, καὶ πάσας τὰς ἐπουρανίους δυνάμεις. Νῦν γὰρ, εἰ φανεροῖς τὰ κατορθώματά σου, καὶ τὸν ἀπὸ θεοῦ μισθὸν ἀπολεῖς, καὶ οἱ ἄνθρωποι καταγνώσονταί σου, ὡς κενοδόξου. Ὅταν οὖν ἔξεστι, καὶ μισθὸν τῶν κατορθωμάτων λαβεῖν, καὶ ἀνακηρυχθῆναι ἐν τῷ φανερῷ, ἐνώπιον τοσούτων, ἀναμείναντα μικρὸν, πῶς οὐ παντάπασιν ἀλόγιστον καὶ μωρὸν, ἀμφοτέρων τούτων ἐκπεσεῖν, καὶ τοῦ θεάτρου ἐκείνου τὸ παρὸν ἀλλάξασθαι θέατρον;

Εἴη δ' ἂν κατὰ τὸν τῆς ἀναγωγῆς λόγον *ταμιεῖον* μὲν, ὁ νοῦς, τὸ κάλλιστον οἴκημα τῶν νοημάτων· *θύραι* δὲ, τὰ αἰ-

σθητήρια, ὀφθαλμοὶ, ἀκοὴ καὶ τὰ λοιπὰ, δι' ὧν εἰσερχόμενος ὁ πονηρὸς λογισμὸς συλᾷ τὸν πλοῦτον τῆς ἀρετῆς.

Τί οὖν; ἐν ἐκκλησίᾳ οὐ δεῖ προσεύχεσθαι; Σφόδρα μέν· ἀλλὰ μὴ, ὅπως φανῇς τοῖς ἀνθρώποις· τοῦτο γὰρ τῶν ὑποκριτῶν κατηγόρησεν· ἀλλ' ὅπως ἵλεων σεαυτῷ τὸν θεὸν ποιήσῃς. Ἔστι γὰρ καὶ ἐν μέσῳ πολλῶν προσευχόμενόν τινα, μὴ ἁμαρτάνειν, ὅταν μὴ πρὸς ἐπίδειξιν προσεύχηται· καὶ ἐν ταμιείῳ κεκλεισμένῳ προσευχόμενον, ἁμαρτάνειν, ὅταν τοὐναντίον ποιῇ. Πανταχοῦ γὰρ ὁ θεὸς τὸν σκοπὸν ἐξετάζει τοῦ γινομένου. Ὑποκριτὰς δὲ καὶ τούτους ἐκάλεσεν, ὡς σχῆμα μὲν ἔχοντας προσευχομένου, γνώμην δὲ δοξομανοῦς.

7 Προσευχόμενοι δὲ μὴ βαττολογήσητε, ὥσπερ οἱ ἐθνικοί.

Βαττολογίαν μὲν λέγει, τὴν περὶ τῶν μὴ προσηκόντων αἴτησιν· οἷον περὶ πλούτου, περὶ δόξης, περὶ δυναστείας, καὶ τῶν τοιούτων, ὅσα οὔτε ψυχὴν ὠφελοῦσιν, οὔτε σώματι πρὸς σύστασίν εἰσιν ἀναγκαῖα· *ἐθνικοὺς* δέ φησι, τοὺς ἀπίστους. Ἐπεὶ δὲ οὗτοι οὐ μόνον αἰτοῦσι, περὶ τῶν μὴ προσηκόντων, ἀλλὰ καὶ, μακρὰς ποιούμενοι τὰς ἐπὶ τοῖς τοιούτοις αἰτήσεις, δοκοῦσι πείθειν, ἐν τῷ μακρολογεῖν, διαβάλλει τὴν τοιαύτην αὐτῶν ὑπόληψιν εἰρηκώς·

7 Δοκοῦσι γὰρ, ὅτι ἐν τῇ πολυλογίᾳ αὐτῶν εἰσακουσθήσονται.

Δοκοῦσι μὲν, οὐκ ὀρθῶς δέ.

8 Μὴ οὖν ὁμοιωθῆτε αὐτοῖς· οἶδε γὰρ ὁ πατὴρ ὑμῶν, ὧν χρείαν ἔχετε, πρὸ τοῦ ὑμᾶς αἰτῆσαι αὐτόν.

Οἶδε, τίνων χρῄζετε, καὶ πρὸ τοῦ αἰτῆσαι αὐτὸν ὅλως περί τινος. Καὶ λοιπὸν, οὐ χρὴ αἰτεῖν τὰ μὴ χρειώδη, μηδ' ἀναγκαῖα, καθὼς εἰρήκαμεν, ὅπέρ ἐστι *βαττολογία*· ἐπεὶ καὶ πα-

τὴρ δυσχεραίνει κατὰ παίδων αἰτούντων τὰ μὴ προσήκοντα. Καὶ εἰ οἶδεν, ὧν χρήζομεν, διὰ τί ὅλως περὶ τούτων αἰτοῦμεν αὐτόν; Πάντως οὐχ ἵνα διδάξωμεν, ἀλλ' ἵνα δείξωμεν, ὅτι αὐτὸν ἔχομεν καὶ τροφέα καὶ δεσπότην, καὶ ἵνα, ἀναρτῶντες μόνου αὐτοῦ τὴν ἐλπίδα τῆς προνοίας καὶ σωτηρίας ἡμῶν, ἐπικάμπτωμεν εὐχερέστερον.

Ὡς μὲν γὰρ πατὴρ, καὶ οἶδεν, ὧν χρήζομεν, καὶ ἕτοιμός ἐστι παρέχειν τὰ χρειώδη· ζητεῖ δὲ ὅμως καὶ τὴν παρ' ἡμῶν αἴτησιν, διὰ τὰς δηλωθείσας αἰτίας. Ταῦτα διδάξας, παραδίδωσι καὶ τύπον εὐχῆς, οὐχ ἵνα ταύτην μόνην τὴν εὐχὴν εὐχώμεθα, ἀλλ' ἵνα ταύτην ἔχοντες πηγὴν εὐχῆς, ἐκ ταύτης ἀρυώμεθα τὰς ἐννοίας τῶν εὐχῶν.

9 Οὕτως οὖν προσεύχεσθε ὑμεῖς·

Πῶς ;

9 **Πάτερ ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς.**

Ἑκάστην λέξιν ἐξεταστέον. Κελεύει γὰρ λέγειν, τὸ *Πάτερ* μὲν, ἵνα μιμνησκώμεθα (1) τῆς ἄνωθεν εὐγενείας, καὶ οἵας δωρεᾶς ἠξιώθημεν, υἱοθετηθέντες τῷ θεῷ, καὶ ἵνα ἀξίως πατρὸς τοιούτου πολιτευώμεθα· ὁ γὰρ φαύλως μὲν βιῶν, πατέρα δὲ ἑαυτοῦ τὸν θεὸν ὀνομάζων, καταψεύδεται καὶ τοῦ θεοῦ καὶ ἑαυτοῦ. Τὸ δὲ *ἡμῶν*, ἵνα γινώσκωμεν, ὅτι ἀδελφοὶ ἀλλήλων οἱ πιστοὶ πάντες ἐσμὲν, κοινῶς υἱοθετηθέντες τῷ ἑνὶ καὶ μόνῳ θεῷ, καὶ ἵνα τοῦτο συνεχῶς ὁμολογοῦντες, μὴ κατεπαιρώμεθα τῶν ταπεινῶν, μηδὲ ὅλως ἐναντίον τι κατὰ τῶν ἀδελφῶν ἡμῶν ἢ μελετῶμεν, ἢ λέγωμεν, ἢ διαπραττώμεθα, καὶ ἵνα κοινῶς ὑπὲρ ἀλλήλων εὐχώμεθα.

Τὸ δὲ, *ὁ ἐν τοῖς οὐρανοῖς*, ἵνα πρὸς τὸν οὐρανὸν ἀεὶ βλέ-

(1) ἵνα ἀναμιμνησκώμεθα, παρὰ τῷ Α.

πωμεν, πατρίδα τοῦτον ἡμῶν ἀκούοντες, μᾶλλον δὲ αὐτοὶ τοῦτο λέγοντες, καὶ ἵνα τῶν γηΐνων καταφρονῶμεν, ἐκεῖ σπεύδοντες ἀναβῆναι διὰ τῆς τῶν ἀρετῶν κλίμακος, ὅπου ὁ πατὴρ ἡμῶν ἐστιν. Ἐν οὐρανῷ δὲ τὸν θεὸν εἶναι λέγοντες, οὐκ ἐν οὐρανῷ αὐτὸν συγκλείοντες περιγράφομεν· ἀχώρητος γάρ ἐστι καὶ ἀπερίγραπτος· ἀλλὰ πανταχοῦ μὲν εἶναι λέγεται ὁ θεὸς, μάλιστα δὲ ἐν τόποις ἀξίοις, διὰ τὸ μᾶλλον αὐτοὺς εἶναι δεκτικοὺς αὐτοῦ. Διὰ τοῦτο τοίνυν ἐν τῷ οὐρανῷ λέγομεν εἶναι τὸν θεόν· διότι καθαρώτατος ὁ τόπος ἐκεῖνος, καὶ διότι ἐν αὐτῷ εἰσὶν αἱ ἄϋλοι δυνάμεις, καὶ οἱ δῆμοι τῶν ἁγίων, οἷς ἐπαναπαύεται.

[Ὁ (1) μὲν Χρυσόστομος πρὸς τὸν υἱὸν ἀναφέρεσθαι τὴν παραδοθεῖσαν ταύτην ὅλην προσευχὴν ἐνέφηνε. Λέγεται γὰρ καὶ οὗτος πατὴρ ἡμῶν, ὡς δημιουργὸς, καὶ κηδεμὼν, καὶ προνοητὴς, καὶ διδάσκαλος. Κατὰ τοῦτον δὲ τὸν λόγον λέγοιτ' ἂν πατὴρ ἡμῶν, καὶ τὸ ἅγιον Πνεῦμα. Λοιπὸν οὖν καὶ εἰδικῶς πρὸς ἕκαστον τούτων ἀναχθείη ἂν, καὶ κοινῶς πρὸς τὴν ἐν τούτοις μίαν θεότητα.]

9 Ἁγιασθήτω τὸ ὄνομά σου.

Ἁγιασθήτω, ἀντὶ τοῦ, δοξασθήτω. Ἡμῶν γὰρ πολιτευομένων ἐναρέτως, δοξάζεται παρὰ τῶν ὁρώντων ὁ θεός. *Λαμψάτω* (α) *γάρ*, φησι, *τὸ φῶς ὑμῶν ἔμπροσθεν τῶν ἀνθρώπων, ὅπως ἴδωσι τὰ καλὰ ὑμῶν ἔργα, καὶ δοξάσωσι τὸν πατέρα ὑμῶν τὸν ἐν τοῖς οὐρανοῖς*. Δεδοξασμένον οὖν ὑπάρχον τὸ ὄνομά σου, δοξασθήτω καὶ διὰ τῆς πολιτείας ἡμῶν.

10 Ἐλθέτω ἡ βασιλεία σου.

Βασιλείαν δὲ νῦν, τὴν δευτέραν αὐτοῦ παρουσίαν φησὶν, ὡς

(1) Τὰ παρεντεθειμένα φέρονται ἐν τῷ περισελιδίῳ παρὰ τῷ Α.
(α) Ματθ. Ε', 16.

μετὰ πολλῆς δόξης ἐσομένην. Τοῦτο δὲ προσέταξεν αἰτεῖν, ἵνα γινώσκοντες, ὅπερ αἰτοῦμεν, ἐμπαράσκευοι πρὸς ὑπαντὴν αὐτοῦ διὰ παντὸς εἴημεν. Ἐμπαρασκεύου γὰρ τὸ ζητεῖν ἐλθεῖν τὸν δικαστήν.

Ἔστι δὲ καὶ ἑτέρως εἰπεῖν, ὅτι *Ἐλθέτω ἐφ' ἡμᾶς ἡ βασιλεία σου*, τουτέστι, βασιλευθείημεν ὑπὸ σοῦ, καὶ μὴ ὑπὸ τοῦ διαβόλου, καὶ σὺ πείσαις καὶ ὑποτάξαις ἡμᾶς τοῖς σοῖς προστάγμασι, καὶ μὴ ἐκεῖνος.

10 Γενηθήτω τὸ θέλημά σου, ὡς ἐν οὐρανῷ, καὶ ἐπὶ τῆς γῆς.

Γ*ενηθήτω τὸ θέλημά σου, καὶ ἐπὶ τῆς γῆς*, παρὰ τῶν ἀνθρώπων, ὡς γίνεται *ἐν οὐρανῷ*, παρὰ τῶν ἀγγέλων, περὶ ὧν εἶπεν ὁ Δαβὶδ (α)· *Λειτουργοὶ αὐτοῦ, ποιοῦντες τὸ θέλημα αὐτοῦ*· θέλημα δὲ θεοῦ, αἱ ἐντολαὶ αὐτοῦ. Εὐκτικὸν δὲ καὶ τὸ, *ἁγιασθήτω*, καὶ τὸ, *γενηθήτω*. Εὐχόμεθα γὰρ ταῦτα, διὰ τὸ χρήζειν πρὸς ταῦτα καὶ τῆς παρὰ θεοῦ βοηθείας. Καὶ τὰ λοιπὰ δὲ ῥήματα, εὐκτικά εἰσιν, εἰ καὶ προστακτικὰ δοκοῦσι.

11 Τὸν ἄρτον ἡμῶν τὸν ἐπιούσιον δὸς ἡμῖν σήμερον.

Εἰδὼς, τὴν μὲν ἀγγελικὴν φύσιν ἀπροσδεῆ τροφῆς, τὴν ἀνθρωπίνην δὲ ταύτης ἐπιδεῆ, προσέταξεν αἰτεῖσθαι τὸ ἀναγκαῖον τῆς φύσεως. *Ἄρτον δὲ ἡμῶν* εἶπεν, ἀντὶ τοῦ, τὸν δι' ἡμᾶς γενόμενον. *Ἐπιούσιον* δὲ προσηγόρευσε, τὸν ἐπὶ τῇ οὐσίᾳ καὶ ὑπάρξει καὶ συστάσει τοῦ σώματος ἐπιτήδειον· ἢ κατὰ τὸν Χρυσόστομον (1), ἐπιούσιον εἶπε, τὸν ἐφήμερον· ἕω γὰρ ὀνομάζομεν τὴν ἡμέραν (2). Προσέθηκε δὲ καὶ τὸ *σήμερον*, φανερώτερον ἀπάγων ἡμᾶς τοῦ μὴ φροντίζειν περαιτέρω. Βούλεται γὰρ, τοὺς πιστοὺς ἐν ταῖς εὐχαῖς ἄρτον μόνον αἰτεῖν, καὶ τοῦτον σήμερον μόνον, καὶ μὴ μεριμνᾷν περὶ τῆς ἐπιούσης ἡμέρας· διότι οὐκ οἴδαμεν, εἰ καὶ ἐν αὐτῇ ζήσομεν. Καὶ λοιπὸν περιττόν ἐστι μεριμνᾷν περὶ ἡμέρας, ἧς, οὐκ οἴδαμεν, εἰ φθάσομεν τὸ διάστημα. Τοῦτο δὲ καὶ προϊὼν διὰ πλειόνων λόγων ἐπέταξε, λέγων· *Μὴ* (α) *μεριμνήσητε εἰς τὴν αὔριον*. Οὕτω γὰρ ἂν εὐσταλεῖς ἐσόμεθα, ὀλίγα μὲν ὑπείκοντες τῷ ἀναγκαίῳ τῆς φύσεως, τἄλλα δὲ τρεπόμενοι πρὸς ἐργασίαν πνευματικήν.

[Εἰκὸς δὲ (1), καὶ τὸν τῆς ψυχῆς ἄρτον αἰτεῖν. Χρήζει γὰρ καὶ αὕτη τροφῆς ἐπιουσίου, λέγω δὴ τῆς ἄνωθεν ἐλλάμψεως, καὶ ἐπιχορηγίας τῆς θείας γνώσεως.]

12 Καὶ ἄφες ἡμῖν τὰ ὀφειλήματα ἡμῶν, ὡς καὶ ἡμεῖς ἀφίεμεν τοῖς ὀφειλέταις ἡμῶν.

Ἐπιστάμενος τὸ πρὸς ἁμαρτίαν εὐόλισθον τῆς φύσεως ἡμῶν, καὶ προγινώσκων, ὅτι καὶ μετὰ τὸ λουτρὸν τῆς παλιγγενεσίας ἁμαρτήσομεν, κελεύει παρακαλεῖν ὑπὲρ τῶν ἁμαρτημάτων, ἅπερ *ὀφειλήματα* ὠνόμασεν. *Ὀφείλημα* γὰρ καὶ τὸ ἁμάρτημα, ὡς καὶ αὐτὸ ποιοῦν ὑπεύθυνον τὸν ἄνθρωπον, ὥσπερ καὶ

(α) Ψαλμ. ΡΒ', 21.

(1) Τομ. Ζ. Σελ. 251. D. Σελ. 252. A.

(2) Τὸ ἑπόμενον προσθέτει ἐνταῦθα ὁ Εὐθύμιος « ἕω γὰρ ὀνομάζομεν τὴν ἡμέραν » δὲν ἔχει καμμίαν ἔννοιαν. Τὸ ἐπιούσιον δὲν συντίθεται ἀπὸ τῆς Ἐπὶ καὶ τοῦ Εἰμί. Ὁ Ὠριγένης ἐν τῷ Περὶ εὐχῆς λέγει περὶ τοῦ ὀνόματος τούτου « Πρῶτον δὲ τοῦτ' ἰστέον, ὅτι ἡ λέξις ἡ ἐπιούσιος παρ' οὐδενὶ τῶν Ἑλλήνων οὔτε τῶν σοφῶν ὠνόμασται, οὔτε ἐν τῇ τῶν ἰδιωτῶν συνηθείᾳ τέτριπται· ἀλλ' ἔοικε πεπλάσθαι ὑπὸ τῶν εὐαγγελιστῶν. » Πέπλασται δὲ κατὰ τὸ περιούσιος. Ἀλλὰ καθὼς τοῦτο σημαίνει τὸ πολὺ, τὸ πλῆθος, τὸ περισσὸν, τὸ ἄφθονον, κατὰ τοὺς λεξικογράφους, ἔπειτα δὲ καὶ τὸ ἐξαίρετον, οὕτω καὶ τὸ ἐπιούσιος σημαίνει τὸ ἱκανὸς, τ. ε. ἐπαρκὴς, χρειώδης. Ὁ Θεοφύλακτος εἰς Ματθ. ϛ', 11 « Ἐπιούσιον, τὸν ἐπὶ τῇ οὐσίᾳ καὶ συστάσει ἡμῶν αὐτάρκη. »

(α) Ματθ. ϛ', 34.

(1) Τὰ παρεντεθειμένα ἀναγινώσκονται ἐν τῷ περισελιδίῳ παρὰ τῷ Α. Παρὰ δὲ τῷ Β εὑρίσκονται ἐν τῷ τέλει τῆς ἑρμηνείας τοῦ στίχ. 10 μετὰ τὸ, καὶ μὴ ἐκεῖνος. Κατεχωρίσθησαν δὲ ἐνταῦθα κατὰ τὸν Ἑντένιον.

τὸ χρέος. Παρακαλοῦντες δὲ ὑπὲρ ἀφέσεως αὐτῶν, ἀναμιμνησκόμεθά τε αὐτῶν, καὶ ταπεινούμενοι συντριβόμεθα. Διδάσκει δὲ καὶ τρόπον, δι᾽ οὗ κάμψαι δυνησόμεθα τὸν θεὸν, φημὶ δὴ τὸ καὶ ἡμᾶς συγχωρεῖν τοῖς ἁμαρτάνουσιν εἰς ἡμᾶς· τούτους γὰρ *ὀφειλέτας* εἶπε· καὶ τοῦτο προβάλλεσθαι, ἀντὶ πάσης ἱκετηρίας, ὡς ἐξελέσθαι ἡμᾶς δυνάμενον. Διὸ καὶ μετὰ τὸ πληρῶσαι τὴν διδασκαλίαν τῆς εὐχῆς, πάλιν ἐπαναλαμβάνει τὸν περὶ αὐτοῦ λόγον. Νῦν δὲ τοῦτο προσέθηκε τῇ εὐχῇ, ἵνα τοῦτο καθ᾽ ἑκάστην πρὸς θεὸν λέγοντες, ἀνάγκην ἕξομεν συγχωρεῖν τοῖς πταίουσιν εἰς ἡμᾶς, φοβούμενοι, μὴ κατακριθῶμεν, ὡς ψευδόμενοι, πρὸς ἀπάτην τοῦ θεοῦ.

13 Καὶ μὴ εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμόν.

Πειρασμός ἐστι, πᾶς ἀγὼν, ἐξ ἐπηρείας τοῦ δαίμονος ὁπωσδήποτε ἡμῖν προσαγόμενος, δι᾽ οὗ δοκιμάζεται ἡ ἀνδρεία τῆς ψυχῆς ἡμῶν. Παιδεύει τοίνυν ἡμᾶς ὁ λόγος, μὴ θαῤῥεῖν ἑαυτοῖς, μηδ᾽ ἐπιπηδᾷν τοῖς πειρασμοῖς ὑπὸ θρασύτητος. Τὸ γὰρ εὔχεσθαι, *μὴ εἰσενεχθῆναι εἰς πειρασμὸν*, ταῦτά τε παιδεύει, καὶ εἰς ἐπίγνωσιν ἡμᾶς ἄγει τῆς ἀσθενείας ἡμῶν, καὶ μετριοφροσύνην ἐντίθησι. Καὶ μὴν ὁ θεὸς οὐδένα πειράζει, καθώς φησιν Ἰάκωβος ὁ ἀπόστολος (α). Πῶς οὖν εἶπε, *Μὴ εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμόν*; Τὸ, *μὴ εἰσενέγκῃς*, ἀντὶ τοῦ, μὴ παραχωρήσῃς εἰσενεχθῆναι. Ἰδίωμα δὲ τοῦτο τῆς Γραφῆς. Ἐν τῷ παραχωρεῖν γὰρ, αὐτὸς εἰσάγειν δοκεῖ. Πᾶς μὲν γὰρ πειρασμὸς ὑπὸ τοῦ διαβόλου προσάγεται, οὐχ ἅπτεται δέ τινος ἀνθρώπου, εἰ μὴ παραχωρήσῃ ὁ θεός. Οὐδὲ γὰρ χοίρους βλάψαι δύναται, μὴ παραχωροῦντος αὐτοῦ· καὶ τοῦτο προϊόντες εὑρήσομεν φανερώτερον. Παραχωρεῖ δὲ πολλάκις ἐπάγεσθαι ἡμῖν τοὺς πειρασμοὺς, ἢ πρὸς κάθαρσιν (1) τῶν ἁμαρτιῶν

(α) Ἰακ. Α´, 13.
(1) πρὸς καθαίρεσιν, παρὰ τῷ Α.

ἡμῶν, ἢ πρὸς φανέρωσιν τῆς ψυχικῆς ἀνδρείας ἡμῶν, ὡς ἡ κατὰ τὸν Ἰὼβ ἐδίδαξεν ἱστορία. Κελεύει οὖν, εὔχεσθαι μὲν, μὴ εἰσενεχθῆναι εἰς πειρασμὸν, διὰ τὰς ἀνωτέρω ῥηθείσας αἰτίας· αὐτὸς δὲ, οἰκονόμος ὢν τῶν ἡμετέρων ψυχῶν, ποτὲ μὲν παραχωρεῖ, ποτὲ δὲ κωλύει, πρὸς τὸ συμφέρον ἑκάτερα. Διὰ τοῦτο, μὴ ἐπαγομένων μὲν τῶν πειρασμῶν, παραιτητέον αὐτούς· ἐπαγομένων δὲ, ἀνδριστέον, ἵνα καὶ τὸ μέτριον, καὶ τὸ γενναῖον ἐπιδειξώμεθα.

13 Ἀλλὰ ῥῦσαι ἡμᾶς ἀπὸ τοῦ πονηροῦ.

Πονηρὸν ἐνταῦθα, τὸν διάβολον ὠνόμασεν, οὐχ, ὡς φύσει πονηρὸν, ἀλλ᾽ ὡς προαιρέσει. Κατ᾽ ἐξαίρετον δὲ πονηρὸν αὐτὸν ἐκάλεσεν, ὡς καθ᾽ ὑπερβολὴν πονηρόν. Ἐπιτάξας δὲ ἡμῖν εὔχεσθαι ῥυσθῆναι ἀπ᾽ αὐτοῦ, ἔδειξεν, ὅτι ἄσπονδον καὶ βαρύτατον ἔχει καθ᾽ ἡμῶν πόλεμον, καὶ χρεία τῆς ἄνωθεν συμμαχίας. Εὔχεσθαι δὲ ῥυσθῆναι ἀπ᾽ αὐτοῦ μόνου διωρίσατο, διδάσκων, ὅτι μόνος οὗτος κακοῦ παντὸς αἴτιός ἐστι, καὶ ὅτι πρὸς μόνον τοῦτον ἐχθραίνειν χρὴ, καὶ μὴ πρὸς τοὺς ἐξ ἀφροσύνης πειθομένους αὐτῷ, καὶ βλάπτοντας ἡμᾶς, οὓς μᾶλλον ἐλεεῖν προσῆκον, ὡς ἡττηθέντας αὐτοῦ.

[Ἔτι (1) καὶ τοῦ ἁγίου Μαξίμου εἰς τὸ, *Ἁγιασθήτω τὸ ὄνομά σου* καὶ τὰ ἑξῆς. *Ὄνομα* μὲν οὖν τοῦ πατρὸς, ὁ υἱός. Καθάπερ γὰρ τὸ ὄνομα δηλωτικόν ἐστι τῆς φύσεως, ἧς ἔστιν ὄνομα· οὕτω καὶ ὁ υἱὸς δηλωτικὸς τοῦ πατρός. *Βασιλεία* δὲ, τὸ ἅγιον Πνεῦμα, διὰ τὸν πλοῦτον τῶν θείων χαρισμάτων. Ἐπεὶ δὲ ὁ Χριστὸς κεφαλή ἐστιν ἡμῶν, ἁγιαζομένων ἡμῶν, τῶν μελῶν αὐτοῦ, δι᾽ ἁγνείας, αὐτὸς ἁγιάζεται, καὶ ἁγιασθεῖσιν ἐπιφοιτᾷ τὸ Πνεῦμα τὸ ἅγιον. *Θέλημα* δὲ τοῦ πατρὸς ἐν οὐρανοῖς, ἡ λογικὴ τῶν ἐπουρανίων τάξεων λατρεία. Εἴρηκε

(1) Τὰ παρεντεθειμένα ἀναγινώσκονται ἐν τῷ περισελιδίῳ παρὰ τῷ Α.

γὰρ καὶ πρὸς τὸν Δαυΐδ· *Τί* (α) *γάρ μοι ὑπάρχει ἐν τῷ οὐρανῷ παρὰ τῶν ἀγγέλων;* οὐδὲν ἕτερον, πλὴν τῆς λογικῆς λατρείας δηλονότι· *καὶ παρὰ σοῦ τοῦ ἀνθρώπου, τὶ ἠθέλησα ἐπὶ τῆς γῆς;* οὐδὲν ἕτερον ἢ ταύτην. Αὕτη γὰρ τὸ ἀναγκαῖον καὶ προηγούμενον. Λογικὴ δὲ λατρεία κυρίως, τὸ τείνειν τὸν νοῦν πρὸς τὸν θεὸν, τῷ τε κατὰ παθῶν καὶ δαιμόνων θυμῷ νευρούμενον, καὶ τῇ ἐπιθυμίᾳ τῶν ἄνω πυρούμενον. Ὁ δ' *ἄρτος* ἡμῶν διπλοῦς· ὁ μὲν, τῇ οὐσίᾳ τῆς ψυχῆς ἐπιτήδειος, ὁ γνωστικὸς, ὅστις ἐπιχορηγεῖται κατὰ τὴν τῶν δεχομένων δύναμιν· ὁ δὲ, τῇ οὐσίᾳ τοῦ σώματος ἁρμόδιος, ὁ αἰσθητός· καὶ ὁ μὲν, ἄνωθεν, ὁ δὲ, κάτωθεν παρεχόμενος. Καὶ ὁ *πειρασμὸς* δὲ διττὸς, ὁ μὲν, ἐνήδονος, ὁ δὲ, ἐνόδυνος· καὶ ὁ μὲν, ἑκούσιος καὶ γεννήτωρ παθῶν, ὁ δὲ, ἀκούσιος, καὶ ἀναιρέτης παθῶν. Τὸν μὲν οὖν ἑκούσιον φεύγειν χρή· τὸν δ' ἀκούσιον ἀπεύχεσθαι μὲν διὰ τὴν ἀσθένειαν ἡμῶν, ἐπελθόντα δὲ ὑπομένειν γενναίως, ὡς καθαρτήριον. Ἔστι δὲ καὶ ἄλλο πειρασμῶν εἶδος, τὸ δοκιμαστήριον. *Ἀπὸ τοῦ πονηροῦ* δὲ, ἢ τοῦ δαίμονος, ἢ τοῦ πράγματος.]

13 Ὅτι σοῦ ἐστιν ἡ βασιλεία, καὶ ἡ δύναμις, καὶ ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν.

Ἀκροτελεύτιον τῆς εὐχῆς, εὐγνωμοσύνη τῶν εὐχομένων, καὶ εὐφημία τοῦ θεοῦ. Νοεῖται γὰρ, *πληρωθήτωσαν*, ἃ ηὐξάμεθα· διότι σὺ βασιλεὺς ἡμῶν, καὶ δυνατὸς εἰς ἅπαν, καὶ δεδοξασμένος *ἀεί*. Τοῦτο γὰρ δηλοῖ τὸ, *εἰς τοὺς αἰῶνας*. Περὶ δὲ τοῦ, *ἀμὴν*, ἀνωτέρω εἴρηται.

14 Ἐὰν γὰρ ἀφῆτε τοῖς ἀνθρώποις τὰ παραπτώματα αὐτῶν, ἀφήσει καὶ ὑμῖν ὁ πατὴρ ὑμῶν ὁ οὐράνιος·

(α) Ψαλμ. ΟΒ', 25.

15 Ἐὰν δὲ μὴ ἀφῆτε τοῖς ἀνθρώποις τὰ παραπτώματα αὐτῶν, οὐδὲ ὁ πατὴρ ὑμῶν ἀφήσει τὰ παραπτώματα ὑμῶν.

Ἐπανέλαβεν, ὡς εἰρήκαμεν, τὸν περὶ τούτου λόγον, καὶ πλατύνει τοῦτον, δεικνὺς, ὅτι περισπούδαστόν ἐστι θεῷ τὸ τοιοῦτον ἔργον. Καὶ ὅρα μοι φιλανθρωπίας ὑπερβολήν! Ἡμᾶς ποιεῖ κυρίους τῆς τῶν ἁμαρτημάτων ἡμῶν ἀφέσεως. Ἀλλ' ἴσως ἐρεῖς, ὅτι Πολλὰ καὶ μεγάλα πεπλημμέληκεν ὁ ἀδικήσας· ἀλλὰ σὺ πλείονα καὶ μείζονα· καὶ ὁ μὲν εἰς τὸν ὁμόδουλον, σὺ δὲ εἰς τὸν δεσπότην· καὶ σὺ μὲν, δεόμενος ἀφέσεως, ἀφήσεις· ὁ δὲ θεὸς μὴ δεόμενος. Εἰ τοίνυν ἀφήσεις, σεαυτὸν ἠλευθέρωσας· ἔσβεσας μὲν γὰρ τὸν θυμὸν, ἀπήλασας δὲ τὴν μνησικακίαν, εἰσήγαγες δὲ τὴν φιλανθρωπίαν, ἱλέωσας δὲ τὸν θεὸν, ἐπραγματεύσω δὲ τὴν οἰκείαν ἄφεσιν.

16 Ὅταν δὲ νηστεύητε, μὴ γίνεσθε ὥσπερ οἱ ὑποκριταὶ, σκυθρωποί· ἀφανίζουσι γὰρ τὰ πρόσωπα αὐτῶν, ὅπως φανῶσι τοῖς ἀνθρώποις νηστεύοντες.

Νηστεύοντες, μὴ ἐπιτηδεύετε τὴν σκυθρωπότητα, καθάπερ οἱ σπουδάζοντες ὠχριᾷν δι' ἀνθρωπίνην ἀρέσκειαν. Ἀφανίζουσι γὰρ οὗτοι τὸ φυσικὸν εἶδος, διὰ τῆς ἐπιπλάστου ὠχρότητος.

16 Ἀμὴν λέγω ὑμῖν, ὅτι ἀπέχουσι τὸν μισθὸν αὐτῶν.

Εἴρηται ἡμῖν ἀνωτέρω περὶ τούτου. (στίχ. 2.)

17 Σὺ δὲ νηστεύων, ἄλειψαί σου τὴν κεφαλὴν, καὶ τὸ πρόσωπόν σου νίψαι.

Ὥσπερ, ὅτε εἶπεν· (α) *Εἰ δὲ ὁ ὀφθαλμός σου ὁ δεξιὸς σκανδαλίζει σε, ἔξελε αὐτόν· καὶ εἰ ἡ δεξιά σου χεὶρ σκαν-*

(α) Ματθ. Ε', 29. 30.

δαλίζει σε, ἔκκοψον αὐτήν· οὐ περὶ ἀκρωτηριασμοῦ τοῦ σώματος ἔλεγεν, ὡς ἐν ἐκείνοις τοῖς ῥητοῖς ἡρμηνεύσαμεν· οὕτως οὐδὲ νῦν ἁπλῶς ἀλείφεσθαι καὶ νίπτεσθαι κελεύει· οὐδὲ γὰρ αὐτὸς τοῦτο πεποίηκε, νηστεύσας ἡμέρας τεσσαράκοντα· ἀλλὰ διὰ τούτων ἕτερόν τι παραινεῖ, λέγω δὴ, τὸ συγκαλύπτειν τὴν ἀπὸ τῆς νηστείας στυγνότητα, ἐν τῷ φαίνεσθαι φαιδρὸν καὶ χαρίεντα. Ἐπεὶ γὰρ παρὰ τοῖς παλαιοῖς σημεῖον χαρᾶς ἦν, τὸ ἀλείφεσθαι μὲν ἐλαίῳ τὴν κεφαλὴν, νίπτεσθαι δὲ ὕδατι τὸ πρόσωπον· λοιπὸν καὶ αὐτὸς διὰ τοῦ σημείου τῆς χαρᾶς παραινεῖ χαίρειν ἐν τῷ νηστεύειν, ἵνα καὶ τοὺς ἀνθρώπους διαλάθῃς, καὶ τὸν πόνον τῆς νηστείας κουφίσῃς, τῆς ἡδονῆς τὴν ὀδύνην ὑφαιρουμένης.

Καὶ καθ᾽ ἕτερον δὲ τρόπον. Πίαινε μὲν τὸν ἐν τῇ κεφαλῇ σου νοῦν, τῷ ἐλαίῳ τῆς ἐλεημοσύνης· νίψαι δὲ τὸ πρόσωπόν σου, τῷ ὕδατι τῶν δακρύων. Καὶ ἐν πολλοῖς δὲ ἄλλοις δι᾽ ἑτέρων ἕτερα παραινεῖ, παιδεύων ἡμᾶς, μὴ τῷ φαινομένῳ μόνῳ τῶν ἐντολῶν ἀεὶ προσέχειν, ἀλλὰ καὶ τὰς διανοίας αὐτῶν ἀκριβολογεῖν.

18 Ὅπως μὴ φανῇς τοῖς ἀνθρώποις νηστεύων, ἀλλὰ
τῷ πατρί σου τῷ ἐν τῷ κρυπτῷ· καὶ ὁ πατήρ σου
ὁ βλέπων ἐν τῷ κρυπτῷ, ἀποδώσει σοι ἐν τῷ φα-
νερῷ.

Τὸ γὰρ θεατρίζειν τοῖς ἀνθρώποις τὴν ἀπὸ τῆς νηστείας κακουχίαν, φιλοδοξίας ἔργον ἐστί. Περὶ δὲ τῶν ἑξῆς ἀνωτέρω εἴρηται.

19 Μὴ θησαυρίζετε ὑμῖν θησαυροὺς ἐπὶ τῆς γῆς, ὅπου
σὴς καὶ βρῶσις ἀφανίζει, καὶ ὅπου κλέπται διορύσ-
20 σουσι καὶ κλέπτουσι. Θησαυρίζετε δὲ ὑμῖν θησαυροὺς
ἐν οὐρανῷ, ὅπου οὔτε σὴς οὔτε βρῶσις ἀφανίζει,

καὶ ὅπου κλέπται οὐ διορύσσουσιν οὐδὲ κλέπτουσιν.

[Σὴς (1) μὲν καὶ *βρῶσις* νοοῖντ᾽ ἂν, καὶ ἡ ἐντικτομένη τῇ ψυχῇ οἴησις, βιβρώσκουσα λαθραίως τὰ, ἐφ᾽ οἷς συνέστη, καλά· *κλέπται* δὲ *διορύσσοντες*, οἱ ἔξωθεν ἐπεισερχόμενοι ἔπαινοι, διορύσσοντες τὰ κοῦφα φρονήματα, καὶ συλῶντες τὸν ἐναποτεθησαυρισμένον πλοῦτον τῆς ἀρετῆς.]

Ἐκβαλὼν δὲ ἤδη τὸ τῆς κενοδοξίας νόσημα, λοιπὸν εὐκαίρως περὶ ἀκτημοσύνης νομοθετεῖ. Καὶ γὰρ οὐδὲν οὕτω παρασκευάζει χρημάτων ἐρᾷν, ὡς ἡ κενοδοξία. Διὰ ταύτην γὰρ καὶ τὰς τῶν ἀνδραπόδων ἀγέλας, καὶ τὸν ἑσμὸν τῶν εὐνούχων, καὶ τοὺς χρυσοφοροῦντας ἵππους, καὶ τὰς ἀργυρᾶς τραπέζας, καὶ τὴν ἄλλην ἅπασαν φαντασίαν (2) ἐπινοοῦσιν οἱ ἄνθρωποι, οὐ κατὰ χρείαν, ἀλλὰ δι᾽ ἐπίδειξιν.

Ἐπεὶ δὲ οὐκ ἦν εὐπαράδεκτον, τὸ ἀθρόον παραινέσαι περὶ τῆς ὑπεροψίας τῶν χρημάτων, σοφώτατα κατεμέρισε τὸν περὶ ταύτης λόγον. Καὶ πρῶτον μὲν εἶπε· *Μακάριοι* (α) *οἱ ἐλεήμονες*· ἔπειτα· *Ἴσθι* (β) *εὐνοῶν τῷ ἀντιδίκῳ σου*· εἶτα· *Ἐάν τις* (γ) *σοι θέλῃ κριθῆναι, καὶ τὸν χιτῶνά σου λαβεῖν, δὸς αὐτῷ καὶ τὸ ἱμάτιον*· τελευταῖον δὲ, τὸ μεῖζον ἐκείνων πάντων ἐπήγαγεν. Ἐν ἐκείνοις μὲν γὰρ καὶ ἐλεουμένου ἐμνήσθη, καὶ ἀντιδίκου, καὶ κριθῆναί σοι μέλλοντος· ἐνταῦθα δὲ οὐδὲν τοιοῦτον θεὶς, αὐτὴν καθ᾽ ἑαυτὴν ἐνομοθέτησε τὴν τῶν χρημάτων ὑπεροψίαν, δεικνὺς, ὅτι οὐ δι᾽ ἐκείνους τοσοῦτον, ὅσον διὰ σὲ ταῦτα προσέταξεν, ἵνα, κἂν μηδεὶς ἐκείνων ἐνοχλῇ,

(1) Τὰ παρεντεθειμένα ἀναγινώσκονται ἐν τῷ περισελιδίῳ παρὰ τῷ Α.

(2) Συχνάκις καὶ παρὰ τῷ Χρυσοστόμῳ ἡ φαντασία κατ᾽ αὐτὴν τὴν σημασίαν, ὡς Τόμ. Ζ΄. Σελ. 144· C. 151. E. Τόμ. Η΄. Σελ. 163. C. Παρβ. καὶ Πραξ. ΚΕ΄, 23.

(α) Ματθ. Ε΄, 7.

(β) Ματθ. Ε΄, 25.

(γ) Ματθ, Ε΄, 40.

σὺ καταφρονῇς τῶν ὄντων, καὶ διανέμῃς αὐτὰ τοῖς πένησιν.

Ὥστε δὲ ῥᾷον πεῖσαι, διδάσκει τήν τε βλάβην τοῦ θησαυρίζειν ἐπὶ τῆς γῆς, καὶ τὴν ὠφέλειαν τοῦ θησαυρίζειν ἐν οὐρανῷ. Ἔστι δὲ *σὴς* μὲν ὁ ἐγγεννώμενος πολλοῖς τῶν χρημάτων σκώληξ· *βρῶσις* δὲ, ἡ σῆψις καὶ ἴωσις καὶ καθ᾽ ἑαυτὴν τοιαύτη διαφθορά. Τί οὖν; τὸ χρυσίον σὴς ἀφανίζει; Εἰ καὶ μὴ σὴς, ἀλλὰ κλέπται. Τί δέ; πάντες συλῶνται; Εἰ καὶ μὴ πάντες, ἀλλ᾽ οἱ πλείους. Ἄδηλον δὲ, τίνες ἄσυλοι μενοῦσι. Τὰ γοῦν διανεμόμενα τοῖς πένησι, πῶς θησαυρίζονται ἐν τῷ οὐρανῷ; Πῶς; Ἐν τῷ ταμιεύεσθαι ἐκεῖ τὰς ἀντιδόσεις τούτων καὶ τὰς ἀμοιβὰς, αἳ συλλεγόμεναι καὶ θησαυριζόμεναι φυλάττονται ἀσφαλῶς.

Εἶτα ἐπάγει καὶ ἕτερον λογισμὸν, πείθων καὶ ἀπὸ τούτου μάλιστα.

21 Ὅπου γάρ ἐστιν ὁ θησαυρὸς ὑμῶν, ἐκεῖ ἔσται καὶ
ἡ καρδία ὑμῶν.

Κ*αρδίαν* ἐνταῦθα, τὸν νοῦν ἐκάλεσε. Λέγει δὲ, ὅτι καὶ εἰ μηδὲν τούτων γένηται, πάντως, *ὅπου ἐστὶν ὁ θησαυρὸς ὑμῶν, ἐκεῖ ἔσται καὶ ὁ νοῦς ὑμῶν*. Καὶ οὐ μικρὰ τοῦτο βλάβη τῆς ψυχῆς, τὸ προσηλῶσθαι τὸν νοῦν αὐτῆς ἐκεῖ, μεριμνῶντα διόλου περὶ τῆς τοῦ θησαυροῦ φυλακῆς, καὶ τῇ τοιαύτῃ τυραννίδι καταδεδουλωμένον, καὶ μὴ τολμῶντα μεταβῆναι πρὸς ἑτέραν ἔννοιαν.

22 Ὁ λύχνος τοῦ σώματός ἐστιν ὁ ὀφθαλμός. Ἐὰν οὖν
ὁ ὀφθαλμός σου ἁπλοῦς ᾖ, ὅλον τὸ σῶμά σου
23 φωτεινὸν ἔσται· ἐὰν δὲ ὁ ὀφθαλμός σου πονηρὸς
ᾖ, ὅλον τὸ σῶμά σου σκοτεινὸν ἔσται.

Λ*ύχνος* ἐστὶν, ὁ φωστήρ. Εἰπὼν δὲ περὶ τῆς ἀγενοῦς δουλείας τοῦ νοῦ, ὅς ἐστιν ὀφθαλμὸς τῆς ψυχῆς, βούλεται δεῖξαι

φανερώτερον, ὅτι ἡ τοιαύτη δουλεία τοῦ νοῦ, λύμη τῆς ψυχῆς ἐστίν. Λαμβάνει δὲ παράδειγμα τὸν ὀφθαλμὸν τοῦ σώματος, καὶ ἀπὸ τούτου δίδωσι καὶ τὰ ἐκείνου νοεῖν.

Παρατηρητέον δὲ νῦν, ὅτι *ἁπλοῦν* μὲν λέγει, τὸν ὑγιᾶ· *πονηρὸν* δὲ, τὸν νοσερόν. Φησὶ δὲ, ὅτι *Ἐὰν μὲν ὁ ὀφθαλμός σου ὑγιὴς εἴη, ὅλον τὸ σῶμά σου πεφωτισμένον ἔσται*, φωτιζόμενον ὑπὸ τοῦ οἰκείου φωταγωγοῦ· ἐὰν δὲ ὁ ὀφθαλμός σου νοσερὸς εἴη, ὅλον τὸ σῶμά σου ἐσκοτισμένον ἔσται, μὴ φωτιζόμενον ὑπ᾽ αὐτοῦ. Οὕτω τοίνυν καὶ ὁ ὀφθαλμὸς τῆς ψυχῆς, ὁ νοῦς, δουλεύων τῇ φροντίδι τοῦ κατορωρυγμένου θησαυροῦ, νοσερός ἐστι· νόσος γὰρ ἡ τοιαύτη φροντίς· καὶ λοιπὸν, ἐσκότισται ἡ ψυχή.

23 Εἰ οὖν τὸ φῶς τὸ ἐν σοὶ, σκότος ἐστὶ, τὸ σκότος
πόσον;

Ε*ἰ οὖν τὸ φῶς τὸ ἐν σοὶ*, ὅ ἐστιν ὁ νοῦς, ὁ δωρηθεὶς εἰς τὸ φωτίζειν καὶ ὁδηγεῖν τὴν ψυχὴν, *σκότος ἐστὶ*, τουτέστιν, ἐσκότισται, λοιπὸν *τὸ σκότος*, τὸ ἀπὸ τῶν παθῶν, *πόσον* ἔσται, εἰς τὸ σκοτίζειν τὴν ψυχὴν, σκοτισθέντος τοῦ ἀνατέλλοντος αὐτῇ φωτός;

24 Οὐδεὶς δύναται δυσὶ κυρίοις δουλεύειν· ἢ γὰρ τὸν
ἕνα μισήσει, καὶ τὸν ἕτερον ἀγαπήσει· ἢ τοῦ ἑνὸς
ἀνθέξεται, καὶ τοῦ ἑτέρου καταφρονήσει.

Ετι καὶ ἕτερον ἐπάγει λογισμὸν φοβερώτερον, εἰς ἰσχυροτέραν ἀποτροπὴν τῆς φιλοχρηματίας, δεικνύων, ὅτι αὕτη καὶ τῆς τοῦ θεοῦ δουλείας ἡμᾶς ἐκβάλλει, καὶ τῷ πλούτῳ καταδουλοῖ. Ἁπλῶς δὲ, καὶ ἀνωνύμως, δύο κυρίους λέγει, πρῶτον, ἵνα λάβῃ συνομολογοῦντας τοὺς ἀκροατὰς τῇ ἀληθείᾳ τοῦ λεχθέντος· εἶτα τίθησιν ὀνομαστὶ καὶ αὐτοὺς, περὶ ὧν ὁ λόγος. Δύο δὲ κυρίους φησὶν, ἐναντία ἐπιτάττοντας. *Ἀνθέξεται* δὲ, ἀντὶ τοῦ ὑπακούσει.

24 Οὐ δύνασθε θεῷ δουλεύειν καὶ μαμωνᾷ.

Ἰδοὺ καὶ ὀνομαστὶ τοὺς ῥηθέντας δύο κυρίους ἐδήλωσε. *Μαμωνᾶς* δὲ παρ' Ἑβραίοις, ὁ πλοῦτος, ὃν καὶ κύριον προσηγόρευσε, διὰ τὴν ἀσθένειαν τῶν ὑπ' αὐτοῦ κυριευομένων. Τί οὖν; Οὐχ ὁ Ἀβραὰμ πλούσιος ἦν; οὐχ ὁ Ἰὼβ καὶ οἱ κατ' ἐκείνους; Ναί· πλούσιοι μὲν ἦσαν, ἀλλ' οὐ τῷ πλούτῳ ἐδούλευον· ἀλλ' ἐκυρίευον αὐτοὶ τούτου, καὶ εἰς τοὺς δεομένους αὐτὸν ἀνήλισκον.

Οὐ δύνασθε δὲ Θεῷ δουλεύειν καὶ Μαμωνᾷ· διότι ὁ μὲν Θεὸς ἐπιτάττει, μὴ μόνον ἀπέχεσθαι τῶν ἀλλοτρίων, ἀλλὰ καὶ τῶν οἰκείων μεταδιδόναι· ὁ δὲ Μαμωνᾶς τοὐναντίον, μὴ μόνον μὴ μεταδιδόναι τῶν οἰκείων, ἀλλὰ μηδὲ τῶν ἀλλοτρίων ἀπέχεσθαι· καὶ ὁ μὲν (1) κρατεῖν γαστρὸς, ὁ δὲ ἐφιέναι γαστρί· καὶ ὁ μὲν σωφρονεῖν, ὁ δὲ πορνεύειν καὶ τὰ τοιαῦτα.

25 Διὰ τοῦτο λέγω ὑμῖν· Μὴ μεριμνᾶτε τῇ ψυχῇ ὑμῶν, τί φάγητε καὶ τί πίητε· μηδὲ τῷ σώματι ὑμῶν, τί ἐνδύσησθε·

Ἀποστήσας τοῦ θησαυρίζειν ἐπὶ τῆς γῆς, καὶ πείσας διανέμειν τὰ προσόντα, διδάσκει λοιπὸν, μηδὲ περὶ τῆς ἀναγκαίας χρείας μεριμνᾷν. Φησὶ γὰρ, *Μὴ μεριμνᾶτε τῇ ψυχῇ ὑμῶν*, τουτέστι, μὴ μεριμνᾶτε διὰ τὴν ψυχὴν ὑμῶν, *τί φάγητε ἢ τί πίητε*. Εἰ γὰρ καὶ ἡ ψυχὴ οὔτε ἐσθίει, οὔτε πίνει· ἀλλ' οὖν διὰ τὴν ψυχὴν ἐσθίουσι καὶ πίνουσιν οἱ ἄνθρωποι, μὴ δυναμένην ἐνοικεῖν σώματι μήτε τρεφομένῳ, μήτε πίνοντι, μέχρις ἂν καὶ τοῦτο ἀφθαρτισθείη.

[Καὶ (2) καθ' ἕτερον δὲ τρόπον ἑρμηνευτέον, ὅτι, ἐπεὶ ποτὲ μὲν ἐν τῇ ψυχῇ μεριμνῶσιν οἱ ἄνθρωποι, ὅτε κατὰ νοῦν μόνον

(1) ἀπὸ κοινοῦ τὸ, ἐπιτάττει.

(2) Τὰ παρεντεθειμένα ἀναγινώσκονται ἐν τῷ περισελιδίῳ παρὰ τῷ Α.

φροντίζουσι, ποτὲ δὲ ἐν τῷ σώματι, ὅτε κατατείνουσι (1) τοῦτο πρὸς κτῆσιν τοῦ σπουδαζομένου, καὶ ταύτης κἀκείνης τῆς μερίμνης ἀπάγων αὐτοὺς ὁ Κύριος, εἶπε, *Μὴ μεριμνᾶτε*, μήτε τῇ ψυχῇ ὑμῶν, μήτε τῷ σώματι, περὶ βρώσεως, καὶ πόσεως, καὶ ἐνδύματος.]

25 Οὐχὶ ἡ ψυχὴ πλεῖόν ἐστι τῆς τροφῆς, καὶ τὸ σῶμα τοῦ ἐνδύματος;

Τοῦτο εἶπε δηλῶν, ὅτι ὁ τὸ πλεῖον δοὺς ἡμῖν, καὶ τὸ ἔλαττον δώσει. *Πλεῖον* δὲ, τὸ μεῖζον λέγει.

26 Ἐμβλέψατε εἰς τὰ πετεινὰ τοῦ οὐρανοῦ, ὅτι οὐ σπείρουσιν, οὐδὲ θερίζουσιν, οὐδὲ συνάγουσιν εἰς ἀποθήκας· καὶ ὁ πατὴρ ὑμῶν ὁ οὐράνιος τρέφει αὐτά.

Ἵνα μή τις εἴπῃ, ὅτι Καὶ πῶς ἄρα ζησόμεθα, μὴ μεριμνῶντες περὶ τῶν ἀναγκαίων; λύει τὴν τοιαύτην ἀντίθεσιν ἀπὸ τοῦ παραδείγματος τῶν πετεινῶν, ἃ μὴ μεριμνῶντα τρέφει ὁ θεός. Δυνάμενος δὲ ἐξ ἀνθρώπων ἐνεγκεῖν τὸ παράδειγμα, καὶ εἰπεῖν τὸν Ἠλίαν, καὶ τὸν Ἰωάννην, καὶ τοὺς κατ' αὐτοὺς, ὅσοι μηδὲν τοιοῦτον ἐμερίμνησαν· τοῦτο μὲν οὐκ ἐποίησεν, ἀπὸ τῶν πετεινῶν δὲ μᾶλλον ἐπεστόμισε τὴν εἰρημένην ἀντίθεσιν, ἐντρεπτικώτερον καθαψάμενος, καὶ περιελὼν πᾶσαν πρόφασιν. Καὶ γὰρ καὶ ἡ παλαιὰ Γραφὴ, βουλομένη σφοδρότερον καθικέσθαι τῶν ἀνθρώπων, πρὸς τὴν μέλισσαν αὐτοὺς πέμπει, καὶ πρὸς τὸν μύρμηκα, καὶ πρὸς ἄλλα ζῶα. Τὰ μὲν οὖν πετεινὰ, μείναντα, ὡς ἐξ ἀρχῆς ἐγένοντο, εὐποροῦσι καὶ τῆς κατὰ φύσιν τροφῆς· ὁ δὲ ἄνθρωπος, ἐκτραπεὶς ἐστέρηται. Πλὴν ἅπερ ἡ ἀπὸ τοῦ θεοῦ ἀλλοτρίωσις ἀφεῖλε, ταῦτα πάλιν ἡ πρὸς αὐτὸν

(1) ἀμέτρῳ φιλοπονίᾳ, κατατρύχουσι.

οἰκείωσις ἀποδίδωσι. Διὰ τοῦτο προσέταξε, μὴ μεριμνᾷν περὶ τούτων, ἀλλὰ περὶ τοῦ οἰκειωθῆναι θεῷ.

26 Οὐχ ὑμεῖς μᾶλλον διαφέρετε αὐτῶν;

Οὐχ ὑμεῖς κρείττους κατὰ πολὺ τῶν πετεινῶν ἐστε; Καὶ εἰ τὰ χείρονα τρέφει ὁ θεός, πολλῷ μᾶλλον τοὺς κρείττονας. Ὁ γὰρ διαπλάσας ἡμῖν σῶμα, δεόμενον τροφῆς, παρέξει πάντως καὶ τὴν τροφὴν αὐτοῦ. Τί οὖν; Οὐ δεῖ σπείρειν; Οὐκ εἶπε, Μὴ σπείρετε, ἀλλὰ Μὴ μεριμνᾶτε. Τῶν τελείων μὲν γὰρ τὸ μηδὲ σπείρειν, ἀλλ᾽ ἐργάζεσθαι μόνην τὴν βρῶσιν τὴν μὴ ἀπολλυμένην, λέγω δὴ τὰς ἀρετὰς, ὡς οἱ ἀπόστολοι, καὶ οἱ μιμησάμενοι τὸν βίον αὐτῶν, καὶ ζητεῖν ἀπὸ τοῦ θεοῦ τὴν τροφήν· *Τὸν ἄρτον* (α) γὰρ, φησὶ, *τὸν ἐπιούσιον δὸς ἡμῖν σήμερον*· τῶν μέσων δὲ, τὸ σπείρειν μὲν, μὴ φροντίζειν δὲ, πῶς ἂν φύσῃ τὸ σπέρμα, καὶ (1) κατατείνειν ἑαυτοὺς ὅλους εἰς τὰς τοιαύτας μερίμνας, ὡς διὰ ταύτας ἀμελεῖν τῆς ψυχῆς. Διὰ τοῦτο τοίνυν τὸ σπείρειν οὔτε ἐκώλυσεν, οὔτε ἐπέτρεψεν, ἀλλ᾽ ἐπὶ τῇ ἑκάστου προαιρέσει τοῦτο καταλέλοιπεν. Εἰ γὰρ καὶ περὶ τῶν πετεινῶν εἶπεν, ὅτι οὐ σπείρουσιν, ἀλλ᾽ οὐκ εἶπε τοῦτο, κωλύων τὸ σπείρειν, ἀλλὰ μόνον δεῖξαι βουλόμενος, ὅτι ὁ θεὸς τρέφει αὐτά.

Τί γοῦν ὠφελήσεις, οὕτως ἐπιτεταμένως μεριμνῶν; Κἂν γὰρ μυρία σπουδάσῃς, οὐ δώσεις ὑετὸν, οὐδὲ ἥλιον, οὐδὲ πνοὰς ἀνέμων, οἷς ὁ σπόρος καρπογονεῖ. Ταῦτα γὰρ ὁ θεὸς μόνος δίδωσιν. Οὕτως οὖν καὶ ἐπὶ πόματος, καὶ ἐπὶ ἐνδύματος, καὶ τῶν τοιούτων.

Καὶ πῶς δύναταί τις ζῆν, μὴ μεριμνῶν τὰ τοιαῦτα; Πῶς; Ὡς ἔζων οἱ δηλωθέντες ἅγιοι. Μηδὲ γὰρ τὴν ἑαυτῶν ἀσθένειαν ποιῶμεν ἀδυναμίαν τῆς ἐντολῆς. Οὐδὲν γὰρ ἀδύνατον ὁ θεὸς ἐπέταξεν· οἶδε γὰρ τὸ μέτρον τῆς ἀνθρωπίνης δυνάμεως, οὐ

(α) Ματθ. ϛ', 11·

(1) Ἀντὶ τοῦ, καὶ, προτιμότερον τὸ, μηδὲ, ἢ ἀπὸ κοινοῦ τὸ, μή.

μόνον ὡς δημιουργὸς αὐτῆς, ἀλλὰ καὶ ὡς ὑποδὺς αὐτήν. Ἀλλ᾽ ἐκείνοις μὲν εὐχερὴς ἦν ἡ ἐντολὴ, ὡς χωρισθεῖσι κόσμου καὶ πάσης σωματικῆς σχέσεως· ἡμῖν δὲ ἀδύνατος φαίνεται, διὰ τὸ μὴ ἀποσπασθῆναι αὐτῶν. Τρέφει δὲ τὰ πετεινὰ ὁ θεὸς, ἐνθεὶς αὐτοῖς γνῶσιν, πόθεν συλλέξωσι τὴν τροφήν.

27 Τίς δὲ ἐξ ὑμῶν μεριμνῶν δύναται προσθεῖναι ἐπὶ τὴν ἡλικίαν αὐτοῦ πῆχυν ἕνα;

Οὐδεὶς! Ὥσπερ οὖν ἀδύνατον, κατορθωθῆναι τοῦτο διὰ σπουδῆς ἡμετέρας· οὕτω καὶ τὸ συναγαγεῖν τροφὴν, εἰ μὴ ὁ θεὸς ἐπινεύσῃ. Κἂν γὰρ μυρία σπουδάσωμεν, οὐδὲν ἀνύσομεν, δίχα τῆς προνοίας αὐτοῦ.

[Καὶ (1) μὴν οὐδὲ σπιθαμὴν, οὐδὲ δάκτυλον. Λοιπὸν οὖν πῆχυν εἶπε· διότι κυρίως μέτρον τῶν ἡλικιῶν ὁ πῆχύς ἐστι.]

28 Καὶ περὶ ἐνδύματος τί μεριμνᾶτε; Καταμάθετε τὰ κρίνα τοῦ ἀγροῦ, πῶς αὐξάνει· οὐ κοπιᾷ, οὐδὲ νήθει.

Κρίνα νῦν, πάντα τὰ ἄνθη ὠνόμασε· καὶ τοῦτο δῆλον ἀπὸ τοῦ εἰπεῖν, ὅτι *ὡς ἓν* (α) *τούτων*. Ὄντος δὲ τοῦ λόγου περὶ ἐνδύματος, πῶς λέγει περὶ αὐξήσεως; Διότι τὸ, *αὐξάνει*, πρὸς τὰ πέταλα αὐτῶν εἴρηκεν, ἅτινα ἔνδυμα ἑκάστῳ τούτων ἐστί. *Καταμάθετε*, λέγων, *τὰ κρίνα τοῦ ἀγροῦ*, πῶς αὐξάνουσι κατὰ τὰ πέταλα, ἅπερ ὅσον αὐξάνει, τοσοῦτον ὡραΐζει.

29 Λέγω δὲ ὑμῖν, ὅτι οὐδὲ Σολομὼν ἐν πάσῃ τῇ δόξῃ
30 αὐτοῦ περιεβάλετο ὡς ἓν τούτων. Εἰ δὲ τὸν χόρ-
τον τοῦ ἀγροῦ, σήμερον ὄντα, καὶ αὔριον εἰς κλί-

(1) Τὰ παρεντεθειμένα ἀναγινώσκονται παρὰ τῷ Α ἐν τῷ περισελιδίῳ·

(α) Ματθ. ϛ', 29.

βανον βαλλόμενον, ὁ θεὸς οὕτως ἀμφιέννυσιν, οὐ πολλῷ μᾶλλον ὑμᾶς,

Διὰ τί οὐκ ἀπὸ τῶν πετεινῶν πάλιν ἤγαγε παράδειγμα, ἢ καὶ ἀπὸ ζώων ἄλλων; (εἶχε γὰρ εἰπεῖν πολλὰ κεκαλλωπισμένα καὶ ὡραιότατα). Διότι βούλεται κἀνταῦθα δεῖξαι τήν τε εὐτέλειαν τοῦ χόρτου τοῦ καλλωπισθέντος οὕτως ἐκ θεοῦ, καὶ τὴν ὡραιότητα τοῦ δοθέντος κάλλους τῷ οὕτως εὐτελεστάτῳ χόρτῳ. Σκόπει γὰρ, ὅτι τὴν μὲν εὐτέλειαν τῶν κρίνων ἐπιτείνων, χόρτον αὐτὰ προϊὼν ἐκάλεσε· καὶ ἔτι μᾶλλον, *σήμερον ὄντα καὶ αὔριον εἰς κλίβανον βαλλόμενον*, ἃ καὶ ἄμφω πρὸς ἐπίτασιν τῆς εὐτελείας εἴρηται· τὴν δὲ ὡραιότητα τοῦ κάλλους αὐτῶν ὁμοίως ἐπιτείνων, οὐκ εἶπεν ἁπλῶς, ὅτι ἀμφιέννυσιν, ἀλλ' ὅτι *οὕτω ... φιέννυσι*. Τὸ γὰρ, οὕτως, ἐνταῦθα ἐπίτασιν ἐμφαίνει τῆς ... ότητος.

... Σολομῶντα δὲ τέθεικεν, ὡς φιλόκαλον, καὶ σοφὸν ἐπινο... ιαι καλλωπισμούς. *Κλίβανος* δέ ἐστι, τὸ ὀπτανεῖον τῶν ἀ... ων· τὸ δὲ, ὑμᾶς, ἐμφαντικὸν τιμῆς νόησον. Φησὶ γὰρ ἐρωτηματικῶς, ὅτι Οὐ πολλῷ μᾶλλον ὑμᾶς, τὸ τίμιον αὐτοῦ κτῆμα; οἷς σῶμα καὶ ψυχὴν καὶ νοῦν ἐχαρίσατο, δι' οὓς τὸν κόσμον ἐποίησε, δι' οὓς προφήτας ἔπεμψε, δι' οὓς καὶ τὸν μονογενῆ αὐτοῦ υἱὸν ἐξέδωκεν;

30 Ὀλιγόπιστοι;

Επιπληκτικόν ἐστι τοῦτο. Καὶ γὰρ ἀποδείξας, ὃ ἐβούλετο, λοιπὸν ἐπιπλήττει αὐτοὺς, ὀλιγοπίστους ὀνομάζων, ὡς μὴ πιστεύοντας ἀδιστάκτως, ὅτι φροντίσει αὐτῶν ὁ θεὸς, καὶ διὰ τοῦτο μεριμνῶντας. Οὕτως ἐπιπλήξας, ἐντρέπει τούτους, καὶ εὐπειθεστέρους ποιεῖ. Ἐπαίδευσε δὲ διὰ τοῦ ῥηθέντος παραδείγματος, καὶ τὸ μὴ μέγα φρονεῖν ἐπὶ τῇ πολυτελείᾳ τῶν ἱματίων, ὧν ὡραιότερα καὶ καλλίονα τὰ ἄνθη τοῦ χόρτου. Ὥσπερ δὲ ἀνωτέρω περὶ τῶν πετεινῶν εἰπὼν, ὅτι οὐ σπείρουσιν,

οὐκ ἐκώλυσε τὸ σπείρειν, ὡς ἐκεῖσε εἰρήκαμεν· οὕτως οὐδ' ἐνταῦθα τὸ κοπιᾷν καὶ νήθειν ἐκώλυσεν, ἀλλ' εἶπεν οὕτω, δεῖξαι μόνον θέλων, ὅτι ὁ θεὸς αὐτὰ ἀμφιέννυσιν.

Καὶ διὰ τί τοσοῦτον κάλλος τοῖς ἄνθεσι περιτέθεικε; Διότι βούλεταί σε καὶ ἀπὸ τούτου μανθάνειν τὸ μέγεθος τῆς αὐτοῦ σοφίας καὶ δυνάμεως. Εἰ τοίνυν τὰ διὰ σὲ γενόμενα κρίνα φιλοτίμως ἐνέδυσε, πῶς οὐκ ἐνδύσει μάλιστά σε, δι' ὃν ἐκεῖνα πεποίηκε; Δημιουργὸς δὲ καὶ προνοητὴς πάντων αὐτὸς ὢν, ὅμως τῷ πατρὶ τὴν δημιουργίαν καὶ πρόνοιαν πάντων ἀνατίθησι, δεικνύων τε ἐντεῦθεν τὸ πρὸς αὐτὸν ὁμόγνωμόν τε καὶ ὁμοδύναμον, καὶ διότι οὔπω καιρὸς ἦν, ἐκκαλύψαι φανερῶς περὶ τῆς ἑαυτοῦ θεότητος, ὡς ἡρμηνεύσαμεν ἐξηγούμενοι τὸ, *Ἠκούσατε, ὅτι ἐῤῥέθη τοῖς ἀρχαίοις· Οὐ φονεύσεις*,

31 Μὴ οὖν μεριμνήσητε, λέγοντες· Τί φάγωμεν, ἢ τί πίωμεν, ἢ τί περιβαλώμεθα;

Επαναλαμβάνει πάλιν τὸν περὶ τοῦ μὴ μεριμνᾷν λόγον, διὰ τὸ τῆς μερίμνης βίαιόν τε καὶ δυσαπάλλακτον. Σὺ δὲ ἐννόησον, ὅτι οἱ κελευσθέντες μηδὲ περὶ τῶν ἀναγκαίων μεριμνᾷν, τίνα συγγνώμην ἕξομεν, μεριμνῶντες καὶ περὶ τῶν οὐκ ἀναγκαίων;

32 Πάντα γὰρ ταῦτα τὰ ἔθνη ἐπιζητεῖ.

Τὸ, *ἐπιζητεῖ*, ἀντὶ τοῦ, μεριμνῶσι, νόησον. Τὰ ἔθνη γὰρ, ἀλόγων δίκην, πρὸς μόνην βλέπουσι τὴν φιληδονίαν. Ὅταν δὲ μηδὲ τῶν ἐθνικῶν ὑπερτερῶμεν, οἱ τῶν γραμματέων καὶ φαρισαίων ὑπερτερεῖν ταῖς ἀρεταῖς κεκελευσμένοι, ποίας οὐκ ἂν εἴημεν κολάσεως ἄξιοι;

32 Οἶδε γάρ ὁ πατὴρ ὑμῶν ὁ οὐράνιος, ὅτι χρῄζετε τούτων ἁπάντων.

Καθαψάμενος αὐτῶν ἱκανῶς, παραθαῤῥύνει πάλιν ἑτέρωθεν. Ἔργον γὰρ διδασκάλου καὶ ἐπιπλήττειν, ἐν οἷς χρὴ, καὶ πα-

ρακαλεῖν, καὶ ἀμφοτέρωθεν διεγείρειν. Οὐκ εἶπε δὲ, ὅτι *Οἶδεν ὁ θεὸς*, ἀλλ' ὅτι *Οἶδεν ὁ πατὴρ ὑμῶν*, ὥστε μάλιστα θαῤῥεῖν αὐτούς. Ἐπεὶ γὰρ πατήρ ἐστι, καὶ πατὴρ τοιοῦτος, οὐ δυνήσεται περιϊδεῖν τοὺς υἱοὺς ἐνδείᾳ τῶν ἀναγκαίων διαφθειρομένους, ὅπουγε οὐδὲ ἀνθρώπινοι πατέρες τοῦτο ὑπομένουσι. Καὶ ἐπεὶ οἶδεν, ὅτι *χρῄζετε τούτων ἁπάντων*, δώσει πάντως. Οὐ γὰρ περιττὸν τὸ ἐσθίειν καὶ πίνειν καὶ ἐνδιδύσκεσθαι, ἵνα καὶ παρίδῃ· ἀλλὰ χρήσιμα τῷ σώματι, καὶ ἀναγκαῖα τῇ τούτου φύσει. Ὥστε, ὃ νομίζεις αἴτιον εἶναί σοι τῆς μερίμνης, τοῦτο μᾶλλόν ἐστιν αἴτιον τῆς ἀμεριμνίας. Ἐπεὶ γὰρ ἀναγκαῖα ταῦτα, διὰ τοῦτο μάλιστα χρὴ θαῤῥεῖν. Ποῖος γὰρ πατὴρ ἀνέξεται μηδὲ τὰ ἀναγκαῖα χορηγεῖν τοῖς παισίν;

33 Ζητεῖτε δὲ πρῶτον τὴν βασιλείαν τοῦ θεοῦ καὶ τὴν δικαιοσύνην αὐτοῦ· καὶ ταῦτα πάντα προστεθήσεται ὑμῖν.

Πρῶτον, ἀντὶ τοῦ, πρὸ τῶν ἀναγκαίων τοῦ σώματος, ἢ ἀντὶ τοῦ, ἐξαιρέτως, καὶ μάλιστα. *Βασιλείαν* δὲ *θεοῦ* λέγει νῦν, τὴν ἀπόλαυσιν τῶν αἰωνίων ἀγαθῶν· *δικαιοσύνην* δὲ *αὐτοῦ*, τὴν δικαίωσιν τὴν παρ' αὐτοῦ, ἵνα δικαιώσῃ ὑμᾶς αὐτός. Ἢ τὴν κατόρθωσιν τῆς δικαιοσύνης, ἤτοι τῆς καθόλου ἀρετῆς, δι' ἣν δίκαιοι γινόμεθα. Εἰ γὰρ περὶ τούτων αἰτεῖτε, ὄντων ἀναγκαίων τῆς ψυχῆς, ταῦτά τε δώσει, καὶ προσθήσει καὶ τὰ ἀναγκαῖα τοῦ σώματος. Καὶ γὰρ καὶ ὀπίσω, ἐν οἷς ἐδίδαξε, πῶς δεῖ εὔχεσθαι, πρῶτον μὲν εἶπε λέγειν, (α) *Πάτερ ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς, ἁγιασθήτω τὸ ὄνομά σου· ἐλθέτω ἡ βασιλεία σου· γεννηθήτω τὸ θέλημά σου, ὡς ἐν οὐρανῷ καὶ ἐπὶ τῆς γῆς·* ἔπειτα δὲ, *τὸν ἄρτον ἡμῶν τὸν ἐπιούσιον δὸς ἡμῖν σήμερον*. Οὐ γὰρ διὰ τοῦτο γεγόναμεν, ἵνα ἐσθίωμεν, καὶ πίνωμεν, καὶ ἐνδυώμεθα, ἀλλ' ἵνα εὐαρεστήσαντες αὐτῷ, τῶν αἰωνίων ἀπολαύσωμεν ἀγαθῶν.

(α) Ματθ. ϛ', 9—11.

Διὸ τοῦτο μάλιστα χρὴ ζητεῖν καὶ ὑπὲρ τούτου μᾶλλον αἰτεῖν. Τοῦτο μὲν γὰρ ἐὰν μὴ ζητῶμεν, οὐ δώσει· τὰ δ' ἀναγκαῖα τοῦ σώματος, καὶ αἰτοῦντες, καὶ μὴ αἰτοῦντες λαμβάνομεν, διὰ τὴν σύστασιν τοῦ σώματος, ὡς καὶ τὰ ἄπιστα ἔθνη. Διὰ τοῦτο γὰρ εἶπεν, ὅτι *προστεθήσεται*. Ὥστε οὐχ ὑπὲρ τούτου χρὴ μεριμνᾷν, ὃ καὶ μὴ μεριμνῶντες λαμβάνομεν, ἀλλ' ὑπὲρ ἐκείνου. Καὶ εἰ τὰ ἀναγκαῖα τοῦ σώματος παρέχει, καὶ μὴ αἰτούντων ἡμῶν, διὰ τί προσέταξε ζητεῖν τὸν ἄρτον τὸν ἐπιούσιον; Πάντως, ἵνα διὰ τῆς τοιαύτης αἰτήσεως ὁμολογῶμεν, ὅτι αὐτός ἐστιν ὁ τρέφων ἡμᾶς, καὶ οὐχ ἡ σπουδὴ ἡμῶν· καὶ ἵνα τοῦτο οὕτως ὁμολογοῦντες, οἰκειότεροι γινώμεθα διὰ τὴν εὐγνωμοσύνην.

34 Μὴ οὖν μεριμνήσητε εἰς τὴν αὔριον· ἡ γὰρ αὔριον μεριμνήσει τὰ ἑαυτῆς.

Ὀπίσω εἰπὼν ἁπλῶς, ὅτι *μὴ μεριμνήσητε*, ἐδόκει παντελῶς ἐκκόπτειν τὴν μέριμναν τῶν ἀναγκαίων τοῦ σώματος. Λοιπὸν οὖν ἐνταῦθα διδάσκει φανερώτερον, ὅτι τὴν μὲν ἐπὶ τῇ ἐνεστώσῃ ἡμέρᾳ συγχωρεῖ, ὡς ἀναγκαίαν, διὰ τὴν ἀσθένειαν τοῦ σώματος· τὴν δὲ τῆς αὔριον ἀπαγορεύει, ὡς περιττήν. Ἡ γὰρ αὔριον ἡμέρα ἕξει καὶ αὐτὴ πάλιν τὴν μέριμναν τῶν ἑαυτῆς, ἤγουν, ὧν ἐν αὐτῇ χρῄζει ὁ ἄνθρωπος. Τινὲς δέ φασιν, ὀπίσω μὲν παντελῶς ἐκκόψαι τὴν μέριμναν, διὰ τοὺς δυνατούς· ἐνταῦθα δὲ, συγχωρῆσαι τὴν τῆς ἐνεστώσης ἡμέρας, διὰ τοὺς ἀσθενεστέρους.

34 Ἀρκετὸν τῇ ἡμέρᾳ ἡ κακία αὐτῆς.

Κακίαν ἐνταῦθα λέγει, τὴν μέριμναν, τὸν κόπον, τὰς ἐπιγινομένας ἑκάστοτε συμφορὰς, ἅπερ ἀρκοῦσιν αὐτῇ, καὶ οὐ χρὴ

προσθεῖναι καὶ τὴν μέριμναν τῆς αὔριον, καὶ καταβαρύνειν αὐτὴν, ὡς μὴ δύνασθαι χρησιμεύειν ἡμῖν εἰς ἐργασίαν πνευματικήν. *Κακία* γὰρ λέγεται, οὐ μόνον ἡ πονηρία, ἀλλὰ καὶ τὰ ῥηθέντα. Καὶ γὰρ καὶ ἐν ἄλλοις εἴρηται κακία, ἡ θεήλατος ὀργὴ καὶ μάστιξ. *Οὐκ* (α) *ἔστι γάρ*, φησι, *κακία ἐν πόλει, ἣν Κύριος οὐκ ἐποίησε*. Καὶ αὖθις· *Ἐγώ*, φησι, (β) *ποιῶν εἰρήνην καὶ κτίζων κακὰ*, ἀντὶ τοῦ λιμοὺς καὶ λοιμοὺς, καὶ τὰ τοιαῦτα. Καὶ γὰρ εἰώθαμεν κακὰ ὀνομάζειν, καὶ τὰ λυπηρὰ καὶ κακωτικά.

ΚΕΦ. VII, 1 Μὴ κρίνετε, ἵνα μὴ κριθῆτε.

[Φησὶν 1) ὁ Χρυσόστομος ἐν τῇ ἑρμηνείᾳ τῆς πρὸς Ἑβραίους ἐπιστολῆς, ὅτι τὸ *Μὴ κρίνετε, ἵνα μὴ κριθῆτε*, περὶ βίου ἐστὶν, οὐ περὶ πίστεως. Ὁμοίως δὲ καὶ τὸ, *Πάντα* (γ), *ὅσα ἂν λέγωσιν ὑμῖν ποιεῖν, ποιεῖτε*. Τὸ γὰρ ποιεῖν, ἔργων ἐστὶν, ἀλλ᾽ οὐ πίστεως.]

Κρίσιν δὲ ἐνταῦθα, τὴν κατάκρισιν νόησον. Ταύτην γὰρ ἑρμηνεύων ὁ Λουκᾶς εἶπε· *Μὴ* (δ) *καταδικάζετε, καὶ οὐ μὴ καταδικασθῆτε*. Καὶ εἰ μὴ καταδικάσει τις τὸν ἁμαρτάνοντα, οἷον ἄρχων μὲν τὸν ἀρχόμενον, πατὴρ δὲ τὸν υἱὸν, δεσπότης δὲ τὸν δοῦλον, ἐπιδώσει πάντως ἡ κακία, καὶ ἔσται σύγχυσις. Ἀλλ᾽ οὐ περὶ ταύτης τῆς κατακρίσεως λέγει νῦν, τῆς φιλαγάθου καὶ διορθωτικῆς· προϊὼν γὰρ ἐνετείλατο, καὶ ἐλέγχειν οὕτω, καὶ δεσμεῖν· *Ὕπαγε* (ε) γάρ, φησι, *καὶ ἔλεγξον αὐτὸν*·

(α) Ἀμὼς Γ', 6.
(β) Ἡσ. ΜΕ', 7.
(1) Τὰ παρεντεθειμένα ἀναγινώσκονται ἐν τῷ περισελιδίῳ παρὰ τῷ Α.
(γ) Ματθ. ΚΓ', 3.
(δ) Λουκ. ϛ', 37.
(ε) Ματθ. ΙΗ', 15.

καὶ αὖθις (α)· *Ὅσα ἂν δήσητε ἐπὶ τῆς γῆς, ἔσται δεδεμένα ἐν τῷ οὐρανῷ*· νῦν δὲ ὁ λόγος οὐ πρὸς τοὺς ἄρχοντάς ἐστιν, ἀλλὰ πρὸς τοὺς ἀρχομένους, παραινῶν, μὴ ἀντὶ τοῦ βλέπειν τὰ οἰκεῖα, καὶ καταδικάζειν ἑαυτοὺς, ὁρᾷν τὰ ἀλλότρια, καὶ κατακρίνειν ἑτέρους.

Φησὶ γὰρ καὶ Παῦλος ὁ ἀπόστολος, ὅτι Εἰ (β) *ἐκρίνομεν ἑαυτοὺς, οὐκ ἂν ἐκρινόμεθα*. Ἔστι δὲ ὁ λόγος καὶ πρὸς τοὺς μεγάλα μὲν ἁμαρτάνοντας, κατακρίνοντας δὲ τοὺς μικρὰ σφαλλομένους. Λέγει γὰρ ἑξῆς· *Τί βλέπεις* (γ) *τὸ κάρφος τὸ ἐν τῷ ὀφθαλμῷ τοῦ ἀδελφοῦ σου, τὴν δὲ ἐν τῷ σῷ ὀφθαλμῷ δοκὸν οὐ κατανοεῖς;* Ἔστι δὲ κάρφος, ἀπόσπασμα ξύλου βραχύτατον.

2 Ἐν ᾧ γὰρ κρίματι κρίνετε, κριθήσεσθε·

Ἐν ἥτινι καταδίκῃ καταδικάζεις τὸν ἀδελφὸν, ἐν ταύτῃ κριθήσῃ καὶ σὺ, τουτέστιν, εἰ τὸ λεπτὸν αὐτοῦ σφάλμα πολυπραγμονεῖς καὶ κατακρίνεις, καὶ τὰ λεπτὰ τὰ σὰ πολυπραγμονηθήσονται καὶ κατακριθήσονται ἐν καιρῷ τῆς φοβερᾶς κρίσεως.

2 Καὶ ἐν ᾧ μέτρῳ μετρεῖτε, μετρηθήσεται ὑμῖν.

Καὶ ἐν ᾧ μέτρῳ ἀκριβείας μετρεῖς αὐτῷ τὴν πολιτείαν, οἷον, ὅτι τόσον ὤφειλε προσέχειν (1)· ἐν τούτῳ μετρηθήσεται καὶ σοὶ ἡ σὴ πολιτεία. Δηλοῖ δὲ ὁ λόγος, ὅτι ὅσην ἀκρίβειαν ἀπαιτεῖς αὐτὸν, τοσαύτην ἀπαιτηθήσῃ καὶ σὺ παρὰ τοῦ θεοῦ. Χρὴ δὲ προσέχειν, ὅτι, ὥσπερ ἐὰν ἡμεῖς ἀφίωμεν τοῖς ὀφειλέταις ἡμῶν, ἀφίησι καὶ ὁ θεὸς ἡμῖν· οὕτως ἐὰν ἡμεῖς οὐ κατα-

(α) Ματθ. ΙΗ', 18.
(β) Α' Κορ. ΙΑ', 31.
(γ) Ματθ. Ζ', 3.
(1) πρὸς τὴν αὐτοῦ πολιτείαν καὶ τὸν βίον.

κρίνωμεν τὸν ἀδελφὸν, οὐδὲ ὁ Θεὸς ἡμᾶς. Ὢ θαυμαστῆς ἐντολῶν δυάδος, ῥᾳδίων μὲν εἰς τὸ κατορθωθῆναι, μεγάλης δὲ σωτηρίας προξένων!

Τί οὖν; ἐὰν ὁ ἀδελφὸς πορνεύῃ, ἢ τοιοῦτον ἄλλό τι πλημμελῇ; Πότερον οὐ διορθώσω τοῦτον, ἀλλὰ σιγήσω; Διόρθωσον μὲν ἰατρικῶς, ὡς ἀδελφόν· μὴ κατάκρινε δὲ ἀπεχθῶς, ὡς μεμισημένον. Οὐ γὰρ εἶπε, *Μὴ παύσῃς ἁμαρτάνοντα*· ἀλλὰ *Μὴ κρίνῃς*. Φησὶ γὰρ καὶ Παῦλος· *Σὺ τίς εἶ* (α) *ὁ κρίνων ἀλλότριον οἰκέτην; τῷ ἰδίῳ κυρίῳ στήκει ἢ πίπτει*. Καὶ πάλιν· *Σὺ* (β) *δὲ τί κρίνεις τὸν ἀδελφόν σου; ἢ καὶ σὺ, τί ἐξουθενεῖς τὸν ἀδελφόν σου;* Καὶ ὄντως τὸ κατακρίνειν τὸν μὴ ὑπεξούσιον, ψυχῆς ἐστι φαρισαϊκῆς, καὶ δικαιούσης ἑαυτήν.

3 Τί δὲ βλέπεις τὸ κάρφος, τὸ ἐν τῷ ὀφθαλμῷ τοῦ ἀδελφοῦ σου, τὴν δὲ ἐν τῷ σῷ ὀφθαλμῷ δοκὸν οὐ κατανοεῖς;

Διὰ τοῦ *κάρφους* μὲν, τὸ ἐλάχιστον ἁμάρτημα ἐνέφηνε· διὰ τῆς *δοκοῦ* δὲ, τὸ μέγιστον. Ξύλον γὰρ ἐπίμηκες ἡ δοκός. Λέγει δὲ, ὅτι Διὰ τί τὸ μὲν ἐν τῇ ψυχῇ τοῦ ἀδελφοῦ σου ἐλαφρότατον σφάλμα βλέπεις ὀξέως· τὸ δὲ ἐν τῇ σῇ βαρύτατον, οὐχ ὁρᾷς; Πᾶς γὰρ τὰ ἑαυτοῦ μᾶλλον οἶδεν, ἢ τὰ ἑτέρου, καὶ τὰ μείζω βλέπει μᾶλλον, ἢ τὰ ἐλάττω.

4 Ἢ πῶς ἐρεῖς τῷ ἀδελφῷ σου· Ἄφες ἐκβάλω τὸ κάρφος ἀπὸ τοῦ ὀφθαλμοῦ σου· καὶ ἰδοὺ, ἡ δοκὸς ἐν τῷ ὀφθαλμῷ σου;

Ἢ πῶς ἐπιχειρήσεις ἰατρεῦσαι αὐτὸν, αὐτὸς μάλιστα δεόμενος ἰατρείας; Ἰδοὺ γὰρ ἡ δοκὸς ἐν τῷ ὀφθαλμῷ σου ἐστίν.

(α) Ῥωμ. ΙΔ, 4.
(β) Ῥωμ. ΙΔ΄, 10.

5 Ὑποκριτά! ἔκβαλε πρῶτον τὴν δοκὸν ἐκ τοῦ ὀφθαλμοῦ σου, καὶ τότε διαβλέψεις ἐκβαλεῖν τὸ κάρφος ἐκ τοῦ ὀφθαλμοῦ τοῦ ἀδελφοῦ σου.

Ὑποκριτὴν τὸν τοιοῦτον ὠνόμασεν, ὡς ἰατροῦ μὲν τάξιν ἁρπάζοντα, νοσοῦντος δὲ τόπον ἐπέχοντα· ἢ ὡς προφάσει μὲν διορθώσεως τὸ ἀλλότριον σφάλμα πολυπραγμονοῦντα, σκοπῷ δὲ κατακρίσεως τοῦτο ποιοῦντα. Εἰ γὰρ κηδόμενος τοῦ ἀδελφοῦ σου τοῦτο ποιεῖς, πρῶτον κήδου σεαυτοῦ, μεῖζον ἐκείνου πλημμελήσας· εἰ δὲ σεαυτοῦ καταφρονεῖς, πρόδηλον, ὡς οὐδ' ἐκεῖνον φιλεῖς. Πᾶς γὰρ ἑαυτὸν φιλεῖ μᾶλλον, ἢ τὸν ἀδελφόν. Καὶ λοιπὸν οὐ διορθούμενος, ἀλλὰ κατακρίνων ἐκπομπεύεις (1). Ὁρᾷς; οὐκ ἐκώλυσε θεραπεύειν ἑτέρους, εἰ τούτου πάντως ἐπιθυμεῖς· ἀλλ' ἐκέλευσε θεραπεύειν σεαυτὸν πρὸ ἐκείνων. Χρὴ γὰρ τὸν ἰατρὸν ὑγιαίνειν. Ταῦτα δὲ καὶ τὰ τοιαῦτα νενομοθέτηκεν, οὐκ ἀνατρέπων, ὡς εἴρηται, τὸ διορθοῦν ἀλλήλους· ἀλλ' ἀναστέλλων τὸ τῶν οἰκείων ἁμαρτημάτων ἀμελεῖν. Διπλῆ γὰρ καταδίκη, τὸ τὸν μεγάλοις ἀτοπήμασιν ὑπεύθυνον ἐξετάζειν τὰ ἑτέρων ἐλάχιστα.

6 Μὴ δῶτε τὸ ἅγιον τοῖς κυσὶ, μηδὲ βάλητε τοὺς μαργαρίτας ὑμῶν ἔμπροσθεν τῶν χοίρων.

Ἅγιον καὶ *μαργαρίτας* ὠνόμασε τὸ μυστήριον τῆς πίστεως ἡμῶν· ἅγιον μὲν, ὡς θεῖον· μαργαρίτας δὲ, διὰ τὰ ἐν αὐτῷ τίμια δόγματα. Καὶ πάλιν, *κύνας* μὲν καὶ *χοίρους* ἐκάλεσε, τοὺς ἀνιάτους ἐν δυσσεβείᾳ· κύνας μὲν, ὡς καθυλακτοῦντας τοῦ Χριστοῦ· χοίρους δὲ, ὡς τῷ βορβόρῳ τῶν παθῶν ἐγκαλινδουμένους. Κελεύει τοίνυν, μὴ παραδιδόναι τοῖς τοιούτοις τὸ μυστήριον τῶν δογμάτων τῆς πίστεως. *Μὴ βάλητε* δὲ,

---

(1) Νόει, τὰ σφάλματα τοῦ ἀδελφοῦ σου.

ἀντὶ τοῦ, Μὴ παραθῆσθε (1)· ἀνάξιοι γάρ εἰσι τοιαύτης ἱερᾶς ἀκροάσεως. Εἶτα προστίθησι καὶ αἰτίαν.

6 **Μήποτε *καταπατήσωσιν αὐτοὺς ἐν τοῖς ποσὶν αὐτῶν, καὶ στραφέντες ῥήξωσιν ὑμᾶς.***

Κρεῖττόν ἐστιν, ἀγνοηθῆναι ταῦτα παρ' αὐτῶν, ἢ γνωρισθῆναι, μήποτε ὑποκριθέντες ἐπιείκειαν, καὶ μαθόντες αὐτὰ παρ' ἡμῶν, ἐμπαροινήσωσιν αὐτοῖς καὶ διασύρωσι· τοῦτο γὰρ δηλοῖ τὸ *καταπατήσωσι*· *πόδας* δὲ αὐτῶν λέγει, τὴν ἀπιστίαν αὐτῶν, δι' ἧς βαδίζουσιν εἰς ἀπώλειαν. Εἶτα *στραφέντες* ἀπὸ τῆς ἐπιπλάστου ἐπιεικείας εἰς φανερὰν ἐναντίωσιν, *ῥήξωσιν ὑμᾶς*, τουτέστι προσβάλωσιν, ἀντιστῶσι. Μὴ δυνάμενοι γὰρ θεοπρεπῶς νοεῖν τὰ θεῖα δόγματα, προσάπτουσιν αὐτοῖς ἐμπάθειαν· κἀντεῦθεν ὁπλιζόμενοι, κωμῳδοῦσι μὲν αὐτὰ, προσαράσσουσι δὲ ἡμῖν.

7 **Αἰτεῖτε, *καὶ* δοθήσεται ὑμῖν· ζητεῖτε, *καὶ* εὑρήσετε· κρούετε, καὶ ἀνοιγήσεται ὑμῖν.**

Ἐπειδὴ μεγάλα τινὰ καὶ θαυμαστὰ προσέταξε, πάντων μὲν τῶν παθῶν ἀνωτέρους γίνεσθαι τοὺς μαθητὰς, ὁμοιοῦσθαι δὲ τῷ θεῷ, διακρίνειν δὲ τοὺς ἀναξίους, ἵνα μὴ δόξῃ χαλεπὰ τὰ προστάγματα, τέθεικε μὲν ἱκανοὺς λογισμοὺς, πείθοντας, ὅτι ῥᾴδια ταῦτα· μάλιστα δὲ προσέθηκε τὴν κορωνίδα τῆς εὐκολίας, φημὶ δὴ, τὴν ἀπὸ τῶν εὐχῶν συμμαχίαν.

Χρὴ γὰρ μὴ μόνον σπουδάζειν τοὺς ἀγωνιζομένους, ἀλλὰ καὶ τὴν ἄνωθεν ἐπικαλεῖσθαι βοήθειαν· καὶ πάντως ἥξει, καὶ παρέσται, καὶ συνεφάψεται, καὶ πάντα ποιήσει ῥᾴδια. Διὰ τοῦτο καὶ αἰτεῖν ἐκέλευσε, καὶ τὴν δόσιν ὑπέσχετο. Πλὴν μὴ

(1) Η, μὴ παράθητε· διότι οὐδεμία χρεία τοῦ μέσου. Οὕτω, τὸ παράθητε, συμφωνεῖ τῷ, βάλητε.

ἁπλῶς αἰτεῖν, ἀλλὰ μετ' ἐπιμονῆς καὶ εὐτονίας· τοῦτο γὰρ δηλοῖ τὸ, *ζητεῖτε*· καὶ μὴ μόνον μετ' ἐπιμονῆς καὶ εὐτονίας, ἀλλὰ καὶ μετὰ θερμότητος καὶ σφοδρότητος· τοῦτο γὰρ βούλεται τὸ, *κρούετε*.

8 **Πᾶς γὰρ ὁ *αἰτῶν* λαμβάνει· *καὶ ὁ* ζητῶν εὑρίσκει· *καὶ* τῷ κρούοντι ἀνοιγήσεται.**

Ταῦτα δὲ προσέθηκεν, εἰς βεβαίωσιν τῆς ὑποσχέσεως, ἵνα, εἰ μὴ παραυτίκα λάβῃς, μὴ ἀποστῇς, ἀλλ' ἐπιμείνῃς καὶ θερμανθῇς. Διὰ τοῦτο γὰρ αἰτοῦντος (1), οὐκ εὐθὺς δίδωσιν, ἵνα ζητήσῃς· καὶ διὰ τοῦτο οὐκ εὐθέως ἀνοίγει τὴν θύραν, ἵνα κρούσῃς. Ἐπὶ μὲν γὰρ ἀνθρώπων, ἐὰν ἐπιμείνῃς ἐγκείμενος ταῖς αἰτήσεσι, παροργίζεις αὐτούς· ἐπὶ δὲ τοῦ θεοῦ, μᾶλλον παραπικραίνεις αὐτὸν, ἐὰν μὴ τοῦτο ποιῇς. Δοκιμάζει γάρ σου τὴν εὐτονίαν καὶ τὴν σφοδρότητα, καὶ βούλεταί σε αἰτεῖν ἐπιμόνως ἅμα καὶ θερμῶς, καὶ πάντως δίδωσιν. Ὁ γὰρ αἰτήσας καὶ μὴ λαβὼν, ἢ ἀναξίως ᾔτησεν, ἢ οὐκ ἐπέμεινεν, ἢ χλιαρῶς ᾔτησε. Δεῖ γὰρ συνδραμεῖν τὰ τρία.

[Ὁ (2) χωρὶς πάθους αἰτῶν ἐν τῇ πρακτικῇ φιλοσοφίᾳ, λαμβάνει χάριν δυνάμεως εἰς πρᾶξιν τῶν ἐντολῶν· καὶ ὁ ζητῶν ἀπαθῶς ἐν τῇ φυσικῇ θεωρίᾳ, εὑρήσει τὴν ἐν τοῖς οὖσιν ἀλήθειαν· καὶ τῷ κρούοντι ἀπαθῶς τὴν θύραν τῆς γνώσεως ἐν τῇ θεολογικῇ μυσταγωγίᾳ, ἀνοιγήσεται ἡ γνῶσις τῶν ἀποκρύφων μυστηρίων. Ὁ δὲ μετά τινος πάθους αἰτῶν ἢ ζητῶν ἢ κρούων, οὐκ ἐπιτεύξεται. *Αἰτεῖτε* (α) γάρ, φησι, *καὶ οὐ λαμβάνετε· διότι κακῶς αἰτεῖσθε.*]

9 **Ἢ τίς ἐστιν ἐξ ὑμῶν ἄνθρωπος, ὃν ἐὰν *αἰτήσῃ* ὁ**

(1) σου δηλαδή.

(2) Τὰ παρεντεθειμένα ἀναγινώσκονται παρὰ τῷ Α ἐν τῷ περισελιδίῳ.

(α) Ἰακ. Δ', 3.

10 υἱὸς αὐτοῦ ἄρτον, μὴ λίθον ἐπιδώσει αὐτῷ; καὶ
ἐὰν ἰχθὺν αἰτήσῃ, μὴ ὄφιν ἐπιδώσει αὐτῷ;

Τίθησι πάλιν λογισμὸν ἀνθρωπίνου πράγματος, καὶ ἀπὸ παραδείγματος ἐνάγει τὸν ἀκροατὴν εἰς τὸ θαῤῥεῖν, περὶ ὧν εἴρηκε. Χρὴ δὲ τὸν αἰτοῦντα, καὶ υἱὸν εἶναι, καὶ αἰτεῖν, ἅπερ τῷ πατρὶ μὲν πρέπει δοῦναι, τῷ υἱῷ δὲ συμφέρει λαβεῖν.

11 Εἰ οὖν ὑμεῖς, πονηροὶ ὄντες, οἴδατε δόματα ἀγαθὰ
διδόναι τοῖς τέκνοις ὑμῶν, πόσῳ μᾶλλον ὁ πατὴρ
ὑμῶν, ὁ ἐν τοῖς οὐρανοῖς, δώσει ἀγαθὰ τοῖς αἰ-
τοῦσιν αὐτόν;

Πονηροὺς αὐτοὺς εἶπεν, οὐ διαβάλλων τὴν ἀνθρωπίνην φύσιν, ἀλλὰ πρὸς ἀντιδιαστολὴν τῆς ἀγαθότητος τοῦ θεοῦ· ἡ γὰρ ἀνθρωπίνη ἀγαθότης, πρὸς τὴν θείαν, κακία δοκεῖ, καὶ τοσοῦτον ἀμφοῖν τὸ διάφορον, ὅσον ἀνθρώπου πρὸς θεόν. Ὅρα δὲ, πῶς ποτὲ μὲν προτρέπεται ἐργάζεσθαι τὴν ἀρετὴν, ποτὲ δὲ παραινεῖ εὔχεσθαι· καὶ νῦν μὲν ἀπ' ἐκείνου πρὸς τοῦτο μεταβαίνει· νῦν δὲ ἀπὸ τούτου πρὸς ἐκεῖνο μεταχωρεῖ. Τοῦτο δὲ ποιεῖ, διδάσκων, ὅτι οὔτε τῇ οἰκείᾳ σπουδῇ προσήκει μόνῃ θαῤῥεῖν, οὔτε μόνῃ τῇ εὐχῇ πάλιν, ἀλλὰ καὶ τὰ παρ' ἑαυτῶν συνεισφέρειν, καὶ τὴν ἄνωθεν ἐπικαλεῖσθαι βοήθειαν. Δι' ἀλλήλων γὰρ ταῦτα συμμαχούμενα κατορθοῦνται.

12 Πάντα οὖν, ὅσα ἂν θέλητε ἵνα ποιῶσιν ὑμῖν οἱ ἄν-
θρωποι, οὕτω καὶ ὑμεῖς ποιεῖτε αὐτοῖς.

Ὅσα περὶ ἀγάπης προλαβὼν ἐνομοθέτησε, πάντα νῦν ἐν τῷ βραχεῖ τούτῳ λόγῳ ἀνεκεφαλαιώσατο, καὶ συντόμως ἐδίδαξε πρᾶγμα ῥᾴδιόν τε καὶ δικαιότατον, εἰπὼν, ὅτι *Πάντα, ὅσα ἂν θέλητε, ἵνα ποιῶσιν ὑμῖν οἱ ἄνθρωποι, καὶ ὑμεῖς ποιεῖτε αὐτοῖς*. Οὕτω δὲ αὐτοῖς ταῦτα ποιεῖτε, ὡς θέλετε ἐκείνους ταῦτα ποιεῖν ὑμῖν, ὅπερ ταὐτόν ἐστι τῷ ἀγαπᾷν τὸν πλησίον, ὡς ἑαυτόν. Διὸ καὶ ἐπήγαγεν·

12 Οὗτος γάρ ἐστιν ὁ νόμος καὶ οἱ προφῆται.

Οὕτω (1) διαλαμβάνει καὶ ὁ παλαιὸς νόμος, καὶ οἱ προφῆται. Ὁ μὲν γὰρ νόμος φησὶν, *Ἀγαπήσεις* (α) *τὸν πλησίον σου, ὡς σεαυτόν*· οἱ προφῆται δὲ πάλιν πολλὰ περὶ φιλαδελφίας τοῖς Ἰουδαίοις παρῄνεσαν. Ἀλλὰ καὶ πρὸς τὸν νομικὸν ὕστερον ὁ Χριστὸς, ἐπερωτήσαντα, *Ποία* (β) *ἐντολὴ μεγάλη ἐν τῷ νόμῳ*, ἀποκριθεὶς, περί τε τῆς εἰς θεὸν ἀγάπης, καὶ περὶ τῆς εἰς τὸν πλησίον, ἐπήνεγκεν· ὅτι *Ἐν ταύταις ταῖς δυσὶν ἐντολαῖς ὁ νόμος ὅλος καὶ οἱ προφῆται κρέμανται*, τουτέστι, τῶν δύο τούτων μᾶλλον ἐκκρέμανται, περὶ τῶν δύο τούτων διαφερόντως διαλαμβάνουσι, καὶ προηγούμενον σκοπὸν ἔχουσι διδάξαι τοὺς ἀνθρώπους ἀγαπᾷν μὲν τὸν θεὸν, ἐν τῷ εὐσεβεῖν ἀγαπᾷν δὲ καὶ ἀλλήλους, ἐν τῷ μὴ ἀδικεῖν τὸν πλησίον.

Ἔστι δὲ καὶ ἑτέρως εἰπεῖν, ὅτι ὅλος ὁ νόμος καὶ οἱ προφῆται τὰς δύο ἐντολὰς ταύτας κέκτηνται ῥίζαν καὶ αἰτίαν καὶ ἀφορμήν.

13 Εἰσέλθετε διὰ τῆς στενῆς πύλης·

Στενὴν πύλην καλεῖ τὴν ἄσκησιν τῶν ἀρετῶν· *πύλην* μὲν, ὡς εἰσάγουσαν εἰς τὴν ζωὴν τὴν αἰώνιον· *στενὴν* δὲ, ὡς παρασκευάζουσαν τοὺς εἰσερχομένους πονεῖν καὶ ἱδροῦν καὶ θλί-

---

(1) Ἀντὶ τοῦ, Οὗτος γάρ ἐστιν ὁ νόμος, ἀναγινώσκεται ἐν πολλοῖς, καὶ μάλιστα δοκιμωτάτοις, χειρογράφοις, Οὕτως, καὶ τὴν ἀνάγνωσιν ταύτην φυλάττει καὶ ἑρμηνεύει καὶ ὁ Εὐθύμιος. Τὸ κῦρος αὐτοῦ εἶναι τόσῳ ἰσχυρότερον ἐνταῦθα, καθότι ὁ Εὐθύμιος διαφωνεῖ κατὰ τοῦτο πρὸς ὃν ἀκολουθεῖ Χρυσόστομον, παρ' ᾧ ἀναγινώσκεται, Οὗτος. Τόμ. Ζ'. Σελ 291. Β. Τόμ. Η'. Σελ. 451, Ε.

(α) Λευϊτ. ΙΘ', 18.

(β) Ματθ. ΚΒ', 36—40.

βεσθαι, μέχρις ἂν διέλθωσι, καὶ ὡς μὴ χωροῦσαν τοὺς παχεῖς ταῖς ἁμαρτίαις, διὰ τὴν λεπτότητα τῆς ἀκριβείας αὐτῆς, ἕως ἂν ἀπόθωνται τὸ πάχος τῆς ἁμαρτίας.

13 Ὅτι πλατεῖα ἡ πύλη, καὶ εὐρύχωρος ἡ ὁδὸς ἡ ἀπάγουσα εἰς τὴν ἀπώλειαν, καὶ πολλοί εἰσιν οἱ εἰσερχόμενοι δι' αὐτῆς.

Πάλιν ὠνόμασε *πύλην* καὶ *ὁδὸν*, τὴν φιληδονίαν· *πύλην* μὲν καὶ *ὁδὸν*, ὡς ἀπάγουσαν εἰς τὴν κόλασιν· ταύτην γὰρ νῦν ἀπώλειαν λέγει· *πλατεῖαν* δὲ καὶ *εὐρύχωρον*, ὡς μηδένα πόνον παρέχουσαν τοῖς εἰσερχομένοις δι' αὐτῆς, διὰ τὸ ἀόριστον αὐτῆς καὶ ἄνετον καὶ ἀπαρατήρητον.

14 Τί στενὴ ἡ πύλη, καὶ τεθλιμμένη ἡ ὁδὸς ἡ ἀπάγουσα εἰς τὴν ζωήν!

Τὸ, τί, ἀντὶ τοῦ, πάνυ (1). Μεγαλύνει γὰρ τὴν στενότητα καὶ τὸ θλιβερὸν αὐτῆς, ἵνα προμαθόντες αὐτὰ διεγερθῶμεν εἰς ἀγῶνας, καὶ παρασκευασθῶμεν εἰς ὑπομονὴν καὶ καρτερίαν τῶν πόνων. Τὸ γὰρ προεγνωσμένον καὶ προσδεδοκημένον λυπηρὸν, εὐχερέστερον καὶ κουφότερον εἴωθε προσπίπτειν. Βουλόμενος μὲν οὖν ἐναγωνίους καὶ καρτερικοὺς εἶναι τοὺς μαθητὰς, ἐδήλωσε τὸ στενόχωρον καὶ ἐπώδυνον τῆς εἰρημένης ὁδοῦ.

Παραμυθούμενος δὲ τὴν ἐντεῦθεν κακοπάθειαν, καὶ κουφίζων τὸ ἐπίπονον αὐτῆς, ἐδίδαξε, ποῦ ἀπάγει, ὅτι *εἰς τὴν ζωὴν*, δηλαδὴ τὴν αἰώνιον· ἵνα, ὅταν βλέπων εἰς τοὺς πόνους, ἰλιγγιᾷς, ἀποβλέψας εἰς τὸ τέλος αὐτῶν, παροξυνθῇς, ταῖς τῆς ἀντιδόσεως ἐλπίσι νευρούμενος. Οὐ μικρὰ δὲ παρηγορία, καὶ τὸ καλέσαι ταύτην πύλην καὶ ὁδόν. Καὶ ἄμφω γὰρ παροδευόμενα, καὶ οὐ μόνιμα.

(1) Τί. Καὶ ἡ λέξις, ἀντὶ τοῦ, λίαν. Σουίδας.

14 Καὶ ὀλίγοι εἰσὶν οἱ εὑρίσκοντες αὐτήν.

Ἐκεῖ μὲν πολλοὶ, διὰ τὸ ἡδὺ καὶ ἄπονον· ἐνταῦθα δὲ *ὀλίγοι*, διὰ τὸ πικρὸν καὶ ἐπίμοχθον. Προσήκει δὲ γινώσκειν, ὅτι νῦν μὲν στενὴν καὶ τεθλιμμένην τὴν πύλην καὶ τὴν ὁδὸν τῆς αἰωνίου ζωῆς εἴρηκε, διὰ τὴν πρόσκαιρον αὐτῆς κακοπάθειαν· ἀλλαχοῦ δὲ (α) *χρηστὸν* λέγει *τὸν ζυγὸν* τῶν ἐντολῶν αὐτοῦ καὶ τὸ *φορτίον* τῶν ἐπιταγμάτων *αὐτοῦ ἐλαφρὸν*, διὰ τὴν χαρὰν τῆς ἐλπίδος τῶν αἰωνίων ἀγαθῶν. Ἡ ἀρετὴ γὰρ βαρεῖα μέν ἐστι, διὰ τὸ ἐπαχθὲς τῶν πόνων· ἐλαφρὰ δὲ, διὰ τὴν ἀντίδοσιν, καὶ τὴν αἴσθησιν τῆς δριμύτητος πραΰνει καὶ λεαίνει ἡ προσδοκία τῆς μελλούσης χαρᾶς.

15 Προσέχετε δὲ ἀπὸ τῶν ψευδοπροφητῶν, οἵτινες ἔρχονται πρὸς ὑμᾶς ἐν ἐνδύμασι προβάτων, ἔσωθεν δέ εἰσι λύκοι ἅρπαγες.

Εἰπὼν περὶ τῆς ὁδοῦ, προστίθησι καὶ περὶ τῶν ἐπιβουλευόντων κατὰ τὴν ὁδὸν, ἵνα προσεκτικώτεροι καὶ νηφαλεώτεροι ὦμεν. Ἀλλ' ὀπίσω μὲν περὶ κυνῶν καὶ χοίρων ἐδίδαξεν· ἐνταῦθα δὲ ἕτερον εἶδος χαλεπώτερον εἰσάγει, τὸ τῶν λύκων, τῶν ἐπικεκαλυμμένων ταῖς τῶν προβάτων δοραῖς· ὅσον ἐκεῖνοι μὲν, φανεροί εἰσιν, οὗτοι δὲ κρυπτοὶ καὶ λανθάνοντες.

Φασὶ δέ τινες, τούτους εἶναι τερατολόγους καὶ ἀθέους τινὰς ἀνθρώπους, περιϊόντας καὶ ἀποπλανῶντας πολλούς· ὀνομασθῆναι δὲ *ψευδοπροφήτας* μὲν, ὡς ὑποκρινομένους καὶ προλέγειν τὰ μέλλοντα· *ἐρχομένους* δὲ *ἐν ἐνδύμασι προβάτων*, ὡς, ἐν σχήματι προβάτων λογικῶν, ταῖς τοῦ Χριστοῦ ποίμναις προσερχομένους· *λύκους* δὲ *ἅρπαγας*, ὡς ἠρέμα καὶ λεληθότως τὰς ψυχὰς τῶν ἁπλουστέρων ἐξαπατῶντας, καὶ ὑφαρπάζοντας εἰς ἀπώλειαν.

(α) Ματθ. ΙΑ', 30.

Ὁ δὲ Χρυσόστομος (1) τούτους λέγει χριστιανοὺς, βίον μὲν ἔχοντας πονηρὸν καὶ βλαβερὸν, ὑποκρινομένους δὲ ἀκακίαν καὶ εὐλάβειαν, ὧν αἱ ὁμιλίαι φθείρουσιν ἤθη χρηστά. Ἐμφαίνων δὲ τὸ διάφορον τούτων τε καὶ τῶν προειρημένων κυνῶν καὶ χοίρων ὁ Χριστὸς, ἐκείνοις μὲν, μὴ καταπιστεύειν μυστικὰ δόγματα προσέταξεν· ἀπὸ τούτων δὲ προσέχειν, ὥςε μὴ μεταλαβεῖν λύμης, ὡς ἀπὸ θηρίων ἰοβόλων. Ἵνα δὲ μὴ θορυβηθῶσιν οἱ ἀκροαταὶ διὰ τὸ δυσδιάγνωστον τῶν τοιούτων ἀνθρώπων, διδάσκει, καὶ πῶς αὐτοὺς ἐπιγνώσονται, λέγων·

16 Ἀπὸ τῶν καρπῶν αὐτῶν ἐπιγνώσεσθε αὐτούς.

Εἰ καὶ δοκοῦσί, φησι, λανθάνειν, ἀλλ᾽ ὅμως ῥᾳδίως ἐλεγχθήσονται. Τοιαύτη γὰρ ἡ ὁδὸς, ἣν ἐκέλευσα βαδίζειν τοὺς ἐμοὺς μαθητὰς, ἐπίπονος καὶ δυσπρόσιτος, ὡς μὴ δύνασθαι τοὺς ὑποκριτὰς βαδίζειν δι᾽ αὐτῆς. Ὥσπερ γὰρ τὸ ἀγαθὸν δένδρον, εἴτουν, τὸ εὐγενὲς, οὐκ ἐκ τῶν ἀνθέων, ἀλλ᾽ ἀπὸ τῶν καρπῶν γνωρίζεται· οὕτως ἄρα καὶ τούτους, οὐκ ἐκ τῶν λόγων, ἀλλ᾽ ἀπὸ τῶν ἔργων ἐπιγνωσόμεθα. Περὶ ὧν καὶ ὁ ἀπόστολος Παῦλος ἔλεγεν, ὅτι τῇ *χρηστολογίᾳ ἐξαπατῶσι τὰς καρδίας τῶν ἀκάκων* (α). Εἶτα τίθησι καὶ λογισμὸν, ἀπὸ παραδείγματος, εἰς εὐχερεστέραν αὐτῶν διάγνωσιν.

16 Μήτι συλλέγουσιν ἀπὸ ἀκανθῶν σταφυλὴν, ἢ ἀπὸ τριβόλων σῦκα;

Μήτι, ἀντὶ τοῦ, ἆρα, ἐρωτηματικῶς. Λέγει γὰρ, ὅτι Ἆρα τρυγῶσιν οἱ ἄνθρωποι ἀπὸ ἀκανθῶν σταφυλὴν, καὶ τὰ ἑξῆς. Εἶδος δὲ ἀκάνθης ἐστὶ, καὶ ἡ τρίβολος.

17 Οὕτω πᾶν δένδρον ἀγαθὸν καρποὺς καλοὺς ποιεῖ·

(1) Τομ. Ζ΄. Σελ. 293. Β.
(α) Ῥωμ. ΙϚ΄, 18,

τὸ δὲ σαπρὸν δένδρον καρποὺς πονηροὺς ποιεῖ.

Ἐρωτήσας πρᾶγμα παρὰ φύσιν, καὶ διὰ τοῦτο ἀδύνατον, ἐπάγει, ὅτι, ὥσπερ ἐκεῖνο γενέσθαι οὐκ ἐνδέχεται, διὰ τὸ εἶναι τὰς μὲν ἀκάνθας καὶ τριβόλους σαπρὰς, ὅ ἐστιν, ἀχρήστους εἰς καρποφορίαν ἐδώδιμον· τὴν δὲ σταφυλὴν καὶ τὰ σῦκα πρὸς βρῶσιν ἐπιτήδεια· *οὕτω* καὶ *πᾶν δένδρον ἀγαθὸν*, *καρποὺς καλοὺς ποιεῖ*, καὶ τὰ ἑξῆς. *Σαπρὸν* γὰρ λέγεται, οὐ μόνον τὸ σεσημμένον, ἀλλὰ καὶ τὸ ἄχρηστον. Λέγει δὲ νῦν *δένδρα σαπρὰ*, τοὺς προειρημένους ὑποκριτὰς, ὧν οἱ καρποὶ, τουτέστιν, αἱ πράξεις ἄξιαι τῆς αὐτῶν σαπρίας.

18 Οὐ δύναται δένδρον ἀγαθὸν καρποὺς πονηροὺς ποιεῖν, οὐδὲ δένδρον σαπρὸν καρποὺς καλοὺς ποιεῖν.

Ἵνα μὴ ὑπολάβῃ τις, ὅτι δύναται τὸ ἀγαθὸν δένδρον καὶ καρποὺς πονηροὺς, ἤγουν, ἀχρήστους ποιεῖν, καὶ τὸ σαπρὸν καλοὺς, ἀποφαίνεται, ὅτι οὐ δύναται.

Καὶ πῶς ὁ μὲν Δαυῒδ, ἀγαθὸν δένδρον ὢν, καρποὺς πονηροὺς ἐποίησε, μοιχείαν καὶ φόνον; ὁ δὲ Παῦλος, δένδρον σαπρὸν ὑπάρχων, καλοὺς καρποὺς ἤνεγκε, σκεῦος ἐκλογῆς τῷ Χριστῷ γενόμενος; Πῶς; Διότι μετεβλήθησαν, ὁ μὲν, ἀπὸ τῆς ἀρετῆς εἰς κακίαν· ὁ δὲ, ἀπὸ τῆς κακίας εἰς ἀρετήν. Ἕως δ᾽ ἂν ἐνέμενον, ὁ Δαυῒδ μὲν τῇ ἀρετῇ, ὁ δὲ Παῦλος τῇ κακίᾳ, οὐκ ἠδύναντο καρποὺς τοιούτους ποιεῖν. Ὥστε τὸ ἀδύνατον ἐπὶ τῶν ἀμεταβλήτων εἴρηκε.

19 Πᾶν δένδρον, μὴ ποιοῦν καρπὸν καλὸν, ἐκκόπτεται, καὶ εἰς πῦρ βάλλεται.

Ἐπειδὴ κολάζειν μὲν αὐτοὺς οὐ προσέταξε, προσέχειν δὲ μόνον ἀπ᾽ αὐτῶν, ἐπήρτησε τούτοις τὴν ἀφειδεστάτην ἐκτομὴν τῆς ἐνταῦθα ζωῆς, καὶ τὴν τοῦ ἀσβέστου πυρὸς κόλασιν, ὁμοῦ τοὺς μὲν ἐπηρεαζομένους ὑπ᾽ αὐτῶν παραμυθούμενος, ἐκείνους δὲ ἐκφοβῶν.

20 Ἄραγε ἀπὸ τῶν καρπῶν αὐτῶν ἐπιγνώσεσθε αὐτούς.

Τουτὶ τὸ, *ἄρα*, ἀποδεικτικόν ἐστιν, ἀντὶ τοῦ, *πάντως*. Θεὶς γὰρ λογισμοὺς παραδειγμάτων, καὶ ἀποδείξας, ὅτι ἐπιγνώσονται τοὺς τοιούτους, ἐπάγει, ὅτι *πάντως*, ὡς ἀποδέδεικται, ἐπιγνώσεσθε αὐτοὺς, ἀπὸ τῶν φαύλων πράξεων αὐτῶν.

21 Οὐ πᾶς ὁ λέγων μοι· Κύριε, Κύριε, εἰσελεύσεται εἰς τὴν βασιλείαν τῶν οὐρανῶν· ἀλλ' ὁ ποιῶν τὸ θέλημα τοῦ πατρός μου τοῦ ἐν οὐρανοῖς,

Ὅρα τὶ λέγει νῦν, ὅτι οὐ πᾶς ὁ πιστεύων εἰς ἐμὲ εἰσελεύσεται εἰς τὴν ἀπόλαυσιν τῶν οὐρανίων ἀγαθῶν, εἰμὴ καὶ ποιεῖ, ἃ λέγω· οὕτω γὰρ προσέθηκεν (α) ὁ Λουκᾶς. Οὔτε γὰρ πίστις μόνον ἀρκεῖ πρὸς σωτηρίαν, εἰ μὴ καὶ βίος ἄξιος τῆς πίστεως πρόσεστιν, οὔτε βίος μόνον ἐνάρετος, εἰ μὴ καὶ πίστιν πλουτεῖ. Προσήκει δὲ ἀμφότερα συζευχθῆναι, καὶ μὴ ἀπολειφθῆναι θατέρου θάτερον· τὸ γὰρ ὀνομάζειν αὐτὸν Κύριον, πίστεως μόνης ἐστί. Καὶ πῶς οὐκ εἶπεν, *Ἀλλ' ὁ ποιῶν τὸ θέλημα τὸ ἐμόν*; Διὰ τὸ τιμᾷν τὸν πατέρα, καὶ διὰ τὸ μὴ ἕτερον εἶναι τὸ τοῦ πατρὸς θέλημα, παρὰ τὸ τοῦ υἱοῦ· θέλημα δὲ τοῦ πατρὸς, αἱ ἐντολαὶ τοῦ υἱοῦ.

22 Πολλοὶ ἐροῦσί μοι ἐν ἐκείνῃ τῇ ἡμέρᾳ· Κύριε, Κύ-
ριε, οὐ τῷ σῷ ὀνόματι προεφητεύσαμεν, καὶ τῷ
σῷ ὀνόματι δαιμόνια ἐξεβάλομεν, καὶ τῷ σῷ ὀνό-
23 ματι δυνάμεις πολλὰς ἐποιήσαμεν; Καὶ τότε ὁμο-
λογήσω αὐτοῖς· Ὅτι οὐδέποτε ἔγνων ὑμᾶς· ἀπο-
χωρεῖτε ἀπ' ἐμοῦ οἱ ἐργαζόμενοι τὴν ἀνομίαν.

Ὅτι μὲν κόλασις ἐκδέξεται τοὺς ἁμαρτωλοὺς, προλαβὼν

(α) Λουκ. ς', 46.

ἐδίδαξε· νῦν δὲ λέγει, καὶ τὶς ἔσται ὁ κολάζων, ὅτι αὐτός. Εἰπὼν δὲ, ὅτι οὐ πᾶς ὁ πιστεύων εἰς ἐμὲ εἰσελεύσεται εἰς τὴν βασιλείαν τῶν οὐρανῶν, εἰ μὴ καὶ βίου κρείττονος ἐπιμελήσεται· παραδοξότερον ἔτι φησὶν, ὅτι οὐδὲ οἱ σημεῖα καὶ θαύματα ποιοῦντες ἀξιωθήσονται τῆς τοιαύτης βασιλείας, ἐὰν ἀνάξιον βίον ἔχωσιν. Ἰδοὺ γὰρ καὶ οὗτοι, πολλὰ τοιαῦτα ποιήσαντες, ὅμως ἀποπεμφθήσονται, διὰ τὸν ἠμελημένον βίον αὐτῶν. Πολλοὶ, φησὶν, ἐκπίπτοντες ἐροῦσί μοι τάδε καὶ τάδε. Ἡμέραν οὖν *ἐκείνην* εἶπε τὴν τῆς κρίσεως, ὡς ἐγνωσμένην καὶ προσδεδοκημένην· *δυνάμεις* δὲ ὠνόμασε, τὰ σημεῖα καὶ τὰ θαύματα. Τὸ δὲ, *ὁμολογήσω αὐτοῖς*, ἀντὶ τοῦ, ἀποκριθήσομαι.

Καὶ ἐπειδὴ ἐν τῷ ὀνόματι αὐτοῦ πάντα ἐποίουν, πῶς ἀγνοεῖ αὐτούς; Διότι βίον εἶχον ἐναντίον. Χρὴ γὰρ γινώσκειν, ὅτι διττή ἐστιν ἡ γνῶσις παρὰ τῷ θεῷ· ἡ μὲν, κατὰ φύσιν, καθ' ἣν οἶδε πάντας, ὡς παντεπόπτης, καὶ ὡς πάντα εἰδὼς, πρὶν γενέσεως αὐτῶν· ἡ δὲ, κατ' οἰκείωσιν, καθ' ἣν οἶδε μόνους τοὺς δικαίους. Ὅτι φησὶ, *Γινώσκει* (α) *Κύριος ὁδὸν δικαίων*· καὶ, *Γινώσκει* (β) *Κύριος τὰς ὁδοὺς τῶν ἀμώμων*· καὶ, *Ἔγνω* (γ) *Κύριος τοὺς ὄντας αὐτοῦ*. Τοὺς δὲ βίον ἔχοντας διεφθαρμένον, ἀγνοεῖν προσποιεῖται, ὡς πολιτευσαμένους ἀναξίως τῆς αὐτοῦ γνώσεως.

Καὶ ἑτέρως δὲ, ἀρνεῖται αὐτοὺς, ὡς ἀρνησαμένους αὐτὸν τοῖς ἔργοις. Εἴρηκε γὰρ διὰ τοῦ προφήτου, ὅτι *Ὁ λαὸς* (δ) *οὗτος τοῖς χείλεσί με τιμᾷ, τῇ δὲ καρδίᾳ πόῤῥω ἀπέχει ἀπ' ἐμοῦ*. Ὁ γὰρ ἀθετῶν τὰς ἐντολὰς αὐτοῦ, αὐτὸν ἀθετεῖ· διὸ καὶ ἀθετεῖται δικαίως.

(α) Ψαλμ. Α', 6.
(β) Ψαλμ. Λς', 18.
(γ) Β' Τιμ. Β', 19.
(δ) Ἡσ. ΚΘ', 13.

Καὶ ἐπεὶ ἀνάξιοι ἦσαν, πῶς ἐνήργησεν εἰς αὐτοὺς τὸ Πνεῦμα τὸ ἅγιον; Πάντως διὰ δύο ταῦτα, ἵνα δὲ (1) ἡ φιλοτιμία τῆς χάριτος τοῦ θεοῦ δειχθείη, χεομένη καὶ εἰς τοὺς ἀναξίους· καὶ ἵνα ἕτεροι δι᾽ αὐτῶν ὠφεληθῶσιν, ὅσοι τε παρ᾽ αὐτῶν ἐθεραπεύοντο, καὶ ὅσοι βλέποντες τὰς τοιαύτας θαυματουργίας, ἐπίστευον τῷ Χριστῷ. Οὐ χρὴ οὖν θαυμάζειν αὐτοὺς θαυματουργοῦντας· οὐδὲν γὰρ παρ᾽ ἑαυτῶν εἰσήνεγκαν· ἀλλὰ τὸν θεὸν, τὸν δεδωκότα, τοιούτοις οὖσιν αὐτοῖς, τὴν χάριν. Τοιοῦτος ἦν ὁ τὰ δαιμόνια ἐκβάλλων, καὶ μὴ ὢν μετ᾽ αὐτοῦ. Τοιοῦτος ἦν καὶ ὁ προδότης Ἰούδας. Ἀνάξιοι γὰρ ὄντες, ἔλαβον χαρίσματα. Καὶ ἐν τῇ Παλαιᾷ δὲ εἰς πολλοὺς ἀναξίους ἡ θεία χάρις ἐνήργησεν, ἵνα δι᾽ αὐτῶν ἄλλους εὐεργετήσῃ. Ἀλλ᾽ οὗτοι μὲν πάντες πίστιν τέως εἶχον, εἰ καὶ βίου ἦσαν κατεγνωσμένου. Βαλαὰμ δὲ, καὶ πίστεως καὶ πολιτείας ἀρίστης ἀλλότριος ὢν, προεφήτευσε. Καὶ τῷ Φαραὼ δὲ, καὶ τῷ Ναβουχοδονόσορ, καὶ τῷ υἱῷ αὐτοῦ Βαλτάσαρ, ἀσεβέσι καὶ παρανομωτάτοις οὖσιν, ἔδειξεν ὁ θεὸς τὰ μέλλοντα διὰ τὴν ἑτέρων οἰκονομίαν. Καὶ τί λέγω περὶ ἀνθρώπων; Εἰς τὴν ὄνον τοῦ Βαλαὰμ ἡ χάρις τὰ ἑαυτῆς ἐπεδείξατο, φωνὴν ἀνθρωπίνην αὐτῇ δωρησαμένη, πρὸς τὸ συνετίσαι τὸν ἐπιβάτην αὐτῆς.

Ἐπεὶ τοίνυν, ὀρθοῦ βίου μὴ παρόντος, οὔτε πίστιν, οὔτε θαύματα σώζειν δύνανται, βίου μᾶλλον ἐπιμελητέον ἡμῖν· τὰ δὲ θαύματα, παρεχόμενα μὲν, ἀποδεκτέον, μὴ παρεχομένων δὲ, μὴ ἀθυμητέον. Ὁ γὰρ ἐνάρετος, καὶ μὴ θαυματουργῶν, οὐδὲν ἐντεῦθεν ἠλάττωται. Καὶ γὰρ ὁ μὲν ἀγαθὸς βίος, πάντως σώζει τὸν πιστόν· τὰ θαύματα δὲ οὐ πάντως· καὶ τοῦ μὲν ἐναρέτου βίου ἀμοιβὰς ἡμῖν χρεωστεῖ θεός· τῶν δὲ θαυμάτων ἡμεῖς μᾶλλον αὐτῷ. Τὰς αἰτίας δὲ, δι᾽ ἃς οὔτε πᾶσι τοῖς ἁγίοις παρέχει τὴν χάριν τῶν θαυμάτων ὁ θεὸς, οὔτε

(1) Προτιμότερον τὸ, τε, ἀντὶ τοῦ, δέ.

πᾶσι τοῖς ἀναξίοις, μόνος αὐτὸς οἶδεν ὀρθῶς, ὁ πάντα κατὰ λόγον ποιῶν.

24 Πᾶς οὖν ὅστις ἀκούει μου τοὺς λόγους τούτους, καὶ ποιεῖ αὐτοὺς, ὁμοιώσω αὐτὸν ἀνδρὶ φρονίμῳ.

Ἀπαρτίσας τὴν διδασκαλίαν, λοιπὸν παραθαῤῥύνει τοὺς μαθητὰς, εἰς τὸ βαδίσαι τὴν στενὴν καὶ τεθλιμμένην ὁδὸν, ὑπισχνούμενος γενέσθαι αὐτοῖς ἀρκοῦσαν ἀσφάλειαν, τὴν φυλακὴν τῶν ἐντολῶν αὐτοῦ. *Πᾶς*, φησὶν, *ὁ ἀκούων μου τοὺς λόγους τούτους*, ἤτοι τὰς ἐντολὰς, ἃς ἐπέταξα. Τινὰ μὲν οὖν τῶν ἀντιγράφων, *ὁμοιωθήσεται*, γράφουσι (1)· καλὸν δὲ καὶ τὸ, *ὁμοιώσω*. Χωρὶς γὰρ τῆς αὐτοῦ βοηθείας, οὐδεὶς οὐδὲν κατορθοῖ. Εἶτα τίθησι καὶ τὰ ἔργα τοῦ φρονίμου.

24 Ὅστις ᾠκοδόμησε τὴν οἰκίαν αὐτοῦ ἐπὶ τὴν πέτραν.

Οἰκίαν μὲν ὀνομάζει, τὸν νοερὸν οἶκον τῆς ψυχῆς, τὸν ἐκ διαφόρων ἀρετῶν οἰκοδομούμενον· *πέτραν* δὲ, τὴν ἀσφάλειαν τῶν ἐντολῶν αὐτοῦ· αἵτινες ἑδράζουσι καὶ στερεοῦσι τὰ ἐπῳκοδομημένα, καὶ πάσαις προσβολαῖς πειρασμῶν ἀπερίτρεπτα φυλάττουσι, πείθουσαι καταφρονεῖν πάσης ἐπηρείας καὶ παντοίας

(1) Παρὰ τῷ Χρυσοστόμῳ δὶς, ὁμοιωθήσεται, γράφεται. Τομ. Ζ΄. Σελ. 301. D. ὁμοιώσῳ δὲ παρὰ τῷ Θεοφυλάκτῳ. Σελ. 41. C. D. Ἡ ἀνάγνωσις, ὁμοιώσω, ὡς δοκιμωτέρα, εἶναι ἡ κοινοτέρα. Συνάπτομεν δὲ ἐνταῦθα καὶ σχόλιον τοῦ Φωτίου ἀνέκδοτον, ἐν ᾧ ἡ ἀνάγνωσις, ὁμοιώσω, ἑρμηνεύεται. «Σημείωσαι, ὅτι τὸ μὲν γενέσθαι φρόνιμον, οὐκ ἔστιν ἄνευ τῆς τοῦ θεοῦ συνεργείας καὶ ἐπιπνοίας. Διό φησιν· ὁμοιώσω αὐτὸν ἀνδρὶ φρονίμῳ, ἀντὶ τοῦ, συναντιλήψομαι καὶ συνεργήσω εἰς τὸ τὰ παρ᾽ αὐτοῦ οἰκοδομηθέντα μὴ διαπεσεῖν, μηδὲ διαφθαρῆναι. Ἐπὶ δὲ τῷ μωρῷ οὐκέτι ὁμοιώσω, ἀλλ᾽ ὁμοιωθήσεται, οἷον, αὐτὸς ἑαυτῷ αἴτιος ἔστω τῆς θρασύτητος καὶ τιμωρίας, ὅτι δέον ἀρετὴν διώκοντα τῆς τοῦ θεοῦ βασιλείας ἐπιτυχεῖν, αὐτὸς δὲ κακίαν μετιὼν, ἐντὸς ἑαυτὸν ποιεῖ τῆς κολάσεως. Οὕτως ἡ μὲν τῶν ἀρετῶν κτῆσις, ἡμετέρᾳ σπουδῇ καὶ τῇ τοῦ θεοῦ κατορθοῦται χάριτι· ἡ δὲ τῆς κακίας πρᾶξις, γνώμης μοχθηρίᾳ καὶ προαιρέσεως παρατροπῇ ἐπιγίνεται.»

ἐπαγωγῆς (1) καὶ αὐτοῦ τοῦ θανάτου, καὶ μὴ ἐνδιδόναι μηδενὶ τῶν βλαβερῶν.

25 Καὶ κατέβη ἡ βροχὴ, καὶ ἦλθον οἱ ποταμοὶ, καὶ ἔπνευσαν οἱ ἄνεμοι, καὶ προσέπεσον τῇ οἰκίᾳ ἐκείνῃ· καὶ οὐκ ἔπεσε· τεθεμελίωτο γὰρ ἐπὶ τὴν πέτραν.

Αἰσθητῶς μὲν, διὰ τῆς βροχῆς, καὶ τῶν ποταμῶν, καὶ τῶν ἀνέμων, τοὺς ποικίλους πειρασμοὺς ἐδήλωσεν· ἀναγωγικῶς δὲ νοοῦμεν *βροχὴν* μὲν, τοὺς ἐμπαθεῖς λογισμοὺς, οὓς ἐνσταλάζουσι ταῖς ψυχαῖς οἱ δαίμονες· *ποταμοὺς* δὲ, τὰ πάθη, κατασύροντα πρὸς ἀπώλειαν· *ἀνέμους* δὲ, τοὺς δαίμονας, πνεύματα πονηρίας (α) ὀνομαζομένους.

Εἴτε οὖν αἰσθητοὺς, εἴτε νοητοὺς πειρασμοὺς εἴποιμεν, πάντες οὗτοι προσπίπτοντες τῇ δηλωθείσῃ οἰκίᾳ, εἴτουν, προσκρούοντες καὶ προσβάλλοντες, οὐ δύνανται καταβαλεῖν καὶ διαλῦσαι τὴν οἰκοδομὴν αὐτῆς· διότι τεθεμελίωται στεῤῥῶς *ἐπὶ πέτραν*, ἤγουν, ἐπὶ ἀσφάλειαν, ὡς εἴρηται.

Καὶ ὅρα μοι τοὺς ἀποστόλους εὐθέως, ἐφ' οὓς πολλαὶ μὲν ἐπιβουλαὶ χεθεῖσαι, μυρίοι δὲ χειμῶνες συμφορῶν καταῤῥαγέντες, οὐκ ἴσχυσαν περιτρέψαι τὸν πύργον τῆς ψυχῆς αὐτῶν, ἀλλὰ, τῶν σωμάτων αὐτοῖς διαφθειρομένων, μεμενήκασι τὰς γνώμας ἀνάλωτοι καὶ ἀήττητοι.

26 Καὶ πᾶς ὁ ἀκούων μου τοὺς λόγους τούτους, καὶ μὴ ποιῶν αὐτοὺς, ὁμοιωθήσεται ἀνδρὶ μωρῷ.

Ἐπειδή τινες τῶν ἀκροατῶν ἔμελλον ἐπαινεῖν μὲν τὰ εἰρημένα, μὴ ποιεῖν δὲ αὐτὰ, προκαταλαμβάνων ἐκφοβεῖ τούτους

(1) Τὸ, Ἐπαγωγὴ, ἐξηγεῖται παρὰ τῶν γραμματικῶν, συμφορὰ, πειρασμὸς, τὸ ἐπωσοῦν κακῶς ἐπαγόμενον. Ἡσύχιος. Εὑρίσκεται οὕτω συχνάκις παρὰ τοῖς Ο'.

(α) Ἐφεσ. ς', 12. ὅπου γράφεται, πνευματικά.

διὰ παραβολῆς. Ἔργα δὲ φρονίμου καὶ μωροῦ θεὶς, τοῦ μὲν συνετὰ, τοῦ δὲ μάταια, ἀμφοτέρωθεν κατασκευάζει τοῖς μαθηταῖς τὴν σωτηρίαν, διά τε τοῦ ζήλου τῆς συνέσεως καὶ τοῦ μίσους τῆς ματαιοπονίας. Τοῦτο δὲ πολλάκις ποιεῖ, προτρέπων εἰς ἀρετὴν, ἀπό τε μιμήσεως τῶν καλῶν, καὶ ἀπὸ μίσους τῶν χειρόνων.

26 Ὅστις ᾠκοδόμησε τὴν οἰκίαν αὐτοῦ ἐπὶ τὴν ἄμμον·
27 Καὶ κατέβη ἡ βροχὴ, καὶ ἦλθον οἱ ποταμοὶ, καὶ ἔπνευσαν οἱ ἄνεμοι, καὶ προσέκοψαν τῇ οἰκίᾳ ἐκείνῃ· καὶ ἔπεσε·

Δικαίως μωρὸν αὐτὸν ἐκάλεσε. Τί γὰρ ἀνοητότερον τοῦ κτίζοντος οἰκίαν ἐπὶ τὴν ἄμμον, καὶ τὸν μὲν πόνον ὑπομένοντος, τῆς δὲ ἐντεῦθεν ἀπολαύσεως ἀποστερουμένου; Τοῦτο δὲ βούλεται νῦν εἰπεῖν, ὅτι Πᾶς ὁ μαθὼν τὰς ἐντολάς μου, καὶ μὴ ἐπὶ ταύταις, ὡς ἐπὶ θεμελίῳ στεῤῥῷ, τὰς ἑαυτοῦ πράξεις οἰκοδομῶν, τουτέστι, μὴ ὡς αὗται παραινοῦσι πολιτευόμενος, ἀλλ' ἑτέραν ὁδὸν βαδίζων, μωρός ἐστι, μάτην κάμνων· παντοίοις γὰρ πειρασμοῖς ἐν καιρῷ περιστάσεως εὐάλωτος γίνεται. Ἐπεὶ δὲ ὁ τοιοῦτος δι' οὐδὲν ἕτερον παρατρέχει τὰς τοῦ Σωτῆρος ἐντολὰς, ἢ διὰ μόνην τὴν στενὴν καὶ τεθλιμμένην ὁδὸν αὐτῶν, εἴη ἂν ἄμμος, ἡ φιληδονία, ἐφ' ἣν οἰκοδομεῖ τὴν ἑαυτοῦ πολιτείαν· διὸ καὶ πειρασμοῦ προσβάλλοντος, πίπτει εἰς ἄρνησιν, μὴ φέρων τὴν πικρίαν, οἷα μὴ συνειθισμένος πόνοις καὶ σκληραγωγίαις.

27 Καὶ ἦν ἡ πτῶσις αὐτῆς μεγάλη.

Πάντως μεγάλη! Καὶ γὰρ οὐκ ἀπὸ δόξης πέπτωκεν, οὐδ' ἀπὸ πλούτου καὶ τοιαύτης ἄλλης ἀνθρωπίνης εὐημερίας, ἀλλ' ἀπὸ τῆς εἰς Χριστὸν πίστεως. Ὁ μὲν γὰρ ἄπιστος, οὐ πίπτει· κεῖται γὰρ διὰ παντὸς ἐν τῷ βόθρῳ τῆς πλάνης· ὁ δὲ

ταύτης ὑπεραρθεὶς, καὶ ἀναχθεὶς ἐπὶ τὸ τῆς πίστεως ὕψος, εἶτα μετακλιθεὶς, οὗτος πίπτει, καὶ ἐκπίπτει τῆς αἰωνίου ζωῆς.

28. Καὶ ἐγένετο, ὅτε συνετέλεσεν ὁ Ἰησοῦς τοὺς λόγους τούτους, ἐξεπλήσσοντο οἱ ὄχλοι ἐπὶ τῇ διδαχῇ αὐτοῦ.

Ἔθος ἐστὶν Ἑβραίοις, ἐν ταῖς ἀρχαῖς πολλάκις τῶν διηγήσεων ἁπλῶς τιθέναι τὸ, ἐγένετο. Σὺ δέ μοι θαύμασον τὸ φιλήκοον τῶν ὄχλων, καὶ τὸ καρτερικὸν ἐν ταῖς ἀκροάσεσιν. Ἄχρι γὰρ συνεπλήρωσε τοὺς λόγους τῆς διδασκαλίας, παρέμενον ἡδέως ἀκούοντες. *Ἐξεπλήσσοντο* δὲ, ὡς ἐλεύθεροι φθόνου καὶ πονηρίας. Εἶτα λέγει καὶ τὴν αἰτίαν τῆς ἐκπλήξεως.

29 Ἦν γὰρ διδάσκων αὐτοὺς ὡς ἐξουσίαν ἔχων, καὶ οὐχ ὡς οἱ γραμματεῖς.

Ἦν *διδάσκων* μετὰ παῤῥησίας, καὶ οὐ μεθ᾽ ὑποστολῆς, ὡς οἱ γραμματεῖς. Ἢ διότι οἱ γραμματεῖς μὲν εἰς τὸν νόμον, καὶ εἰς τοὺς προφήτας ἀνέφερον, ἃ ἐδίδασκον· οἷον ὅτι ὁ νόμος κελεύει τάδε, καὶ οἱ προφῆται τάδε φασίν· ὁ δὲ Χριστὸς ἀφ᾽ ἑαυτοῦ, κατ᾽ ἐξουσίαν ἐδίδασκε, καὶ ἐνομοθέτει, καὶ συνεχῶς προσετίθει τὸ, *Ἐγὼ δὲ λέγω ὑμῖν*· καὶ ὡς κριτὴς τοῦ μέλλοντος αἰῶνος, τοῖς μὲν ἀγαθοῖς ἐπηγγέλλετο σωτηρίαν· τοῖς πονηροῖς δὲ ἠπείλει κόλασιν.

ΚΕΦΑΛΑΙΟΝ Ϛʹ.

Περὶ τοῦ λεπροῦ.

ΚΕΦ. VIII, 1. Καταβάντι δὲ αὐτῷ ἀπὸ τοῦ ὄρους, ἠκολούθησαν αὐτῷ ὄχλοι πολλοί.

Ἀπὸ τῆς διδασκαλίας ἐπὶ τὰ θαύματα μεταβαίνει. Ἐπεὶ γὰρ, ὡς ἐξουσίαν ἔχων ἐδίδασκεν, ἵνα μὴ νομισθῇ κομπάζειν καὶ ἀλαζονεύεσθαι, δείκνυσι τὴν ἐξουσίαν αὐτοῦ καὶ ἐν τοῖς ἔργοις, καὶ βεβαιοῖ τοὺς λόγους ἀπὸ τῶν πράξεων. Σκόπει δὲ καὶ τὴν τῶν ὄχλων εὐγνωμοσύνην, ὅτι αὐτοὶ μὲν, ψιλοὺς λόγους ἐνωτισάμενοι, καὶ ἐθαύμασαν καὶ ἐπείσθησαν καὶ ἠκολούθησαν· οἱ ἄρχοντες δὲ αὐτῶν καὶ οἱ γραμματεῖς, καὶ τῶν σημείων ἀνακηρυττόντων τὴν αὐτοῦ δύναμιν, ἐσκανδαλίζοντο καὶ ἠγρίαινον.

2 Καὶ ἰδοὺ, λεπρὸς ἐλθὼν προσεκύνει αὐτῷ, λέγων· Κύριε, ἐὰν θέλῃς, δύνασαί με καθαρίσαι.

Οὐκ εἶπεν, Ἐὰν παρακαλέσῃς τὸν θεὸν, ἀλλ᾽ *Ἐὰν θέλῃς*, ὅπερ ἀπόδειξίς ἐστιν ἀδιστάκτου πίστεως. Μαθὼν γὰρ περὶ τῆς διδασκαλίας καὶ δυνάμεως αὐτοῦ, ἐπίστευσεν, ὅτι θεὸς οὗτός ἐστι παντοδύναμος· διὸ καὶ μετὰ θερμότητος προσῆλθεν. Ὁ μὲν γὰρ Ματθαῖος ἁπλῶς εἶπεν, ὅτι *προσεκύνει*· ὁ δὲ Μάρκος φανερώτερον, ὅτι (α) *γονυπετῶν ἦν*· καὶ ὁ Λουκᾶς δὲ, ὁμοίως· ὅτι *πεσὼν ἐπὶ πρόσωπον ἐδεήθη αὐτοῦ (β)*.

3 Καὶ ἐκτείνας τὴν χεῖρα, ἥψατο αὐτοῦ ὁ Ἰησοῦς,

(α) Μαρκ. Αʹ, 40.
(β) Λουκ. Εʹ, 12.

λέγων· Θέλω, καθαρίσθητι. Καὶ εὐθέως ἐκαθαρίσθη αὐτοῦ ἡ λέπρα.

Βουλόμενος ἐπιβεβαιῶσαι μὲν καὶ τοῦ λεπροῦ τὴν διάγνωσιν, ὅτι ὀρθῶς ὑπέλαβεν, εἶναι αὐτὸν θεὸν πάντα δυνάμενον· ἐπιδεῖξαι δὲ καὶ τοῖς ὄχλοις τὴν ἐξουσίαν αὐτοῦ, καθὼς εἰρήκαμεν· εἶπε, *Θέλω, καθαρίσθητι*. Ἐνταῦθα δὲ, τὸ μὲν, *θέλω*, φιλανθρωπίας ἐστὶν ἀπόδειξις· τὸ δὲ, *καθαρίσθητι*, δυνάμεως.

Καὶ ἐπεὶ λόγῳ ἰάσατο τοῦτον, τίνος ἕνεκεν ἐκτείνας τὴν χεῖρα ἥψατο αὐτοῦ; Διότι νόμος ἦν, κωλύων ἅπτεσθαι λεπροῦ. Δεῖξαι δὲ βουλόμενος ὁ Χριστὸς, ὅτι ὡς θεὸς ὑπέρκειται τοῦ νόμου· κατὰ γὰρ τῶν ψιλῶν ἀνθρώπων οὗτος νενομοθέτητο· θαῤῥαλέως ἥψατο, καὶ οὐδεὶς ἀντεῖπεν ἀπὸ τῶν ὄχλων· πεπληροφόρηντο γὰρ ἐκ τῶν προλαβόντων, ὅτι κατὰ λόγον πάντα ποιεῖ· καὶ ἅμα ἐδίδαξε, μὴ βδελύττεσθαι τὴν σωματικὴν λέπραν τῶν ὁμοφύλων. Χρὴ γὰρ μόνην φοβεῖσθαι τὴν ψυχικὴν, ἥτις ἐστὶν ἡ ἁμαρτία. Καὶ γὰρ οὐ μόνον οὐ μετέλαβεν ἀκαθαρσίας ἡ τούτου χεὶρ, ἁψαμένη τοῦ λεπροῦ σώματος, ἀλλὰ καὶ μᾶλλον ἐκαθάρισε τοῦτο. Ἐπεὶ τοίνυν καὶ τῷ κάλλει τῆς ψυχῆς ἡμῶν ἡ λέπρα τῆς ἁμαρτίας ἐλυμήνατο, προσέλθωμεν τῷ λόγῳ τῶν ἐντολῶν τοῦ Χριστοῦ, καὶ ἁψάμενος ἡμῶν καθαρίσει ταύτην.

4 Καὶ λέγει αὐτῷ ὁ Ἰησοῦς· Ὅρα, μηδενὶ εἴπῃς.

Παρήγγειλεν αὐτῷ σιγᾷν, αὐτός τε φεύγων τὸν παρὰ τῶν ἀνθρώπων ἔπαινον, καὶ παιδεύων τοὺς εὐεργετοῦντας, μισεῖν τὸ φιλότιμον. Καί τοι σαφῶς ἐγίνωσκεν, ὅτι οὐ σιγήσει, ἀλλὰ καὶ τρανῶς ἀνακηρύξει τὸν εὐεργέτην· ὅμως τὸ οἰκεῖον ποιεῖ καὶ παραγγέλλει. Χρὴ γὰρ τὸν μὲν εὐεργετοῦντα παραγγέλλειν σιγᾷν, διὰ μετριοφροσύνην· τὸν δὲ εὐεργετούμενον κηρύττειν, δι' εὐγνωμοσύνην·

4 Ἀλλὰ ὕπαγε, σεαυτὸν δεῖξον τῷ ἱερεῖ, καὶ προσένεγκε τὸ δῶρον, ὃ προσέταξε Μωϋσῆς.

Ἐκέλευεν ὁ νόμος, τὸν καθαρισθέντα λεπρὸν μὴ τοῖς ἑαυτοῦ πιστεύειν ὀφθαλμοῖς, ἀλλὰ τοῖς τοῦ ἱερέως ἀναθεῖναι τὴν κρίσιν τοῦ καθαρισμοῦ· καὶ μὴ πρότερον ἀναμιγῆναι τοῖς καθαροῖς, εἰ μὴ ἐμφανισθῇ τούτῳ, καὶ παρὰ τούτου λογισθῇ καθαρός· εἶτα προσάγειν δῶρον ὑπὲρ ἐξιλασμοῦ, καθὼς ἐν τῇ βίβλῳ τοῦ Λευϊτικοῦ (α) γέγραπται. Πῶς οὖν εἶπεν, ὅτι *ὃ προσέταξε Μωϋσῆς*; ὁ θεὸς γὰρ τοῦτο προσέταξε. Διότι νομοθέτης λέγεται καὶ ὁ Μωϋσῆς, ὡς γράψας, ὅσα ὁ θεὸς ἐνομοθέτησε. Τὴν μὲν οὖν θεραπείαν αὐτὸς εἰργάσατο, τὴν δοκιμασίαν δὲ ταύτης τῷ ἱερεῖ παρέπεμψεν, ἵνα μὴ δόξῃ τὸ τῶν ἱερέων ὑφαρπάζειν ἀξίωμα·

4 Εἰς μαρτύριον αὐτοῖς.

Εἰς ἔλεγχον αὐτῶν, φημὶ δὴ, τῶν ἱερέων. *Μαρτύριον* γὰρ νῦν, τὸν ἔλεγχον λέγει. Ἐπεὶ γὰρ οὗτοι παράνομον αὐτὸν ὠνόμαζον, παρῄνεσε τῷ καθαρισθέντι λεπρῷ τηρῆσαι τὸν νόμον, καὶ ποιῆσαι, ὅσα ἐκεῖνος προσέταξε. Τοῦτο δὲ παρῄνεσεν εἰς ἔλεγχον αὐτῶν. Πῶς γὰρ ἂν παρῄνεσε τηρῆσαι τὸν νόμον, εἰ παράνομος ἦν;

Χρὴ δὲ παρατηρεῖν, πῶς ποτὲ μὲν παραλύει τὸν νόμον, ὁδοποιῶν τῇ μετὰ θάνατον αὐτοῦ φιλοσοφίᾳ καὶ πολιτείᾳ τῶν χριστιανῶν, καὶ προοιμιαζόμενος τὴν ἐπὶ ταύτης ἀνάπαυσιν τοῦ παλαιοῦ καὶ γεγηρακότος νόμου· ποτὲ δὲ φυλάττει τοῦτον, συγκαταβαίνων τῇ ἀσθενείᾳ τῶν Ἰουδαίων, ἵνα μὴ σκανδαλίσῃ αὐτούς.

(α) Λευϊτ. ΙΔ'.

ΚΕΦΑΛΑΙΟΝ Ζ′.

Περὶ τοῦ ἑκατοντάρχου.

5 Εἰσελθόντι δὲ αὐτῷ εἰς Καπερναοὺμ, προσῆλ-
6 θεν αὐτῷ ἑκατόνταρχος, παρακαλῶν αὐτὸν, καὶ
λέγων· Κύριε, ὁ παῖς μου βέβληται ἐν τῇ οἰκίᾳ
παραλυτικὸς, δεινῶς βασανιζόμενος.

Βέβληται, ἀντὶ τοῦ, ἔῤῥιπται.

7 Καὶ λέγει αὐτῷ ὁ Ἰησοῦς· Ἐγὼ ἐλθὼν θεραπεύ-
σω αὐτόν.

Διὰ τί μὴ κληθεὶς εἰς τὴν οἰκίαν, αὐτεπάγγελτος ἐλθεῖν λέγει; Διότι προέγνω αὐτὸν πεπιστευκότα, ὅτι θεός ἐστι, καὶ λοιπὸν ἠθέλησε τὴν πολλὴν αὐτοῦ πίστιν ἐκκαλυφθῆναι καὶ τοῖς ἀκολουθοῦσι, καὶ πρόσχες ταῖς ἑξῆς.

8 Καὶ ἀποκριθεὶς ὁ ἑκατόνταρχος ἔφη· Κύριε, οὐκ
εἰμὶ ἱκανὸς, ἵνα μου ὑπὸ τὴν στέγην εἰσέλθῃς·
ἀλλὰ μόνον εἰπὲ λόγῳ, καὶ ἰαθήσεται ὁ παῖς μου.

Οὐκ εἰμὶ, φησὶν, ἄξιος, διὰ τὸ εἶναί σε θεόν· ἀλλ᾽ ὡς παντοδύναμος, εἰπὲ ἐν λόγῳ ψιλῷ, ὃ βούλει, καὶ αὐτίκα ὁ λόγος ἔργον γενήσεται. Ὁρᾷς μέγεθος πίστεως; Διὰ τοῦτο τοίνυν ὁ Χριστὸς εἶπεν, ὅτι *Ἐγὼ ἐλθὼν θεραπεύσω αὐτὸν*, ἵνα εἴπῃ ὁ ἑκατόνταρχος, ὅτι *Οὐκ εἰμὶ ἄξιος*, καὶ τὰ ἑξῆς, καὶ οὕτω φανερωθῇ πᾶσιν ἡ πολλὴ πίστις αὐτοῦ. Εἰ γὰρ μὴ ὁ Χριστὸς ἐκεῖνο εἶπεν, οὐκ ἂν ὁ ἑκατόνταρχος τοῦτο εἰρήκει, καὶ πάντως ἔλαθεν ἂν τοὺς ἑπομένους ἡ τοσαύτη τοῦ ἀνδρὸς πίστις. Σκόπει δὲ καὶ τὰ ἐφεξῆς τοῦ ἑκατοντάρχου ῥήματα, κατασκευάζοντα, ὅτι καὶ ἐκ ψιλοῦ λόγου δύναται.

9 Καὶ γὰρ ἐγὼ ἄνθρωπός εἰμι ὑπὸ ἐξουσίαν, ἔχων
ὑπ᾽ ἐμαυτὸν στρατιώτας· καὶ λέγω τούτῳ· Πορεύ-
θητι, καὶ πορεύεται· καὶ ἄλλῳ· Ἔρχου, καὶ ἔρχε-
ται· καὶ τῷ δούλῳ μου· Ποίησον τοῦτο, καὶ ποιεῖ.

Ἀπὸ τοῦ καθ᾽ ἑαυτὸν ὑποδείγματος κατασκευάζει, ὅτι καὶ λόγῳ μόνῳ δύναται. Εἰρηκὼς γὰρ, ὅτι *Εἰπὲ λόγῳ*, προσεπήγαγεν, ὅτι, *Καὶ γὰρ ἐγὼ ἄνθρωπός εἰμι ὑπὸ ἐξουσίαν*, τοῦ στρατηγοῦ, *ἔχων ὑπ᾽ ἐμαυτὸν στρατιώτας καὶ δούλους*, καὶ ὃ λέγω ἑκάστῳ, ἀναντιῤῥήτως τοῦτο ποιεῖ. Ταῦτα δὲ εἰπὼν, ἐνέφηνεν, ὅτι ἐὰν ἐγὼ ἄνθρωπος ὑπεξούσιος, διὰ τὴν ὀλίγην ὑπεροχὴν τῆς ἀρχῆς, λόγῳ μόνῳ δύναμαι· πολλῷ μᾶλλον σὺ, θεὸς ὢν παντεξούσιος καὶ πανυπέροχος. Καὶ λοιπὸν, εἰ μὲν εἴπῃς πορευθῆναι τὸν θάνατον, πορευθήσεται, εἰ δὲ ἐλθεῖν, ἐλεύσεται. Καὶ γὰρ οὐχ ἁπλῶς ἐστιν ὑπήκοος, ἀλλὰ καὶ δοῦλος, ὃ μείζονός ἐστιν ὑπακοῆς.

10 Ἀκούσας δὲ ὁ Ἰησοῦς, ἐθαύμασε, καὶ εἶπε τοῖς
ἀκολουθοῦσιν· Ἀμὴν λέγω ὑμῖν, οὐδὲ ἐν τῷ Ἰσ-
ραὴλ τοσαύτην πίστιν εὗρον!

Ἐθαύμασεν· ὅτι μὴ ὢν Ἰσραηλίτης, μηδὲ τὰς περὶ αὐτοῦ γραφὰς τῶν Ἰουδαίων εἰδὼς, ῥᾳδίως ἐπίστευσε· καὶ οὐ μόνον ἐθαύμασεν, ἀλλὰ καὶ ἀνεκήρυξε τὴν πίστιν αὐτοῦ, ἵνα καὶ ἄλλοι τοῦτον ζηλώσωσιν. *Οὐδὲ ἐν τοῖς Ἰσραηλίταις*, φησὶν, *εὗρον τοσαύτην πίστιν*, τοῖς ἀναγινώσκουσιν ἑκάστοτε τὰς περὶ ἐμοῦ μαρτυρίας τῶν γραφῶν. Προείρηται δὲ ἡμῖν, ὅτι τὸ, *Ἀμὴν λέγω*, ἀντὶ τοῦ, ἀληθῶς καὶ βεβαίως λέγω, τέθειται, καὶ οὐκ ἔτι χρὴ τοῦτο διερμηνεύειν.

11 Λέγω δὲ ὑμῖν, ὅτι πολλοὶ ἀπὸ ἀνατολῶν καὶ δυσμῶν

ἥξουσι, καὶ ἀνακλιθήσονται μετὰ Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακὼβ ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν.

Πολλοὶ τοιοῦτοι, τουτέστιν, ἐξ ἐθνῶν. Διὰ δὲ τῆς ἀνατολῆς καὶ τῆς δύσεως, πάντα τόπον τῆς οἰκουμένης ἐδήλωσεν. *Ἥξουσι* δὲ πρός με, διὰ πίστεως. *Ἀνακλιθήσονται* δὲ, ἀντὶ τοῦ, ἀναπαύσονται. Τὸν Ἀβραὰμ δὲ εἰς τὸ μέσον ἤγαγεν, ἵνα μάλιστα καθάψηται τῶν Ἰουδαίων, ὡς υἱοθετῶν αὐτῷ τοὺς ἐξ ἐθνῶν. *Κόλπους* δὲ τοῦ Ἀβραὰμ ὠνόμασε, τὴν ἀνάπαυσιν καὶ ἀπόλαυσιν τῶν δικαίων, καὶ τὴν πρὸς αὐτοὺς κοινωνίαν καὶ συνδιαγωγὴν, ἥτις ἐστὶν ἡ βασιλεία τῶν οὐρανῶν.

Ἐπειδὴ γὰρ ἐπίστευον ἐν ἀποῤῥήτοις ἀγαθοῖς διάγειν τὸν Ἀβραὰμ, ἀντὶ τῆς βασιλείας τῶν οὐρανῶν, τοὺς *κόλπους τοῦ Ἀβραὰμ* ἔθηκε (1), διὰ τὸ γνωριμώτερον. Ἅμα δὲ καὶ, ἵνα μὴ δόξῃ ἐναντίος τῇ παλαιᾷ πολιτείᾳ τῶν φιλαρέτων ἀνδρῶν. Ὁ γὰρ οὕτω θαυμάζων τὸν Ἀβραὰμ, ὡς καὶ τοὺς ἐκείνου κόλπους, ἀνάπαυσιν αἰώνιον ὀνομάζειν, ἐκτὸς γίνεται τοιαύτης ὑπονοίας.

[Φασὶ (2) δέ τινες, ὅτι καθάπερ τινὰ πελάγη τῶν θαλασσῶν, κόλποι τοιοίδε ἢ τοιοίδε ὠνομάσθησαν· οὕτως ἄρα καὶ τὰ πελάγη τῶν ἀπολαύσεων, ἐν αἷς ἐστιν ὁ Ἀβραὰμ, *κόλποι τοῦ Ἀβραὰμ* ἐκλήθησαν. Ὡς ἐπισημοτέρου δὲ πάντων παρ'

(1) Ἐκ τῆς ἑρμηνείας ταύτης δῆλον γίνεται, ὅτι ὁ Εὐθύμιος δὲν ἔδωκε πολλὴν προσοχὴν εἰς τὸ κείμενον τοῦ ἱεροῦ εὐαγγελίου ἐνταῦθα. Ἀντὶ τοῦ, ἀνακλιθήσονται μετὰ Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακὼβ ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν, γράφει, ἀνακλιθήσονται εἰς τοὺς κόλπους τοῦ Ἀβραὰμ, καὶ παραλείπει τὸ, καὶ Ἰσαὰκ καὶ Ἰακὼβ. Τὴν ἀνάγνωσιν τοῦ Εὐθυμίου ἔχει καὶ ὁ Χρυσόστομος. Τομ. Ζ'. Σελ. 209. C. 361. D. Ἀλλὰ παρὰ τούτῳ ὑπάρχει τὸ, καὶ Ἰσαὰκ καὶ Ἰακὼβ. Ὁ Θεοφύλακτος δὲν μεταβάλλει τι ἐν τῷ κειμένῳ· ἀλλ' ἐν τῇ ἑρμηνείᾳ περὶ μόνου τοῦ Ἀβραὰμ λαλεῖ. Σελ. 43.

(2) Τὰ παρενθεμένα ἀναγινώσκονται ἐν τῷ περιθωρίῳ παρὰ τῷ Α.

Ἑβραίοις ὄντος τοῦ Ἀβραὰμ, ἰδικῶς τοῦ Ἀβραὰμ τούτους ὠνόμασεν.]

12 Οἱ δὲ υἱοὶ τῆς βασιλείας ἐκβληθήσονται εἰς τὸ σκότος τὸ ἐξώτερον· ἐκεῖ ἔσται ὁ κλαυθμὸς καὶ ὁ βρυγμὸς τῶν ὀδόντων.

Βασιλείαν νῦν, τὸν θεὸν νοοῦμεν· *υἱοὺς δὲ αὐτοῦ*, τοὺς Ἰσραηλίτας. *Υἱὸς γὰρ* (α), φησι, *πρωτότοκός μου Ἰσραήλ*. *Ἡ βασιλείαν* μὲν, τὴν αἰώνιον ἀνάπαυσιν· *υἱοὺς δὲ αὐτῆς*, νῦν κληθῆναι τοὺς Ἰουδαίους, ὡς προσδοκῶντας τοῦτο, διὰ τὸ εἶναι σπέρμα τοῦ Ἀβραάμ. Οἱ δοκοῦντες δέ, φησιν, εἶναι υἱοὶ τῆς βασιλείας, ἐκβληθήσονται διὰ τὴν ἀπιστίαν αὐτῶν. Τὸ δὲ, *ἐκβληθήσονται*, ἀντὶ τοῦ, ἀπελαθήσονται. *Σκότος* δὲ τὸ *ἐξώτερον*, τόπος ἐστὶ κολάσεως χαλεπωτάτης.

Ταῦτα δὲ εἶπε καταστέλλων μὲν καὶ τὸν τῦφον τῶν Ἰουδαίων, ἀλαζονευομένων ἐπὶ τῷ εἶναι γένος τοῦ Ἀβραάμ· παρηγορῶν δὲ καὶ τοὺς ἐξ ἐθνῶν, καὶ πρὸς τὴν εἰς αὐτὸν πίστιν ἐφελκόμενος. Ἠκολούθουν γὰρ αὐτῷ πολλοὶ καὶ ἀπὸ τῶν ἐξ ἐθνῶν, διὰ τὰ σημεῖα. Καὶ τούτοις δὲ, κἀκείνοις πλέκει τὴν ὠφέλειαν, ἵνα μήτε οὗτοι θαῤῥῶσιν ἑστῶτες, μήτε ἐκεῖνοι ἀπογινώσκωσιν, ὡς κείμενοι.

Θεώρησον δὲ, ὅτι ὁ μὲν ἑκατόνταρχος λόγον ἐζήτησεν· ὁ δὲ λεπρὸς, θέλημα μόνον, ὃ μεῖζόν ἐστιν εἰς πίστιν. Πῶς οὖν ἐθαυμάσθη μᾶλλον ὁ ἑκατόνταρχος; Διότι ὁ μὲν λεπρὸς, Ἰουδαῖος ὢν, ἔμπειρος ἦν τῶν περὶ τοῦ Χριστοῦ μαρτυρουσῶν βίβλων, καὶ πολλὴν ἐντεῦθεν εἶχεν εὐχέρειαν εἰς τὸ πιστεῦσαι· ὁ δὲ ἑκατόνταρχος, ἐθνικὸς ὑπάρχων, παντελῶς ἀμύητος τούτων ἦν, καὶ οὐδαμόθεν ἄλλοθεν ὡδηγήθη πρὸς τὴν πίστιν, ἢ ἀπὸ μόνης γνώμης ὀρθῆς· διὸ καὶ ὑπερετέθη τῶν πι-

(α) Ἐξοδ. Δ', 22.

στευσάντων ἐξ Ἰσραήλ. Ἐπεὶ δὲ τὸ περὶ τῆς ἀντεισαγωγῆς τῶν ἐξ ἐθνῶν, καὶ ἀποβολῆς τῶν Ἰουδαίων, ἀπόφασις ἦν, βεβαιοῖ τοῦτο διὰ σημείου. Σκόπει γάρ.

13 Καὶ εἶπεν ὁ Ἰησοῦς τῷ ἑκατοντάρχῳ· Ὕπαγε, καὶ ὡς ἐπίστευσας γενηθήτω σοι.

Ἔδειξεν ὁ Χριστὸς ἐντεῦθεν, ὅτι μεγάλα συμβάλλεται πρὸς θαυματουργίαν ἡ πίστις τοῦ δεομένου αὐτῆς. *Ὡς ἐπίστευσάς*, φησι, *γενηθήτω σοι*, τουτέστιν, ἐπείπερ ἐπίστευσας, δύνασθαί με, καὶ μὴ ἐλθόντα εἰς τὸν οἶκόν σου, θεραπεῦσαι τὸν πάσχοντα, γενηθήτω οὕτως.

13 Καὶ ἰάθη ὁ παῖς αὐτοῦ ἐν τῇ ὥρᾳ ἐκείνῃ.

Ὥσπερ ἐπὶ τοῦ λεπροῦ εἶπεν ὁ εὐαγγελιστὴς, ὅτι εὐθέως ἐκαθαρίσθη· οὕτω καὶ νῦν, ὅτι *ἰάθη ἐν τῇ ὥρᾳ ἐκείνῃ*. Ταῦτα δὲ προσέθηκεν, εἰς αὔξησιν τῶν θαυμάτων. Οὐ μόνον γὰρ ἐτέλει παράδοξα, ἀλλὰ καὶ ἐν βραχυτάτῃ καιροῦ ῥοπῇ τὴν οἰκείαν δύναμιν ἐπεδείκνυτο. Φασὶ δέ τινες, ἕτερον εἶναι τὸν ἑκατόνταρχον τοῦτον, καὶ ἕτερον τὸν παρὰ τῷ Λουκᾷ (α) μνημονευόμενον. Τούτου μὲν γὰρ, παῖς ἦν παραλελυμένος· ἐκείνου δὲ, δοῦλος. Καὶ οὗτος μὲν ἦλθε πρὸς τὸν Χριστόν· ἐκεῖνος δὲ ἔπεμψε, πρῶτον μὲν πρεσβυτέρους τῶν Ἰουδαίων, εἶτα φίλους αὐτοῦ. Καὶ οὗτος μὲν οὐ μόνον οὐκ ἐκάλεσε τὸν Χριστὸν εἰς τὴν ἑαυτοῦ οἰκίαν, ἀλλὰ καὶ βουλόμενον ἐλθεῖν ἐκώλυσεν· ἐκεῖνος δὲ πρῶτον μὲν ἐκάλεσεν αὐτὸν διὰ τῶν πρεσβυτέρων, εἶτα διὰ τῶν φίλων ἐκώλυσεν. Ἔχοντες δὲ τοιαύτας διαφορὰς, ὅμως ἔχουσι καὶ πολλὰς ὁμοιότητας. Ἑκατόνταρχοι γὰρ ἄμφω, καὶ ἐν Καπερναοὺμ οἰκοῦντες, καὶ ἐπὶ παραλυτικῷ θλιβόμενοι, καὶ τὴν αὐτὴν πίστιν μετὰ τῶν αὐτῶν λόγων ἐπιδεικνύμενοι,

(α) Λουκ. Ζ', 2 καὶ ἑξῆς.

καὶ τῶν ἴσων ἀξιούμενοι. Φησὶ δὲ ὁ Χρυσόστομος (1), ὅτι ὁ αὐτός ἐστι καὶ παρὰ τῷ Ματθαίῳ καὶ παρὰ τῷ Λουκᾷ. Καὶ γὰρ ὁ μὲν Λουκᾶς, ἀκριβείας ἕνεκεν, πάντα λεπτομερῶς ἀπήγγειλε, πλὴν τῆς τοῦ ἑκατοντάρχου παρουσίας· ὁ δὲ Ματθαῖος, συντομίας χάριν, τὰς μὲν ἀποστολὰς τῶν πρεσβυτέρων καὶ τῶν φίλων παρέλιπεν, ὡς οὐκ ἀναγκαίας, μόνην δὲ τὴν πίστιν τοῦ ἑκατοντάρχου, καὶ τὸν διὰ ταύτην ἔπαινον, καὶ τὸ ἐπὶ τῷ παραλυτικῷ θαῦμα σαφῶς ἀνέγραψε.

Χρὴ δὲ διαλῦσαι καὶ τὰς δοκούσας, ὡς εἴρηται, διαφοράς. *Παῖδα* λέγομεν, οὐ μόνον τὸν υἱὸν, ἀλλὰ καὶ τὸν δοῦλον. *Εἶχε* γάρ, φησι, *παῖδας* (1) *καὶ παιδίσκας*, ἀντὶ δούλους καὶ δούλας. Ἐπεὶ δὲ Ματθαῖος μὲν λέγει, παραγενέσθαι τὸν ἑκατόνταρχον πρὸς τὸν Χριστόν· πέμψαι δὲ πρὸς αὐτὸν ὁ Λουκᾶς πρεσβυτέρους, εἶτα φίλους· χρὴ νοεῖν, ὅτι καὶ τοῦτο κἀκεῖνο γέγονε. Πρῶτον μὲν γὰρ ἔπεμψε τοὺς πρεσβυτέρους, παρακαλῶν αὐτὸν ἐλθεῖν· εἶτα μαθὼν, ὅτι ἔρχεται, καὶ ἑαυτὸν κρίνας ἀνάξιον τῆς ὑποδοχῆς αὐτοῦ, ἐπαπέστειλε τοὺς φίλους, κωλύων αὐτὸν καὶ μηνύων, ὅσα φησὶν ὁ Λουκᾶς· ἔπειτα τοῦ παραλυτικοῦ σφοδρότερον καταταθέντος ταῖς ὀδύναις· καὶ γὰρ, ὡς ὁ Λουκᾶς εἶπεν, ἔμελλε τελευτᾶν· μὴ φέρων ὁ ἑκατόνταρχος, ἔδραμε καὶ αὐτὸς ὀπίσω τῶν φίλων, ἐλπίζων δι' ἑαυτοῦ μᾶλλον ἱκετεῦσαι. Ἐπεὶ δὲ οἵ τε φίλοι ἀπήγγειλαν, ὅσα παρηγγέλθησαν, ὅ, τε Χριστὸς εἶπεν, ὅσα ὁ Λουκᾶς ἔγραψεν· ἐπικατέλαβεν εὐθὺς ὁ ἑκατόνταρχος, καὶ πρὸ τοῦ ἐντυχεῖν τοῖς φίλοις, ἰδὼν τὸν Χριστὸν καὶ διαθερμανθεὶς, ἱκέτευσεν αὐτὸν ἐξ ἀρχῆς, εἰπὼν, *Κύριε, ὁ παῖς μου βέβληται ἐν τῇ οἰκίᾳ παραλυτικὸς*, καὶ τὰ ἑξῆς. Εἶτα ὁ Χριστὸς, θέλων ἐπιπλεῖον φανερῶσαι τὴν πίστιν αὐτοῦ, ἀπεκρίνατο, *Ἐγὼ ἐλθὼν θερα-*

(1) Τομ. Ζ'. Σελ. 315. D, κ. ἑξ. Ιδ. καὶ Τομ. Η'. Σελ· 204. Α.
(α) Γενεσ. Λ', 43.

πεύσω αὐτόν. Ἔπειτα πάλιν ὁ ἑκατόνταρχος, *Κύριε, οὐκ εἰμὶ ἱκανὸς, ἵνα μου ὑπὸ τὴν στέγην εἰσέλθῃς*, καὶ τὰ λοιπὰ, καθὼς ὁ Ματθαῖος συνεγράψατο. Δῆλον οὖν, ὅτι τὰ μὲν ἄχρι τοῦ ἐλθεῖν τὸν ἑκατόνταρχον, εἶπεν ὁ Λουκᾶς· τὰ δὲ ἐντεῦθεν, ἐδίδαξεν ὁ Ματθαῖος. Καὶ ἐν ἐκείνοις γὰρ, καὶ ἐν τούτοις ἥ τε πίστις τοῦ ἑκατοντάρχου δείκνυται, καὶ ἡ θαυματουργία τοῦ Ἰησοῦ. Ἐπεὶ δὲ ὁ Λουκᾶς εἴρηκεν· ὅτι *ὑποστρέψαντες οἱ πεμφθέντες, εὗρον τὸν ἀσθενοῦντα δοῦλον ὑγιαίνοντα*· χρὴ λογίσασθαι, ὅτι ὁ μὲν ἑκατόνταρχος ἤδη πληροφορίαν περὶ τῆς ὑγείας αὐτοῦ λαβὼν, σχολαιότερον ἐβάδιζεν· ἐκεῖνοι δὲ δυσπιστοῦντες προέδραμον, γλιχόμενοι μαθεῖν, εἰ ὑγίανε.

ΚΕΦΑΛΑΙΟΝ Η'.

Περὶ τῆς πενθερᾶς Πέτρου.

14 Καὶ ἐλθὼν ὁ Ἰησοῦς εἰς τὴν οἰκίαν Πέτρου, εἶδε
τὴν πενθερὰν αὐτοῦ βεβλημένην καὶ πυρέσσουσαν.
15 Καὶ ἥψατο τῆς χειρὸς αὐτῆς, καὶ ἀφῆκεν αὐτὴν ὁ
πυρετός· καὶ ἠγέρθη, καὶ διηκόνει αὐτῷ.

Ο δὲ Μάρκος (α) καὶ ὁ Λουκᾶς (β) εἶπον, καὶ πόθεν ἦλθεν ἐκεῖ, ὅτι ἀπὸ τῆς συναγωγῆς τῶν Ἰουδαίων, ἐν ᾗ ἐδίδασκε, σαββάτου ὄντος. Προσέθηκε δὲ ὁ Μάρκος, ὅτι μετὰ Ἰακώβου καὶ Ἰωάννου ἦλθεν. Εἰκὸς γὰρ, τὸν Πέτρον, μαθόντα τοῦτο, προδραμεῖν. Καὶ Μάρκος μὲν καὶ Λουκᾶς φασὶν, ὅτι παρεκάλεσαν αὐτὸν οἱ μαθηταὶ περὶ τῆς κατακειμένης· ὁ Ματθαῖος

(α) Μαρκ. Α', 29.
(β) Λουκ. Δ', 38.

δὲ, καὶ τοῦτο ἐσίγησεν. Οὐκ ἔστι δὲ τοῦτο διαφωνίας· ἀλλὰ τὸ μὲν ἐκείνων, ἀκριβείας· τὸ δὲ τούτου, συντομίας. Εἰσῆλθε δὲ τροφῆς μεταληψόμενος, ἤδη τοῦ καιροῦ καλοῦντος. Ἐγερθεῖσα γὰρ ἡ κειμένη διηκόνει αὐτῷ.

Σὺ δέ μοι θαύμασον τὴν συγκατάβασιν τοῦ δεσπότου, πῶς οὐκ ἀπηξίωσεν εἰσελθεῖν εἰς φαύλην οἰκίαν ἁλιέως· ἅμα μὲν τιμῶν τὸν μαθητὴν, ἅμα δὲ διδάσκων ἡμᾶς, μὴ κενοδοξεῖν. Ἁψάμενος δὲ τῆς χειρὸς αὐτῆς, οὐ μόνον τὸν πυρετὸν ἔσβεσεν, ἀλλὰ καὶ καθαρὰν εὐθὺς ἀπέδωκεν αὐτῇ τὴν ὑγείαν. Ἠγέρθη γὰρ, καὶ αὐτίκα διηκόνει· καίτοι μετὰ τὴν ἀπαλλαγὴν τοῦ πυρετοῦ, πολλοῦ δεῖ χρόνου τοῖς κάμνουσιν, ὥστε τὴν προτέραν ὑγείαν ἐπαναλαβεῖν. Καὶ ἐπὶ τῆς θαλάσσης δὲ, οὐ μόνον τὴν ζάλην ἔστησεν, ἀλλὰ καὶ τὸν σάλον τῶν κυμάτων ἔπαυσε· καίτοι μετὰ τὴν ζάλην μένει μέχρι πολλοῦ τὰ ὕδατα σαλευόμενα. Οὕτω γὰρ οἶδεν ὁ Χριστὸς ὁμοῦ καὶ τὸ ἐνοχλοῦν δεινὸν λύειν, καὶ τὴν προτέραν ἀποδιδόναι κατάστασιν.

ΚΕΦΑΛΑΙΟΝ Θ'.

Περὶ τῶν ἰαθέντων ἀπὸ ποικίλων νόσων.

16 Ὀψίας δὲ γενομένης, προσήνεγκαν αὐτῷ δαιμονιζο-
μένους πολλούς· καὶ ἐξέβαλε τὰ πνεύματα λόγῳ.

Ο*ψίαν*, τὸ τέλος τῆς ἡμέρας ὠνόμασε. Διὸ καὶ ὁ Μάρκος καὶ ὁ Λουκᾶς προστεθείκασιν, ὅτι, *ὅτε ἔδυ ὁ ἥλιος* (α), φανερώτερον δηλώσαντες τὸν καιρόν. Ὁ μὲν γὰρ δημώδης ὄχλος ἀναμείνας τὴν δύσιν τοῦ ἡλίου, διὰ τὴν τοῦ σαββάτου παρατήρησιν, οὕτω τοὺς πάσχοντας προσήγαγεν· οἱ δὲ μαθηταὶ,

(α) Μαρκ. Α', 32. Λουκ. Δ', 40.

καὶ πρὸ τῆς τοῦ ἡλίου δύσεως παρεκάλεσαν αὐτὸν, ἰάσασθαι τὴν πυρέσσουσαν, ἅτε καὶ πρότερον ἰδόντες αὐτὸν ἀπαρατηρήτως ἐν σαββάτῳ θεραπεύοντα, καὶ μεμαθηκότες ἤδη παρ' αὐτοῦ, ποίων μὲν ἔργων ἀπέχεσθαι προσέταξεν ὁ περὶ τῆς ἀργίας τοῦ σαββάτου νόμος, ποῖα δὲ μετιέναι παρεχώρησε.

Παρατήρησον δὲ, πῶς ποτὲ μὲν ἐκτείνων τὴν χεῖρα θεραπεύει· ὡς ἐπὶ τῆς τοῦ Πέτρου πενθερᾶς· ποτὲ δὲ λόγον λέγων· ὡς ἐπὶ τοῦ παιδὸς τοῦ ἑκατοντάρχου, καὶ ἐπὶ τῶν δαιμονιζομένων τούτων· ποτὲ δὲ καὶ ἀμφότερα ποιῶν, ὡς ἐπὶ τοῦ λεπροῦ. Δείκνυσι γὰρ, ὅτι παντοδύναμός ἐστι.

16 Καὶ πάντας τοὺς κακῶς ἔχοντας ἐθεράπευσεν. Ὅ-
17 πως πληρωθῇ τὸ ῥηθὲν διὰ Ἡσαΐου τοῦ προφήτου
λέγοντος· « Αὐτὸς τὰς ἀσθενείας ἡμῶν ἔλαβε, καὶ
τὰς νόσους ἐβάστασεν. »

Ἀσθενείας καὶ νόσους νόει μοι νῦν, τὰς τῶν ἀσθενειῶν καὶ νόσων ὀφειλάς. Τῶν γὰρ ἀσθενειῶν καὶ νόσων ἐλευθερώσας τοὺς πάσχοντας, ἐφ' ἑαυτὸν μετέστησε τὸ χρέος αὐτῶν, λέγω δὴ, τοὺς πόνους καὶ τὸν θάνατον. Διὸ καὶ, πολλοὺς πόνους ὑποστὰς ἐν τῷ καιρῷ τοῦ ἀχράντου πάθους, ἀπέθανεν. Ἀλλὰ Ματθαῖος μὲν, περὶ σωματικῶν ἀσθενειῶν καὶ νόσων εἶπε, μεταλαβὼν τὸ ῥητόν· Ἡσαΐας δὲ ἀσθενείας καὶ νόσους, τὰς ἁμαρτίας ὠνόμασεν, ἃς ὁ Χριστὸς λαβεῖν καὶ βαστάσαι λέγεται, δίκην θύματος. Τὸ γὰρ εἰς θυσίαν προσαγόμενον ζῶον ὑπὲρ ἁμαρτιῶν τοῦ λαοῦ, τρόπον τινὰ τὰς ἁμαρτίας πάντων εἰς ἑαυτὸ ἐλάμβανε καὶ ἐβάσταζε· καὶ τὸν μὲν λαὸν ἠλευθέρου τούτων, αὐτὸ δὲ διὰ ταύτας ἐσφάζετο. Καλῶς δὲ μετέλαβε τὸ προφητικὸν ῥητὸν ὁ εὐαγγελιστής. Καὶ γὰρ αἱ πλείους τῶν σωματικῶν ἀσθενειῶν καὶ νόσων ἐξ ἁμαρτιῶν φύονται, καθὼς μαθησόμεθα προβαίνοντες. Καὶ οὐδὲν κωλύει καλεῖν καὶ ταύτας ἁμαρτίας.

18 Ἰδὼν δὲ ὁ Ἰησοῦς πολλοὺς ὄχλους περὶ αὐτὸν, ἐκέλευσεν ἀπελθεῖν εἰς τὸ πέραν.

Ἐκέλευσε τοῦτο τοῖς μαθηταῖς, ἅμα μὲν, ἵνα μὴ δόξῃ φιλενδείκτης, ἅμα δὲ θεραπεύων τὸν φθόνον τῶν Ἰουδαίων, ἅμα δὲ καὶ ἡμᾶς παιδεύων, φεύγειν τὸ ἀποβλέπεσθαι.

ΚΕΦΑΛΑΙΟΝ Ι'.

Περὶ τοῦ μὴ ἐπιτρεπομένου ἀκολουθεῖν.

19 Καὶ προσελθὼν εἷς γραμματεὺς, εἶπεν αὐτῷ· Διδάσκαλε, ἀκολουθήσω σοι, ὅπου ἂν ἀπέρχῃ.

Οὗτος ὁ γραμματεὺς, φιλάργυρος ὢν, ὑπώπτευσεν, ὅτι ἀπὸ τῶν θαυμάτων χρήματα πολλὰ συλλέγει ὁ Ἰησοῦς, καὶ ἤλπισεν, ὅτι, ἐὰν ὡς εἷς τῶν μαθητῶν ἀκολουθήσῃ αὐτῷ, συλλέξει πλοῦτον ἱκανόν. Ὁ δὲ Χριστὸς γνοὺς, ὃ βούλεται, πρὸς τὸν σκοπὸν αὐτοῦ ἀποκρίνεται. Καὶ ὅρα, τί φησί·

20 Καὶ λέγει αὐτῷ ὁ Ἰησοῦς· Αἱ ἀλώπεκες φωλεοὺς ἔχουσι, καὶ τὰ πετεινὰ τοῦ οὐρανοῦ κατασκηνώσεις· ὁ δὲ υἱὸς τοῦ ἀνθρώπου οὐκ ἔχει ποῦ τὴν κεφαλὴν κλίνῃ.

Καὶ τῶν ἀλωπέκων, φησὶ, καὶ τῶν ὀρνέων πενέστερός εἰμι. Οὐδὲ γὰρ ἔχω καταγώγιον, οὐδ' ὅσον ἀνακλῖναι μόνον τὴν κεφαλήν. Τοιούτους δὲ βούλομαι, καὶ τοὺς ἐμοὺς ἀκολούθους εἶναι, καὶ λοιπὸν μάτην ὑπέλαβες, καὶ εἰς κενὸν ἤλπισας. Οὕτω διπλῶς αὐτὸν ὠφέλησε, δηλώσας τε, ὅτι οἶδε τὰ ἀπόρρητα τῆς ψυχῆς αὐτοῦ, καὶ οὐκ ἐλέγξας φανερῶς, ἀλλ' αὐτῷ μόνῳ τὸν ἔλεγχον ἐμβαλὼν, ὥστε καὶ τὴν αἰσχύνην ἐκφυγεῖν,

καί, εἰ βούλοιτο, διορθωθῆναι. Τοῦτο δὲ εἰπών, οὐκ ἐκώλυσεν αὐτὸν ἀκολουθεῖν, ἀλλ᾽ ἐδίδαξεν, ὅτι ἀκολουθῶν, οὐχ εὑρήσει κέρδος, οἷον ζητεῖ. Λοιπὸν οὖν ἐκεῖνος συνείς, ὅτι διεγνώσθη, καὶ ἀποτυχὼν τοῦ σκοποῦ, σεσίγηκεν.

Τινὲς δέ φασιν, ὅτι προγινώσκων αὐτὸν ὁ Χριστός, οὐ μόνον φιλαργυρίᾳ δεδουλωμένον, ἀλλὰ καὶ ἑτέροις πάθεσιν, ἀναγωγικῶς ἀπεκρίνατο, ἀλώπεκας καὶ πετεινά, τοὺς δαίμονας ὀνομάσας, διά τε τὸ δολερὸν αὐτῶν, καὶ διὰ τὸ ἐπιβουλεύειν τοῖς σπέρμασι καὶ καρποῖς τῆς ἀρετῆς· ὡσανεὶ λέγων, ὅτι Οἱ μὲν δαίμονες ἔχουσιν ἐν σοὶ φωλεοὺς καὶ κατασκηνώσεις· ἐγὼ δὲ οὐδὲ βραχεῖαν ἀνάπαυσιν εὑρίσκω παρὰ τῇ σῇ ψυχῇ. *Φωλεοὶ* δὲ καὶ *κατασκηνώσεις* τῶν δαιμόνων, τὰ πάθη, οἷς ἐγκρύπτονται καὶ ἐναναπαύονται. *Υἱὸν* δὲ *ἀνθρώπου* καλεῖ ἑαυτόν, βεβαιῶν, ὅτι κατὰ ἀλήθειαν σεσάρκωται, καὶ οὐ κατὰ φαντασίαν, ὥς τινες ὑπελάμβανον. Ἄνθρωπον δὲ νῦν λέγει τὴν μητέρα αὐτοῦ. Ἄνθρωπος γὰρ λέγεται, οὐχ ὁ ἀνὴρ μόνον, ἀλλὰ καὶ ἡ γυνή.

21 Ἕτερος δὲ τῶν μαθητῶν αὐτοῦ εἶπεν αὐτῷ· Κύριε, ἐπίτρεψόν μοι πρῶτον ἀπελθεῖν, καὶ θάψαι τὸν πατέρα μου.

Τίς μὲν ἦν οὗτος ὁ μαθητής, οὐκ ἐδήλωσεν ὁ εὐαγγελιστής. Ὅστις δὲ καὶ ἦν, εὐγνωμονέστατος ἦν. Ὅρα γάρ, ὅτι, καίτοι τοῦ πράγματος δικαίου καὶ ἀναγκαίου δοκοῦντος, ὅμως αἰτεῖ περὶ τούτου, μὴ θελήσας ἀπελθεῖν ἀφ᾽ ἑαυτοῦ. Τὸ δέ, *πρῶτον*, εἶπε, δηλῶν, ὅτι ἔπειτα ἀκολουθήσει πανταχοῦ.

22 Ὁ δὲ Ἰησοῦς εἶπεν αὐτῷ· Ἀκολούθει μοι, καὶ ἄφες τοὺς νεκροὺς θάψαι τοὺς ἑαυτῶν νεκρούς.

Ἐκώλυσεν αὐτόν, οὐ κωλύων τὸ τιμᾷν τοὺς γονεῖς, ἀλλὰ διδάσκων, ὅτι χρὴ τὸν ἐφιέμενον τῶν οὐρανίων, μὴ ὑποστρέφειν

εἰς τὰ γήϊνα, μηδ᾽ ἀπολιμπάνειν μὲν τὰ ζωηρά, παλινδρομεῖν δὲ εἰς τὰ νεκρωτικά, μηδὲ θεοῦ προτιμᾷν γονεῖς. Ἐγίνωσκε γάρ, ὅτι θάψουσι τοῦτον ἄλλοι, καὶ οὐκ εἰκός, τοῦτον ἀπολειφθῆναι τῶν ἀναγκαιοτέρων. Οἶμαι δέ, ὅτι καὶ ἄπιστος ἦν ὁ τελευτήσας. Διὸ καὶ εἶπεν, *Ἄφες τοὺς νεκρούς*, τουτέστι, παραχώρησον τοῖς νενεκρωμένοις εἰς πίστιν, *θάψαι τοὺς προσήκοντας αὐτοῖς νεκρούς*· ὁ γὰρ νεκρὸς οὗτος, οὐκ ἔστι σὸς νεκρός· διότι οὐκ ἔστι μερὶς πιστῷ μετὰ ἀπίστου. Σὺ δέ, εἰ θαυμάζεις, πῶς οὐκ αὐθαιρέτως ἀπῆλθεν, ἀλλ᾽ ᾐτήσατο, θαύμασον, καὶ πῶς κωλυθεὶς ἔμεινεν. Εἰ δ᾽ ἐκεῖνον οὐδ᾽ ἐπὶ μικρὸν ἀφῆκεν ὁ Χριστὸς ἀπολειφθῆναι τῆς διδασκαλίας αὐτοῦ, τίνος ἂν εἴημεν ἡμεῖς ἄξιοι, τὸν ἅπαντα χρόνον ἀφιστάμενοι τῶν ἐντολῶν αὐτοῦ;

ΚΕΦΑΛΑΙΟΝ ΙΑ΄.

Περὶ τῆς ἐπιτιμήσεως τῶν ὑδάτων.

23 Καὶ ἐμβάντι αὐτῷ εἰς τὸ πλοῖον, ἠκολούθησαν αὐτῷ οἱ μαθηταὶ αὐτοῦ.

Τοὺς μὲν ὄχλους παρῆκε, διὰ τὰς προῤῥηθείσας αἰτίας· τοὺς δὲ μαθητὰς παρέλαβε, διὰ τὸ μέλλον ἐν τῇ θαλάσσῃ γενέσθαι θαῦμα. Ἐπεὶ γὰρ τῶν ὄχλων εὐεργετουμένων, ἐν τῷ θεραπεύεσθαι τὰς ἀσθενείας καὶ νόσους αὐτῶν, οἱ μαθηταὶ ἐδόκουν μένειν ἀνευεργέτητοι, λοιπὸν εὐεργετεῖ καὶ τούτους, καὶ παραχωρήσας ἐμπεσεῖν αὐτοὺς εἰς κίνδυνον καταποντισμοῦ, παραδόξως ῥύεται.

24 Καὶ ἰδού, σεισμὸς μέγας ἐγένετο ἐν τῇ θαλάσσῃ,

ὥστε τὸ πλοῖον καλύπτεσθαι ὑπὸ τῶν κυμάτων.

Οὗτος μὲν *σεισμὸν* εἶπε· Μάρκος δὲ καὶ Λουκᾶς (α) *λαίλαπα ἀνέμου* φασίν· ἔστι δὲ ταυτόν. Καὶ σεισμὸς γὰρ καὶ λαῖλαψ, ὁ κλύδων ἐκλήθη, διὰ τὸ σείειν καὶ συστρέφειν καὶ ἀναμοχλεύειν τὰ ὕδατα. Καὶ αὖθις Ματθαῖος μὲν καὶ Μάρκος ἐν θαλάσσῃ κλυδωνισθῆναι τὸ πλοῖον λέγουσι· Λουκᾶς δὲ ἐν λίμνῃ· καὶ οὐκ ἐναντιοφωνοῦσι· τὴν Τιβεριάδα γὰρ καὶ οὗτοι κἀκεῖνος δηλοῦσιν, ἥτις φύσει μέν ἐστι λίμνη, θέσει δὲ, θάλασσα, διὰ τὸ μέγεθος. Ὅθεν καὶ ποτὲ μὲν λίμνην, ποτὲ δὲ θάλασσαν αὐτὴν ὀνομάζουσιν. Ἐγένετο δὲ ὁ κλύδων, ἵνα τε συσταλῇ τὸ φρόνημα τῶν μαθητῶν· ἐφαντάσθησαν γὰρ μεγάλα περὶ ἑαυτῶν, οἷα τῶν μὲν ἄλλων ἀποπεμφθέντων, αὐτῶν δὲ μόνων συνεισελθόντων τῷ διδασκάλῳ· καὶ ἵνα γυμνασθῶσιν εἰς φόβους κινδύνων, ὡς ἀθληταὶ τοῦ κόσμου, καὶ εἰς χειμῶνας πειρασμῶν, ὡς κυβερνῆται τῆς οἰκουμένης.

24 Αὐτὸς δὲ ἐκάθευδε.

Ο δὲ Μάρκος ἐδήλωσε καὶ τὸν τόπον, ἐν ᾧ ἀφύπνωσεν. Εἶπε γὰρ, ὅτι *Καὶ ἦν* (β) *αὐτὸς ἐπὶ τῇ πρύμνῃ ἐπὶ τὸ προσκεφάλαιον καθεύδων*. Ξύλινον δὲ τοῦτο ἦν, ἐπὶ τῆς πρύμνης κατεσκευασμένον. Ἐκάθευδε δὲ κατ᾽ οἰκονομίαν, ἵνα σφόδρα δειλιάσωσιν. Εἰ γὰρ ἦν ἐγρηγορὼς, ἢ οὐκ ἂν ἐδειλίασαν, ἢ ὀλίγον ἂν ἐφοβήθησαν. Ἔδει δὲ αὐτοὺς πολλὴν αἴσθησιν τοῦ φόβου λαβεῖν, ἵνα καὶ εἰς πολλὴν αἴσθησιν τῆς αὐτοῦ δυνάμεως ἔλθωσι, καὶ λάβωσι πίστιν εἰς αὐτὸν πλείονα.

25 Καὶ προσελθόντες οἱ μαθηταὶ αὐτοῦ ἤγειραν αὐτὸν, λέγοντες· Κύριε, σῶσον ἡμᾶς, ἀπολλύμεθα.

Ο δὲ Μάρκος (γ), *Διδάσκαλε, οὐ μέλει σοι, ὅτι ἀπολλύμεθα;* Ὁ δὲ Λουκᾶς (α), *Ἐπιστάτα, ἐπιστάτα, ἀπολλύμεθα*. Οἱ μὲν γὰρ αὐτῶν τοῦτο ἔλεγον, οἱ δὲ ἐκεῖνο, καὶ ἄλλοι τὸ ἄλλο, ἢ καὶ πάντα πάντες.

(α) Μαρκ. Δ', 37. Λουκ. Η', 23.
(β) Μαρκ. Δ', 38.
(γ) Μαρκ. Δ', 38.

26 Καὶ λέγει αὐτοῖς· Τί δειλοί ἐστε ὀλιγόπιστοι;

Πρῶτον λύει τὴν δειλίαν τῆς ψυχῆς αὐτῶν, δεικνὺς, ὅτι τὸν φόβον ἡ τῆς ψυχῆς ἀσθένεια ποιεῖν εἴωθεν· ὀλιγοπιστίαν δὲ τούτοις ὠνείδισεν, ὡς ἀτελῆ πίστιν εἰς αὐτὸν κεκτημένοις. Ἤλπιζον γὰρ, ὅτι δύναται μὲν σώζειν, ἀλλ᾽ ἐγρηγορὼς, οὐ μὴν δὴ καὶ καθεύδων· διὸ καὶ ἐγείρουσιν αὐτόν.

26 Τότε ἐγερθεὶς ἐπετίμησε τοῖς ἀνέμοις καὶ τῇ θαλάσσῃ· καὶ ἐγένετο γαλήνη μεγάλη.

Ἐπετίμησεν, ἀντὶ τοῦ, ἐπέταξε. Φησὶ γὰρ ὁ Μάρκος, ὅτι Καὶ (β) εἶπε τῇ θαλάσσῃ· *Σιώπα, πεφίμωσο*.

27 Οἱ δὲ ἄνθρωποι ἐθαύμασαν, λέγοντες· Ποταπός ἐστιν οὗτος, ὅτι καὶ οἱ ἄνεμοι καὶ ἡ θάλασσα ὑπακούουσιν αὐτῷ;

Ο μὲν Λουκᾶς (γ), τοὺς μαθητὰς εἰπεῖν τοῦτό φησιν· ὁ δὲ Ματθαῖος ἀνθρώπους νῦν, τοὺς ὄχλους λέγει (1), καθὼς φησιν ὁ Χρυσόστομος (2). Καὶ γὰρ εἰκὸς, καὶ τούτους, μαθόντας τουτὶ τὸ θαῦμα παρὰ τῶν μαθητῶν, ὁμοίως θαυμάσαι, καὶ ὁμοίως εἰπεῖν. Εἰ δ᾽ οἱ μαθηταὶ, διὰ τὸ ἀτελὲς τῆς πίστεως αὐτῶν, ὡς ἄνθρωπον ἔτι τοῦτον ἐθαύμαζον, πολλῷ μᾶλλον οἱ ὄχλοι. Τὸ μὲν γὰρ κεχρῆσθαι πλοίῳ πρὸς περαίωσιν, καὶ ὑπνοῦν,

(α) Λουκ. Η', 24.
(β) Μαρκ. Δ', 39.
(γ) Λουκ. Η', 25.

(1) Ἀναγνωστέον ἴσως οὕτως· ὁ δὲ Ματθαῖος, τοὺς ἀνθρώπους, ἀνθρώπους νῦν τοὺς ὄχλους λέγων.

(2) Τομ. Ζ'. Σελ. 331. Ε.

ἄνθρωπον αὐτὸν ἐκήρυττον· ἡ δὲ τῶν ἀνέμων καὶ τῆς θαλάσσης ὑπακοὴ, ξένην τινὰ φύσιν τούτῳ προσεμαρτύρει. Διὸ καὶ ἐξαπορούμενοι ἔλεγον, *Ὁποῖός ἐστιν οὗτος*; Πλεῖον δὲ τῶν προλαβόντων θαυμάτων τὸ παρὸν ἐθαύμασαν· διότι οὐδεὶς ποτε τοιοῦτον εἰργάσατο. Οὔτε γὰρ ἐξέτεινε ῥάβδον, ὡς Μωϋσῆς, οὔτε προσηνέχθη τοῖς ὕδασιν, ὡς ἕτεροι, ἀλλὰ κατ᾽ ἐξουσίαν ἐπέταξεν, ὡς δεσπότης δούλοις, καὶ ὡς δημιουργὸς κτίσμασι.

ΚΕΦΑΛΑΙΟΝ ΙΒ΄.

Περὶ τῶν δύω δαιμονιζομένων.

28 Καὶ ἐλθόντι αὐτῷ εἰς τὸ πέραν, εἰς τὴν χώραν τῶν Γεργεσηνῶν, ὑπήντησαν αὐτῷ δύο δαιμονιζόμενοι.

Τὸ δὲ κατὰ Μάρκον (α) εὐαγγέλιον, ἔτι δὲ καὶ τὸ κατὰ Λουκᾶν, τῶν Γαδαρηνῶν, γράφουσιν. Ἀλλὰ τῇ Τιβεριάδι λίμνῃ ἡ πόλις Γέργεσα παράκειται, καὶ οὐ τὰ Γάδαρα. Τινὲς δέ φασιν, διώνυμον εἶναι τὴν τοιαύτην πόλιν, καὶ καλεῖσθαι τοῦτο κἀκεῖνο. Ἀλλὰ Ματθαῖος μὲν δύο δαιμονιζομένους φησὶ, Μάρκος δὲ καὶ Λουκᾶς ἑνὸς ἐμνημόνευσαν, τοῦ μᾶλλον ἐπισημοτέρου, τοῦ λεγομένου *Λεγεῶνος*, περὶ οὗ φοβερὰ πολλὰ λέγουσιν, ᾧ καὶ ὑπηρετεῖν ὁ ἕτερος ἐδόκει. Καὶ οἱ μὲν διὰ τοῦτο παρῆκαν αὐτὸν, ὁ δὲ Ματθαῖος ἀνέγραψε καὶ τοῦτον, ὡς συνδαιμονιζόμενον.

(α) Μαρκ. Ε΄, 1. Λουκ. Η΄, 26.

†† Οὔτε (1) Γαδαρηνῶν, οὔτε Γερασηνῶν, τὰ ἀκριβῆ ἔχει τῶν ἀντιγράφων, ἀλλὰ Γεργεσηνῶν. Γάδαρα γὰρ πόλις ἐστὶ τῆς Ἰουδαίας· λίμνη δὲ κρημνοῖς παρακειμένη, ἢ θάλασσα, οὐδαμῶς ἐστὶν ἐν αὐτῇ. Καὶ Γέρασα δὲ, τῆς Ἀραβίας ἐστὶ πόλις, οὔτε θάλασσαν, οὔτε λίμνην πλησίον αὐτῆς ἔχουσα· καὶ οὐκ ἂν οὕτω προφανὲς ψεῦδος καὶ εὐέλεγκτον οἱ εὐαγγελισταὶ εἰρήκεσαν, ἄνδρες ἀκριβῶς γινώσκοντες τὰ περὶ τῆς Ἰουδαίας. Γέργεσα τοίνυν ἐστὶν, ἀφ᾽ ἧς Γεργεσαῖοι, πόλις ἀρχαία περὶ τὴν νῦν καλουμένην Τιβεριάδος λίμνην, περὶ ἣν κρημνὸς παρακείμενος τῇ λίμνῃ, ἀφ᾽ οὗ δείκνυται τοὺς χοίρους ὑπὸ τῶν δαιμόνων καταβεβλῆσθαι. Ἑρμηνεύεται δὲ ἡ Γέργεσα, *Παροικία ἐκβεβληκότων*, ἐπώνυμος οὖσα τάχα προφητικῶς, οὗ περὶ τὸν Σωτῆρα πεποιήκασι, παρακαλέσαντες αὐτὸν μεταβῆναι ἐκ τῶν ὁρίων αὐτῶν οἱ τῶν χοίρων δεσπόται.

28 Ἐκ τῶν μνημείων ἐξερχόμενοι.

Τοῖς τάφοις οἱ δαίμονες ἐμφιλοχωροῦσιν, ὀλέθριον δόγμα τοῖς ἀνθρώποις ἐνθεῖναι θέλοντες, ὡς ἄρα τῶν τελευτώντων αἱ ψυχαὶ, γινόμεναι δαίμονες, παραμένουσι τοῖς μνήμασι τῶν ἰδίων σωμάτων, καὶ κολλῶνταί τισιν. Ἀλλ᾽ οὐκ ἄν ποτε πείσωσι τὸν ὀρθόδοξον. Εἰ γὰρ τοῦτο ἦν ἀληθὲς, οὐκ ἂν βασανιζόμενος ὁ πλούσιος ἐδεῖτο τοῦ Ἀβραὰμ, ἀποστεῖλαι τὸν Λάζαρον εἰς τὸν κόσμον, καὶ μηνῦσαι τοῖς ἀδελφοῖς αὐτοῦ τὰ κατ᾽ αὐτὸν, ἀλλ᾽ αὐτὸς δι᾽ ἑαυτοῦ ἐμήνυσεν ἂν αὐτοῖς.

(1) Τὸ σχόλιον τοῦτο ἐξεδόθη ἐκ χειρογράφων παρὰ τοῦ ἐκδότου τῶν ὑπομνημάτων τοῦ Εὐθυμίου ἐν τῇ παρ᾽ αὐτοῦ ἐν ἔτει 1775 ἐν Μόσχᾳ ἐκδοθείσῃ σειρᾷ εἰς τὸν Μάρκον Κεφ. Ε΄, 1. Τόμ. Α΄. Σελ. 82. Ἐκ χειρογράφων τῆς Οὐϊνδοβώνης ἀναφέρει αὐτὸ καὶ ὁ Ἄλτερις ἐν τῇ παρ᾽ αὐτοῦ γενομένῃ ἐκδόσει τῆς καινῆς Διαθήκης Σελ. 489. Ἔχει δὲ αὐτὸ καὶ ὁ Ποσσῖνος ἐν τῇ εἰς τὸν Μάρκον σειρᾷ. Σελ. 100. Εἴληπται δὲ ἐκ τοῦ Ὠριγένους. Τομ. Δ΄. Σελ. 140.

28 Χαλεποὶ λίαν, ὥστε μὴ ἰσχύειν τινὰ παρελθεῖν διὰ
29 τῆς ὁδοῦ ἐκείνης. Καὶ ἰδοὺ, ἔκραξαν, λέγοντες· Τί
ἡμῖν καὶ σοὶ, Ἰησοῦ υἱὲ τοῦ Θεοῦ;

Ἐπειδὴ καὶ οἱ μαθηταὶ, καὶ οἱ ὄχλοι ἄνθρωπον αὐτὸν ἔλεγον, ἔρχονται λοιπὸν οἱ δαίμονες, ἀνακηρύττοντες τὴν αὐτοῦ θεότητα. Προσβαλούσης γὰρ αὐτῆς τῆς θεϊκῆς ἀκτῖνος, εὐθὺς ἐπέγνωσαν αὐτόν· καὶ μὴ φέροντες τὴν ἀοράτως φλογίζουσαν αὐτοὺς δύναμιν τῆς προσβολῆς, ἔκραξαν, λέγοντες· *Τί ἡμῖν καὶ σοὶ*, τουτέστι, Τίς ἡ ἡμετέρα δύναμις πρὸς τὴν σήν; σὺ μὲν γὰρ πῦρ ἄστεκτον, ἡμεῖς δὲ χόρτος εὐέμπρηστος.

29 Ηλθες ὧδε πρὸ καιροῦ βασανίσαι ἡμᾶς;

Ἐπειδὴ κατέλαβεν αὐτοὺς, τὸ πλάσμα τὸ ἑαυτοῦ (1) παντὶ τρόπῳ τυραννοῦντας καὶ διαφθείροντας, ἀρνήσασθαι μὲν τὴν ἁμαρτίαν οὐ δύνανται, προβάλλονται δέ τινα δικαιολογίαν, ὅτι οὐ νῦν ὀφείλουσι δοῦναι δίκην, ἀλλ' ἐν τῷ καιρῷ τῆς παγκοσμίου κρίσεως, καὶ δεινοπαθοῦντες λέγουσιν· *Ηλθες ὧδε*, τουτέστιν, ἐπὶ τὴν γῆν, *βασανίσαι ἡμᾶς πρὸ τοῦ ὡρισμένου καιροῦ*; Καὶ γὰρ ἤκουον παρὰ τῶν προφητῶν, ὅτι ὁ Χριστὸς μετὰ τὴν τοῦ κόσμου συντέλειαν μέλλει κατελθεῖν εἰς τὴν γῆν, καὶ κρῖναι τὸν κόσμον, καὶ βασανίσαι τοὺς δαίμονας.

30 Ην δὲ μακρὰν ἀπ' αὐτῶν ἀγέλη χοίρων πολλῶν
31 βοσκομένη. Οἱ δὲ δαίμονες παρεκάλουν αὐτὸν, λέ-
γοντες· Εἰ ἐκβάλλεις ἡμᾶς, ἐπίτρεψον ἡμῖν ἀπελθεῖν
εἰς τὴν ἀγέλην τῶν χοίρων.

Μηκέτι δυνάμενοι βλάπτειν τοὺς ἀνθρώπους, ἐπὶ τὰ τῶν ἀνθρώπων (2) ἐτράπησαν, πρὸς ἔνδειξιν, ἧς ἔχουσι καθ' ἡμῶν

(1) Νόει τὸν ἄνθρωπον.

(2) Χρήματα καὶ κτήματα δηλαδή· ἐνταῦθα δὲ τοὺς χοίρους.

μανίας. Καὶ οὐ τοῦτο μόνον· ἀλλὰ καὶ ἕτερόν τι μηχανῶνται, σφόδρα πονηρόν. Μελετῶσι γὰρ ἀνελεῖν τοὺς χοίρους, ἵνα τῇ ζημίᾳ τούτων λυπηθέντες οἱ τῆς ἀγέλης κύριοι, μὴ παραδέξωνται τὸν Ἰησοῦν, καὶ ζημιωθῶσι μάλιστα, μὴ δεξάμενοι τὸ κήρυγμα τοῦ εὐαγγελίου. Καὶ γὰρ οὐδ' ἀπελαυνόμενοι παύονται τοῦ βλάπτειν. Τί οὖν ὁ Χριστός;

32 Καὶ εἶπεν αὐτοῖς· Ὑπάγετε. Οἱ δὲ ἐξελθόντες ἀ-
πῆλθον εἰς τὴν ἀγέλην τῶν χοίρων. Καὶ ἰδοὺ, ὥρ-
μησε πᾶσα ἡ ἀγέλη τῶν χοίρων κατὰ τοῦ κρημνοῦ
εἰς τὴν θάλασσαν, καὶ ἀπέθανον ἐν τοῖς ὕδασιν.

Εἰδὼς τὴν πανουργίαν αὐτῶν, καὶ μὴ ἀγνοῶν, ὃ μελετῶσιν, ὅμως ἐπιτρέπει, οὐ χαριζόμενος ἐκείνοις, ἀλλ' οἰκονομῶν ἕτερα. Ἓν μὲν, ἵνα διδάξῃ τοὺς ἀπαλλαγέντας, ὅσους καὶ οἵους εἶχον ἐνοίκους· ἕτερον δὲ, ἵνα μάθωσι πάντες, ὅτι οὐδὲ χοίροις ἐπιπηδῆσαι δύνανται, εἰ μὴ παραχωρήσῃ τούτοις αὐτός· τρίτον, ὅτι χαλεπώτερα τῶν χοίρων ἐκείνοις ἂν εἰργάσαντο πάντως, εἰ μὴ καὶ ἐν αὐτῷ τῷ τυραννεῖν ἀνεχαιτίζοντο παρὰ τοῦ θεοῦ, καὶ οὐ συνεχωροῦντο ποιεῖν, ὅσα βούλονται· παντὶ γὰρ δῆλον, ὅτι τοὺς ἀνθρώπους πλεῖον μισοῦσι τῶν ἀλόγων· ἐπεὶ καὶ τὰ ἄλογα διὰ τοὺς ἀνθρώπους φθείρουσι, σπεύδοντες καὶ διὰ τῆς τούτων ἀπωλείας λυπεῖν αὐτούς· τέταρτον, ἵνα ὁ θάνατος τῶν χοίρων βεβαιώσῃ πάντας, ὅτι ἐξῆλθον οἱ δαίμονες.

Καὶ ὅρα πάνσοφον ἀντιμηχάνημα τοῦ Σωτῆρος! Μελετήσαντες γὰρ βλάψαι, πλεῖον ἐβλάβησαν, καὶ τοὐναντίον, οὗ ἐβούλοντο, γέγονεν. Ἐξέλαμψε μὲν γὰρ ἡ τοῦ Χριστοῦ δύναμις· ἠλέγχθη δὲ τούτων ἡ ἀσθένεια καὶ ἡ πονηρία. *Κατὰ τοῦ κρημνοῦ δὲ ὥρμησεν ἡ ἀγέλη εἰς τὴν θάλασσαν*, ἀντὶ τοῦ, διὰ τοῦ κρημνοῦ. Μάρκος δὲ καὶ τὸν ἀριθμὸν τῶν χοίρων ἔγραψεν, *ὅτι ἦσαν* (α) *ὡς δισχίλιοι*. Σὺ δέ μοι νόει καὶ κατὰ

(α) Μαρκ. Ε', 13.

ἀναγωγὴν, ὅτι οἱ δαίμονες ἀπὸ μὲν τῶν ἀνθρώπων ἐκβάλλονται, λέγω δὴ, τῶν λόγῳ βοηθουμένων· τοῖς δὲ χοίροις ἐφάλλονται, δηλαδὴ τοῖς ἀλόγως ἐγκυλιομένοις τῷ βορβόρῳ τῶν ἡδονῶν, καὶ κατακρημνίζουσιν αὐτοὺς εἰς ἀπώλειαν.

33 Οἱ δὲ βόσκοντες ἔφυγον, καὶ ἀπελθόντες εἰς τὴν πόλιν, ἀπήγγειλαν πάντα.

Ἔφυγον φοβηθέντες, μὴ καὶ αὐτοὺς ἀνέλωσιν οἱ τοὺς χοίρους αὐτῶν ἀνελόντες δαίμονες. *Ἀπήγγειλαν δὲ πάντα*, δηλαδὴ τὰ ῥηθέντα παρά τε τῶν δαιμόνων, καὶ παρὰ τοῦ Χριστοῦ, καὶ τὰ τῆς ἀπωλείας τῶν χοίρων.

33 Καὶ τὰ τῶν δαιμονιζομένων.

Τὰ τῆς μεταβολῆς καὶ εὐκοσμίας αὐτῶν.

34 Καὶ ἰδοὺ, πᾶσα ἡ πόλις ἐξῆλθεν εἰς συνάντησιν τῷ Ἰησοῦ.

Ἤρχετο γὰρ αὐτὸς ἐπὶ τὴν πόλιν. *Πᾶσα δὲ ἡ πόλις*, ἀντὶ τοῦ, πάντες οἱ πολῖται.

34 Καὶ ἰδόντες αὐτὸν, παρεκάλεσαν, ὅπως μεταβῇ ἀπὸ τῶν ὁρίων αὐτῶν.

Λυπηθέντες μὲν, ὡς εἴρηται, καὶ διὰ τὴν ἀπώλειαν τῶν χοίρων, ἔτι δὲ καὶ φοβηθέντες, ὡς ὁ Λουκᾶς εἶπεν (α)· ἐδεδοίκεισαν γὰρ, μήτι κακὸν καὶ εἰς αὐτοὺς οἱ δαίμονες ἐκβληθέντες δράσωσιν. Ὁ δὲ Χριστὸς εὐθὺς ὑπήκουσεν· οὐ γὰρ ἦσαν ἄξιοι τῆς αὐτοῦ διδασκαλίας· ἅμα δὲ καὶ κατέλιπεν αὐτοῖς διδασκάλους τοὺς ἀπαλλαγέντας τῶν δαιμόνων καὶ τοὺς συβώτας.

Κεφ. IX, 1 Καὶ ἐμβὰς εἰς τὸ πλοῖον, διεπέρασε, καὶ ἦλθεν εἰς τὴν ἰδίαν πόλιν.

Ἰδίαν πόλιν αὐτοῦ, τὴν Καπερναοὺμ λέγει. Καὶ γὰρ ἡ μὲν

(α) Λουκ. Η', 35.

Βηθλεὲμ ἤνεγκεν αὐτόν· ἡ δὲ Ναζαρὲτ, ἔθρεψεν· ἡ δὲ Καπερναοὺμ, εἶχεν εἰς τὸ ἑξῆς οἰκοῦντα.

ΚΕΦΑΛΑΙΟΝ ΙΓ'.

Περὶ τοῦ παραλυτικοῦ.

2 Καὶ ἰδοὺ, προσέφερον αὐτῷ παραλυτικὸν, ἐπὶ κλίνης βεβλημένον.

Τὸ, *ἰδοὺ*, συνεχῶς ἡ ἑβραῒς τίθησι γραφὴ, ὡς ἰδίωμα, καθάπερ καὶ πολλὰ ἕτερα. Προσήκει δὲ εἰπεῖν, ὅτι (1) ἕτερός ἐστιν ὁ παραλυτικὸς οὗτος, παρὰ τὸν ὑπὸ Ἰωάννου (α) μνημονευόμενον. Ἐκεῖνος μὲν γὰρ ἐν τῇ Βηθεσδᾷ κατέκειτο· οὗτος δὲ ἐν τῇ Καπερναοὺμ ἦν· καὶ ὁ μὲν τριάκοντα καὶ ὀκτὼ εἶχεν ἔτη· περὶ τούτου δὲ οὐδὲν τοιοῦτον ἱστόρηται. Καὶ ὁ μὲν οὐκ εἶχεν ἄνθρωπον· οὗτος δὲ εἶχε τοὺς βαστάζοντας. Καὶ τούτῳ μὲν φησιν, *Ἀφέωνταί σοι αἱ ἁμαρτίαι σου*· ἐκείνῳ δὲ, *Θέλεις* (β) *ὑγιὴς γενέσθαι;* Καὶ τὸν μὲν ἐν σαββάτῳ τεθεράπευκε· διὸ καὶ ἐγόγγυζον Ἰουδαῖοι· τοῦτον δὲ κατ' ἄλλην ἡμέραν· διὸ καὶ ἐσίγησαν.

2 Καὶ ἰδὼν ὁ Ἰησοῦς τὴν πίστιν αὐτῶν, εἶπε τῷ παραλυτικῷ· Θάρσει, τέκνον· ἀφέωνταί σοι αἱ ἁμαρτίαι σου.

Ὡς γὰρ ὁ Μάρκος (γ) καὶ ὁ Λουκᾶς εἶπον, μὴ δυνάμενοι

(1) Περὶ τούτου ὁμιλεῖ ὁ Χρυσόστομος. Τομ. Ζ'. Σελ. 342. Β. Τομ. Η'. 211.
(α) Ἰωάν· Ε', 5.
(β) Ἰωαν· Ε', 6.
(γ) Μαρκ. Β', 4. Λουκ. Ε', 19.

εἰσελθεῖν, διὰ τὸ πλῆθος τῶν συλλεγέντων, ἀνῆλθον ἐπὶ τὴν στέγην τῆς οἰκίας, ἐν ᾗ ἐδίδασκεν ὁ Ἰησοῦς, καὶ ἀνορύξαντες αὐτὴν, ἐχάλασαν δι' αὐτῆς τὸν κράββατον, ἐφ' ᾧ κατέκειτο ὁ παράλυτος· ἃ πάντα μεγάλης πίστεως ἦσαν, ἥτις ἔπεισεν αὐτοὺς, μὴ ἀπογνῶναι, μηδ' ὑποστρέψαι, ἀλλὰ πάντα ποιῆσαι καὶ παθεῖν, ὑπὲρ τοῦ ἀγαγεῖν αὐτὸν εἰς ὄψιν τοῦ Σωτῆρος, πιστεύοντας, ὅτι αὐτίκα τεύξεται τῆς ἰάσεως. *Πίστιν δὲ αὐτῶν* φησὶν, οὐ μόνον τῶν χαλασάντων, ἀλλὰ καὶ τοῦ χαλασθέντος. Οὐ γάρ ἂν ἠνέσχετο χαλασθῆναι, εἰ μὴ ἰαθῆναι ἐπίστευεν. Ἰδὼν δὲ ὁ Χριστὸς τὴν τηλικαύτην πίστιν αὐτῶν, πρῶτον μὲν ἀφίησι τῷ νοσοῦντι τὰς ἁμαρτίας αὐτοῦ· μετὰ τοῦτο δὲ θεραπεύει τὸ σῶμα· ἅμα μὲν διδάσκων, ὅτι τὰ πολλὰ τῶν νοσημάτων ἐξ ἁμαρτιῶν φύονται, καὶ χρὴ πρῶτον ἰαθῆναι τὸ αἴτιον· καὶ γὰρ πρὸς τὸν παρὰ τῷ Ἰωάννῃ παραλυτικὸν εἴρηκεν· *Ιδε* (α), *ὑγιὴς γέγονας· μηκέτι ἁμάρτανε, ἵνα μὴ χεῖρόν τί σοι γένηται·* ἅμα δὲ δεικνύων, ὅτι θεός ἐστι. Τὸ μὲν γὰρ ἰᾶσθαι σωματικὰς νόσους, καὶ τῶν ἁγίων ἦν· τὸ δὲ ἀφιέναι ἁμαρτίας, μόνου θεοῦ. Διὸ καὶ οἱ γραμματεῖς ἐθορυβήθησαν.

3 **Καὶ ἰδοὺ, τινὲς τῶν γραμματέων εἶπον ἐν ἑαυτοῖς· Οὗτος βλασφημεῖ.**

Ο δὲ Μάρκος φανερώτερον εἶπεν, ὅτι καὶ (β) *Ησάν τινες τῶν γραμματέων ἐκεῖ καθήμενοι, καὶ διαλογιζόμενοι ἐν ταῖς καρδίαις αὐτῶν· Τί οὗτος οὕτω λαλεῖ βλασφημίας; τίς δύναται ἀφιέναι ἁμαρτίας, εἰ μὴ εἷς ὁ θεός;* Ἐσκανδαλίζοντο δὲ ὑπὸ φθόνου καὶ πονηρίας. Καὶ γὰρ πολλάκις αὐτὸν εἶδον ἐξουσιαστικῶς καὶ νόσους φυγαδεύοντα, καὶ δαίμονας ἀπελαύνοντα, καὶ ἀνέμοις καὶ θαλάσσῃ ἐπιτιμῶντα, καὶ πάντα ταῦτα διαπραττόμενον ὑπὲρ ἄνθρωπον· ἀλλ' αὐτοὶ τὰ ἴδια πάθη ἐκδικοῦντες, ἐδόκουν τὸν θεὸν ἐκδικεῖν.

(α) Ἰωάν. Ε', 14.
(β) Μαρκ. Β', 6. 7.

4 **Καὶ ἰδὼν ὁ Ἰησοῦς τὰς ἐνθυμήσεις αὐτῶν, εἶπεν· Ἱνατί ὑμεῖς ἐνθυμεῖσθε πονηρὰ ἐν ταῖς καρδίαις ὑμῶν;**

Ενταῦθα καὶ ἕτερον ἀναντίῤῥητον σημεῖον τῆς ἑαυτοῦ θεότητος δείκνυσι, καὶ τῆς πρὸς τὸν πατέρα ἰσότητος, τὸ γινώσκειν τοὺς διαλογισμοὺς τῶν καρδιῶν αὐτῶν, ὅπερ ὁμοίως ἦν μόνου θεοῦ. Γέγραπτε γάρ· *Σὺ* (α) *ἐπίστασαι καρδίας μονώτατος·* καὶ πάλιν· *Ἐτάζων* (β) *καρδίας καὶ νεφροὺς ὁ θεός·* καὶ αὖθις· *Ανθρωπος* (γ) *ὄψεται εἰς πρόσωπον· ὁ δὲ θεὸς ὄψεται εἰς καρδίαν.* Ἐπεὶ γὰρ ἐκεῖνο, ὡς φανὲν αὐτοῖς ἀδύνατον, οὐκ ἐδέξαντο, ἐπάγει τοῦτο λοιπὸν, ὡς ἀναμφίβολον· διὰ τούτου κἀκεῖνο βεβαιῶν, καὶ τρόπον τινὰ λέγων, Ὅτι ὄντως οὐδεὶς δύναται ἀφιέναι ἁμαρτίας, εἰ μὴ εἷς, ὁ βλέπων τὰς ἐνθυμήσεις τῶν ἀνθρώπων.

5 **Τί γάρ ἐστιν εὐκοπώτερον; εἰπεῖν· Ἀφέωνταί σοι αἱ ἁμαρτίαι; ἢ εἰπεῖν· Εγειραι καὶ περιπάτει;**

Επεὶ βλάσφημος ὑμῖν δοκῶ, φησὶν, ὡς ἀφιεὶς ἁμαρτίας, καὶ ἴσον ἐμαυτὸν τῷ θεῷ ποιῶν, ἀποκρίθητε· Ποῖόν ἐστιν εὐχερέστερον εἰς πρᾶξιν; πότερον τὸ εἰπεῖν τόδε, ἢ τὸ εἰπεῖν τόδε; Ησαν δὲ καὶ ἄμφω τὰ, περὶ ὧν ἠρώτησε, θεῷ μὲν δυνατὰ, ἀνθρώπῳ δὲ ἀδύνατα. Καὶ γὰρ καὶ τὸ ἀφιέναι ἁμαρτίας, θεοῦ μόνου ἦν· ὁμοίως δὲ καὶ τὸ κατ' ἐξουσίαν ἐγεῖραι, καὶ ἀρ-

(α) Β' Παραλ. ς', 30.
(β) Ψαλμ. Ζ', 10.
(γ) Α' Βασιλ. Ις', 7.

τιῶσαι (1) τὸν παράλυτον. Σιγώντων δὲ αὐτῶν, διὰ τὸ μηδέτερον ἔχειν εἰπεῖν εὐχερέστερον ἑτέρου, φησὶν αὐτός·

6 Ἵνα δὲ εἰδῆτε, ὅτι ἐξουσίαν ἔχει ὁ υἱὸς τοῦ ἀνθρώ-
που ἐπὶ τῆς γῆς ἀφιέναι ἁμαρτίας·

Ἐλλειπτικόν ἐστι τουτὶ τὸ σχῆμα τοῦ λόγου. Λείπει γὰρ τὸ, *θεωρήσατε*. Ἵνα δέ, φησι, γνῶτε, ὅτι ὁ φαινόμενος ὑμῖν ἄνθρωπος, ἐξουσίαν ἔχει, ὡς θεὸς, βλέψατε. Τὸ δὲ, *ἐπὶ τῆς γῆς*, ἁπλῶς πρόσκειται, ἢ ἀντὶ τοῦ, ἐπὶ τῆς ἐν γῇ πολιτείας αὐτοῦ. Ἔλεγε δὲ τοῦτο περὶ ἑαυτοῦ.

6 (Τότε λέγει τῷ παραλυτικῷ·) Ἐγερθεὶς ἆρόν σου
7 τὴν κλίνην, καὶ ὕπαγε εἰς τὸν οἶκόν σου. Καὶ ἐ-
γερθεὶς, ἀπῆλθεν εἰς τὸν οἶκον αὐτοῦ.

Ἐπειδὴ τὸ μὲν ἀφιέναι ἁμαρτίας, ἀφανῆ τὴν ἀπόδειξιν εἶχε· τὸ δὲ κατ' ἐξουσίαν ἐγεῖραι τὸν παράλυτον, φανερᾶς ἐδεῖτο τῆς ἀποδείξεως· ποιεῖται τὴν φανερὰν τεκμήριον τῆς ἀφανοῦς, καὶ διὰ ταύτης καὶ περὶ ἐκείνης πληροφορεῖ, ὅτι ὁ τοῦτο δυνηθεὶς, δύναται κἀκεῖνο. Πρὸς βεβαίωσιν δὲ τῆς συσφίγξεως τοῦ παρειμένου σώματος, ἐκέλευσεν ἆραι τὸν κράββατον, ἵνα μὴ δόξῃ φαντασία τις τὸ γεγενημένον. Ἀποστέλλει δὲ αὐτὸν εἰς τὸν οἶκον αὐτοῦ· τοῦτο μὲν, ἵνα μὴ παρὼν καὶ ὁρώμενος ἔπαινον αὐτῷ προξενήσῃ· τοῦτο δὲ καὶ, ἵνα σχῇ μάρτυρας τῆς ὑγείας ἀναντιῤῥήτους, αὐτοὺς τοὺς ἀπαραγράπτους καὶ τῆς νόσου μάρτυρας (2), καὶ ἵνα τούτοις ἀφορμὴ γένηται πίστεως.

8 Ἰδόντες δὲ οἱ ὄχλοι ἐθαύμασαν, καὶ ἐδόξασαν τὸν

(1) Ἀρτιμελῆ ποιῆσαι, συσφίγξαι.
(2) τ. ε. τοὺς οἰκείους καὶ συγγενεῖς.

θεὸν, τὸν δόντα ἐξουσίαν τοιαύτην τοῖς ἀνθρώποις.

Ἐθαύμασαν μὲν, ὅτι ὡς θεὸς ἐθαυματούργησεν· ὅμως ἄνθρωπον αὐτὸν εἶναι ὑπελάμβανον, ἔχοντα ἐξουσίαν ὑπὲρ ἄνθρωπον.

ΚΕΦΑΛΑΙΟΝ ΙΔ'

Περὶ Ματθαίου τοῦ τελώνου.

9 Καὶ παράγων ὁ Ἰησοῦς ἐκεῖθεν, εἶδεν ἄνθρωπον
καθήμενον ἐπὶ τὸ τελώνιον, Ματθαῖον λεγόμενον·
καὶ λέγει αὐτῷ· Ἀκολούθει μοι.

Π*αράγων*, ἀντὶ τοῦ, πορευόμενος. Ὅρα δὲ τὸν εὐαγγελιστὴν, πῶς οὐκ ἐπαισχύνεται τὸν πρότερον ἑαυτοῦ βίον. Ἀλλὰ Μάρκος (α) μὲν καὶ Λουκᾶς, αἰδοῖ τοῦ συμμαθητοῦ, τὸ φανερὸν ὄνομα τούτου παρέδραμον, Λευῒν τοῦτον ὀνομάσαντες· ἐκαλεῖτο γὰρ καὶ τοῦτο· αὐτὸς δὲ φανερῶς τελώνην ἑαυτὸν ἀνομολογεῖ· διότι οὐδ' ὁ Χριστὸς ἐπῃσχύνθη τοῦτον. Ἅμα δὲ καὶ δείκνυσιν ἐντεῦθεν τὴν δύναμιν τοῦ καλέσαντος αὐτὸν εἰς μαθητείαν, πῶς ἀνέσπασε τοῦτον εὐχερῶς ἐκ μέσου τοῦ τελωνίου, σφόδρα φιλοκερδοῦς καὶ ἀναιδεστάτης καπηλείας. *Τελώνιον* γὰρ λέγει τὸ τοῦ κομμερκιαρίου πραιτώριον. Δείξας δὲ πρότερον ὁ Χριστὸς, ὅτι δύναται ἀφιέναι ἁμαρτίας, τότε καὶ ἐπὶ τὸν τελώνην ἔρχεται, ἵνα μὴ θορυβῶνταί τινες, βλέποντες αὐτὸν τοῖς μαθηταῖς ἐναρίθμιον· ἀλλ' ἵνα λογίζωνται, ὅτι ὁ ἑτέρων ἁμαρτήματα λύων, πολλῷ μᾶλλον ἔλυσε τὰ τοῦ μαθητοῦ.

[Ὡς (1) περὶ ἑτέρου δὲ τὰ περὶ ἑαυτοῦ διηγεῖται, στέργων τὸ ἀκόμπαστον. Μέγα γὰρ ἐποίησεν, εὐθὺς ἀκολουθήσας αὐτῷ.]

(α) Μαρκ. Β', 14. Λουκ. Ε', 27.
(1) Ταῦτα παρ' ἀμφοτέροις τοῖς χειρογράφοις ἐν τῷ περισελιδίῳ.

9 Καὶ ἀναστὰς, ἠκολούθησεν αὐτῷ.

Θαύμασον τὴν τελείαν τοῦ κληθέντος ὑπακοὴν, πῶς οὐ διεσκέψατο, πῶς οὐκ ἀνεκοινώσατο περὶ τούτου φίλοις, πῶς οὐ διῴκησε τὰ κατὰ τὸν οἶκον καὶ τὴν οὐσίαν· ἀλλ' εὐθέως ἀναστὰς ἠκολούθησε, πάντα μὲν τὸν κόσμον ἀπολιπὼν, μόνην δὲ τὴν γνώμην ἐπαγόμενος παρεσκευασμένην πρὸς τὰ κελευόμενα παρὰ τοῦ καλέσαντος, ὃν τρόπον καὶ οἱ προσκληθέντες.

Ἀλλὰ τίνος ἕνεκεν περὶ Πέτρου μὲν καὶ Ἀνδρέου καὶ Ἰακώβου καὶ Ἰωάννου καὶ Ματθαίου, οὐ μόνον αὐτὸς ὁ Ματθαῖος, ἀλλὰ καὶ Μάρκος καὶ Λουκᾶς ἔγραψαν, πῶς καὶ τίνα τρόπον ἐκλήθησαν· περὶ δὲ τῶν ἄλλων μαθητῶν οὐδὲν τοιοῦτον ἐδίδαξαν; Διότι μάλιστα τῶν ἄλλων οὗτοι ἦσαν ἐν ἀποβλήτοις ἐπιτηδεύμασιν. Οὔτε γὰρ τελώνου τι χεῖρον, οὔτε ἁλιέως εὐτελέστερον. Διὸ καὶ μᾶλλον οἱ εὐαγγελισταὶ τὸ ἀξιόπιστον ἐν ἅπασιν ἔχουσιν, ὅτι οὐδὲ τὰ δοκοῦντα φέρειν τοῖς μαθηταῖς ὄνειδος παρελίμπανον. Καὶ οὐκ ἐπὶ τῶν μαθητῶν μόνον, ἀλλὰ καὶ ἐπὶ τοῦ διδασκάλου τοῦτο ποιοῦσιν. Αὐτίκα γοῦν πολλὰ μὲν τῶν θαυμάτων αὐτοῦ παρέδραμον, οὐδὲν δὲ τῶν παθημάτων αὐτοῦ παρέλιπον, δεικνῦντες περὶ μὲν τῶν μαθητῶν, ὁποῖοι ὄντες, ὁποίας χάριτος ἠξιώθησαν, περὶ δὲ τοῦ διδασκάλου, ὁποῖος ὢν, ὁποῖα πέπονθε δι' ἡμᾶς.

10 Καὶ ἐγένετο, αὐτοῦ ἀνακειμένου ἐν τῇ οἰκίᾳ, καὶ ἰδοὺ, πολλοὶ τελῶναι καὶ ἁμαρτωλοὶ ἐλθόντες, συνανέκειντο τῷ Ἰησοῦ καὶ τοῖς μαθηταῖς αὐτοῦ.

Ἰδὼν ὁ Χριστὸς τὴν εἰλικρινεστάτην ὑπακοὴν τούτου καὶ προθυμίαν, ἐπὶ τὴν οἰκίαν αὐτοῦ παραγίνεται, τιμῶν τε αὐτὸν καὶ οἰκειούμενος, καὶ παῤῥησίας μεταδιδοὺς, καὶ ἵνα καὶ τοῖς ἐκεῖ παράσχῃ τινὰ διόρθωσιν· αὐτὸς δὲ, τοιούτου τυχὼν ἀγαθοῦ, φιλοτιμότερον διεγείρεται, καὶ, καθὼς φησιν ὁ Λουκᾶς,

ἐποίησε (α) δοχὴν μεγάλην αὐτῷ ἐν τῇ οἰκίᾳ αὐτοῦ, τουτέστιν, ὑποδοχὴν, θεραπείαν, ἑστίασιν.

Τελώνας δὲ καὶ ἁμαρτωλοὺς, τοὺς αὐτοὺς λέγει, πρὸς διασυρμὸν αὐτῶν· διεβέβληντο γὰρ, ὡς ἄδικοι καὶ πλεονέκται καὶ ἅρπαγες καὶ ἀσυμπαθεῖς καὶ ἀναιδεῖς· ἢ καὶ ἄλλοι τινὲς ἦσαν, ἴσως ἕτερα μὲν ἐπιτηδεύματα ἔχοντες, τοῖς αὐτοῖς δὲ πάθεσιν ἐνεχόμενοι. Τῷ γὰρ ὁμοίῳ χαίρει τὸ ὅμοιον.

Παρέλαβε γαρ καὶ τούτους εἰς ἑστίασιν ὁ Ματθαῖος, κοινωνήσοντας αὐτῷ τῆς χαρᾶς, ὡς ὁμοτέχνους καὶ συνήθεις. Ὁ δὲ Χριστὸς ἠνέσχετο καὶ ἀναπεσεῖν καὶ συναναπεσεῖν τοιούτοις, διὰ τὴν μέλλουσαν γενέσθαι τοῖς συνανακειμένοις ὠφέλειαν· καὶ μετέσχε τῶν ἐξ ἀδικίας παρατεθέντων αὐτοῖς· διότι μέγα κέρδος ἐντεῦθεν ἔμελλεν ἔσεσθαι· καὶ οὐκ ἐφρόντισε τῆς παρὰ τῶν πολλῶν μέμψεως, εἰδὼς, ὅτι ὁ ἰατρὸς, ἐὰν μὴ ἀνάσχηται σηπεδόνος, οὐκ ἀπαλλάττει ταύτης τοὺς κάμνοντας· καίτοι σαφῶς ἐγίνωσκεν, ὅτι πονηρὰν ἐντεῦθεν ὑπόληψιν λήψεται, διότι τε πρὸς εὐωχίαν ἦλθε, καὶ διότι πρὸς εὐωχίαν τελώνου, καὶ διότι πολλοῖς τελώναις καὶ ἁμαρτωλοῖς συνανέπεσεν.

Ὅρα γοῦν ὕστερον τοὺς Ἰουδαίους, ὀνειδίζοντας αὐτῷ καὶ λέγοντας· *Ἰδοὺ ἄνθρωπος (β) φάγος καὶ οἰνοπότης, φίλος τελωνῶν καὶ ἁμαρτωλῶν*· ἀλλ' ὅμως ἐκεῖνος ὑπερεώρα τούτων πάντων, ἵνα τὸ σπουδαζόμενον ἀνύσῃ. Καὶ ἵνα μάθῃς, ὅτι συναναπεσὼν αὐτοῖς, μέγιστον ἤνυσεν, ἄκουσον, τί φησι Ζακχαῖος, ὁ τελώνης. Ἐπειδὴ γὰρ ἤκουσε τοῦ Χριστοῦ λέγοντος, ὅτι *Σήμερον ἐν τῷ οἴκῳ σου δεῖ με μεῖναι* (γ), πτερωθεὶς ὑπὸ τῆς χαρᾶς, εἶπεν· *Ἰδοὺ, τὰ ἡμίση τῶν ὑπαρχόντων μοι, Κύριε, δίδωμι πτωχοῖς· καὶ εἴ τινός τι ἐσυκοφάντησα, ἀποδί-*

(α) Λουκ, Ε', 29.
(β) Ματθ. ΙΑ', 19.
(γ) Λουκ. ΙΘ', 5.

μι τετραπλοῦν (α). Εἶπε δὲ πρὸς αὐτὸν ὁ Ἰησοῦς, *Σήμερον σωτηρία τῷ οἴκῳ τούτῳ ἐγένετο* (β).

Καὶ πῶς ὁ Παῦλος λέγει· *Ἐάν τις, ἀδελφὸς ὀνομαζόμενος, ᾖ πόρνος, ἢ πλεονέκτης, τῷ τοιούτῳ μηδὲ συνεσθίειν* (γ); Ὁ Παῦλος οὐ πρὸς διδασκάλους, ἀλλὰ πρὸς ἁπλῶς ἀδελφοὺς τοῦτο παραινεῖ. Ἀλλὰ καὶ περὶ ἀδελφῶν ἐκεῖνος τοῦτο φησίν· οὗτοι δὲ οἱ τελῶναι καὶ ἁμαρτωλοὶ οὔπω γεγόνασιν ἀδελφοί. Ἀλλὰ καί, ὅταν ἐπιμένωσι ταῖς ἁμαρτίαις· οὗτοι δὲ μεταβληθῆναι μᾶλλον ἔμελλον.

11 Καὶ ἰδόντες οἱ Φαρισαῖοι, εἶπον τοῖς μαθηταῖς αὐτοῦ· Διατί μετὰ τῶν τελωνῶν καὶ ἁμαρτωλῶν ἐσθίει ὁ διδάσκαλος ὑμῶν;

Μάρκος (δ) δὲ καὶ Λουκᾶς φασίν, ὅτι καὶ οἱ γραμματεῖς τοῦτο μετὰ τῶν φαρισαίων εἶπον.

Ὅρα δέ, πῶς, ὅτε μὲν οἱ μαθηταὶ δοκοῦσιν ἁμαρτάνειν, τῷ διδασκάλῳ κατ᾽ αὐτῶν λέγουσιν· *Ἰδού, οἱ μαθηταί σου ποιοῦσιν, ὃ οὐκ ἔξεστι ποιεῖν ἐν σαββάτῳ* (ε)· ὅτε δὲ ὁ διδάσκαλος, ὡς καὶ νῦν, παρὰ τοῖς μαθηταῖς διαβάλλουσιν αὐτόν, κακουργοῦντες, ὥστε τὸν χορὸν τῶν μαθητῶν ἀποῤῥῆξαι τοῦ διδασκάλου. Τί οὖν ἡ ἄπειρος σοφία;

12 Ὁ δὲ Ἰησοῦς ἀκούσας, εἶπεν αὐτοῖς· Οὐ χρείαν ἔχουσιν οἱ ἰσχύοντες ἰατροῦ, ἀλλ᾽ οἱ κακῶς ἔχοντες.

Ἀπὸ κοινοῦ παραδείγματος ἐπεστόμισεν αὐτούς, καὶ τὸ ἔγκλημα τοῦτο μᾶλλον εἰς κατόρθωμα περιέτρεψε, δείξας οὐ μόνον

(α) Λουκ· ΙΘ', 8.
(β) Λουκ· ΙΘ, 9.
(γ) Α' Κορ· Ε', 11.
(δ) Μαρκ. Β', 16. Λουκ, Ε', 30.
(ε) Ματθ. ΙΒ', 2.

ἄμεμπτον, ἀλλὰ καὶ μᾶλλον ἐπαινετόν. Εἶτα καὶ ἀπὸ γραφῆς προφητικῆς αὐτοὺς ἔπεισεν εἰπών·

13 Πορευθέντες δὲ μάθετε τί ἐστιν· «Ἔλεον θέλω, καὶ οὐ θυσίαν».

Ὀνειδίζει μὲν αὐτοῖς καὶ ἀμαθίαν τῶν γραφῶν, καταστέλλει δὲ καὶ τὸ φρόνημα τούτων, ἐπαιρομένων ἐπὶ ταῖς θυσίαις. Ὃ δὲ λέγει, τοιοῦτόν ἐστιν· Ὅτι οὐδὲν ἐναντίον τῇ θείᾳ Γραφῇ ποιῶ· καὶ γὰρ ὁ θεὸς εἰπὼν διὰ τοῦ προφήτου, *Ἔλεον* (α) *θέλω, καὶ οὐ θυσίαν*, ἔδειξεν, ὅτι κρείττων θυσίας ἐστὶν ὁ ἔλεος. Διὸ κἀγὼ ἐλεῶν τοὺς νοσοῦντας ἐν ἁμαρτίαις, ἐπιδημῶ τούτοις, ὡς ἰατρός, καὶ συναναστρέφομαι, καὶ παντὶ τρόπῳ θεραπεύω.

13 Οὐ γὰρ ἦλθον καλέσαι δικαίους, ἀλλ᾽ ἁμαρτωλοὺς εἰς μετάνοιαν.

Οὐκ ἦλθον ἐπιστρέψαι δικαίους· αὐτοὶ γὰρ ἑαυτοῖς ἀρκοῦσιν εἰς σωτηρίαν· ἀλλ᾽ ὁμολογῶ, διὰ μόνους τοὺς ἁμαρτωλούς, ἐλθεῖν, δεομένους μετανοίας. Καὶ πῶς ἄρα βδελύξομαι τούτους, δι᾽ οὓς ἐλήλυθα; Φησὶ δὲ ὁ Χρυσόστομος (1), τὸν Χριστὸν τοῦτο κατ᾽ εἰρωνείαν εἰπεῖν, ὅτι *Οὐκ ἦλθον καλέσαι δικαίους*, οἷοί ἐστε ὑμεῖς, οἱ δικαιοῦντες ἑαυτούς.

14 Τότε προσέρχονται αὐτῷ οἱ μαθηταὶ Ἰωάννου, λέγοντες· Διατί ἡμεῖς καὶ οἱ Φαρισαῖοι νηστεύομεν πολλά, οἱ δὲ μαθηταί σου οὐ νηστεύουσι;

Ὁμοίως καὶ τοῦτο Μάρκος (β) καὶ Λουκᾶς, τοὺς γραμματεῖς

(α) Ὠσηὲ ς', 6.
(1) Τομ. Ζ'. Σελ. 351 Α'.
(β) Μαρκ. Β', 18. Λουκ. Ε', 33.

καὶ φαρισαίους εἰπεῖν, λέγουσιν, ὡς εἶναι δῆλον, ὅτι πρῶτον μὲν ἐκεῖνοι τοῦτο εἶπον, εἶτα παρώρμησαν καὶ τοὺς τοῦ Βαπτιστοῦ μαθητὰς, ὡς διακειμένους καὶ αὐτοὺς πρὸς τὸν Χριστὸν ζηλοτύπως. Καὶ ἐπεὶ ὑπὸ τοῦ Σωτῆρος ἐπεστομίσθησαν, μετέστησαν τὴν μέμψιν ἐπὶ τοὺς μαθητὰς αὐτοῦ, καὶ προσελθόντες ἐνεκάλουν κατ' αὐτῶν. Ὃ δὲ ἔλεγον, τοιοῦτον ἦν· Ὅτι εἰ καὶ σὺ, ὡς ἰατρὸς, ταῦτα ποιεῖς, διὰ τί οὐκ ἐπιτάττεις τοῖς μαθηταῖς σου νηστεύειν, καὶ μὴ τρυφᾷν; Ἑαυτοὺς δὲ πρῶτον ἐπαινοῦσι, κομπάζοντες, ὅτι νηστεύομεν πολλά· καὶ γὰρ ἐνήστευον, οἱ μὲν, παρὰ Ἰωάννου τοῦτο μαθόντες, οἱ δὲ, παρὰ τοῦ νόμου· εἶτα τοὺς μαθητὰς αὐτοῦ διασύρουσι. Καὶ ὅρα τὴν ἐπιείκειαν τοῦ Χριστοῦ, πῶς οὐκ ἤλεγξεν αὐτοὺς ἀλαζόνας, ἀλλὰ διὰ παραβολῆς αὐτοῖς ἀπελογήσατο μεθ' ἱλαρότητος.

15 Καὶ εἶπεν αὐτοῖς ὁ Ἰησοῦς· Μὴ δύνανται οἱ υἱοὶ τοῦ νυμφῶνος πενθεῖν, ἐφ' ὅσον μετ' αὐτῶν ἐστιν ὁ νυμφίος;

Ἄνω μὲν ἰατρὸν ἑαυτὸν ὠνόμασεν, ἐνταῦθα δὲ νυμφίον· καὶ εἰκότως· ἰατρὸν μὲν, ὡς καθαίροντα τὰς νοσούσας ψυχάς· νυμφίον δὲ, ὡς μνηστευόμενον ταύτας παρθενευούσας. *Υἱοὺς* δὲ *τοῦ νυμφῶνος* λέγει, τοὺς οἰκείους τῆς νυμφεύσεως. Ταῦτα δὲ εἴρηκεν, ἀναμιμνήσκων αὐτοὺς τῶν ῥημάτων τοῦ Ἰωάννου, φήσαντος, ὅτι *Ὁ ἔχων τὴν νύμφην, νυμφίος ἐστίν· ὁ δὲ φίλος τοῦ νυμφίου, ὁ ἑστηκὼς καὶ ἀκούων αὐτοῦ, χαρᾷ χαίρει διὰ τὴν φωνὴν τοῦ νυμφίου* (α).

Ἔστι δὲ ὁ νοῦς τῶν ῥητῶν τοιοῦτος: Ὅτι παρεγενόμην ἐπὶ τῷ νυμφεύσασθαι καὶ συνάψαι ἐμαυτῷ διὰ πίστεως τὴν ἐκκλησίαν τῶν πιστῶν· ὁ δὲ καιρὸς οὗτος τῆς νυμφεύσεως οὐκ

(α) Ἰωαν. Γ', 29.

ἔστι πένθους καιρὸς, ἀλλὰ χαρᾶς. Καὶ λοιπὸν οὐ δύνανται νηστεύειν οἱ οἰκεῖοι αὐτῆς· θλιβερὸν γὰρ τὸ νηστεύειν τοῖς ἀτελῶς ἔτι διακειμένοις· τούτους δὲ χρὴ χαίρειν, ἕως οὗ εἰμὶ μετ' αὐτῶν, συνόντας μοι, καὶ τῆς φωνῆς μου ἀκούοντας.

15 Ἐλεύσονται δὲ ἡμέραι, ὅταν ἀπαρθῇ ἀπ' αὐτῶν ὁ νυμφίος, καὶ τότε νηστεύσουσιν.

Ἐνταῦθα παρεδήλωσεν, ὅτι ἀναιρεθήσεται μὲν αὐτὸς, αὐτοὶ δὲ μετὰ τοῦτο πολλὰ νηστεύσουσι καὶ κακοπαθήσουσιν.

16 Οὐδεὶς δὲ ἐπιβάλλει ἐπίβλημα ῥάκους ἀγνάφου ἐπὶ ἱματίῳ παλαιῷ·

Δεῖξαι θέλων, ὅτι ὡς ἀσθενέσιν ἔτι τοῖς μαθηταῖς οὐκ ἐπιφορτίζει τὸ βάρος τῆς νηστείας, διὰ παραβολῆς τοῦτο δείκνυσι, λέγων· Οὐδεὶς ἰώμενος ἱματίου παλαιοῦ σαθρότητα, ἐπιῤῥάπτει τεμάχιον ῥάκους *ἀγνάφου*, τουτέστι, καινοῦ, ἐπὶ μέρει παλαιῷ. Εἶτα λέγει καὶ τὴν *αἰτίαν*.

16 Αἴρει γὰρ τὸ πλήρωμα αὐτοῦ ἀπὸ τοῦ ἱματίου, καὶ χεῖρον σχίσμα γίνεται.

Τὸ γὰρ *πλήρωμα αὐτοῦ*, τουτέστιν, ἡ ὁλότης τοῦ ἀγνάφου ῥάκους, ἰσχυρὰ καὶ βαρεῖα οὖσα, *αἴρει* καὶ κατασπᾷ μᾶλλον *ἀπὸ τοῦ ἱματίου*, σαθροῦ τυγχάνοντος, ὅσον ἂν ἐπιλάβῃ· *καὶ γίνεται μεῖζον σχίσμα*. Λοιπὸν οὖν, οὐδὲ ἐγὼ νῦν, ἰώμενος τὴν σαθρότητα τῶν μαθητῶν, ἐπιβάλλω ταύτῃ ἰσχυρότητα καὶ βάρος νηστείας, ἵνα μὴ πλεῖον σαθρωθῇ, μὴ δυναμένη βαστάζειν τὸ ἐπιβληθέν· ἀλλὰ συγκαταβαίνω τῇ ἀσθενείᾳ αὐτῶν, μέχρις ἂν διὰ τοῦ θείου Πνεύματος ἀνακαινισθῶσιν.

17 Οὐδὲ βάλλουσιν οἶνον νέον εἰς ἀσκοὺς παλαιούς·

Καὶ ἑτέραν λαμβάνει παραβολὴν, *οἶνον νέον* λέγων τὴν

αὐστηρίαν καὶ σφοδρότητα τῶν ἐντολῶν· *οἶνον* μὲν, ὡς εὐφραίνουσαν τὰς τῶν τελείων ψυχάς· *νέον* δὲ, ὡς ἀσυνήθη τοῖς ἀγυμνάστοις. Καὶ πάλιν, *ἀσκοὺς παλαιοὺς* ὀνομάζων τοὺς μαθητάς· *ἀσκοὺς* μὲν, ὡς χωροῦντας διδασκαλίαν· *παλαιοὺς* δὲ, ὡς ἀσθενεῖς.

17 Εἰ δὲ μήγε, ῥήγνυνται οἱ ἀσκοὶ, καὶ ὁ οἶνος ἐκχεῖται, καὶ οἱ ἀσκοὶ ἀπολοῦνται·

Ῥήγνυνται οἱ ἀσκοὶ, εἶτουν, παραλύονται, μὴ δυνάμενοι φέρειν τὴν ἰσχὺν τοῦ νέου οἴνου, *καὶ ὁ οἶνος ἐκχεῖται*, μὴ κατασχεθεὶς, *καὶ οἱ ἀσκοὶ ἀπολοῦνται*, ἄχρηστοι τοῦ λοιποῦ γενόμενοι.

17 Ἀλλὰ βάλλουσιν οἶνον νέον εἰς ἀσκοὺς καινοὺς, καὶ ἀμφότερα συντηροῦνται.

Χρὴ γὰρ τὸν ἄριστον οἰκονόμον διακρίνειν καὶ τὴν φύσιν τοῦ οἴνου, καὶ τὴν δύναμιν τῶν ἀσκῶν, καὶ τὸν καιρόν. Νῦν γὰρ ἔτι παλαιοὶ εἰσὶν οἱ μαθηταὶ, μήπω ἀνακαινισθέντες. Καὶ ἀλλαχοῦ δὲ πρὸς αὐτοὺς εἶπε· *Πολλὰ ἔχω λέγειν ὑμῖν, ἀλλ᾽ οὐ δύνασθε βαστάζειν ἄρτι* (α). *Ἀμφότεροι* δὲ, φησι, *συντηροῦνται*, ὁ οἶνος δηλαδὴ, καὶ ὁ ἀσκὸς, ὁ μὲν βασταζόμενος, ὁ δὲ βαστάζων.

ΚΕΦΑΛΑΙΟΝ ΙΕ΄.

Περὶ τῆς θυγατρὸς τοῦ ἀρχισυναγώγου.

18 Ταῦτα αὐτοῦ λαλοῦντος αὐτοῖς, ἰδοὺ, ἄρχων εἷς ἐλθὼν προσεκύνει αὐτῷ λέγων· Ὅτι ἡ θυγάτηρ μου ἄρτι

(α) Ἰωάν. Ιϛ΄, 12.

ἐτελεύτησεν· ἀλλὰ ἐλθὼν, ἐπίθες τὴν χεῖρά σου ἐπ᾽ αὐτὴν, καὶ ζήσεται.

Οὗτος ἄρχων ἦν τῆς συναγωγῆς τῶν Ἰουδαίων, Ἰάειρος ὀνομαζόμενος, ὡς λέγουσι (α) Μάρκος καὶ Λουκᾶς. Ἐκπνέουσαν δὲ τὴν ἑαυτοῦ θυγατέρα κατέλιπε. Καὶ γὰρ Μάρκος μὲν φησι, τοῦτο εἰπεῖν, ὅτι (β) *Τὸ θυγάτριόν μου ἐσχάτως ἔχει·* Λουκᾶς δὲ, ὅτι *Καὶ* (γ) *αὕτη ἀπέθνησκεν.* Ὥστε τὸ, *Ἄρτι τέθνηκε*, στοχαζόμενος εἶπεν· ὑπέλαβε γὰρ, ὅτι μέχρι τότε πάντως ἂν ἀπέθανεν. Εἰκὸς δὲ, πρῶτον μὲν εἰπεῖν, ὅτι *ἐσχάτως ἔχει·* εἶτα, ὅτι *ἄρτι τέθνηκεν*, εἶτουν, ἕως ἄρτι. Δύο δὲ ἐζήτησεν, ἐλθεῖν τε, καὶ ἐπιθεῖναι τὴν χεῖρα, παχύτερον διακείμενος.

[Ἡ (1) τοῦ Ἰαείρου θυγάτηρ αἰνίσσεται τὴν ἑκάστου ψυχὴν, ἀποθανοῦσαν τῇ ἀπραξίᾳ τῶν νομικῶν ἐντολῶν, καὶ τῇ ἀνενεργησίᾳ τῶν θείων προσταγμάτων.]

19 Καὶ ἐγερθεὶς ὁ Ἰησοῦς ἠκολούθησεν αὐτῷ, καὶ οἱ μαθηταὶ αὐτοῦ.

Μάρκος δὲ καὶ Λουκᾶς φασὶν (δ), ὅτι καὶ ὄχλος πολὺς ἠκολούθησε. Καὶ γὰρ οἱ πλείους αὐτῶν σωματικώτερον ζῶντες, οὐχ οὕτω ψυχῆς ὠφέλειαν, ὡς σώματος ἰατρείαν ἐπεθύμουν ἰδεῖν.

(α) Μαρκ. Ε΄, 22. Λουκ. Η΄, 41.
(β) Μαρκ. Ε΄, 23.
(γ) Λουκ. Η΄, 42.
(1) Ταῦτα παρ᾽ ἀμφοτέροις τοῖς χειρογράφοις ἐν τῷ περιθωρίῳ.
(δ) Μαρκ. Ε΄, 24. Λουκ. Η΄, 42.

ΚΕΦΑΛΑΙΟΝ ΙϚ'.

Περὶ τῆς αἱμοῤῥοούσης.

20 Καὶ, ἰδοὺ, γυνὴ αἱμοῤῥοοῦσα δώδεκα ἔτη, προσ-
ελθοῦσα ὄπισθεν, ἥψατο τοῦ κρασπέδου τοῦ ἱματίου
αὐτοῦ.

Περὶ τοῦ παρόντος κεφαλαίου πλατύτερον καὶ φανερώτερον ἔγραψεν ὁ Λουκᾶς (α), καὶ ζήτησον παρ' ἐκείνῳ τὴν ἐξήγησιν τοῦ εἰκοστοῦ ἕκτου κεφαλαίου. *Κράσπεδον* δέ ἐστι τὸ ἄκρον τοῦ ἱματίου, ὃ παρὰ τοῖς ποσὶν εἰλούμενον ἐφάπτεται τῆς γῆς ἐν τῷ βαδίζειν.

21 Ἔλεγε γὰρ ἐν ἑαυτῇ· Ἐὰν μόνον ἅψωμαι τοῦ
ἱματίου αὐτοῦ, σωθήσομαι.

Πολλὴν μὲν εἶχε πίστιν· ἐπίστευε γὰρ, ὅτι μόνον *ἁψαμένη τοῦ κρασπέδου τοῦ ἱματίου αὐτοῦ σωθήσεται*, τουτέστιν, ὑγιανεῖ· πλὴν ἀτελῆ ταύτην εἶχεν. Ὤετο γὰρ λαθεῖν αὐτὸν, ὃς βλέπει καὶ τὰ ἀφανῆ κινήματα τῆς ψυχῆς.

22 Ὁ δὲ Ἰησοῦς ἐπιστραφεὶς, καὶ ἰδὼν αὐτὴν, εἶπε·
Θάρσει, θύγατερ· ἡ πίστις σου σέσωκέ σε.

Ὡς φιλοσύντομος ὁ Ματθαῖος, τὰ ἐν τῷ μέσῳ παρέδραμε, μόνον ἀπαγγείλας τὸ θαῦμα· ὁ δὲ Λουκᾶς ἅπαντα παρέθηκε δι' ἀκρίβειαν, καὶ εὑρήσεις ταῦτα ἐν τῷ δηλωθέντι κεφαλαίῳ.

22 Καὶ ἐσώθη ἡ γυνὴ ἀπὸ τῆς ὥρας ἐκείνης.

Ἐσώθη, ἀντὶ τοῦ, ὑγίανεν. *Ἰάθη* γὰρ εἶπεν ὁ Λουκᾶς (β).

(α) Λουκ. Η', 43 καὶ ἑξῆς.
(β) Λουκ. Η', 47.

Ἀπὸ τῆς ὥρας δὲ, οὐκ ἀφ' ἧς ὁ Χριστὸς εἶπεν αὐτῇ τὸ, *Θάρσει, θύγατερ*, ἀλλ' ἀφ' ἧς ἥψατο τοῦ κρασπέδου, καθὼς Μάρκος τε καὶ Λουκᾶς ἱστόρησαν (α).

23 Καὶ ἐλθὼν ὁ Ἰησοῦς εἰς τὴν οἰκίαν τοῦ ἄρχοντος,
καὶ ἰδὼν τοὺς αὐλητὰς, καὶ τὸν ὄχλον θορυβούμενον,
24 λέγει αὐτοῖς· Ἀναχωρεῖτε· οὐ γὰρ ἀπέθανε τὸ
κοράσιον, ἀλλὰ καθεύδει. Καὶ κατεγέλων αὐτοῦ.

Ἔθος γὰρ ἦν ἐν ταῖς τοιαύταις συμφοραῖς αὐλητὰς εἰσάγειν, θρῆνον ἐγείροντας. Τοῦτο δὲ τὸ κεφάλαιον πλατύτερον ὁ Μάρκος (β) ἀνέγραψε, καὶ ζήτησον παρ' αὐτῷ τὴν ἐξήγησιν τοῦ τρισκαιδεκάτου κεφαλαίου.

25 Ὅτε δὲ ἐξεβλήθη ὁ ὄχλος, εἰσελθὼν ἐκράτησε τῆς
26 χειρὸς αὐτῆς· καὶ ἠγέρθη τὸ κοράσιον. Καὶ ἐξῆλ-
θεν ἡ φήμη αὕτη εἰς ὅλην τὴν γῆν ἐκείνην.

Περὶ τούτων πάντων εὑρήσεις ἀπαραλείπτως ἐν τῷ ῥηθέντι τρισκαιδεκάτῳ κεφαλαίῳ.

ΚΕΦΑΛΑΙΟΝ ΙΖ'.

Περὶ τῶν δύο τυφλῶν.

27 Καὶ παράγοντι ἐκεῖθεν τῷ Ἰησοῦ, ἠκολούθησαν
αὐτῷ δύο τυφλοὶ, κράζοντες καὶ λέγοντες· Ἐλέη-
σον ἡμᾶς, υἱὲ Δαυΐδ.

Μαθόντες, περὶ ὧν ἐθαυματούργει, καὶ πιστεύσαντες, αὐτὸν

(α) Μαρκ. Ε', 29. Λουκ. Η', 44.
(β) Μάρκ. Ε', 35 καὶ ἑξῆς.

εἶναι τὸν προσδοκώμενον Χριστὸν, περὶ οὗ πολλάκις ἤκουσαν, ἔρχονται καὶ ἀκολουθοῦσι κράζοντες, *Ἐλέησον*, ἤγουν, ἴασαι. Υἱὸν δὲ τοῦ Δαυὶδ τοῦτον λέγουσιν, ὡς ἀκηκοότες ὁμοίως ἐκ γένους Δαυὶδ ἀναβλαστήσειν αὐτόν. Εἰς τιμὴν δὲ αὐτοῦ τοῦτο κράζουσιν· ἐντιμοτάτη γὰρ παρ' Ἰουδαίοις ἦν ἡ τοιαύτη προσηγορία. Καὶ γὰρ, ὅτι μὲν πάντα δύναται, ἐπίστευον· ὅτι δὲ καὶ θεός ἐστιν, οὔπω πεπληροφόρηντο. Διὸ καὶ ἀνθρωποπρεπῶς αὐτὸν ἐτίμων, ὡς καὶ ἄλλοι πολλοί.

28 Ἐλθόντι δὲ εἰς τὴν οἰκίαν, προσῆλθον αὐτῷ οἱ τυφλοί.

Παρείλκυσεν αὐτοὺς ἄχρι τῆς οἰκίας, ἵνα μὴ δόξῃ τοῖς μεμψιμοίροις ἐπιπηδᾷν ταῖς θαυματουργίαις, ὡς φιλόδοξος. Πάντα γὰρ σοφῶς οἰκονομεῖ, περιαιρῶν πᾶσαν ἀφορμὴν μέμψεως. Εἰκὸς δὲ, πιστοῦ τινος εἶναι τὴν οἰκίαν, εἰς ἣν κατήχθη.

28 Καὶ λέγει αὐτοῖς ὁ Ἰησοῦς· Πιστεύετε, ὅτι δύναμαι τοῦτο ποιῆσαι;

Δηλαδὴ, ὃ αἰτεῖσθε. Ἐγίνωσκε μὲν γὰρ, ὅτι πιστεύουσιν, ὅτι δύναται· πῶς γὰρ ἂν ἀκολουθοῦντες παρεκάλουν; Ἐρωτᾷ δὲ ὅμως, ἵνα φανερωθῇ καὶ τούτων ἡ πίστις, καὶ ἑλκυσθῶσι διὰ τούτων καὶ ἕτεροι. Τὰ θαύματα γὰρ οὐ μόνον διὰ τοὺς θεραπευομένους, ἀλλὰ καὶ μάλιστα διὰ τοὺς ὁρῶντας καὶ τοὺς ἀκούοντας εἰργάζετο.

28 Λέγουσιν αὐτῷ· Ναὶ, Κύριε.

Οὐκ ἔτι τοῦτον υἱὸν τοῦ Δαυὶδ, ἀλλὰ δεσπότην ἀνακηρύττουσιν, ὑπὸ τῆς ἐρωτήσεως αὐτοῦ πτερωθέντες εἰς ὕψος πίστεως.

29 Τότε ἥψατο τῶν ὀφθαλμῶν αὐτῶν, λέγων· Κατὰ

30 τὴν πίστιν ὑμῶν γενηθήτω ὑμῖν. Καὶ ἀνεῴχθησαν αὐτῶν οἱ ὀφθαλμοί.

Τῇ πίστει τούτων τὴν θεραπείαν ἀνατίθησιν, ὅπερ εἴωθε πολλαχοῦ ποιεῖν, διερεθίζων, ὡς εἴρηται, καὶ τοὺς ἄλλους εἰς πίστιν. Ἅπτεται δὲ καὶ τῇ χειρὶ, δεικνύων, ὅτι καὶ ἡ παναγία αὐτοῦ σὰρξ ζωῆς μεταδίδωσι. Μεγάλη δὲ κατηγορία τῶν Ἰουδαίων, ὅτι τυφλοὶ μὲν, ἐξ ἀκοῆς μόνης ἐπίστευσαν, αὐτοὶ δὲ, καὶ τὰ θαύματα βλέποντες, ἠπίστουν.

30 Καὶ ἐνεβριμήσατο αὐτοῖς ὁ Ἰησοῦς, λέγων· Ὁρᾶτε, μηδεὶς γινωσκέτω.

Ἐνεβριμήσατο, ἀντὶ τοῦ, αὐστηρῶς ἐνέβλεψε, συνελκύσας τὰς ὀφρῦς, καὶ ἐπισείσας αὐτοῖς τὴν κεφαλὴν, ὅπερ εἰώθασι ποιεῖν οἱ ἐξασφαλιζόμενοί τινας περὶ φυλακῆς μυστηρίων.

31 Οἱ δὲ ἐξελθόντες διεφήμισαν αὐτὸν ἐν ὅλῃ τῇ γῇ ἐκείνῃ.

Καὶ ἐν τῷ ἕκτῳ κεφαλαίῳ, καθαρίσας τὸν λεπρὸν, παρήγγειλεν αὐτῷ (α) σιγᾷν, καὶ ζήτησον ἐν τῇ ἐξηγήσει αὐτοῦ τὴν αἰτίαν, δι' ἣν σιγᾷν ἐπιτάττει, καὶ πῶς ὅλως ἐπιτάττει, γινώσκων, ὅτι οὐ σιγήσει, καὶ τὴν λύσιν ἐκείνην ἐπὶ πάντων ἔχε τῶν ὁμοίων.

(α) Ματθ. Η', 4.

ΚΕΦΑΛΑΙΟΝ ΙΗ'.

Περὶ τοῦ δαιμονιζομένου κωφοῦ.

32 Αὐτῶν δὲ ἐξερχομένων, ἰδοὺ, προσήνεγκαν αὐτῷ ἄνθρωπον κωφὸν, δαιμονιζόμενον.

Κ*ωφὸν* νῦν λέγει, τὸν ἄλαλον. Λέγεται γὰρ *κωφὸς*, οὐ μόνον ὁ μὴ ἀκούων, ἀλλὰ καὶ ὁ μὴ λαλῶν.

33 Καὶ ἐκβληθέντος τοῦ δαιμονίου, ἐλάλησεν ὁ κωφός.

Οὐκ ἦν ἐκ φύσεως ἄλαλος, ἀλλ' ὁ δαίμων ἔδησε τὴν γλῶσσαν αὐτοῦ, καὶ πρὸ ταύτης τὴν ψυχήν. Διὰ τοῦτο γὰρ καὶ ὑφ' ἑτέρων προσάγεται, καὶ οὐκ ἀπαιτεῖται πίστιν. Οὔτε γὰρ λαλῆσαι, οὔτε συνιέναι ἐδύνατο· καὶ τοῦτο γινώσκων ὁ Σωτὴρ, ἐξέβαλεν αὐτίκα τὸν δαίμονα· καὶ ἀπελαθέντος, ἐλύθη μὲν τὰ δεσμὰ, συνῆκε δὲ, καὶ ἐλάλησεν ὁ ἄνθρωπος.

33 Καὶ ἐθαύμασαν οἱ ὄχλοι, λέγοντες· Οὐδέποτε ἐφάνη οὕτως ἐν τῷ Ἰσραήλ!

Ο*ὐδέποτε ἐφάνη οὕτως*, ἀντὶ τοῦ, Οὐδέποτε ἐφάνη τοιαῦτα παράδοξα. Πάντων δὲ τῶν ἀπ' αἰῶνος θαυματουργησάντων ὑπερετίθουν αὐτόν· διότι πᾶν πάθος ἰᾶτο, καὶ ταχύτατα, καὶ κατ' ἐξουσίαν· καὶ ποτὲ μὲν λέγων, ποτὲ δὲ ἁπτόμενος, ποτὲ δὲ καὶ ἁπτόμενος καὶ λέγων, καὶ ἁπλῶς εἰπεῖν, ὡς ἐβούλετο, διὰ πάντων δεικνὺς τὸ ἑαυτοῦ παντοδύναμον.

34 Οἱ δὲ Φαρισαῖοι ἔλεγον· Ἐν τῷ ἄρχοντι τῶν δαιμονίων ἐκβάλλει τὰ δαιμόνια.

Οἱ ὄχλοι μὲν ἐθαύμαζον· οἱ φαρισαῖοι δὲ διέβαλλον αὐτὸν,

λέγοντες, ὅτι φίλον ἔχων τὸν ἄρχοντα τῶν δαιμονίων, δι' ἐκείνου ταῦτα διώκει. Καὶ οὐδ' ᾐσχύνοντο, φλυαροῦντες εὐέλεγκτα. Καὶ γὰρ ὁ τὸν ἄρχοντα τῶν δαιμονίων φίλον ἔχων, φίλα ἐκείνῳ διαπράττεται· φίλον δὲ τῷ δαίμονι, τὸ βλάπτειν ἀεὶ τοὺς ἀνθρώπους, τὸ διδάσκειν πᾶσαν ἁμαρτίαν, τὸ ἀφιστᾷν πάντας ἀπὸ τοῦ θεοῦ· ὁ δὲ Χριστὸς τἀναντία τούτων εἰργάζετο, εὐεργετῶν ἀεὶ τοὺς ἀνθρώπους, διδάσκων πᾶσαν ἀρετὴν, προσάγων πάντας τῷ θεῷ. Ὅμως οὐ μόνον τούτους οὐκ ἐκόλασεν, ἀλλ' οὐδ' ἤλεγξεν αὐτοὺς, παιδεύων ἡμᾶς, μακροθύμως φέρειν τὰς διαβολὰς, καὶ μᾶλλον εὖ ποιεῖν τοὺς ὑβρίζοντας. Ὅρα γὰρ, τί ἐποίησε.

35 Καὶ περιῆγεν ὁ Ἰησοῦς τὰς πόλεις πάσας καὶ τὰς κώμας, διδάσκων ἐν ταῖς συναγωγαῖς αὐτῶν, καὶ κηρύσσων τὸ εὐαγγέλιον τῆς βασιλείας, καὶ θεραπεύων πᾶσαν νόσον καὶ πᾶσαν μαλακίαν ἐν τῷ λαῷ.

Ταῦτα καὶ ἐν ἀρχῇ τοῦ τετάρτου κεφαλαίου (α) εἴρηκεν ὁ παρὼν εὐαγγελιστὴς, καὶ ἡρμηνεύθησαν ἐν ἐκείνῳ. Ζήτησον δὲ καὶ παρὰ τῷ Μάρκῳ (β) τὸ τέλος τοῦ τρίτου κεφαλαίου αὐτοῦ, καὶ εὑρήσεις διαφορὰν πόλεως καὶ κώμης ἐν τῇ ἐκείνου ἐξηγήσει. Περιήρχετο δὲ τὰς πόλεις πάσας καὶ τὰς κώμας τῶν Ἰουδαίων, ἵνα μηδεὶς αὐτῶν ἔχοι λέγειν, ὅτι πρὸς ἡμᾶς οὐκ ἦλθεν.

36 Ἰδὼν δὲ τοὺς ὄχλους, εὐσπλαγχνίσθη περὶ αὐτῶν, ὅτι ἦσαν ἐσκυλμένοι καὶ ἐῤῥιμμένοι, ὡσεὶ πρόβατα μὴ ἔχοντα ποιμένα.

Ε*σκυλμένοι* μὲν, ἀντὶ τοῦ, ἀνεπίστρεπτοι, διὰ τὸ μὴ ἔχειν

(α) Ματθ. Δ', 17.
(β) Μαρκ. Α', 38.

τὸν ἐπιστρέφοντα· *ἐῤῥιμμένοι* δὲ, ἀντὶ τοῦ, ἠμελημένοι τέλεον, δίκην ἀποιμάντων προβάτων· ὧν τὰ μὲν ἔσκυλται, ἤγουν πεπλάνηνται τῇδε κἀκεῖσε· τὰ δὲ ἔῤῥιπται, ἤτοι καταβέβληνται, διὰ τὸ μὴ ἔχειν τὸν ἐπιμελόμενον. Οἱ γὰρ τῶν Ἰουδαίων ἄρχοντες οὐ μόνον οὐκ ἐπέστρεφον τοὺς ἁμαρτάνοντας, οὐδ᾽ ἐπεμελοῦντο τῶν κατεῤῥαγμένων, ἀλλὰ μᾶλλον αὐτοὶ χεῖρον τοῦ λαοῦ διέκειντο.

37 Τότε λέγει τοῖς μαθηταῖς αὐτοῦ· Ὁ μὲν θερισμὸς πολὺς, οἱ δὲ ἐργάται ὀλίγοι.

Θερισμὸν μὲν, ἤγουν θέρος, καλεῖ νῦν, τοὺς πιστεῦσαι μέλλοντας, ὡς ἑτοίμους εἰς τὸ συγκομισθῆναι, διὰ τὸ προεγκατασπαρῆναι αὐτοῖς τὴν φήμην τῆς διδασκαλίας καὶ τῶν θαυμάτων αὐτοῦ· *Ἀπῆλθε γὰρ*, φησιν (α), *ἡ ἀκοὴ αὐτοῦ εἰς ὅλην τὴν Συρίαν*· *ἐργάτας* δὲ, ἤτοι θεριστὰς, λέγει τοὺς μαθητὰς αὐτοῦ, οὓς ἐβούλετο πέμψαι πρὸς συγκομιδὴν τῶν τοιούτων ἀσταχύων. Ἵνα γὰρ μὴ, ἐπισυρόμενος τὰ πλήθη, δόξῃ διὰ τοῦτο περιέρχεσθαι τὰς πόλεις καὶ κώμας, ἐκπέμπει τοὺς μαθητὰς ἀνθ᾽ ἑαυτοῦ.

Ἔστι δὲ καὶ ἑτέρως εἰπεῖν, ὅτι θερισμὸν εἴρηκε, δεικνύων τὴν εὐχέρειαν τῆς τοιαύτης διακονίας, ὡς τοῦ μείζονος πόνου προλαβόντος καὶ τελεσθέντος ὑπὸ τῶν προφητῶν, οἳ, καθάπερ τινὰ σπέρματα πίστεως, τοῖς Ἰουδαίοις τὰ περὶ τοῦ Χριστοῦ προκατεβάλλοντο, ὃ καὶ ἐν τῷ Ἰωάννῃ ἔλεγεν· ὅτι *Ἄλλοι κεκοπιάκασι, καὶ ὑμεῖς εἰς τὸν κόπον αὐτῶν εἰσεληλύθατε* (β).

Θερισμὸν δὲ καὶ ἐργάτας νῦν εἰπὼν, ἀνέμνησεν αὐτοὺς καὶ τῶν τοῦ Βαπτιστοῦ ῥημάτων. Καὶ γὰρ ἐκεῖνος, περὶ τοῦ Χρι-

(α) Ματθ. Δ΄, 24.
(β) Ἰωαν. Δ΄, 38.

στοῦ λέγων, γεωργὸν αὐτὸν ᾐνίξατο, προμνημονεύσας (γ) πτύου, καὶ ἅλωνος, καὶ σίτου, καὶ ἀχύρου, ὡς ἐν τῷ τρίτῳ κεφαλαίῳ προείρηται.

38 Δεήθητε οὖν τοῦ κυρίου τοῦ θερισμοῦ, ὅπως ἐκβάλῃ ἐργάτας εἰς τὸν θερισμὸν αὐτοῦ.

Κύριον τοῦ θερισμοῦ, ἑαυτὸν λέγει, ὡς αὐτῷ φυλαττομένου τοῦ τοιούτου θέρους, καὶ πρὸς αὐτὸν συγκομισθῆναι μέλλοντος, καὶ ὡς ἐξουσίαν ἔχων τοῦ θερισθῆναι αὐτό. *Δεήθητε* δὲ εἶπεν, οὐχ ὡς δεόμενος παρακληθῆναι ὑπ᾽ αὐτῶν· τίς γὰρ ἐκείνου φιλανθρωπότερος, ἀλλὰ παιδεύων τοὺς μαθητὰς, ἱκετεύειν τὸν Θεὸν ὑπὲρ τῶν πεπλανημένων.

ΚΕΦΑΛΑΙΟΝ ΙΘ΄.

Περὶ τῆς τῶν ἀποστόλων ἐκλογῆς.

ΚΕΦ. Χ, 1. Καὶ προσκαλεσάμενος τοὺς δώδεκα μαθητὰς αὐτοῦ, ἔδωκεν αὐτοῖς ἐξουσίαν πνευμάτων ἀκαθάρτων, ὥστε ἐκβάλλειν αὐτὰ, καὶ θεραπεύειν πᾶσαν νόσον καὶ πᾶσαν μαλακίαν.

Πῶς οὖν, ὀλίγοις οὖσι τοῖς μαθηταῖς, οὐ προσέθηκε καὶ ἑτέρους; Προσέθηκεν αὐτοῖς, ἀλλ᾽ οὐκ εἰς ἀριθμὸν, ἀλλ᾽ εἰς δύναμιν. *Ἔδωκε γὰρ*, φησιν, *αὐτοῖς ἐξουσίαν*. Ὥστε καὶ *ὀλίγους* (1) εἶπεν αὐτοὺς, οὐ κατ᾽ ἔλλειψιν δυνάμεως, ἀλλὰ κατ᾽

(γ) Ματθ. Γ΄, 12.
(1) Τὸ, ὀλίγοι, δὲν ὑπάρχει ἐν τῷ κειμένῳ· καὶ ὅμως ὄχι μόνον ὁ Εὐθύμιος, ἀλλὰ καὶ ὁ Θεοφύλακτος φέρουσιν αὐτὸ, ὡς ἐν τῷ κειμένῳ ὑπάρχον, εἰς Ματθ. Θ΄, 37, ὡς φαίνεται, ἀφορῶντες.

ἔλλειψιν ἀριθμοῦ. Καὶ τέως αὐτοὺς ἰατροὺς σωμάτων ποιεῖ· μετὰ τοῦτο δὲ καὶ τὸ μεῖζον ἐμπιστεύει, τὴν τῶν ψυχῶν θεραπείαν. Ἐξέβαλλον δὲ τὰ δαιμόνια, καὶ ἰῶντο τὰς νόσους, ἐν τῷ ὀνόματι τοῦ Χριστοῦ.

2 Τῶν δὲ δώδεκα ἀποστόλων τὰ ὀνόματά ἐστι ταῦτα· πρῶτος, Σίμων ὁ λεγόμενος Πέτρος, καὶ Ἀνδρέας ὁ ἀδελφὸς αὐτοῦ·

Ἐπειδὴ περὶ Πέτρου μὲν, καὶ Ἀνδρέου, καὶ Ἰακώβου, καὶ Ἰωάννου, καὶ ἑαυτοῦ προλαβὼν ἐδίδαξεν, ὅτι ἠκολούθησαν τῷ Χριστῷ· περὶ δὲ τῶν ἄλλων οὐδέν τι φανερὸν ἔγραψε· νῦν καταλέγει καὶ τὰ τούτων ὀνόματα, ἵνα τε γνωρίζωμεν αὐτοὺς, καὶ ἵνα διακρίνωμεν τούτους ἀπὸ τῶν ψευδαποστόλων. Ἐγένοντο γὰρ πολλοὶ ψευδαπόστολοι. Τοῦτο δὲ καὶ Μάρκος καὶ Λουκᾶς πεποιήκασι.

Πρῶτον δὲ τὸν Πέτρον εἶπεν, οὐ μόνον, ὡς πρεσβύτερον Ἀνδρέου τοῦ ἀδελφοῦ αὐτοῦ, ἀλλὰ καὶ ὡς πάντων διαφορώτερον ἐπὶ σταθερότητι. Διὸ καὶ ὁ Χριςὸς, Πέτρον αὐτὸν ὀνομάσας, εἶπεν· *Ἐπὶ ταύτῃ τῇ πέτρᾳ οἰκοδομήσω μου τὴν ἐκκλησίαν* (α).

Διὰ τί δὲ προσέθηκεν, ὅτι ὁ *λεγόμενος* Πέτρος; Πάντως ἵνα μάθωμεν, ὅτι τε Σίμων ὠνομάζετο πρότερον, καὶ ἵνα διαστείλῃ τοῦτον ἀπὸ τοῦ ἑτέρου Σίμωνος, τοῦ προσαγορευομένου Καναvίτου.

2 Ἰάκωβος ὁ τοῦ Ζεβεδαίου, καὶ Ἰωάννης ὁ ἀδελφὸς αὐτοῦ·

Προέταξε τὸν Ἰάκωβον, ὡς τοῦ Ἰωάννου πρεσβυγενέστερον. Κατ᾽ ἀρετὴν γὰρ ὁ Ἰωάννης διέφερε.

(α) Ματθ. Ις', 18.

3 Φίλιππος, καὶ Βαρθολομαῖος·

Οὗτοι μετὰ τοὺς προῤῥηθέντας ἠκολούθησαν τῷ Χριστῷ. Διὸ καὶ οὕτως ἐτάγησαν.

3 Θωμᾶς, καὶ Ματθαῖος ὁ τελώνης.

Μάρκος (α) μὲν καὶ Λουκᾶς τὸν Ματθαῖον προτεθείκασι τοῦ Θωμᾶ, ὡς πρὸ αὐτοῦ μαθητευθέντα· Ματθαῖος δὲ νῦν μετριοφρονῶν ὑπεβίβασεν ἑαυτόν· ἐπεὶ καὶ πάλιν τελώνην ἑαυτὸν ἐκάλεσεν, εἰς οἰκείαν ἐξουδένωσιν.

3 Ἰάκωβος ὁ τοῦ Ἀλφαίου, καὶ Λεββαῖος ὁ ἐπικληθεὶς Θαδδαῖος·

Οὗτος ὁ Ἰάκωβος ἀδελφὸς ἦν τοῦ Ματθαίου. Καὶ γὰρ ὁ Ματθαῖος υἱὸς ἦν τοῦ Ἀλφαίου, οὐ μόνον Ματθαῖος, ἀλλὰ καὶ Λευῒς ὀνομαζόμενος. *Εἶδε* (β) γὰρ, φησι, *Λευῒν τὸν τοῦ Ἀλφαίου, καθήμενον ἐπὶ τὸ τελώνιον.* Ὁ δὲ Λουκᾶς (γ), ἀντὶ μὲν τοῦ Θαδδαίου, νῦν Σίμωνα τὸν Ζηλωτὴν, ἤτοι τὸν Κανανίτην, ἔταξεν· ὕστερον δὲ τὸν Θαδδαῖον συνέζευξεν Ἰούδᾳ τῷ Ἰσκαριώτῃ, Ἰούδαν καὶ τοῦτον καλέσας. *Ἰούδαν* γάρ, φησιν (δ), *Ἰακώβου καὶ Ἰούδαν Ἰσκαριώτην.* Συνέζευξε δὲ τούτους διὰ τὴν ὁμωνυμίαν.

Ὥστε δύο μὲν ἦσαν Σίμωνες· Σίμων ὁ λεγόμενος Πέτρος, καὶ Σίμων ὁ Ζηλωτὴς, ὁ καὶ Κανανίτης· δύο δὲ Ἰάκωβοι· Ἰάκωβος ὁ τοῦ Ζεβεδαίου, καὶ Ἰάκωβος ὁ τοῦ Ἀλφαίου· δύο δὲ Ἰοῦδαι· Ἰούδας ὁ Ἰακώβου, ὁ καὶ Λεββαῖος καὶ Θαδδαῖος, καὶ Ἰούδας ὁ Ἰσκαριώτης. Καὶ διὰ τὰς ὁμωνυμίας λοιπὸν προσ-

(α) Μαρκ. Γ', 18. Λουκ. ς', 15.
(β) Μαρκ. Β', 14.
(γ) Λουκ. ς', 15.
(δ) Λουκ. ς', 16.

τιθέασιν οἱ εὐαγγελισταὶ καὶ ἕτερα γνωρίσματα πρὸς διαστολὴν αὐτῶν.

Καὶ ἐὰν διὰ τὴν ὁμωνυμίαν Ἰούδαν τὸν Θαδδαῖον Ἰούδᾳ τῷ Ἰσκαριώτῃ συνέζευξεν ὁ Λουκᾶς· πῶς οὐχὶ καὶ τῷ Σίμωνι Πέτρῳ, Σίμωνα τὸν Κανανίτην συνέζευξε; καὶ Ἰακώβῳ τῷ τοῦ Ζεβεδαίου, Ἰάκωβον τὸν τοῦ Ἀλφαίου; Διότι Πέτρος μὲν μετὰ Ἀνδρέου τοῦ ἀδελφοῦ αὐτοῦ, Ἰάκωβος δὲ μετὰ Ἰωάννου τοῦ ἀδελφοῦ αὐτοῦ τῷ Χριστῷ ἠκολούθησαν, καὶ ἔδει αὐτοὺς ἅμα ταχθῆναι, οὐ μόνον ὡς ἀδελφοὺς, ἀλλὰ καὶ ὡς ἅμα ἀκολουθήσαντας. Καὶ διὰ τί μὴ καὶ Ἰάκωβος ὁ Ἀλφαίου τῷ ἀδελφῷ αὐτοῦ Ματθαίῳ συντέτακται; Διότι ὕστερον οὗτος ἠκολούθησεν.

4 Σίμων ὁ Κανανίτης, καὶ Ἰούδας ὁ Ἰσκαριώτης, ὁ καὶ παραδοὺς αὐτόν.

Ο προδοὺς αὐτὸν τοῖς ἐπιβουλεύουσιν.

5 Τούτους τοὺς δώδεκα ἀπέστειλεν ὁ Ἰησοῦς, παραγγείλας αὐτοῖς.

Ποίους τούτους; Τοὺς ἁλιεῖς, τοὺς τελώνας. Πέτρος μὲν γὰρ καὶ Ἀνδρέας, καὶ Ἰάκωβος καὶ Ἰωάννης ἁλιεῖς ἦσαν. Ματθαῖος δὲ καὶ Ἰάκωβος, ὁ τοῦ Ἀλφαίου, τελῶναι (1). Ὁ δὲ Λουκᾶς εἶπε καὶ τὸν τόπον, ἐν ᾧ αὐτοὺς εἰς ἀποστολὴν ἀφώρισεν. Εἴρηκε γὰρ, ὅτι *Ἐξῆλθεν εἰς τὸ ὄρος προσεύξασθαι· καὶ ἦν διανυκτερεύων ἐν ταῖς προσευχαῖς* (2) *τοῦ θεοῦ. Καὶ ὅτε ἐγένετο ἡμέρα, προσεφώνησε τοὺς μαθητὰς αὐτοῦ· καὶ ἐκλεξάμενος ἀπ' αὐτῶν δώδεκα, οὓς καὶ ἀποστόλους ὠνόμασε,*

(1) Τελώνην ὀνομάζει τὸν Ἰάκωβον τὸν τοῦ Ἀλφαίου καὶ ὁ Χρυσόστομος (Τομ. Ζ΄. Σελ. 369. Β.), καὶ ἴσως διότι ἦτον ἀδελφὸς τοῦ Ματθαίου. Κατὰ τὸν Χρυσόστομον εἶπον αὐτὸν τελώνην καὶ ἄλλοι.

(2) Ἐν τῇ προσευχῇ παρὰ τῷ Α, ὡς καὶ παρὰ τῷ Λουκᾷ.

καὶ τὰ ἑξῆς (α). Ἀλλ' οὐ τότε τούτους ἀπέστειλε. Μάρκος δέ φησι (β) καὶ τὸν τρόπον, ὅτι *Καὶ ἤρξατο αὐτοὺς ἀποστέλλειν δύο δύο·* πάντως διὰ παρηγορίαν ἀλλήλων.

5 Λέγων· Εἰς ὁδὸν ἐθνῶν μὴ ἀπέλθητε, καὶ εἰς πόλιν
6 Σαμαρειτῶν μὴ εἰσέλθητε· πορεύεσθε δὲ μᾶλλον
πρὸς τὰ πρόβατα τὰ ἀπολωλότα οἴκου Ἰσραήλ.

Ἐπὶ τὰς τῶν Ἰουδαίων πόλεις καὶ κώμας πρῶτον πέμπει τοὺς μαθητὰς, διδασκάλους καὶ ἰατροὺς αὐτοῖς, δεικνύων τὸ πρὸς ἐκείνους ὑπὲρ πάντας φίλτρον, καὶ τὴν ὑπερβολὴν τῆς κηδεμονίας, ὅτι καὶ ὑβριζόμενος ὑπ' αὐτῶν, οὐ μνησικακεῖ τούτοις, ἀλλὰ σπεύδει παντὶ τρόπῳ διορθοῦν καὶ θεραπεύειν αὐτούς. Διὸ καὶ κωλύει μὲν τοὺς ἀπεσταλμένους ἅψασθαι τῆς πρὸς τὰ ἔθνη φερούσης ὁδοῦ· κελεύει δὲ, μηδὲ τῇ πόλει τῶν Σαμαρειτῶν ἐπιδημῆσαι, κειμένῃ μεταξὺ τῶν Ἰουδαϊκῶν πόλεων. Καὶ οἱ Σαμαρεῖται γὰρ, ἐξ ἡμισείας ἰουδαΐζοντες, ἐναντίως πρὸς τοὺς Ἰουδαίους διέκειντο. Καὶ πανταχόθεν ἐμφράττει τὰ στόματα τῶν ἀχαρίστων, εἰ καὶ, πάντων ὑπ' αὐτοῦ προτιμηθέντες, πάντων μᾶλλον αὐτὸν ἠτίμασαν. *Πρόβατα* δὲ *ἀπολωλότα οἴκου Ἰσραὴλ* τούτους ὠνόμασεν· εἰκότως· πρόβατα μὲν, ὡς ὑπὸ Θεοῦ πάλαι ποιμαινομένους· *Ὁ ποιμαίνων* γάρ, φησι, *τὸν Ἰσραὴλ, πρόσχες·* (γ) ἀπολωλότα δὲ, διὰ τὸ εἶναι αὐτοὺς ἐσκυλμένους καὶ ἐῤῥιμμένους, ὡς προείρηται· *οἴκου* δὲ *Ἰσραὴλ*, ὡς Ἰσραηλίτας. Οὕτω δὲ προσαγορεύσας τοὺς Ἰουδαίους, ἐπράϋνε τὸν θυμὸν τῶν μαθητῶν, καὶ σπλάγχνα τούτοις μᾶλλον ἐπιμελείας ἐνέβαλε.

(α) Λουκ. ς΄, 12. 13.
(β) Μαρκ. ς΄, 7.
(γ) Ψαλμ. ΟΘ΄, 1.

7 Πορευόμενοι δὲ κηρύσσετε, λέγοντες· Ὅτι ἤγγι-
κεν ἡ βασιλεία τῶν οὐρανῶν.

Ηγγικεν ἡ ἐν οὐρανοῖς ἀπόλαυσις, τουτέστι, παρ' ὑμῖν ἔστιν, ἐὰν θέλητε λαβεῖν αὐτήν· λήψεσθε δὲ αὐτὴν, πιστεύοντες καὶ τὰς ἐντολὰς φυλάττοντες. Προείρηται δὲ διαφόρως *περὶ τῆς βασιλείας τῶν οὐρανῶν* ἐν τῷ τρίτῳ κεφαλαίῳ, καὶ χρὴ κἀκεῖνα γινώσκειν, καὶ προσαρμόζειν τὸ δοκοῦν προσφυέστερον.

8 Ἀσθενοῦντας θεραπεύετε, λεπροὺς καθαρίζετε, νε-
κροὺς ἐγείρετε, δαιμόνια ἐκβάλλετε· δωρεὰν ἐλά-
βετε, δωρεὰν δότε.

Ἔδωκε μὲν αὐτοῖς χάριν ἰαμάτων, ὥστε τοὺς μὴ πειθομένους τῷ κηρύγματι, πείθεσθαι τοῖς θαύμασιν· ἅμα καὶ αὐτοὺς προθυμοτέρους ποιῶν εἰς τὸ κήρυγμα δι' αὐτῆς. Ἵνα δὲ μὴ ἐπαρθῶσιν, ὡς μεγάλα κατορθοῦντες, μηδὲ ζητῶσιν ἀμοιβὰς ὑλικὰς, προασφαλίζεται τούτους, λέγων· *Δωρεὰν ἐλάβετε* παρ' ἐμοῦ τὴν χάριν ταύτην τῶν ἰαμάτων, μηδὲν αὐτοὶ πονέσαντες, *δωρεὰν δότε* ταῦτα τοῖς ἀνθρώποις, μηδὲν ἐπιζητοῦντες βιωτικὸν ἐξ αὐτῶν. Ἐπιτείνων δὲ τὸ ἀδωροδόκητον, κελεύει μηδὲ χάριν τῆς ὁδοῦ τι λαμβάνειν. Φησὶ γάρ·

9 Μὴ κτήσησθε χρυσὸν, μηδὲ ἄργυρον, μηδὲ χαλκὸν
εἰς τὰς ζώνας ὑμῶν·

Ἔθος γὰρ ἦν τοῖς ὁδοιποροῦσι, φασκώλια φέρειν παρηωρημένα ταῖς ζώναις, ἐν οἷς εἶχον τοὺς ὀβολούς. Νομοθετεῖ δὲ τοῖς μαθηταῖς τελείαν ἀκτημοσύνην· πρῶτον μὲν, οὐ μόνον ἀνυποπτους, ἀλλὰ καὶ θαυμασίους μᾶλλον αὐτοὺς εἶναι βουλόμενος· οὐδὲν γὰρ οὕτω ποιεῖ θαυμαστοὺς, ὡς βίος ἄσκευος καὶ ὀλιγαρκής· εἶτα φροντίδος πάσης ἀπαλλάττων τούτους, εἰωθυΐας ἐμποδίζειν πολλάκις· ἔπειτα δεῖξαι θέλων τὴν ἑαυτοῦ δύναμιν ἐπαρκοῦσαν αὐτοῖς εἰς ἅπαντα. Διὸ καὶ ὕστερον ἔλεγεν ὅτι, *Ὅτε ἀπέστειλα ὑμᾶς ἄτερ βαλαντίου καὶ πήρας, μή τινος ὑστερήσατε* (α);

[Καὶ (1) μὴν αὐτὸς ἐπεφέρετο γλωσσόκομον, ἀλλ' οὐχ ὡς φιλοκτήμων, ἀλλ' ὡς οἰκονόμος τῶν ἐμβεβλημένων, ἀποκτώμενος μᾶλλον αὐτὰ πρὸς χρείαν ἑαυτοῦ τε καὶ τῶν μαθητῶν καὶ τῶν πενήτων.]

10 Μὴ πήραν εἰς ὁδὸν, μηδὲ δύο χιτῶνας, μηδὲ ὑπο-
δήματα, μηδὲ ῥάβδον.

Ἐπεὶ τὴν βασιλείαν τῶν οὐρανῶν κατήγγελλον, ἔδει πάντως αὐτοὺς, ὡς ἀγγέλους ἐξ οὐρανοῦ κατιόντας, οὕτω βαδίζειν κούφους καὶ εὐσταλεῖς, πάσης μὲν ὑλικῆς φροντίδος ἐλευθέρους, εἰς μόνην δὲ βλέποντας τὴν ἐγχειρισθεῖσαν αὐτοῖς διακονίαν. *Πήραν* δὲ λέγει τὸ μαρσίπιον, ᾧ ἐκέχρηντο κατὰ τὴν ὁδὸν, ἐμβάλλοντες ἄρτον.

Ἄξιον δὲ ζητῆσαι, πῶς Ματθαῖος μὲν καὶ Λουκᾶς (β) φασὶ, κελευσθῆναι τούτους, μήτε ὑποδήματα, μηδὲ ῥάβδον ἔχειν· ὁ δὲ Μάρκος (γ) λέγει, συγχωρηθῆναι ταῦτα μόνα αὐτοῖς; Τί οὖν ἔστιν εἰπεῖν; Ὅτι πρῶτον μὲν οὕτω προσέταξεν, ὡς Ματθαῖος καὶ Λουκᾶς εἶπον· ὕστερον δὲ παρεχώρησεν αὐτοῖς ὑποδεδέσθαι μόνον σανδάλια καὶ κατέχειν ῥάβδον, εἰς φυλακήν τε τῶν ποδῶν καὶ ὑποστηριγμὸν τοῦ σώματος, συγκαταβαίνων τῇ ἀσθενείᾳ αὐτῶν, διὰ τὴν ἀπὸ τῆς ὁδοιπορίας ταλαιπωρίαν, ὡς ὁ Μάρκος ἔγραψεν. Ἀντὶ δὲ τοῦ, *Μὴ κτή-*

(α) Λουκ. ΚΒ', 35.

(1) Τὰ παρεντεθειμένα ἀναγινώσκονται ἐν τῷ περισελιδίῳ παρ' ἀμφοτέροις τοῖς χειρογράφοις.

(β) Λουκ. Θ', 3.

(γ) Μάρκ. ς', 8. 9.

σησθε, *Μὴ αἴρετε*, εἶπεν ὁ Λουκᾶς (α). Ἵνα δὲ μὴ εἴπωσι, Πόθεν οὖν τραφησόμεθα, μηδὲν αἴροντες; φησίν·

10 Ἄξιος γὰρ ὁ ἐργάτης τῆς τροφῆς αὐτοῦ ἐστιν.

Οὐ χρεία, φησὶν, ὑμῖν ἐφοδίων· ἄξιοι γάρ ἐστε τρέφεσθαι παρὰ τῶν ὠφελουμένων ὑφ' ὑμῶν, παρ' οἷς ἐργάζεσθε, παρ' οἷς κοπιᾶτε. Τοῦτο γὰρ οὐ δῶρον, ἀλλὰ μισθός ἐστι τῆς ἐργασίας ὑμῶν, καὶ ἀναγκαῖον, ὡς ὀφειλόμενον.

11 Εἰς ἣν δ' ἂν πόλιν ἢ κώμην εἰσέλθητε, ἐξετάσατε, τίς ἐν αὐτῇ ἄξιός ἐστι· κἀκεῖ μείνατε, ἕως ἂν ἐξέλθητε.

Ἵνα μὴ νομίσωσιν, ὅτι τὰς πάντων τῶν ὠφελουμένων θύρας αὐτοῖς ἀνέῳξε, κελεύει, παρ' ἑκάστῃ πόλει καὶ κώμῃ ζητεῖν ἕνα τὸν ἄξιον τῆς ὑποδοχῆς αὐτῶν, ἤγουν τὸν σεμνότερον, τὸν θεοσεβέστερον, καὶ παρ' αὐτῷ μένειν, ἕως ἂν ἐξέλθωσιν ἐκ τῆς πόλεως, ὥστε μὴ, οἰκίαν ἐξ οἰκίας ἀμείβοντας, λυπεῖν τε τὸν ὑποδεξάμενον, καὶ γαστριμαργίας δόξαν λαμβάνειν.

12 Εἰσερχόμενοι δὲ εἰς τὴν οἰκίαν, ἀσπάσασθε αὐτήν.

Ἀσπάσασθε, ἀντὶ τοῦ, ἐπεύχεσθε εἰρήνην αὐτῇ. Ταῦτα γὰρ ὕστερον καὶ τοῖς ἑβδομήκοντα μαθηταῖς ἐντειλάμενος εἶπεν, ὅτι *Εἰς ἣν δ' ἂν οἰκίαν εἰσέρχησθε, πρῶτον λέγετε· Εἰρήνη τῷ οἴκῳ τούτῳ* (β)!

13 Καὶ ἐὰν μὲν ᾖ ἡ οἰκία ἀξία, ἐλθέτω ἡ εἰρήνη ὑμῶν ἐπ' αὐτήν· ἐὰν δὲ μὴ ᾖ ἀξία, ἡ εἰρήνη ὑμῶν πρὸς ὑμᾶς ἐπιστραφήτω.

Διότι πολλάκις ὁ ὑποδεχόμενος, ὄνομα μὲν εἶχεν ἀξίου, βίον

(α) Λουκ. Θ', 3.

(β) Λουκ. Ι', 5.

δὲ ἀνάξιον, φησὶν, ὅτι *Ἐὰν μὲν ᾖ ἡ οἰκία* (1) *αὕτη ἀξία, ἐλθέτω ἐπ' αὐτὴν ἡ δοθεῖσα παρ' ὑμῶν εἰρήνη*, τουτέστιν, ἐνεργησάτω εἰς αὐτὴν, καὶ ἔστω εἰρήνης ἀπολαύουσα καὶ γαλήνης· *ἐὰν δὲ μὴ ᾖ ἀξία, ἡ εἰρήνη ὑμῶν πρὸς ὑμᾶς ἀναστραφήτω*, ἤγουν, μηδὲν ἐνεργησάτω, ἀλλὰ ταύτην μεθ' ἑαυτῶν λαβόντες ἐξέλθετε.

Σκόπει δὲ, πῶς οὐκ ἔδωκεν αὐτοῖς πρόγνωσιν ἀξίου καὶ ἀναξίου; Ἵνα τῷ ἀναγκαιοτάτῳ λειπόμενοι ταπεινοφρονῶσιν, ὡς ἀτελεῖς. Χρὴ δὲ θαυμάζειν, πῶς πάντων γυμνώσας αὐτοὺς, τὰ πάντων αὐτοῖς ἀνῆκε. Τίς γὰρ οὐκ ἂν ἡδέως ἐξενοδόχησε τοὺς οὕτως ἀσκεύους καὶ ἀμερίμνους, λάμποντας οὐ μόνον ἀπὸ τῶν λόγων καὶ τῶν θαυμάτων, ἀλλὰ καὶ, πρὸ τούτων, ἀπὸ τοῦ βίου;

14 Καὶ ὃς ἐὰν μὴ δέξηται ὑμᾶς, μηδὲ ἀκούσῃ τοὺς λόγους ὑμῶν, ἐξερχόμενοι τῆς οἰκίας ἢ τῆς πόλεως ἐκείνης, ἐκτινάξατε τὸν κονιορτὸν τῶν ποδῶν ὑμῶν.

Ὁ δὲ Μάρκος, φησὶν, *Ἐκτινάξατε* (α) *τὸν χοῦν τὸν ὑποκάτω τῶν ποδῶν ὑμῶν, εἰς μαρτύριον αὐτοῖς*, ἤγουν, εἰς ἔλεγχον αὐτῶν. Ἐδήλου γὰρ ὁ ἐκτιναγμὸς οὗτος, ὅτι οὐ μόνον οὐδὲν ἐκεῖθεν ἔλαβον, ἀλλὰ καὶ τὸν ἐκεῖθεν κονιορτὸν ἐκτινάσσουσιν ἀπὸ τῶν ποδῶν αὐτῶν, ὡς καὶ αὐτὸν δι' αὐτοὺς ἀνόσιον.

15 Ἀμὴν λέγω ὑμῖν, ἀνεκτότερον ἔσται γῇ Σοδόμων καὶ Γομόῤῥων ἐν ἡμέρᾳ κρίσεως, ἢ τῇ πόλει ἐκείνῃ.

Διὰ τῆς πόλεως, καὶ τὴν κώμην ἐδήλωσε. Τὰ δὲ Σόδομα

(1) Τὸ, αὕτη, δὲν ὑπάρχει ἐν τῷ κειμένῳ· ἀγνοεῖ δὲ αὐτὸ καὶ ὁ Χρυσόστομος Τόμ. Ζ'. Σελ. 371. Ἐτέθη ἄρα ἐξηγήσεως χάριν, ὡς καὶ τὸ ἑπόμενον, δοθεῖσα.

(α) Μαρκ. ς', 11.

καὶ τὰ Γόμοῤῥα, πάλαι πόλεις οὖσαι μεγάλαι καὶ πολυανθρωπόταται, διὰ τὴν ἀσέλγειαν αὐτῶν πανωλεθρίᾳ κατετεφρώθησαν οὐρανόθεν κατενεχθέντι πυρί. Καὶ τούτων ἡ θεήλατος αὕτη κόλασις φοβερωτέρα πάσης ἐδόκει πᾶσιν, ἅτε καὶ τῆς γῆς ἐκείνης ἄχρι καὶ νῦν ἐμπεπρησμένης φαινομένης, καὶ κηρυττούσης τὴν οἰκείαν συμφοράν.

Ἀλλὰ νῦν ὁ Χριστὸς βαρύτερον κολασθήσεσθαι λέγει τοὺς μὴ δεχομένους, μηδ᾽ ἀκούονσας τοὺς λόγους τῶν ἀποστόλων· διότι τὰ Σόδομα καὶ τὰ Γόμοῤῥα, οὔτε θαύματα εἶδον, ὡς αὗτοι μυρία, οὔτε πρὸς τὴν γῆν αὐτῶν μαθηταὶ παρὰ τοῦ Σωτῆρος ἀπεστάλησαν. Εἰπὼν δὲ, ὅτι *Ἀνεκτότερον ἔσται γῇ Σοδόμων καὶ Γομόῤῥων ἐν ἡμέρᾳ κρίσεως*, ἐδήλωσεν, ὅτι καὶ ἐν τῷ μέλλοντι αἰῶνι οἱ Σοδομῖται καὶ Γομοῤῥῖται τιμωρηθήσονται. Κἀντεῦθεν φανερὸν, ὥς τινες ἁμαρτίαι καὶ ἐνταῦθα καὶ ἐκεῖ κολάζονται.

Φοβηθῶμεν οὖν καὶ ἡμεῖς τὴν τοιαύτην ἀπειλὴν, εἰδότες, ὅτι πᾶς ὁ μὴ φυλάττων, μηδὲ ποιῶν, ἅπερ ἐδίδαξαν οἱ ἀπόστολοι, πρόδηλον, ὡς οὐδὲ δέχεται τούτους, οὔτε ἀκούει τοὺς λόγους αὐτῶν. Διὰ τί δὲ, ἑνὸς μὴ δεξαμένου, πᾶσα ἡ πόλις κολασθήσεται; Διότι καὶ οἱ λοιποὶ βλέποντες, οὐκ ἐκώλυσαν αὐτόν. Οἱ γὰρ μὴ παραδεχόμενοι τοὺς ἀποστόλους, δημοσίᾳ τούτους ἀπήλαυνον.

16 Ἰδοὺ, ἐγὼ ἀποστέλλω ὑμᾶς ὡς πρόβατα ἐν μέσῳ λύκων·

Θαῤῥύνας αὐτοὺς, δι᾽ ὧν παρήγγειλε, καὶ στεῤῥοὺς καὶ ἀδαμαντίνους ἐργασάμενος, λοιπὸν προλέγει καὶ τὰ συμβησόμενα τούτοις, οὐ μόνον τὰ μικρὸν ὕστερον, ἀλλὰ καὶ τὰ μακρὸν ὕστερον· πρῶτον μὲν, ἵνα μάθωσι τὴν δύναμιν τῆς προγνώσεως αὐτοῦ· δεύτερον δὲ, ἵνα, πάσχοντες, μὴ ὑποπτεύωσι, δι᾽ ἀσθένειαν τοῦ πέμψαντος ταῦτα πάσχειν· τρίτον, ἵνα προακηκοότες, ὅτι κακοπαθήσουσι, ῥᾷον τότε φέροιεν. Ἰδοὺ, φησιν, ἐγὼ ἀποστέλλω ὑμᾶς, *ὡς πρόβατα ἐν μέσῳ λύκων*· ἐγὼ ὁ πάντα δυνάμενος, ἀποστέλλω ὑμᾶς, ὥστε δάκνεσθαι ὑμᾶς καὶ σπαράττεσθαι παρὰ τῶν ἐπιβουλευόντων, μὴ ἀμύνεσθαι δὲ, μηδ᾽ ἀντιμάχεσθαι ταῖς χερσί. Διὰ τί; Διότι μᾶλλον οὕτω νικήσετε καὶ μεταβαλεῖτε τοὺς λύκους εἰς πρόβατα. Πῶς; Τῆς ἐμῆς δυνάμεως τὸ πᾶν κατεργαζομένης, καὶ τῆς ὑμετέρας δὲ πρᾳότητος χαλώσης, ὡς τὰ πολλὰ, τὸ ἄγριον καὶ φονικὸν τῶν ἀπίστων. Οὐ γὰρ θρασύτητι θρασύτης, ἀλλ᾽ ἐπιεικείᾳ καταστέλλεσθαι εἴωθε. Χρὴ γὰρ τὸν ἰατρεύοντα μεμηνότας μακροθύμως φέρειν τὰς παροινίας αὐτῶν, πρὸς μόνην ὁρῶντα τὴν τῆς μανίας ἀπαλλαγήν. Καὶ ἡμεῖς οὖν, ἐὰν μὴ προβάτων ἡμερότητα πρὸς τὴν ἀγριότητα τῶν ἐπηρεαζόντων ἡμῖν ἐπιδειξώμεθα, πάντως οὐχ ἕξομεν τὴν τοῦ ποιμένος ἡμῶν βοήθειαν. Προβάτων γὰρ, οὐ λύκων ἐστὶ ποιμήν.

16 Γίνεσθε οὖν φρόνιμοι ὡς οἱ ὄφεις, καὶ ἀκέραιοι ὡς αἱ περιστεραί.

[Καὶ (1) ἐπὶ τῶν ὄφεων νῦν, καὶ ἐπὶ τοῦ οἰκονόμου τῆς ἀδικίας (α), *φρόνησιν* νοήσεις τὴν φυλακὴν τοῦ οἰκείου συμφέροντος.]

Βούλεται αὐτοὺς καὶ συνετοὺς εἶναι, πρὸς τὸ μὴ πλήττεσθαι καιρίως, καὶ ἀπονήρους, πρὸς τὸ μὴ μνησικακεῖν. Ἐπεὶ γὰρ φρόνιμός ἐστιν ὁ ὄφις· διότι τυπτόμενος, τὸ μὲν ἄλλο σῶμα προΐεται, μόνην δὲ φυλάσσει τὴν κεφαλὴν, εἰδὼς ἐν ταύτῃ μόνῃ καιρίαν γίνεσθαι τὴν πληγήν· ἐκέλευσε μιμεῖσθαι τὴν φρόνησιν τῶν ὄφεων, ἐν τῷ τἄλλα μὲν, καὶ σώματα, καὶ ψυ-

(1) Τὰ παρεντεθειμένα ἀναγινώσκονται ἐν τῷ περισελιδίῳ παρ᾽ ἀμφοτέροις τοῖς χειρογράφοις.

(α) Λουκ. Ιϛ΄, 8.

χὰς, καὶ πάντα προΐεσθαι, μόνην δὲ φυλάσσειν τὴν πίστιν, ὡς κεφαλὴν, ἐν ᾗ μόνῃ γίνεται καιρία πληγή. Καὶ πάλιν, ἐπείπερ αἱ περιστεραὶ, ἀφαιρούμεναι τὰ τέκνα, οὐ μνησικακοῦσι τοῖς ἀφελοῦσιν, ἀλλὰ καὶ προσίενται τούτους αὖθις, κἂν πολλάκις ἀφέλωσιν, ἐπιτάττει ζηλοῦν καὶ τὴν τούτων ἀκεραιότητα, τουτέστιν, ἀκακίαν, ἐν τῷ μὴ μνησικακεῖν τοῖς ἀδικοῦσιν, ἀλλὰ καὶ προσίεσθαι τούτους καὶ φιλεῖν.

Καὶ ὅρα σοφίαν! Οὔτε γὰρ τὴν φρόνησιν μόνην τῶν ὄφεων μιμεῖσθαι προσέταξεν, οὔτε τὴν ἀκεραιότητα μόνην τῶν περιστερῶν, ἀλλ᾽ ἐκέρασεν ἀμφοτέρας· διότι μίαν ἀμφότεραι ποιοῦσιν ἀρετήν. Οὐδὲν γὰρ ὄφελος τῆς τοιαύτης φρονήσεως, ἐὰν ἀπῇ ἡ ἀκεραιότης.

Ἡμεῖς δὲ μιμησώμεθα καὶ ἄλλην φρόνησιν τοῦ ὄφεως. Ὥσπερ γὰρ ἐκεῖνος, ὅταν γηράσῃ, στενῷ τόπῳ διείρας ἑαυτὸν, ἀποξύεται τὴν λεγομένην λεβηρίδα, φημὶ δὴ, τὴν ἐπιδερματίδα, καὶ γίνεται σθεναρός· οὕτω καὶ αὐτοὶ, γηράσαντες τῇ παλαιότητι τῶν παθῶν, ἐμβάλωμεν ἑαυτοὺς εἰς τὴν στενὴν καὶ τεθλιμμένην πολιτείαν, καὶ δι᾽ αὐτῆς ἀποξύσαντες τὸν πεπαλαιωμένον χιτῶνα τῆς ψυχῆς, εὐσθενεῖς γενώμεθα.

Νῦν μὲν οὖν εἰς καλὸν παράδειγμα τοὺς ὄφεις καὶ τὰς περιστερὰς ἔλαβεν· ἀλλαχοῦ δὲ μᾶλλον εἰς κακὸν ἐλήφθησαν. Κακίζονται γὰρ Ἰουδαῖοι, ὡς ὄφεις, γεννήματα ἐχιδνῶν· καὶ διαβάλλεται Ἐφραὶμ, ὡς περιστερὰ ἄνους (α), οὐκ ἔχουσα καρδίαν. Εἴωθε γὰρ πολλάκις ἡ Γραφὴ διαφόρους εἰκόνας ἐξ ἑνὸς ζώου παριστᾷν, ὅταν ἐκεῖνο καὶ θαυμαστὰ ἔχῃ, καὶ πονηρὰ πλεονεκτήματα. Καὶ γὰρ λέων μὲν, καὶ ὁ Χριστὸς, κατὰ τὸ βασιλικὸν καὶ ἄμαχον· *Ἀναπεσὼν* (β) *γὰρ*, φησιν, *ἐκοιμήθη ὡς λέων*· λέων δὲ καὶ ὁ δίκαιος, κατὰ τὸ εὐπαῤῥησίαστον· *Δίκαιος* (α) *γὰρ*, φησιν, *ὡς λέων πέποιθε*· λέων δὲ καὶ ὁ διάβολος, κατὰ τὸ ἀνήμερον καὶ αἱμοβόρον· *Ὡς λέων γὰρ*, φησι, *περιπατεῖ, ζητῶν τίνα καταπίῃ* (β).

(α) Ὠσ. Ζ', 11.
(β) Γενεσ. ΜΘ', 9.

17 Προσέχετε δὲ ἀπὸ τῶν ἀνθρώπων· παραδώσουσι γὰρ ὑμᾶς εἰς συνέδρια, καὶ ἐν ταῖς συναγωγαῖς αὐτῶν μαστιγώσουσιν ὑμᾶς.

Προαναφωνεῖ τούτοις τοὺς μέλλοντας πειρασμοὺς, παραθήγων εἰς τοὺς ἀγῶνας. *Προσέχετε δὲ ἀπὸ τῶν ἀνθρώπων*, ἀντὶ τοῦ, φυλάττεσθε τοὺς ἀνθρώπους, εἴτουν, προσδοκᾶτε δεινὰ ἀπ᾽ αὐτῶν.

18 Καὶ ἐπὶ ἡγεμόνας δὲ καὶ βασιλεῖς ἀχθήσεσθε ἕνεκεν ἐμοῦ.

Εἰπὼν, ἃ ὑποστήσονται παρὰ τῶν Ἰουδαίων, λοιπὸν λέγει, καὶ ἃ παρὰ τῶν ἄλλων ἐθνῶν.

18 Εἰς μαρτύριον αὐτοῖς καὶ τοῖς ἔθνεσιν.

Εἰς ἔλεγχον καὶ τῶν Ἰουδαίων, καὶ τῶν ἐθνῶν, ἵνα μὴ δύνωνται λέγειν ὕστερον, ὅτι οὐκ ἤκουσαν τοῦ κηρύγματος. Τοσοῦτον γὰρ ἀκούσουσιν, ὥστε καὶ τοὺς κήρυκας μυρίοις κακοῖς ὑποβαλεῖν.

19 Ὅταν δὲ παραδιδῶσιν ὑμᾶς, μὴ μεριμνήσητε, πῶς ἢ τί λαλήσετε·

Ἵνα μὴ λέγωσιν, ὅτι Καὶ πῶς ἰδιῶται, καὶ ἀγράμματοι, πεῖσαι δυνησόμεθα ῥήτορας καὶ φιλοσόφους; προθεραπεύει καὶ ταύτην αὐτῶν τὴν ἀπορίαν λέγων· *Μὴ μεριμνήσητε, πῶς ἢ τί λαλήσετε.*

(α) Παροιμ. ΚΗ', 1.
(β) Α' Πετρ. Ε, 8.

19 Δοθήσεται γὰρ ὑμῖν ἐν ἐκείνῃ τῇ ὥρᾳ, τί λαλήσετε.

Δοθήσεται, παῤ ἐμοῦ δηλαδή. Ταῦτα δὲ εἶπεν αὐτοῖς καὶ αὖθις, ἐγγίζοντος τοῦ διὰ σταυροῦ πάθους, ὅτε περὶ τῆς τοῦ κόσμου συντελείας ἠρώτησαν αὐτόν. Φησὶ γὰρ ὁ Λουκᾶς (α), καὶ τηνικαῦτα εἰπεῖν αὐτὸν, ὅτι *Ἐγὼ δώσω ὑμῖν στόμα καὶ σοφίαν, ᾗ οὐ δυνήσονται ἀντειπεῖν, οὐδὲ ἀντιστῆναι πάντες οἱ ἀντικείμενοι ὑμῖν.*

20 Οὐ γὰρ ὑμεῖς ἔστε οἱ λαλοῦντες.

Οἱ λαλοῦντες τότε.

20 Ἀλλὰ τὸ πνεῦμα τοῦ πατρὸς ὑμῶν, τὸ λαλοῦν ἐν ὑμῖν.

Ἀλλὰ τὸ Πνεῦμα τὸ ἅγιον, τὸ λαλοῦν ἐν ὑμῖν τότε.

21 Παραδώσει δὲ ἀδελφὸς ἀδελφὸν εἰς θάνατον, καὶ πατὴρ τέκνον·

Οἱ μὴ πιστεύσαντες, τοὺς πιστεύσαντας.

21 Καὶ ἐπαναστήσονται τέκνα ἐπὶ γονεῖς, καὶ θανατώσουσιν αὐτούς.

Καὶ οὗτοι ὁμοίως. Διὰ τῶν φιλτάτων δὲ τούτων, καὶ τὰς ἄλλας ἐνέφηνε συγγενείας καὶ οἰκειότητας.

22 Καὶ ἔσεσθε μισούμενοι ὑπὸ πάντων διὰ τὸ ὄνομά μου·

Ὑπὸ *πάντων*, ἀντὶ τοῦ, ὑπὸ τῶν πλειόνων· πολλοὶ γὰρ αὐτοὺς ἠγάπησαν. Ἰδίωμα δὲ καὶ τοῦτο γραφικὸν, *πάντας* λέγειν καὶ τοὺς πλείονας. Ἀνωτέρω δὲ προσθείς· ὅτι *ἔγεκεν ἐμοῦ* (α), καὶ νῦν δὲ πάλιν· ὅτι *διὰ τὸ ὄνομά μου*· πολλὴν παράκλησιν καὶ προθυμίαν αὐτοῖς ἐνέβαλε, πεπεισμένοις, ὅτι συμπαρέσται καὶ ἀντιλήψεται τῶν πασχόντων δι' αὐτόν.

(α) Λουκ. ΚΑ', 15.

22 Ὁ δὲ ὑπομείνας εἰς τέλος, οὗτος σωθήσεται.

Τρία τὸ παρὸν ἐμφαίνει ῥητόν· ὅτι οὐ μόνον χρεία τῆς παῤ αὐτοῦ βοηθείας, ἀλλὰ καὶ τῆς αὐτῶν καρτερίας, ἵνα μὴ αὐτοῦ μόνον, ἀλλὰ καὶ αὐτῶν γίνοιντο τὰ κατορθώματα· καὶ ὅτι οὐ χρὴ ἀποκάμνειν· τί γὰρ ὄφελος ἀρχῆς, οὐκ ἐχούσης τέλος; καὶ ὅτι μέχρι τέλους ζωῆς αὐτῶν παραταθήσεται τὰ δεινά.

Θαυμάσαι δὲ τούτους ἄξιον, πῶς εἰς τοσούτους καὶ τοιούτους κινδύνους ἀποστελλόμενοι, καὶ πᾶσαν μὲν τὴν οἰκουμένην πολεμίαν ἔχειν ἀκούοντες, παρ' ὅλην δὲ πειράζεσθαι τὴν ζωὴν, οὐκ ἐδειλίασαν, οὐδ' ἐζήτησαν ἀπαλλαγὴν τῶν δεινῶν; Ὑπήκουον γὰρ, ὡς εὐπειθεῖς τῷ διδασκάλῳ, καὶ ἐθάῤῥουν, ὡς πιστοὶ, τῇ δυνάμει τοῦ ἀποστέλλοντος. Μεμαθηκότες δὲ καὶ, ὅτι τοσοῦτον ἰσχύσει τὸ κήρυγμα τῆς πίστεως, ὡς διαλῦσαι καὶ τὴν ἀδαμαντίνην στοργὴν τῆς φύσεως, καὶ τὰς σχέσεις ἀλλήλαις ἐκπολεμῶσαι, μᾶλλον ἀνηρεθίσθησαν, καὶ νευρωθέντες λοιπὸν ταῖς ἀναμφιβόλοις ἐλπίσι τοῦ κατορθοῦν, ἀπεδύσαντο, δώδεκα μόνοι, πρὸς ἅπασαν τὴν οἰκουμένην, ᾗτινι συμπαρετάττετο κατ' αὐτῶν καὶ ὁ διάβολος μετὰ τῶν ἀπείρων αὐτοῦ δαιμόνων, καὶ νενικήκασιν, οὐκ ἀνελόντες τοὺς ἐναντίους, ἀλλὰ μεταῤῥυθμίσαντες, καὶ δαιμόνων ἴσους λαβόντες, ἀγγέλων ἴσους ἐποίησαν.

23 Ὅταν δὲ διώκωσιν ὑμᾶς ἐν τῇ πόλει ταύτῃ, φεύγετε εἰς τὴν ἄλλην.

Εἰπὼν τὰ μετὰ τὴν ἀνάληψιν αὐτοῦ συμβησόμενα, πάλιν

(α) Ματθ. Ι', 18.

ἤγαγε τὸν λόγον ἐπὶ τὰ πρὸ τοῦ σταυροῦ. Κελεύει δὲ φεύγειν, οὐχ ὡς δειλοὺς, ἀλλ' ὡς διωκομένους. Ὁ δὲ θεολόγος Γρηγόριος ἑρμηνεύων τοῦτό, φησι, ὅτι φειδοῖ τῶν διωκόντων, καὶ τῶν ἀσθενεστέρων· καὶ οὐδὲ μακρὰν φεύγειν, ἀλλ' ἀπὸ ταύτης τῆς πόλεως εἰς ἐκείνην, ἵνα μηδεμίαν παραλείψωσιν, εἰς ἣν οὐκ ἀφίξωνται.

23 Ἀμὴν γὰρ λέγω ὑμῖν, οὐ μὴ τελέσητε τὰς πόλεις τοῦ Ἰσραὴλ, ἕως ἂν ἔλθῃ ὁ υἱὸς τοῦ ἀνθρώπου.

Ἕως ἂν ἔλθῃ πρὸς ὑμᾶς. Τοῦτο δὲ πρὸς ψυχαγωγίαν καὶ ἀνάψυξιν αὐτῶν εἶπε, βεβαιῶν, ὅτι θᾶττον τούτους καταλάβῃ, πρὸ τοῦ περιελθεῖν αὐτοὺς πάσας τὰς πόλεις τῶν Ἰουδαίων, ἤγουν, πρὸ τοῦ διελθεῖν ὅλην τὴν Παλαιστίνην. Ἤρκει γὰρ, καὶ μόνον ἐπιφανεὶς αὐτοῖς ἀντὶ πάσης παρακλήσεως, οὕτως ἐλαυνομένοις, ὃ δὴ τότε καὶ πεποίηκεν, ὡς ὑπέσχετο. Ἐπεὶ δὲ καὶ βλασφημεῖσθαι παρὰ τῶν διωκόντων ἔμελλον, καὶ διὰ τοῦτο δάκνεσθαι, παραμυθεῖται καὶ τοῦτο τὸ μέρος, ἀπὸ τοῦ καθ' ἑαυτὸν ὑποδείγματος, εἰπών·

24 Οὐκ ἔστι μαθητὴς ὑπὲρ τὸν διδάσκαλον, οὐδὲ δοῦλος ὑπὲρ τὸν κύριον αὐτοῦ.

Ἀπόφασιν μὲν λέγει κοινὴν καὶ πᾶσι γνώριμον· προσαρμόζει δὲ ταύτῃ τὰ καθ' ἑαυτὸν, ἵνα μηδεὶς ἀντιλέγειν ἔχοι. Οὐκ ἔστιν ὄντως, οὔτε μαθητὴς κρείττων τοῦ οἰκείου διδασκάλου, οὔτε δοῦλος κρείττων τοῦ κυρίου αὐτοῦ, ἕως ἂν ὁ μὲν εἴη μαθητὴς, ὁ δὲ, δοῦλος. Ὕφεσις (1) γάρ ἐστι καὶ τὸ διδάσκεσθαι καὶ τὸ δουλεύειν, καὶ κατ' αὐτὸ τοῦτο πάντως ὑποβεβήκασι. Λοιπὸν οὖν οὐδ' ὑμεῖς ἐστὲ ὑπὲρ ἐμὲ, τὸν διδάσκαλον ὑμῶν καὶ κύριον.

(1) τ. ε. ἐλάττωσις.

25 Ἀρκετὸν τῷ μαθητῇ, ἵνα γένηται ὡς ὁ διδάσκαλος αὐτοῦ.

Ἀρκεῖ τοῖς μαθηταῖς ὑμῖν εἰς παραμυθίαν, ἵνα γένησθε βλασφημούμενοι, ὡς ἐγὼ ὁ διδάσκαλος ὑμῶν, καὶ μέγα ὑμῖν τὸ, καὶ ἐν τοῖς τοιούτοις ἐξισωθῆναί μοι.

25 Καὶ ὁ δοῦλος ὡς ὁ κύριος αὐτοῦ.

Ἑλκυστέον καὶ ἐπὶ τὸ ῥητὸν τοῦτο πάλιν τὸ, *Ἀρκετὸν, ἵνα γένηται.*

25 Εἰ τὸν οἰκοδεσπότην Βεελζεβοὺλ ἐκάλεσαν, πόσῳ μᾶλλον τοὺς οἰκιακοὺς αὐτοῦ;

Βεελζεβοὺλ ὠνόμαζον τὸν ἄρχοντα τῶν δαιμονίων. Εἰ δὲ καὶ φανερῶς οὐ γέγραπται, κληθῆναι Βεελζεβοὺλ τὸν Χριστὸν ὑπὸ τῶν Ἰουδαίων, ἀλλ' εἰκὸς, καὶ τοῦτο βλασφημηθῆναι κατ' αὐτοῦ. Ἢ καὶ ἑτέρως· κληθῆναι τοῦτο λέγει, διότι φίλον αὐτοῦ τοῦτον ἐκάλουν, λέγοντες, ὅτι *Οὗτος οὐκ ἐκβάλλει τὰ δαιμόνια, εἰ μὴ ἐν τῷ Βεελζεβοὺλ, ἄρχοντι τῶν δαιμονίων* (α), ὡς προϊόντες εὑρήσομεν. Καὶ μὴν πολλὰ καὶ ἄλλα κατεβλασφήμησαν αὐτοῦ· τοῦτο δὲ μόνον τέθεικε νῦν, ὡς χεῖρον τῶν ἄλλων.

26 Μὴ οὖν φοβηθῆτε αὐτούς.

Λοιδοροῦντας καὶ διακωμῳδοῦντας.

26 Οὐδὲν γάρ ἐστι κεκαλυμμένον, ὃ οὐκ ἀποκαλυφθήσεται, καὶ κρυπτὸν, ὃ οὐ γνωσθήσεται.

Δοκεῖ μὲν καθολικὸς ὁ λόγος, ἔστι δὲ ἰδικός· περὶ τῆς ἀρε-

(α) Ματθ. ΙΒ', 24.

τῆς γὰρ λέγει τῶν ἀποστόλων, ὅτι ἀδύνατον κρυβῆναι ταύτην. Εἰ γὰρ καὶ νῦν κεκάλυπται, καὶ διὰ τοῦτο λοιδοροῦσιν ὑμᾶς, ἀλλ' ἀποκαλυφθήσεται τῷ χρόνῳ, καὶ λοιπὸν τιμηθήσεσθε παρὰ πάντων. Μὴ οὖν φοβηθῆτε τοὺς νῦν κωμῳδοῦντας, ἀλλὰ προσδοκᾶτε τοὺς ὕστερον ἐγκωμιάσοντας, μηδὲ τὰ παρόντα λυπείτω μᾶλλον, ἀλλὰ τὰ μέλλοντα πειθέτω θαῤῥεῖν.

27 Ὃ λέγω ὑμῖν ἐν τῇ σκοτίᾳ, εἴπατε ἐν τῷ φωτί· καὶ ὃ εἰς τὸ οὖς ἀκούετε, κηρύξατε ἐπὶ τῶν δωμάτων.

Ἀπαλλάξας αὐτοὺς καὶ τῆς ἐπὶ τοῖς ὀνείδεσι λύπης, περὶ τοῦ κηρύγματος διαλέγεται. Καὶ μὴν οὔτε σκότος ἦν, ὅτε ταῦτα ἐλέγετο, οὔτε εἰς τὸ οὖς αὐτοῖς ἔλεγεν· ἀλλ' ἐπειδήπερ ἰδίᾳ καὶ οὐ δημοσίᾳ ταῦτα εἶπε, καὶ μόνοις, καὶ οὐ πᾶσι, φησίν· ὅτι Ὃ λέγω ὑμῖν ἰδίᾳ, εἴπατε δημοσίᾳ, καὶ ὃ ἠκούσατε μόνοι, κηρύξατε πᾶσιν· *ἐν σκοτίᾳ* μὲν ὀνομάσας, τὸ κατ' ἰδίαν· *εἰς τὸ οὖς* δὲ, τὸ μόνοις· καὶ αὖθις, *ἐν φωτὶ* μὲν, τὸ δημοσίᾳ· *ἐπὶ τῶν δωμάτων* δὲ, τὸ πᾶσιν.

28 Καὶ μὴ φοβηθῆτε ἀπὸ τῶν ἀποκτεινόντων τὸ σῶμα, τὴν δὲ ψυχὴν μὴ δυναμένων ἀποκτεῖναι· φοβήθητε δὲ μᾶλλον τὸν δυνάμενον καὶ ψυχὴν καὶ σῶμα ἀπολέσαι ἐν γεέννῃ.

Περὶ τῶν ἄλλων δεινῶν προδιαλαβὼν, ὑποκατέβη καὶ εἰς τὸν περὶ τῆς ἀναιρέσεως αὐτῶν λόγον, καὶ προλέγει καὶ ταύτην, καὶ κελεύει καταφρονεῖν αὐτῆς, *μὴ φοβῆσθε*, λέγων, *ἀπὸ τῶν ἀποκτενόντων τὸ σῶμα*, τουτέστι, μὴ φοβῆσθε τοὺς ἀποκτείνοντας τὸ σῶμα, μηδὲ διὰ τοῦτο καταλίπητε τὸ κηρύσσειν, ἀλλὰ φοβήθητε τὸν ἀποστείλαντα ὑμᾶς εἰς τὴν τοιαύτην διακονίαν, καὶ ποιεῖτε τὸ κελευσθέν. Ἐκεῖνοι μὲν γὰρ, εἰ καὶ τὸ σῶμα ἀποκτείνωσιν, ἀλλ' οὖν οὐ περιγενήσονται καὶ τῆς ψυχῆς· οὗτος δὲ καὶ τὴν ψυχὴν καὶ τὸ σῶμα δύναται

ἀπολέσαι ἐν γεέννῃ, ὅ ἐστι κολάσαι. Φόβον οὖν ἀπώσασθε φόβῳ, τὸν τῶν ἀνθρώπων τῷ τοῦ θεοῦ, καὶ τὸν ἥττονα τῷ μείζονι. Καὶ ἑτέρωθεν δὲ παραμυθεῖται τούτοις τὴν δειλίαν τῆς ἀναιρέσεως. Καὶ ὅρα, τί φησιν·

29 Οὐχὶ δύο στρουθία ἀσσαρίου πωλεῖται; καὶ ἓν ἐξ αὐτῶν οὐ πεσεῖται ἐπὶ τὴν γῆν, ἄνευ τοῦ πατρὸς ὑμῶν.

Τὸ μὲν *ἀσσάριον*, εἶδος ὀβολοῦ ἐστί. Λέγει δὲ νῦν ὁ Χριστὸς κατ' ἐρώτησιν, ὅτι οὐχὶ τοσοῦτόν εἰσιν εὐτελέστατα τὰ στρουθία, ὡς πωλεῖσθαι δύο τοῦ ἀσσαρίου; καὶ ὅμως οὐδὲ ἓν ἐκ τούτων θηρεύεται χωρὶς τοῦ θεοῦ, οὐχ ὡς συνεργοῦντος, *ἀλλ' ὡς παραχωροῦντος*.

30 Ὑμῶν δὲ καὶ αἱ τρίχες τῆς κεφαλῆς πᾶσαι ἠριθμημέναι εἰσίν.

Ὑμεῖς δὲ τοσοῦτόν ἐστε τίμιοι, ὥστε καὶ πάσας ὑμῶν τὰς τρίχας ἠριθμημένας εἶναι παρὰ θεοῦ. Δηλοῖ δὲ ἡ ἀπαρίθμησις τῶν τριχῶν, τὴν ἀκριβῆ γνῶσιν, ὅτι λίαν γινώσκεσθε αὐτῷ, καὶ λεπτομερῶς οἶδε πάντα τὰ καθ' ὑμᾶς, διὰ τὴν ἄγαν ὑμῶν οἰκείωσιν. Καὶ εἰ τῶν εὐτελεστάτων στρουθίων οὐδὲν θηρεύεται χωρὶς αὐτοῦ, καθὼς εἴρηται, πολλῷ μᾶλλον ὑμεῖς οἱ τίμιοι οὐκ ἀναιρεθήσεσθε, μὴ παραχωροῦντος αὐτοῦ. Καὶ λοιπὸν οὐ χρὴ δεδοικέναι.

31 Μὴ οὖν φοβηθῆτε· πολλῶν στρουθίων διαφέρετε ὑμεῖς.

Πολλάκις ἐγκελεύεται τὴν ἀφοβίαν αὐτοῖς, διὰ τὰ μεγέθη τῶν μελλόντων πειρασμῶν.

32 Πᾶς οὖν ὅστις ὁμολογήσει ἐν ἐμοὶ ἔμπροσθεν τῶν ἀνθρώπων, ὁμολογήσω κἀγὼ ἐν αὐτῷ ἔμπροσθεν

33 τοῦ πατρός μου τοῦ ἐν οὐρανοῖς. Ὅστις δ' ἂν ἀρ-
νήσηταί με ἔμπροσθεν τῶν ἀνθρώπων, ἀρνήσομαι
αὐτὸν κἀγὼ ἔμπροσθεν τοῦ πατρός μου τοῦ ἐν
οὐρανοῖς.

Ὁμολογίαν, τὴν μαρτυρίαν λέγει, παραθήγων αὐτοὺς εἰς τὸ μαρτύριον. Φησὶ γὰρ, ὅτι Πᾶς, ὅστις μαρτυρήσει μοι θεότητα ἐνώπιον τῶν ἀνθρώπων, μαρτυρήσω αὐτῷ κἀγὼ πίστιν ἐνώπιον τοῦ πατρός μου, τουτέστιν, Ὃς ἀνακηρύξει με θεὸν, ἀνακηρύξω αὐτὸν κἀγὼ πιστόν. Ὅστις δ' ἂν ἀπώσηταί με, ἀπώσομαι κἀγὼ αὐτόν. Τὸ γοῦν, *ἐν ἐμοὶ*, ἀντὶ τοῦ, *ἐμοί*· καὶ τὸ, *ἐν αὐτῷ*, ἀντὶ τοῦ, *αὐτῷ*. Ὁ δὲ Χρυσόστομός (1) φησιν, ὅτι οὐκ εἶπεν, Ὅστις ὁμολογήσει ἐμοὶ, ἀλλ', ἐν ἐμοὶ, τουτέστιν, ὑπ' ἐμοῦ βοηθούμενος. Ὅθεν ἀκολούθως νοοῦμεν καὶ τὸ, *Ὁμολογήσω κἀγὼ ἐν αὐτῷ*, ἀντὶ τοῦ, ὑπὸ τῆς εὐγνωμοσύνης αὐτοῦ κινούμενος. Ἐπεὶ δὲ ταραχῆς καὶ φόβου μεστὸν ἔμελλε γίνεσθαι τὸ κήρυγμα, προδιαλαμβάνει καὶ περὶ τούτου, λέγων·

34 Μὴ νομίσητε, ὅτι ἦλθον βαλεῖν εἰρήνην ἐπὶ τὴν
γῆν· οὐκ ἦλθον βαλεῖν εἰρήνην, ἀλλὰ μάχαιραν.

[Τοῦ (2) Θεολόγου. Τί δὲ ἡ *μάχαιρα*; Ἡ τομὴ τοῦ λόγου, ἡ διαιροῦσα τὸ χεῖρον ἀπὸ τοῦ κρείττονος, καὶ διχοτομοῦσα τὸν πιστὸν καὶ τὸν ἄπιστον, καὶ ἐπεγείρουσα τὸν υἱὸν, καὶ τὴν θυγατέρα, καὶ τὴν νύμφην τῷ πατρὶ καὶ τῇ μητρὶ καὶ τῇ πενθερᾷ, τὰ νέα καὶ πρόσφατα, τοῖς παλαιοῖς καὶ σκιώδεσι.]

Καὶ μὴν ἔλεγον οἱ ἄγγελοι, γεννηθέντος αὐτοῦ, *Δόξα* (α) *ἐν ὑψίστοις θεῷ, καὶ ἐπὶ γῆς εἰρήνη*. Καὶ οἱ προφῆται δὲ τὴν

(1) Τομ. Ζ'. Σελ. 392. Ε.

(2) Τὰ παρεντεθειμένα ἀναγινώσκονται ἐν τῷ περιθωρίῳ παρὰ τῷ Α. Ἐλήφθη δὲ τὸ χωρίον τοῦτο ἐκ τοῦ Εἰς τὰ ἐπιφάνεια λόγου τοῦ Γρηγορίου Σελ. 236.

(α) Λουκ. Β', 14.

εἰρήνην αὐτοῦ πάλαι προκατήγγειλαν. Καὶ αὐτὸς δὲ τοῖς μαθηταῖς προσέταξεν, εἰσερχομένους (α) εἰς ἑκάστην οἰκίαν, εἰρήνην ἐπιλέγειν αὐτῇ. Πῶς οὖν φησὶ νῦν, ὅτι *οὐκ ἦλθον βαλεῖν εἰρήνην;* Διότι ἡ μάχαιρα αὕτη ποιεῖν ἔμελλε τὴν εἰρήνην ἐκείνην, περὶ ἧς εἶπον οἵ τε ἄγγελοι, καὶ πρὸ τούτων οἱ προφῆται. *Μάχαιραν* δὲ λέγει τὴν πρὸς αὐτὸν ἀγάπην, ὡς διαιροῦσαν τοὺς πιστεύοντας ἀπὸ τῶν μὴ πιστευόντων, ἧς τῇ ἀμάχῳ δυνάμει καὶ αὐτὰ τὰ φίλτατα γένη θᾶττον διεσπάσθησαν ἐκ τῆς ἀλλήλων συναφείας, καὶ εὐχερῶς ἀπεῤῥάγησαν. Καὶ ἀλλαχοῦ δὲ τὸ σφοδρὸν αὐτῆς καὶ δραστήριον ἐμφαίνων εἴρηκεν, ὅτι (6) *Πῦρ ἦλθον βαλεῖν ἐπὶ τὴν γῆν*. Ἔδει γὰρ, ἔδει πρῶτον ἀποκοπῆναι τὸ ἀνιάτως ἔχον, εἶτα τὸ λοιπὸν εἰρηνεῦσαι, πρός τε ἑαυτὸ, καὶ πρὸς τὸν θεόν. Διὰ τοῦτο τοίνυν οὕτως ἀποτόμως εἶπεν, ἵνα γινώσκοντες ταῦτα, μὴ ταράττωνται. Προσεξαπλοῖ δὲ καὶ ἔτι τὸν περὶ τούτου λόγον, γυμνάζων τὴν ἀκοὴν αὐτῶν τῇ τραχύτητι τῶν ῥημάτων, ἵνα μὴ ἐν τῇ δυσκολίᾳ τῶν πραγμάτων ἰλιγγιάσωσιν.

35 Ἦλθον γὰρ διχάσαι ἄνθρωπον κατὰ τοῦ πατρὸς
αὐτοῦ, καὶ θυγατέρα κατὰ τῆς μητρὸς αὐτῆς,
καὶ νύμφην κατὰ τῆς πενθερᾶς αὐτῆς.

[(1) Μιχαίου. Θυγάτηρ ἐπαναστήσεται ἐπὶ τὴν μητέρα αὐτῆς, νύμφη ἐπὶ τὴν πενθερὰν αὐτῆς· ἐχθροὶ ἀνδρὸς, πάντες οἱ ἐν τῷ οἴκῳ αὐτοῦ.]

Πάλιν διὰ τῶν φιλτάτων τούτων, παντοίαν συγγένειαν ἐνέφηνε. Οἰκειότατα δὲ εἶπεν, *ἄνθρωπον* μὲν, εἴτουν υἱὸν,

(α) Ματθ. Ι', 12.

(6) Λουκ. ΙΒ', 49.

(1) Τὰ παρεντεθειμένα ἀναγινώσκονται ἐν τῷ περισελιδίῳ παρ' ἀμφοτέροις τοῖς χειρογράφοις.—Μιχ. Ζ', 6.

διελεῖν κατὰ τοῦ πατρὸς αὐτοῦ, θυγατέρα δὲ κατὰ τῆς μητρὸς αὐτῆς· φίλτεροι γὰρ υἱὸς μὲν πατρί, θυγάτηρ δὲ μητρί, δι᾽ ὁμοιότητα φύσεως. Καὶ τὴν νύμφην δὲ αὖθις ἁρμοδίως εἴρηκε *διχάσαι κατὰ τῆς πενθερᾶς αὐτῆς*· πολλὴν γὰρ αἰδῶ καὶ τιμὴν καὶ θεραπείαν παρεῖχον αἱ νύμφαι ταῖς πενθεραῖς. Διὰ δὲ τῆς νύμφης ἐδήλωσε καὶ τὸν νυμφίον κατὰ τοῦ πενθεροῦ διχαζόμενον. Ὀπίσω μὲν οὖν ἁπλῆν ἀπαρίθμησιν ἐποιήσατο, εἰπών, ὅτι *Παραδώσει* (α) *ἀδελφὸς ἀδελφὸν εἰς θάνατον, καὶ πατὴρ τέκνον*· ἐνταῦθα δὲ τρόπον ἕτερον ἀπηριθμήσατο φυσικώτερόν τε καὶ σχετικώτερον. Εἰ δὲ τὸν ἄνθρωπον διχάσει κατὰ τοῦ ὑπερκειμένου πατρὸς αὐτοῦ, πολλῷ μᾶλλον κατὰ τῆς ὑποκειμένης αὐτῷ συζύγου· τοῦ μὲν γὰρ φύσει, τῆς δὲ θέσει τὸ φίλτρον· τιμιώτερον δὲ τὸ φύσει τοῦ θέσει. Λοιπὸν οὖν, ὡς δῆλον, ἀφῆκε τοῦτο νοεῖσθαι. Προϊὼν δὲ ῥητῶς καὶ περὶ τῶν συζύγων διέξεισι, λέγων, ὅτι *Πᾶς ὃς ἀφῆκεν οἰκίαν ἢ ἀδελφοὺς ἢ ἀδελφὰς ἢ πατέρα ἢ μητέρα ἢ γυναῖκα ἢ τέκνα ἢ ἀγρούς, ἕνεκεν τοῦ ὀνόματός μου, ἑκατονταπλασίονα λήψεται, καὶ ζωὴν αἰώνιον κληρονομήσει* (β).

36 Καὶ ἐχθροὶ τοῦ ἀνθρώπου οἱ οἰκιακοὶ αὐτοῦ.

Τοῦτο προφητικόν ἐστι τὸ ῥητόν, λεχθὲν πάλαι κατὰ τῶν Ἰουδαίων, ὅτε κατ᾽ ἀλλήλων ἐσχίσθησαν· ὁ δὲ Χριστὸς εὐκαίρως τοῦτο τοῖς προκειμένοις προσήρμοσε, δηλῶν, ὅτι πάντες οἱ οἰκεῖοι τοῦ μέλλοντος πιστεύειν ἐχθροὶ τούτῳ γενήσονται.

37 Ὁ φιλῶν πατέρα ἢ μητέρα ὑπὲρ ἐμέ, οὐκ ἔστι μου ἄξιος· καὶ ὁ φιλῶν υἱὸν ἢ θυγατέρα ὑπὲρ ἐμέ, οὐκ ἔστι μου ἄξιος.

Κἀνταῦθα περὶ μόνων τῶν ἀνιόντων καὶ κατιόντων ἐφ᾽ ἑκάστῳ διέλαβεν, ὡς οἰκειοτέρων. Ὁ φιλῶν, φησίν, αὐτούς, ὑπὲρ ἐμέ. Ὅτε μὲν γὰρ εὐσεβοῦσι, καλὸν τὸ φιλεῖν αὐτούς· ἀεὶ δὲ κακὸν τὸ φιλεῖν αὐτοὺς ὑπὲρ τὸν θεόν.

(α) Ματθ. Ι', 21.
(β) Ματθ. ΙΘ', 29.

38 Καὶ ὃς οὐ λαμβάνει τὸν σταυρὸν αὐτοῦ, καὶ ἀκολουθεῖ ὀπίσω μου, οὐκ ἔστι μου ἄξιος.

Σταυρὸν λέγει τὸν πρὸς τὰ βιωτικὰ θάνατον· διότι θανάσιμον ἦν ὄργανον ὁ σταυρός. Χρὴ γὰρ τὸν ἀκολουθεῖν μέλλοντα τῷ Χριστῷ, νεκρωθῆναι πρὸς τὰς κοσμικὰς ἡδονάς, ὡς ἐκεῖνος. Ἀκολουθεῖ δὲ ὀπίσω αὐτοῦ, πᾶς ὁ βαίνων κατ᾽ ἴχνος τῆς πολιτείας αὐτοῦ.

39 Ὁ εὑρὼν τὴν ψυχὴν αὐτοῦ, ἀπολέσει αὐτήν·

Ὁ *εὑρών*, ἀντὶ τοῦ, ὁ κερδάνας αὐτὴν ἐν καιρῷ μαρτυρίου, καὶ μὴ ἀπολέσας αὐτὴν δι᾽ ἀναιρέσεως, οὗτος ἀπολέσει αὐτήν, ἐν τῷ μέλλοντι αἰῶνι, τουτέστιν, εἰς κόλασιν ἐμβαλεῖ, ὡς προδεδωκυῖαν τὴν πίστιν.

39 Καὶ ὁ ἀπολέσας τὴν ψυχὴν αὐτοῦ ἕνεκεν ἐμοῦ, εὑρήσει αὐτήν.

Ὁ δὲ ἀφαιρεθεὶς αὐτὴν δι᾽ ἐμὲ παρὰ τῶν ἀπίστων, οὗτος *εὑρήσει* μᾶλλον αὐτήν, ἤγουν, κερδανεῖ, σώσει. Ταῦτα δὲ ἔλεγεν, ἀπάγων μὲν αὐτοὺς τῆς ἀγεννοῦς φιλοψυχίας· παραθήγων δὲ ἐπὶ τὸ μαρτύριον. Καὶ ἀλλαχοῦ δὲ (ἐν τῷ τριακοστῷ τρίτῳ κεφαλαίῳ) πάλιν, ἑτέρως ὁ Χριστὸς τὸ παρὸν μετεχειρίσατο νόημα. Καὶ πολλάκις ἐπὶ πολλῶν εἴωθε τοῦτο ποιεῖν.

40 Ὁ δεχόμενος ὑμᾶς, ἐμὲ δέχεται· καὶ ὁ ἐμὲ δεχόμενος, δέχεται τὸν ἀποστείλαντά με.

Ταῦτα εἶπεν, ἀνοίγων τοῖς μαθηταῖς τὰς οἰκίας τῶν πιστευόντων. Τίς γὰρ οὐκ ἂν ἀσπασίως αὐτοὺς ἐξένισε, μέλλων ὑποδέξασθαι δι᾽ αὐτῶν μὲν τὸν υἱόν, διὰ τοῦ υἱοῦ δέ, τὸν πατέρα;

41 Ὁ δεχόμενος προφήτην εἰς ὄνομα προφήτου, μισθὸν προφήτου λήψεται· καὶ ὁ δεχόμενος δίκαιον εἰς ὄνομα δικαίου, μισθὸν δικαίου λήψεται.

Καὶ ταῦτα διὰ τὴν αὐτὴν αἰτίαν εἴρηκε. Καθολικῶς δὲ πρῶτον ἀποφαίνεται περὶ ἁπλῶς προφήτου, καὶ περὶ ἁπλῶς δικαίου· εἶτα ἐπιφέρει περὶ τῶν μαθητῶν. Λέγει δὲ, ὅτι Ὁ ξενίζων προφήτην, ἢ ἁπλῶς δίκαιον, μὴ κατ' ἐπίδειξιν, ἤ τινα τρόπον ἐσχηματισμένον, ἀλλ' εἰς *ὄνομα προφήτου*, ἢ *δικαίου*, τουτέστι δι' αὐτὸ τὸ ὀνομάζεσθαι, καὶ εἶναι αὐτοὺς, τὸν μὲν, προφήτην, τὸν δὲ, δίκαιον, μισθὸν προφήτου λήψεται. Τοῦτο δὲ διπλῆν ἔχει τὴν ἑρμηνείαν· ἢ ὅτι τῶν ἴσων αὐτοῖς τιμῶν καταξιωθήσεται· μέγα γὰρ καὶ ἡ φιλοξενία, καὶ μᾶλλον ἡ τῶν θεραπόντων τοῦ θεοῦ· ἢ ὅτι μισθὸν ὑπὲρ τοῦ προφήτου καὶ ὑπὲρ τοῦ δικαίου λήψεται. Περὶ προφήτου δὲ καὶ περὶ δικαίου εἰπὼν, ἔδειξεν, ὅτι οἱ μαθηταὶ, καὶ προφῆται καὶ δίκαιοι ἔσονται. Ἵνα δὲ μὴ προβάληταί τις πενίαν, ὅρα μέχρι πόσου συγκαταβαίνει.

42 Καὶ ὃς ἐὰν ποτίσῃ ἕνα τῶν μικρῶν τούτων ποτήριον ψυχροῦ μόνον, εἰς ὄνομα μαθητοῦ, ἀμὴν λέγω ὑμῖν, οὐ μὴ ἀπολέσῃ τὸν μισθὸν αὐτοῦ.

Μικρούς, τοὺς μαθητὰς εἶπε, διδάσκων αὐτοὺς μετριοφρονεῖν· *ψυχρὸν* δὲ, τὸ ὕδωρ φησίν. Ὁ Μάρκος γὰρ, *ποτήριον ὕδατος*, *εἴρηκε* (α).

ΚΕΦ. XI, 1 Καὶ ἐγένετο, ὅτε ἐτέλεσεν ὁ Ἰησοῦς διατάσσων τοῖς δώδεκα μαθηταῖς αὐτοῦ, μετέβη ἐκεῖθεν, τοῦ διδάσκειν καὶ κηρύσσειν ἐν ταῖς πόλεσιν αὐτῶν.

Διατάσσων, ἀντὶ τοῦ, παραγγέλλων, ἐντελλόμενος. *Μετέβη*

(α) Μαρκ. Θ', 41.

δὲ ἐκεῖθεν, ὥστε διδάσκειν καὶ κηρύσσειν ἐν ταῖς πόλεσι τῶν μαθητῶν, ἐξ ὧν ὥρμηντο. [Ἢ (1), *αὐτῶν*, ἤτοι τῶν Ἰουδαίων.]

ΚΕΦΑΛΑΙΟΝ Κ'.

Περὶ τῶν ἀποσταλέντων παρὰ Ἰωάννου.

2 Ὁ δὲ Ἰωάννης ἀκούσας ἐν τῷ δεσμωτηρίῳ τὰ ἔργα τοῦ Χριστοῦ, πέμψας δύο τῶν μαθητῶν αὐτοῦ,
3 εἶπεν αὐτῷ· Σὺ εἶ ὁ ἐρχόμενος, ἢ ἕτερον προσδοκῶμεν;

Ὁ δὲ Λουκᾶς (α) φησὶν, ὅτι αὐτοὶ ἀπήγγειλαν τὰ σημεῖα τῷ Ἰωάννῃ, καὶ τότε ἔπεμψε δύο τινὰς ἐξ αὐτῶν, ὅπερ ἐμφαίνει τὴν ζηλοτυπίαν, ἣν εἶχον οὗτοι πρὸς τὸν Χριστόν. Ἔπεμψε δὲ αὐτοὺς ὁ Ἰωάννης, ἐρωτῶν, εἰ αὐτός ἐστιν, ὃν ἔρχεσθαί φασιν αἱ βίβλοι τῶν προφητῶν, οὐχ ὡς ἀγνοῶν· πῶς γάρ; ὁ προκηρύξας αὐτὸν, καὶ χερσὶν ἰδίαις βαπτίσας, καὶ τῆς ἄνωθεν περὶ αὐτοῦ μαρτυρίας ἀκούσας, καὶ τὸ θεῖον πνεῦμα καταπτὰν ἐπ' αὐτὸν, ὡσεὶ περιστερὰν, θεασάμενος; ἀλλ' εἰδὼς τοὺς ἑαυτοῦ μαθητὰς ζηλοτύπως πρὸς τὸν Χριστὸν ἔχοντας. Καὶ γὰρ καὶ πρότερον προσελθόντες εἶπον αὐτῷ, ὅτι *Ὃς ἦν μετὰ σοῦ πέραν τοῦ Ἰορδάνου, ᾧ σὺ μεμαρτύρηκας, ἴδε, οὗτος βαπτίζει, καὶ πάντες ἔρχονται πρὸς αὐτόν* (6).

Ὑπερφιλοῦντες γὰρ τὸν ἴδιον διδάσκαλον, καὶ παραπολαύειν τῆς αὐτοῦ δόξης ἐθέλοντες, ἐδάκνοντο βλέποντες αὐτὸν (2) εὐδοκιμοῦντα. Ἐπεὶ δὲ πολλάκις παραινέσας, οὐκ ἔπεισεν αὐτοὺς, λοιπὸν μέλλων τελευτᾶν, δύο τοὺς συνετωτέρους ἐπιλεξάμενος;

(1) Τὰ παρεντεθειμένα ἀναγινώσκονται ἐν τῷ περισελιδίῳ παρὰ τῷ Β.
(α) Λουκ. Ζ', 18.
(6) Ἰωαν. Γ', 26.
(2) τὸν Χριστόν.

πέμπει τούτους πρὸς τὸν Χριστὸν, προφάσει μὲν ἐρωτήσοντας, εἰ αὐτός ἐστιν ὁ ἐρχόμενος, τῇ δὲ ἀληθείᾳ, ἵνα θεασάμενοι τὰ θαύματα, ἃ ποιεῖ, πεισθῶσι. Καὶ γὰρ τὴν ἀπὸ τῶν πραγμάτων μαρτυρίαν πιστοτέραν καὶ ἀνυποπτοτέραν ἐγίνωσκε. Διὸ καὶ ὁ Χριστὸς, εἰδὼς ὅτι διὰ τοῦτο μᾶλλον αὐτοὺς ἔπεμψεν ὁ Ἰωάννης, εὐθέως ἐν αὐτῇ τῇ ὥρᾳ ἐθαυματούργησε πολλὰ, καθὼς φησιν ὁ Λουκᾶς (α). Εἰ γὰρ φανερῶς αὐτοὺς ἔπεμψε θεατὰς, οὐκ ἂν ἀπῆλθον. Διὰ τοῦτο οὖν ἐπλάσατο πρόφασιν ἐρωτήσεως.

4 **Καὶ** ἀποκριθεὶς ὁ Ἰησοῦς, εἶπεν αὐτοῖς· Πορευ-
θέντες ἀπαγγείλατε Ἰωάννῃ, ἃ ἀκούετε καὶ βλέ-
5 πετε. Τυφλοὶ ἀναβλέπουσι καὶ χωλοὶ περιπατοῦσι,
λεπροὶ καθαρίζονται καὶ κωφοὶ ἀκούουσι, νεκροὶ
ἐγείρονται καὶ πτωχοὶ εὐαγγελίζονται.

Ὅρα, πῶς οὐ πρὸς τὴν πεπλανημένην αὐτῶν ἐρώτησιν ἀπεκρίνατο, ἀλλὰ πρὸς τὴν ἀληθῆ αἰτίαν, δι' ἣν ἐπέμφθησαν. *Πτωχοὺς δὲ εὐαγγελιζομένους*, τοὺς ἀποστόλους ὠνόμασε. Τί γὰρ πενέστερον ἁλιευτικῆς;

6 **Καὶ** μακάριός ἐστιν, ὃς ἐὰν μὴ σκανδαλισθῇ ἐν ἐμοί.

Τοῦτο προηγουμένως δι' αὐτοὺς εἶπε τοὺς μαθητὰς Ἰωάννου, ἀνακαλύπτων αὐτοῖς τὸ τῆς καρδίας αὐτῶν μυστήριον, καὶ δεικνύων, ὅτι οὐ λελήθασιν αὐτὸν, σκανδαλιζόμενοι καὶ αὐτοὶ, διότι μετὰ τελωνῶν καὶ ἁμαρτωλῶν ἐσθίει. Καὶ γὰρ καὶ φανερῶς (β) πρότερον ἐνεκάλεσαν αὐτῷ γαστριμαργίαν κατὰ τῶν μαθητῶν αὐτοῦ, ὡς ἐν τῷ τεσσαρεσκαιδεκάτῳ κεφαλαίῳ προείρηται.

(α) Λουκ. Ζ', 12.
(β) Ματθ. Ε', 14.

7 Τούτων δὲ πορευομένων, ἤρξατο ὁ Ἰησοῦς λέγειν
τοῖς ὄχλοις περὶ Ἰωάννου·

Οὗτοι μὲν βελτιωθέντες, ἀπῆλθον. Διὰ τί δὲ μὴ παρόντων αὐτῶν λέγει περὶ Ἰωάννου; Ἵνα μὴ δόξῃ κολακεύειν αὐτόν.

7 Τί ἐξήλθετε εἰς τὴν ἔρημον θεάσασθαι; κάλαμον
ὑπὸ ἀνέμου σαλευόμενον;

Ἀκούσαντες οἱ ὄχλοι τὴν ἐρώτησιν Ἰωάννου, καὶ ἀγνοήσαντες τὸν σκοπὸν αὐτοῦ, διεθορυβήθησαν, πῶς ὁ τοσαῦτα καὶ τηλικαῦτα περὶ αὐτοῦ μαρτυρήσας, ἀμφιβάλλει νῦν, καὶ ὑπώπτευσαν, ὅτι μετεβλήθη. Τοῦτο δὲ γνοὺς ὁ Χριστὸς, θεραπεύει τὴν τοιαύτην ὑποψίαν, διδάσκων ἅμα, καὶ ὅτι καρδιογνώστης ἐστίν· ἐντρεπτικώτερον δὲ καθαπτόμενος αὐτῶν, φησιν· *Τί ἐξήλθετε εἰς τὴν ἔρημον θεάσασθαι; κάλαμον ὑπὸ ἀνέμου σαλευόμενον;* τουτέστι, κοῦφον καὶ εὐρίπιστον ἄνθρωπον, καὶ δίκην καλάμου τὴν γνώμην εὐμετάτρεπτον, ὡς ὑπολαμβάνετε νῦν, ἢ τοὐναντίον μᾶλλον, σταθερὸν καὶ πέτρας στεῤῥότερον, ὡς ἡ τότε σπουδὴ καὶ συνδρομὴ ὑμῶν ἐμαρτύρει;

8 Ἀλλὰ τί ἐξήλθετε ἰδεῖν; ἄνθρωπον ἐν μαλακοῖς
ἱματίοις ἠμφιεσμένον;

Δηλονότι τρυφηλὸν, ἵνα καὶ διὰ τοῦτο δόξῃ χαῦνος καὶ εὐμετάβλητος; ἢ τοὐναντίον μᾶλλον, ἐσκληραγωγημένον, ὡς καὶ ἡ στολὴ τούτου, καὶ ἡ τροφὴ διεβεβαιώσαντο;

8 Ἰδοὺ, οἱ τὰ μαλακὰ φοροῦντες, ἐν τοῖς οἴκοις τῶν
βασιλέων εἰσίν.

Οὗτος δὲ, πρότερον μὲν, ἐν τῇ ἐρήμῳ διῃτᾶτο, νῦν δὲ, ἐν τῷ δεσμωτηρίῳ τετήρηται. Ἐπεὶ γάρ τινες μὲν, οἴκοθεν εἰσὶ κοῦφοι, τινὲς δὲ, καὶ ὑπὸ τρυφῆς τοῦτο πάσχουσι, τέθεικεν ὁ Χριστὸς καὶ τοῦτο κἀκεῖνο, καὶ ἤλεγξεν, ὡς οὐδέτερόν ἐστι

περὶ τὸν Ἰωάννην. Εἶτα ἐπιφέρει τὴν ἀλήθειαν, καὶ μαρτυρεῖ τῇ ἀληθείᾳ, καὶ πλέκει τῷ Βαπτιστῇ λαμπρὸν ἐγκωμίου στέφανον.

9 Ἀλλὰ τί ἐξήλθετε ἰδεῖν; προφήτην; Ναί, λέγω ὑμῖν, καὶ περισσότερον προφήτου!

Περισσότερον, ἀντὶ τοῦ, μείζονα. Εἶτα λέγει καὶ κατὰ τί μείζονα, ὅτι κατὰ τὸ προπορεύεσθαι πλησίον τῆς παρουσίας αὐτοῦ. Μείζονες γὰρ τῶν ἄλλων κηρύκων οἱ προπορευόμενοι πλησίον τοῦ βασιλέως.

[*Περισσότερον* (1) *προφήτου*, ὡς καὶ αὐτὸν ἰδὼν ὀφθαλμοφανῶς τὸν ὑπ' αὐτοῦ προφητευόμενον, ὃν οἱ πρὸ αὐτοῦ προφῆται αἰνιγματωδῶς ἐθεάσαντο.]

10 Οὗτος γάρ ἐστι, περὶ οὗ γέγραπται· «Ἰδού, ἐγὼ ἀποστέλλω τὸν ἄγγελόν μου πρὸ προσώπου σου, ὃς κατασκευάσει τὴν ὁδόν σου ἔμπροσθέν σου».

Μετὰ τὴν οἰκείαν μαρτυρίαν, ἐπιφέρει καὶ τὴν προφητικήν. Ἔστι γὰρ Μαλαχίου τὸ ῥητόν (α)· εἴρηται δέ, ὡς ἀπὸ τοῦ πατρὸς καὶ θεοῦ πρὸς τὸν υἱὸν καὶ θεόν. *Ἄγγελον δὲ αὐτοῦ*, τὸν Ἰωάννην ὁ θεὸς ὠνόμασεν, ἢ ὡς ἀπαγγείλαντα τῷ λαῷ τὰ λαληθέντα περὶ τοῦ Χριστοῦ· *Ἐγένετο* (β) *γάρ*, φησι, *ῥῆμα θεοῦ ἐπὶ Ἰωάννην τὸν τοῦ Ζαχαρίου υἱὸν ἐν τῇ ἐρήμῳ*· ἢ ὡς ἀγγελικὸν βίον μετερχόμενον, ἐν τῷ ὑπεραρθῆναι τῶν γηΐνων καὶ φρονεῖν οὐράνια. Τὸ δέ, *πρὸ προσώπου σου*, ἀντὶ τοῦ, ἐνώπιόν σου προοδεύοντα, ὡς οἰκεῖον, ὃς καὶ ἔμπροσθέν σου εὐτρεπίσει τὴν ὁδόν σου. Ὁδὸς δὲ τοῦ Χριστοῦ, αἱ ψυχαὶ

(1) Τὰ παρεντεθειμένα ἀναγινώσκονται ἐν τῷ περισελιδίῳ παρ' ἀμφοτέροις τοῖς χειρογράφοις.

(α) Μαλαχ. Γ', 1.

(β) Λουκ. Γ', 2.

τῶν ἀνθρώπων, ὧν ἐπιβαίνειν ἔμελλεν ὁ λόγος, ὡς ἐν τῷ τρίτῳ κεφαλαίῳ πλατύτερον εἰρήκαμεν. Λέγοιτο δ' ἂν περισσότερος προφήτου, καὶ ὡς τὸν ὑπ' αὐτοῦ προφητευόμενον ἰδών, ὡς οὐδεὶς τῶν ἄλλων προφητῶν, καὶ μὴ μόνον ἰδών, ἀλλὰ καὶ βαπτίσας.

11 Ἀμὴν λέγω ὑμῖν, οὐκ ἐγήγερται ἐν γεννητοῖς γυναικῶν μείζων Ἰωάννου τοῦ βαπτιστοῦ·

Οὐ γεγέννηταί, φησιν, ἐν τοῖς γεννωμένοις ἐκ γυναικῶν ἀνθρώποις μείζων αὐτοῦ. Τίς γὰρ ἄλλος, ἐν σκότει μήτρας ἐπικρυπτόμενος, ἐγνώρισε τὸ φῶς ἐλθόν, καὶ τοῦτο τοῖς σκιρτήμασι προσεκύνησεν (α); Οὐδεὶς ἕτερος, εἰμὴ μόνος οὗτος. Μείζων ἄρα πάντων εἰκότως. Καὶ αὖθις, τίς ἐκ βρέφους οὕτω γέγονεν ἐρημικός, καὶ τοιαύτην ἄσκησιν εἵλετο; Τῶν πάντων ὄντων οὐδείς. Ἐπαινέσας οὖν τὸν Βαπτιστήν, ἀπό τε τῆς πρὸς αὐτὸν συνδρομῆς τῶν Ἰουδαίων, ἀπό τε τῆς ἀρετῆς αὐτοῦ, καὶ τρίτον ἀπὸ τῆς οἰκείας ψήφου, καὶ τέταρτον ἀπὸ τῆς προφητικῆς μαρτυρίας· καὶ μείζονα μὲν τῶν προφητῶν ἀνακηρύξας αὐτόν, μείζονα δὲ καθόλου πάντων ἀνθρώπων· θεραπεύει τὴν ὑπερβολὴν τῶν ἐγκωμίων, ἵνα μὴ διὰ ταῦτα μᾶλλον προτιμήσωσιν αὐτὸν τοῦ Χριστοῦ. Καὶ ὅρα, τί φησιν·

11 Ὁ δὲ μικρότερος ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν, μείζων αὐτοῦ ἐστιν.

Μικρότερον, ἑαυτὸν λέγει, διὰ τὸ δοκεῖν οὕτω παρὰ τοῖς Ἰουδαίοις. Μείζονα γὰρ αὐτοῦ τὸν Ἰωάννην ἐνόμιζον, ὡς ἐκ βρέφους ἐρημικόν, καὶ ξένῃ διαίτῃ χρώμενον. Τὸν γὰρ Χριστόν, ὡς κοινῶς διαιτώμενον, ὑπεβίβαζον. *Ὁ δὲ μικρότερός*, φησιν, ὁ δοκῶν ἐλάττων αὐτοῦ, *μείζων αὐτοῦ ἐστιν* ἐν τῷ βασιλεύειν τῶν οὐρανῶν, ὡς μὴ μόνον ἄνθρωπος, ἀλλὰ καὶ θεός.

(α) Λουκ. Α', 41.

Ἀπὸ δὲ τῶν ἡμερῶν Ἰωάννου τοῦ Βαπτιστοῦ ἕως ἄρτι, ἡ βασιλεία τῶν οὐρανῶν βιάζεται, καὶ βιασταὶ ἁρπάζουσιν αὐτήν.

Ὁ Χρυσόστομός φησιν (1), ὅτι βασιλείαν οὐρανῶν λέγει νῦν, τὴν εἰς αὐτὸν πίστιν, ὡς οὖσαν ἀῤῥαβῶνα τῆς βασιλείας τῶν οὐρανῶν, φημὶ δὴ, τῆς ἀπολαύσεως τῶν ἐν οὐρανοῖς ἀγαθῶν. *Βιάζεται* δὲ, ἀντὶ τοῦ, βιαίως ἁρπάζεται παρὰ τῶν ἀνθρώπων, ἐν τῷ βιάζειν ἑαυτοὺς καὶ νικᾷν τὴν ἀνάγκην τῶν οἱωνδήποτε παθῶν, ἢ καὶ τὴν τυραννίδα τῆς ἀπιστίας. Διὸ καὶ τοῦτο σαφηνίζων ἐπήγαγεν, ὅτι *βιασταὶ ἁρπάζουσιν αὐτήν*. Ταύτην δὲ τὴν ἐπαινετὴν βίαν ἄρξασθαί, φησιν, ἀπὸ τῶν ἡμερῶν τοῦ κηρύγματος Ἰωάννου, βοῶντος τῷ λαῷ· *Μετανοεῖτε· ἤγγικε γὰρ ἡ βασιλεία τῶν οὐρανῶν*. Εἴρηκε δὲ τοῦτο νῦν ὁ Χριστὸς, ἅμα μὲν ἐπαινῶν τὸν Ἰωάννην, ὡς αὐτὸν ἐναρξάμενον τῆς σωτηρίας τῶν ἀνθρώπων, ἅμα δὲ καὶ παραθήγων τοὺς ἀκούοντας εἰς τὸ καὶ αὐτοὺς ὁμοίως βιάζειν ἑαυτούς.

13 Πάντες γὰρ οἱ προφῆται καὶ ὁ νόμος ἕως Ἰωάννου προεφήτευσαν.

Νόμον λέγει τὴν παλαιὰν νομοθεσίαν. Καὶ γὰρ καὶ ἐν ταύτῃ πολλὰ περὶ Χριστοῦ προείρητο, καὶ μᾶλλον ἐν τοῖς περὶ θυσιῶν νόμοις, τύπον καὶ προμήνυμα κεκτημένοις τοῦ τυθῆναι μέλλοντος ὑπὲρ τοῦ κόσμου. Φησὶν οὖν, ὅτι *Πάντες οἱ προφῆται*, οἱ προφητεύσαντες δηλαδὴ περὶ τοῦ μέλλοντος ἔρχεσθαι Χριστοῦ, *καὶ ὁ νόμος*, ὁ προφητεύσας περὶ τοῦ μέλλοντος θύεσθαι προβάτου καὶ ἀμνοῦ, μέχρις Ἰωάννου τὰς τοιαύτας

(1) Τόμ. Ζ′. Σελ. 417. C « Καὶ γὰρ ὠθεῖ, καὶ ἐπείγει λοιπὸν αὐτοὺς καὶ ἐντεῦθεν εἰς τὴν πίστιν τὴν ἑαυτοῦ. » Σκοτεινῶς πως ἄρα λέγει ἐνταῦθα ὁ Χρυσόστομος ὅ,τι φέρει αὐτὸν λέγοντα ὁ Εὐθύμιος. Τὸ αὐτὸ χωρίον πραγματεύεται ὁ Χρυσόστομος καὶ Τόμ. Ἡ. Σελ. 320. C. ἀλλ' αὐτόθι οὐδεὶς λόγος περὶ πίστεως.

αὐτῶν προφητείας ἐξέτειναν· μέχρι μὲν γὰρ Ἰωάννου προφητεῖαι ἦσαν αὗται· ἐπ' αὐτοῦ δὲ λοιπὸν, οὐκ ἔτι προφητεῖαι μεμενήκασιν, ἀλλὰ πράγματα γεγόνασι. Καὶ γὰρ αὐτὸς εἶδε τὴν ἔκβασιν τούτων· διὸ καὶ, ἐπιγνοὺς τὸν Χριστὸν, ἀμνὸν αὐτὸν προσηγόρευσεν, εἰπών· *Ἴδε ὁ ἀμνὸς τοῦ θεοῦ, ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου* (α).

Εἴρηκε δὲ τὸν λόγον τοῦτον ὁ Χριστὸς, ἅμα μὲν καὶ ἐντεῦθεν ἐπαινῶν τὸν Ἰωάννην, ὡς πρῶτον ἐπιγνόντα τὴν ἔκβασιν τῶν τοιούτων προφητειῶν, οἷα καὶ αὐτὸν προφήτην· ἅμα δὲ καὶ διδάσκων, ὅτι παραγέγονεν ὁ προφητευόμενος, καὶ οὐκ ἔτι χρὴ προσδοκᾷν ἕτερον.

Ἔστι δὲ καὶ ἄλλη τις ἐξήγησις, ὅτι Πάντες ἁπλῶς οἱ προφῆται καὶ ὁ νόμος τοῦ προφητεύειν ἕως Ἰωάννου προεφήτευσαν ἐν Ἰουδαίοις, καὶ τελευταῖος προφήτης οὗτός ἐστι· τὸ λοιπὸν δὲ, οὐδεὶς ἕτερος αὐτοῖς προφητεύσει, καὶ χρὴ τούτῳ πείθεσθαι πάντως, ὡς τελευταίῳ, πολλὰ περὶ ἐμοῦ μαρτυρήσαντι καὶ νυμφαγωγήσαντί μοι τὰς ἁπάντων ψυχάς· ἐπεὶ καὶ κατασκευάζειν ἔμπροσθέν μου τὴν ὁδόν μου, Μαλαχίας (β) ὁ προφήτης εἶπεν αὐτόν.

14 Καὶ εἰ θέλετε δέξασθαι, αὐτός ἐστιν Ἠλίας, ὁ μέλλων ἔρχεσθαι.

Προσδοκῶσιν Ἰουδαῖοι, τότε τὸν Χριστὸν ἐλθεῖν, ὅταν ἐλθὼν Ἠλίας προδράμῃ τῆς παρουσίας αὐτοῦ. Καὶ γὰρ ἔστι προφητεία Μαλαχίου λέγουσα· *Ἀποστελῶ* (γ) *ὑμῖν Ἠλίαν τὸν Θεσβίτην*, ὃς *ἀποκαταστήσει καρδίαν πατρὸς πρὸς υἱόν*. Καὶ μέλλει μὲν Ἠλίας προδραμεῖν τῆς τοῦ Χριστοῦ παρουσίας, ἀλλὰ τῆς δευτέρας· τῆς γὰρ πρώτης ὁ Ἰωάννης προέδρα-

(α) Ἰωάν. Ἁ, 29.
(β) Μαλαχ. Γ′, 1.
(γ) Μαλαχ. Δ′, 4. 5.

με. Φησὶν οὖν ὁ Χριστὸς, ὅτι Ἐὰν θέλητε δέξασθαι, ὃ μέλλω νῦν εἰπεῖν· ἢ, *δέξασθαι*, ἀντὶ τοῦ, προσέχειν τοῖς πράγμασιν· *αὐτός ἐστιν Ἠλίας ὁ μέλλων ἔρχεσθαι*· αὐτός ἐστιν, ὡς τὴν αὐτὴν αὐτῷ διακονίαν ἀνύων. Ὥσπερ γὰρ ἐκεῖνος, προτρέχων τῆς δευτέρας μου παρουσίας, ἐπιστρέψει τὰς καρδίας τῶν τηνικαῦτα Ἰουδαίων πρὸς τοὺς ἀποστόλους· πατέρες γὰρ οἱ Ἰουδαῖοι τῶν ἀποστόλων· οὕτω καὶ οὗτος, προτρέχων τῆς πρώτης μου παρουσίας, ἐπιστρέφει τὰς καρδίας τῶν μελλόντων πιστεύειν Ἰουδαίων πρὸς ἐμὲ, τὸν υἱὸν αὐτῶν. Κατὰ γὰρ τὴν ἐνανθρώπησιν ἐξ Ἰουδαίων ὁ Χριστὸς κατήγετο. Καὶ ὥσπερ ὁ πρῶτος Ἠλίας, δεύτερος πρόδρομος λέγεται· οὕτω καὶ ὁ πρῶτος πρόδρομος, δεύτερος Ἠλίας προσαγορεύεται, διὰ τὴν, ὡς εἴρηται, ὁμοίαν διακονίαν.

15 Ὁ ἔχων ὦτα ἀκούειν, ἀκουέτω.

Ὦτα νοητὰ λέγει νῦν· αἰσθητὰ γὰρ πάντες εἶχον οἱ ἀκροώμενοι. Φησὶ δὲ, ὅτι Ὁ ἔχων ὦτα νοητὰ εἰς τὸ συνιέναι, συνιέτω τὸ ῥηθὲν, ἤγουν, πῶς ἐστιν Ἠλίας ὁ Ἰωάννης. Ἐδόκει γὰρ αἰνίγματι ὅμοιον. Ἀποδείξας μὲν οὖν Ἠλίαν τὸν Ἰωάννην, συναπέδειξε, καὶ ὅτι παραγέγονεν ὁ Χριστός. Εἰπὼν δὲ, ὅτι *Ὁ ἔχων ὦτα ἀκούειν, ἀκουέτω*, διήγειρεν αὐτοὺς εἰς τὸ ἐρωτῆσαι περὶ τοῦ δοκοῦντος αἰνίγματος.

16 Τίνι δὲ ὁμοιώσω τὴν γενεὰν ταύτην;

Ὁ δὲ Λουκᾶς (α), *Τίνι ὁμοιώσω τοὺς ἀνθρώπους τῆς γενεᾶς ταύτης; Ὁμοιώσω* δὲ, ἀντὶ τοῦ, παρεικάσω. Βούλεται δὲ τὸ δυσάρεστον ἐλέγξαι τῶν Ἰουδαίων.

(α) Λουκ. Ζ', 31.

16 Ὁμοία ἐστὶ παιδίοις ἐν ἀγοραῖς καθημένοις, καὶ προσφωνοῦσι τοῖς ἑταίροις αὐτῶν·

Παιδίοις τοὺς Ἰουδαίους παρείκασε, διὰ τὴν ἀφροσύνην αὐτῶν. *Ἀγορὰ* δέ ἐστι, τόπος δημόσιος, ἐν ᾧ τὰ πλήθη πανταχόθεν συῤῥέουσιν, ἐμπορίας χάριν· *ἑταίρους* δὲ, τουτέστι, φίλους αὐτῶν, λέγει ἑαυτὸν καὶ τὸν Βαπτιστὴν Ἰωάννην, οἷς προσεφώνουν, εἴτουν, συνελάλουν οἱ Ἰουδαῖοι.

17 Καὶ λέγουσιν· Ηὐλήσαμεν ὑμῖν, καὶ οὐκ ὠρχήσασθε· ἐθρηνήσαμεν ὑμῖν, καὶ οὐκ ἐκόψασθε.

Καὶ λέγουσι τοῖς δηλωθεῖσι παιδίοις οἱ τοιοῦτοι ἑταῖροι αὐτῶν, ὅτι *Ηὐλήσαμεν ὑμῖν, καὶ οὐκ ὠρχήσασθε· ἐθρηνήσαμεν ὑμῖν, καὶ οὐκ ἐκόψασθε*. Ταῦτα δὲ τοιαύτην ἔχει διάνοιαν· ὅτι Ἐπεδειξάμεθα ὑμῖν πολιτείαν εὐπρόσιτον, καὶ οὐκ ἠρέσθητε· καὶ δυσπρόσιτον, καὶ πάλιν οὐκ ἠρέσθητε. Τὸ μὲν γὰρ αὐλεῖν, εὐπρόσιτον· τὸ δὲ θρηνεῖν, δυσπρόσιτον. Καὶ αὖθις ὁ ὀρχούμενός τε αὐλοῦντός τινος ἀρέσκεται, καὶ ὁ κοπτόμενος, εἴτουν κλαίων, θρηνοῦντός τινος ἀρέσκεται. Εἶτα ἑρμηνεύει τὰ ῥηθέντα λέγων·

18 Ἦλθε γὰρ Ἰωάννης μήτε ἐσθίων, μήτε πίνων· καὶ
19 λέγουσι· Δαιμόνιον ἔχει. Ἦλθεν ὁ υἱὸς τοῦ ἀνθρώπου ἐσθίων καὶ πίνων· καὶ λέγουσιν· Ἰδοὺ, ἄνθρωπος φάγος καὶ οἰνοπότης, τελωνῶν φίλος καὶ ἁμαρτωλῶν.

Ἡ μὲν τοῦ Ἰωάννου δίαιτα, δυσπρόσιτος καὶ τραχεῖα· οὔτε γὰρ ἤσθιεν ἄρτον, οὔτε ἔπινεν οἶνον· ἡ δὲ τοῦ Χριστοῦ, εὐπρόσιτος καὶ ὁμαλή. Τί γάρ; Ἤσθιεν ἄρτον, καὶ ἔπινεν οἶνον· καὶ ἦσαν μὲν ἀλλήλαις ἐναντίαι αὗται αἱ δίαιται· οὐδετέρῳ δὲ τῶν οὕτω διαιτωμένων ἠρέσκοντο· ἀλλὰ τὸν Ἰωάννην μὲν,

διὰ τὴν ἀσιτίαν καὶ ἀοινίαν, δαιμόνιον ἔχειν ἔλεγον· τὸν δὲ Χριστὸν, διὰ τὸ ἐσθίειν καὶ πίνειν, φάγον καὶ οἰνοπότην ὠνόμαζον, εἰ καὶ μὴ ῥητῶς τὰς διαβολὰς τούτων ἀνέγραψεν ὁ εὐαγγελιστὴς, νομίσας ἀρκεῖν τὸν παρόντα λόγον.

Ὥσπερ γὰρ δύο θηρευταὶ, ζῶον δυσθήρατον ἑλεῖν σπεύδοντες, ἐκ δύο μόνων διεξόδων θηρευθῆναι μέλλον, ἐναντίων ἀλλήλαις, ἑκατέραν διέξοδον ἑκάτερος διαλαβὼν, ἐξεναντίας μὲν ἀλλήλοις ἵστανται, τὸ αὐτὸ δὲ ποιοῦσιν· οὕτως ᾠκονομήθη, τὸν μὲν Ἰωάννην σκληροτέραν ἔχειν ἀγωγὴν, τὸν δὲ Χριστὸν μαλακωτέραν, ἵνα εἴτε τοῦτον, εἴτε ἐκεῖνον ἀποδεξάμενοι, πεισθῶσιν αὐτοῖς, καὶ εἴτε διὰ τούτου, εἴτε δι᾽ ἐκείνου θηραθῶσι. Καὶ ἦσαν ἐναντίαι μὲν ἀλλήλαις αἱ ὁδοί· τὸ δὲ ἔργον, ὅμοιον. Ἀλλ᾽ αὐτοὶ, καθάπερ θηρίον δύστροπον, ἑκατέρους φεύγοντες, ἑκατέρους ἐκάκιζον.

Ἐρωτήσωμεν τοίνυν αὐτούς: Καλὸν ἡ σκληροτέρα πολιτεία; Καὶ πῶς οὐκ ἐπείσθητε τῷ Ἰωάννῃ, τὸν Χριστὸν ὑμῖν ὑποδεικνύοντι; Ἀλλὰ καλὸν ἡ μαλακωτέρα! Καὶ πῶς οὐκ ἐπείσθητε τῷ Χριστῷ, τὴν ὁδὸν ὑμᾶς τῆς σωτηρίας διδάσκοντι;

Διὰ τί δὲ μᾶλλον ὁ Ἰωάννης τὴν σκληροτέραν ἀγωγὴν εἶχε; Διότι ἔδει τὸν μὲν κήρυκα τῆς μετανοίας, σκυθρωπὸν εἶναι, τὸν δὲ δοτῆρα τῆς ἀφέσεως τῶν ἁμαρτιῶν, χαρίεντα· καὶ ὅτι ὁ μὲν Ἰωάννης οὐδὲν πλέον ἐπεδείξατο τοῖς Ἰουδαίοις, εἰ μὴ πολιτείαν μόνην· *Ἰωάννης* (α) *γάρ*, φησιν, *οὐδὲν ἐποίησε σημεῖον*· ὁ δὲ Χριστὸς καὶ τὴν ἀπὸ τῶν θεοπρεπῶν θαυμάτων μαρτυρίαν ἐκέκτητο.

Ἄλλως τε δὲ, καὶ γινώσκων ἀσθενεῖς τοὺς ἀνθρώπους, συγκατέβαινεν, ἵνα κερδήσῃ μᾶλλον αὐτοὺς ἐντεῦθεν. Διὰ τοῦτο καὶ εἰς τραπέζας τελωνῶν οἰκονομικῶς εἰσήρχετο, καὶ τοῖς

(α) Ἰωάν, Ι, 41·

μεμφομένοις ἀπελογεῖτο, τὴν αἰτίαν λέγων· *Οὐκ ἦλθον καλέσαι δικαίους, ἀλλὰ ἁμαρτωλοὺς εἰς μετάνοιαν* (α).

Ἀλλ᾽ οὐδὲ τῆς σκληρᾶς ἠμέλησεν ἀγωγῆς, ἐν τῇ ἐρήμῳ μετὰ τῶν θηρίων οἰκήσας (β), καὶ τεσσαράκοντα νηστεύσας ἡμέρας, ὡς προδεδήλωται. Καὶ εἰς τραπέζας δὲ εἰσιὼν, εὐλαβῶς τε καὶ ἐγκρατῶς καὶ ἁγιοπρεπῶς ἤσθιε καὶ ἔπινε.

19 Καὶ ἐδικαιώθη ἡ σοφία ἀπὸ τῶν τέκνων αὐτῆς.

Ἐδικαιώθη, ἀντὶ τοῦ, δικαία ἐλογίσθη, τουτέστιν ἐθαυμάσθη *ἡ σοφία τοῦ θεοῦ*, ἡ οἰκονομήσασα τὸν Ἰωάννην καὶ τὸν Χριστὸν ἐναντίας ὁδοὺς πολιτειῶν ἰέναι διὰ τὴν αὐτὴν ὠφέλειαν τῶν ἀνθρώπων. Ἐθαυμάσθη δὲ ἀπὸ *τῶν τέκνων αὐτῆς*, ἤγουν, παρὰ τῶν συνιέντων αὐτήν· υἱοὶ γὰρ σοφίας, οἱ συνετοί. Ἢ, *ἐδικαιώθη*, ἀντὶ τοῦ, δικαία καὶ ἀνέγκλητος ἐλογίσθη, ὡς ποιήσασα πᾶν, ὃ ἔδει, καὶ παντὶ τρόπῳ χρησαμένη πρὸς σωτηρίαν αὐτῶν.

20 Τότε ἤρξατο ὀνειδίζειν τὰς πόλεις, ἐν αἷς ἐγένοντο αἱ πλεῖσται δυνάμεις αὐτοῦ, ὅτι οὐ μετενόησαν.

Ὀνειδίζειν, ἀντὶ τοῦ, ταλανίζειν· *ὄνειδος* γὰρ καὶ ὁ ταλανισμός· *δυνάμεις* δὲ, τὰ θαύματα λέγει.

21 Οὐαί σοι, Χοραζὶν! οὐαί σοι, Βησθαϊδά! ὅτι εἰ ἐν Τύρῳ καὶ Σιδῶνι ἐγένοντο αἱ δυνάμεις αἱ γενόμεναι ἐν ὑμῖν, πάλαι ἂν ἐν σάκκῳ καὶ σποδῷ μετενόησαν.

Τὰ Σόδομα μὲν καὶ Γόμοῤῥα (1) τίθησιν, ὡς εἰς ἀσέλγειαν ἐπι-

(α) Ματθ. Θ', 13.

(β) Μαρκ. Α', 13.

(1) Τὸ ὄνομα, Γόμοῤῥα, δὲν φέρεται ἐν τῷ κειμένῳ. Πῶς λοιπὸν μέμνηται καὶ τῆς πόλεως ταύτης ὁ Εὐθύμιος; Ἴσως ἀπὸ τοῦ Ματθ. Ι', 15 παρομοίου χωρίου κινούμενος, ἢ διότι καὶ ἀλλαχοῦ ἀναφέρονται συνήθως ὁμοῦ συνημμέναι αἱ δύω πόλεις αὗται.

φανέστατα· τὴν Τύρον δὲ καὶ τὴν Σιδῶνα, ὡς εἰς εἰδωλολατρείαν διαβοήτους.

22 Πλὴν λέγω ὑμῖν· Τύρῳ καὶ Σιδῶνι ἀνεκτότερον ἔσται ἐν ἡμέρᾳ κρίσεως, ἢ ὑμῖν.

Τὸ, *πλὴν*, ἀντὶ τοῦ, διὰ τοῦτο. Μιγνύει δὲ τῷ ταλανισμῷ καὶ ἀπειλὴν, ἵνα ἢ αἰσχυνθῶσιν, ἢ φοβηθῶσιν.

23 Καὶ σὺ, Καπερναοὺμ, ἡ ἕως τοῦ οὐρανοῦ ὑψωθεῖσα, ἕως ᾅδου καταβιβασθήσῃ· ὅτι εἰ ἐν Σοδόμοις ἐγένοντο αἱ δυνάμεις αἱ γενόμεναι ἐν σοὶ, ἔμειναν ἂν μέχρι τῆς σήμερον.

Η Καπερναοὺμ, ἔνδοξος γέγονε, διὰ τὸ κατοικεῖν ἐν αὐτῇ τὸν Χριστὸν, καὶ τὰ πολλὰ τῶν θαυμάτων ἐν αὐτῇ τελέσαι. Φησὶν οὖν, ὅτι Καὶ σὺ, ἡ μέχρι τοῦ οὐρανοῦ ὑψωθεῖσα τῇ δόξῃ, ἕως ᾅδου καταβιβασθήσῃ τῇ ἀδοξίᾳ. Ἐμφαντικὰ δὲ τὸ, *μέχρι τοῦ οὐρανοῦ*, καὶ τὸ, *ἕως ᾅδου*· ἐμφαίνουσι γὰρ τὸ μὲν, μέγεθος δόξης· τὸ δὲ, ἀδοξίας. Αὔξησις δὲ κατηγορίας καὶ ἀπόδειξις κακίας ὑπερβαλούσης, τὸ λέγειν αὐτοὺς μὴ μόνον χείρους τῶν τότε ἁμαρτωλῶν, ἀλλὰ καὶ τῶν πώποτε γενομένων.

24 Πλὴν λέγω ὑμῖν, ὅτι γῇ Σοδόμων ἀνεκτότερον ἔσται ἐν ἡμέρᾳ κρίσεως, ἢ σοί.

Τὸ μὲν, *ὑμῖν*, πρὸς τοὺς πολίτας τῆς πόλεως ἐκείνης εἴρηται· τὸ δὲ, *σοὶ*, πρὸς τὴν πόλιν.

25 Ἐν ἐκείνῳ τῷ καιρῷ ἀποκριθεὶς ὁ Ἰησοῦς, εἶπεν· Ἐξομολογοῦμαί σοι, πάτερ, κύριε τοῦ οὐρανοῦ καὶ τῆς γῆς, ὅτι ἀπέκρυψας ταῦτα ἀπὸ σοφῶν καὶ συνετῶν, καὶ ἀπεκάλυψας αὐτὰ νηπίοις.

Τὸ τῆς *ἀποκρίσεως* ὄνομα πολυσήμαντόν ἐστιν. Ἵνα γὰρ

ἐάσω τὸν διαχωρισμὸν καὶ τὴν διαφόρησιν, κατὰ τοὺς ἰατροὺς, καὶ τὴν εἰς τοῦτο κατάληξιν, ποτὲ μὲν τόπον ἀρχῆς ἔχει, ὡς τό· *Ἀποκριθεὶς* (α) *ὁ Ἰησοῦς εἶπεν· Ἐξομολογοῦμαί σοι, πάτερ, κύριε τοῦ οὐρανοῦ καὶ τῆς γῆς*· περὶ οὗ νῦν ὁ λόγος· οὐ προηγήσατο γὰρ ἐρώτησις· ποτὲ δὲ, πρὸς ἐρώτησιν ἀποδίδοται, ὡς τό· *Ἀποκριθεὶς* (β) *Σίμων Πέτρος εἶπε· Σὺ εἶ ὁ Χριστὸς, ὁ υἱὸς τοῦ θεοῦ τοῦ ζῶντος*· προηγήσατο γὰρ ἐρώτησις· ποτὲ δὲ, λόγου διαδοχὴν δηλοῖ· τῆς γὰρ Χαναναίας εἰπούσης· *Ναὶ* (γ), *Κύριε· καὶ γὰρ τὰ κυνάρια ἐσθίει ἀπὸ τῶν ψιχίων τῶν πιπτόντων ἀπὸ τῆς τραπέζης τῶν κυρίων αὐτῶν· ἀποκριθεὶς ὁ Ἰησοῦς εἶπεν αὐτῇ· Ὦ γύναι, μεγάλη σου ἡ πίστις· γενηθήτω σοι, ὡς θέλεις*· ποτὲ δὲ σημαίνει παράκλησιν, ὡς τό· *Ἀποκριθεὶς* (δ) *δὲ ὁ Πέτρος εἶπεν αὐτῷ·* [*Φράσον* (1) *ἡμῖν τὴν παραβολὴν ταύτην*· ποτὲ δὲ, περιττὸν τέθειται, ὡς τό· *Ἀποκριθεὶς* (ε) *ὁ Πέτρος εἶπεν αὐτῷ*·] *Εἰ πάντες σκανδαλισθήσονται ἐν σοὶ, ἐγὼ δὲ οὐδέποτε σκανδαλισθήσομαι*· καὶ γὰρ ὁ Μάρκος (ζ) παρέλιπε τὸ, *ἀποκριθεὶς*, καὶ εἶπεν· *Ὁ δὲ Πέτρος ἔφη αὐτῷ*. Ἔστι δ᾽ ὅτε δηλοῖ καὶ τὴν ἐρώτησιν, ὡς τό· *Ἀπεκρίθη αὐτοῖς ὁ Ἰησοῦς· Οὐκ ἐγὼ ὑμᾶς τοὺς δώδεκα ἐξελεξάμην* (η);

Ἐξομολόγησιν δὲ νῦν τὴν εὐχαριστίαν λέγει. Καὶ *σοφοὺς* μὲν καὶ *συνετοὺς*, τοὺς οὕτω δοκοῦντας τῷ λαῷ γραμματέας καὶ φαρισαίους· *νηπίους* δὲ, τοὺς ἀποστόλους διὰ τὸ ἄκακον καὶ ἀπόνηρον καὶ ἀφελές. Εὐχαριστῶ σοι, φησὶν, ὅτι ἀπέκρυ-

(α) Ματθ. ΙΑ', 25.
(β) Ματθ. Ις', 16.
(γ) Ματθ. ΙΕ', 27-28.
(δ) Ματθ. ΙΕ', 15.
(1) Τὰ παρεντεθειμένα ἀναγινώσκονται ἐν τῷ περισελιδίῳ παρὰ τῷ Β.
(ε) Ματθ. Κς', 33.
(ζ) Μάρκ. ΙΔ', 29.
(η) Ἰωάν. ς', 70.

ψας τὰ τῆς πίστεως μυστήρια ἀπὸ σοφῶν καὶ συνετῶν, μὴ θελησάντων ἐπιγνῶναι ταῦτα, καὶ ἀπεκάλυψας αὐτὰ νηπίοις, τοῖς παραδεξαμένοις αὐτά. Εὐχαριστήσας μὲν οὖν τῷ πατρὶ, ἔδειξεν, ὅτι υἱός ἐστιν αὐτοῦ, καὶ παρ' ἐκείνου ἀπέσταλται· ὑπὲρ τῶν πιστευσάντων δὲ ποιήσας τὴν εὐχαριστίαν, ἐδήλωσεν, οἷαν ἀγάπην ἔχει περὶ αὐτούς. Ταύτην δὲ τὴν εὐχαριστίαν προσήγαγε τῷ θεῷ καὶ ὑπὲρ τῶν ἑβδομήκοντα ἀποστόλων, ὅτε ὑπέστρεψαν πρὸς αὐτὸν, ὡς εἴρηκεν ὁ Λουκᾶς (α)

26 Ναὶ, ὁ πατὴρ, ὅτι οὕτως ἐγένετο εὐδοκία ἔμπροσθέν σου!

Ναὶ, εὐχαριστῶ σοι, ὦ πάτερ, διότι *οὕτως ἐγένετο εὐδοκία*, ἤγουν, *ἀρέσκεια*, *ἐνώπιόν σου*, τουτέστι διότι οὕτως ηὐδόκησας, ἀποκρυβῆναι μὲν ταῦτα ἀπὸ τῶν ἀποσεισαμένων αὐτὰ, ὡς ἀναξίων, ἀποκαλυφθῆναι δὲ ταῦτα τοῖς προσιεμένοις αὐτὰ, ὡς ἀξίοις· δίκαιον γὰρ τοῦτό ἐστιν. Ἵνα δὲ μὴ ἀπὸ τοῦ εὐχαριστῆσαι τῷ πατρὶ δόξῃ τοῖς ἀνθρώποις ἀσθενέστερος αὐτοῦ, καὶ διὰ τοῦτο τῆς πατρικῆς φύσεως ἀλλότριος, φησί·

27 Πάντα μοι παρεδόθη ὑπὸ τοῦ πατρός μου·

Πάντα, τὰ τοῦ πατρὸς δηλονότι. Καὶ ἀλλαχοῦ γάρ φησι· *Πάντα* (β), *ὅσα ἔχει ὁ πατὴρ, ἐμά ἐστιν*. Ἐὰν δὲ πάντα αὐτῷ παρεδόθη, πάντων ἄρα κύριός ἐστιν· εἰ δὲ πάντων ἐστὶ κύριος, ἴσος ἄρα τῷ πατρί ἐστι.

Τὸ δὲ, *παρεδόθη*, θεοπρεπῶς νόησον, οὐχ ὅτι μὴ ἔχων ταῦτα πρότερον παρέλαβεν ὕστερον· οὐδὲν γάρ ἐστιν αὐτοῦ προγενέστερον, οὐδὲ αὐτὸς ὁ πατὴρ, ἀλλ' ἅμα πατὴρ καὶ ἅμα υἱὸς, καὶ ἅμα πάντων κύριοι· ἀλλ' εἴωθεν οἰκονομικῶς λέγειν ταῦτα πολλαχοῦ, τιμῶν τὸν πατέρα. Καὶ ταύτην ἐπὶ τῶν τοιούτων ἔχε τὴν λύσιν.

(α) Λουκ. Ι, 21.
(β) Ἰωάν. Ις', 15.

27 Καὶ οὐδεὶς ἐπιγινώσκει τὸν υἱὸν, εἰμὴ ὁ πατήρ· οὐδὲ τὸν πατέρα τις ἐπιγινώσκει, εἰμὴ ὁ υἱός·

Ἐπίγνωσιν, οὐ τὴν ἁπλῶς φησὶν, ἀλλὰ τὴν κατὰ φύσιν αὐτῶν. Ὅτι μὲν γάρ εἰσιν υἱὸς καὶ πατὴρ, ἐπιγινώσκομεν πάντες οἱ πιστεύοντες· τίς δὲ κατὰ τὴν φύσιν ἐστὶν ὁ υἱὸς, καὶ τίς ὁ πατὴρ, οὐδεὶς ἐπιγινώσκει. Λέγει γὰρ ὁ Λουκᾶς (α)· *Οὐδεὶς γινώσκει, τίς ἐστιν ὁ υἱὸς, εἰ μὴ ὁ πατήρ· καὶ τίς ἐστιν ὁ πατὴρ, εἰ μὴ ὁ υἱός*. Τοῦτο δὲ εἶπεν ὁ Χριστὸς, διδάσκων φανερώτερον τὴν πρὸς τὸν πατέρα ἰσότητα. Εἰ γὰρ μόνοι τῶν πάντων ἴσην ἔχουσι τὴν περὶ ἀλλήλων γνῶσιν, ἴσοι ἄρα εἰσίν.

27 Καὶ ᾧ ἐὰν βούληται ὁ υἱὸς ἀποκαλύψαι.

Καὶ τοῦτο τὴν ἰσότητα δείκνυσιν. Εἰ γὰρ ἀποκαλύπτει μὲν ὁ πατὴρ, ὡς ἀνωτέρω δεδήλωται, ἀποκαλύπτει δὲ καὶ ὁ υἱὸς, ἴσοι ἄρα εἰσίν. Ἀποκαλύψει δὲ τοῖς ἀξίοις τὴν φύσιν τοῦ πατρὸς, ἐν τῷ μέλλοντι αἰῶνι. Εἰ δὲ τὴν φύσιν τοῦ πατρὸς ἀποκαλύψει, πάντως καὶ τὴν ἑαυτοῦ, καὶ τὴν τοῦ ἁγίου Πνεύματος· μία γὰρ καὶ ἡ αὐτή ἐστι τῶν τριῶν· [ἀποκαλύψει (1) δὲ, ὅσον ἐφικτόν.] Εἰπὼν δὲ, ὅτι *οὐδεὶς ἐπιγινώσκει*, τοὺς κτιστοὺς ἐδήλωσε· τὸ Πνεῦμα δὲ τὸ ἅγιον, ὡς ἄκτιστον, οὐ συμπεριέλαβεν.

Καὶ διὰ τί μὴ καὶ περὶ τούτου φανερῶς εἴρηκε; Διότι οὔπω καιρὸς ἦν διδάξαι περὶ αὐτοῦ. Καὶ γὰρ ἔδει πρῶτον τὴν περὶ τοῦ υἱοῦ γνῶσιν ἐνσημανθῆναι ταῖς ψυχαῖς τῶν μαθητῶν, εἶτα καὶ τὰ περὶ τοῦ ἁγίου Πνεύματος αὐτοῖς ἀποκαλυφθῆναι.

(α) Λουκ. Ι', 22.
(1) Τὰ παρεντεθειμένα ἀναγινώσκονται ἐν τῷ περισελιδίῳ παρ' ἀμφοτέροις τοῖς χειρογράφοις.

28 Δεῦτε πρός με πάντες οἱ κοπιῶντες καὶ πεφορτισμένοι, κἀγὼ ἀναπαύσω ὑμᾶς.

Οἱ κοπιῶντες εἰς τὴν ἐργασίαν τῆς ἁμαρτίας, *καὶ πεφορτισμένοι* τῷ βάρει ταύτης. Ὁρᾷς, ὅπως ἔδειξε, τὴν ἁμαρτίαν καὶ κόπον καὶ βάρος ἔχουσαν; Ἔχει γὰρ, ἔχει κόπον μὲν, πρὸ τοῦ ἀποτελεσθῆναι· βάρος δὲ, μετὰ τοῦτο.

Λέγοιτο δ' ἂν καὶ ἑτέρως, ὅτι καὶ οἱ κοπιῶντες εἰς τὰ μάταια, καὶ πεφορτισμένοι ταῖς μερίμναις τούτων. *Κἀγὼ ἀναπαύσω ὑμᾶς*, ἤγουν ἐλευθερώσω, καὶ τοῦ τοιούτου κόπου καὶ τοῦ τοιούτου βάρους.

29 Ἄρατε τὸν ζυγόν μου ἐφ' ὑμᾶς.

Ζυγὸν ὠνόμασε τὰς εὐαγγελικὰς ἐντολὰς αὐτοῦ, διὰ τὸ ἐπικεῖσθαι τρόπον ζυγοῦ τοῖς ὑπερχομένοις αὐτὰς, καὶ συνδεῖν αὐτοὺς ἀλλήλοις τε καὶ τῷ ἐλατῆρι Χριστῷ.

39 Καὶ μάθετε ἀπ' ἐμοῦ, ὅτι πρᾷός εἰμι, καὶ ταπεινὸς τῇ καρδίᾳ.

Πρᾳότητα νῦν τὴν ταπείνωσιν λέγει· μέρος γὰρ τῆς ταπεινώσεως, ἡ πρᾳότης· διὸ καὶ εἰπὼν, *ὅτι πρᾷός εἰμι*, ἐφηρμήνευσεν, ὅπερ εἶπε, καὶ σκόπει τὴν προσθήκην. Οὐ γὰρ εἶπεν, *ὅτι ταπεινὸς* μόνον, ἀλλ' *ὅτι ταπεινὸς τῇ καρδίᾳ*, τουτέστι, ταπεινὸς τῇ ψυχῇ, τῇ προαιρέσει· ἡ γὰρ ἐκ περιστάσεως ταπείνωσις ἄκαρπος, ὡς ἐπιπόλαιός τε καὶ ἀπροαίρετος. Τὴν ταπείνωσιν δὲ πάλιν αὐτοῖς προέτεινεν, ὡς ῥίζαν ἁπάσης ἀρετῆς. Ἑαυτὸν δὲ παράδειγμα προεστήσατο, ποιῶν εὐπαράδεκτον τὸν λόγον.

29 Καὶ εὑρήσετε ἀνάπαυσιν ταῖς ψυχαῖς ὑμῶν.

Ὁ γὰρ ταπεινὸς, πάντα, ὅσα πάσχει, κατὰ λόγον πάσχειν δοκῶν, οὐ ταράσσεται. Τινὲς δὲ, *ἀνάπαυσιν*, τὴν αἰώνιον ἑρμηνεύουσιν.

30 Ὁ γὰρ ζυγός μου χρηστὸς, καὶ τὸ φορτίον μου ἐλαφρόν ἐστιν.

Τὸν ζυγὸν ἐκάλεσε καὶ *φορτίον*. Ἀλλὰ ζυγὸν μὲν, διὰ τὴν ῥηθεῖσαν αἰτίαν· *φορτίον* δὲ, διὰ τὸ βαρεῖν πρὸς καιρὸν τοὺς ἀγυμνάστους. Ὅρα δὲ, πῶς καὶ ζυγὸν εἶπε, καὶ χρηστὸν ἐκάλεσε, καὶ φορτίον εἴρηκε, καὶ ἐλαφρὸν προσηγόρευσεν· ἵνα μήτε ὡς εὐκόλων καταφρονήσῃς, μήτε ὡς ἐπίπονα φύγῃς. Ζήτει δὲ καὶ εἰς τὸ πέμπτον κεφάλαιον τὴν ἐξήγησιν τοῦ, *Τί στενὴ ἡ πύλη, καὶ τεθλιμμένη ἡ ὁδὸς ἡ ἀπάγουσα εἰς τὴν ζωήν* (α).

ΚΕΦ. XII, 1 Ἐν ἐκείνῳ τῷ καιρῷ ἐπορεύθη ὁ Ἰησοῦς τοῖς σάββασι διὰ τῶν σπορίμων.

Τοῖς σάββασιν, ἀντὶ τοῦ, ἐν ἡμέρᾳ σαββάτων, τουτέστιν, ἐν σαββάτῳ· *σπόριμα* δὲ λέγει τὰ χώδια, τὰ λήϊα.

1 Οἱ δὲ μαθηταὶ αὐτοῦ ἐπείνασαν, καὶ ἤρξαντο τίλλειν στάχυας, καὶ ἐσθίειν.

Ὁ δὲ Μάρκος εἶπεν, ὅτι *Καὶ ἤρξαντο οἱ μαθηταὶ αὐτοῦ ὁδὸν ποιεῖν, τίλλοντες τοὺς στάχυας* (β). Ἐπεὶ γὰρ μέσον τῶν σπορίμων διήρχοντο, ἅμα μὲν ἀνέσπων τοὺς στάχυας, ἵνα προβαίνειν ἔχοιεν· ἅμα δὲ ἤσθιον τοὺς ἀνασπωμένους, *ψώχοντες ταῖς χερσὶν*, ὡς ὁ Λουκᾶς (γ) εἴρηκεν, ὅ ἐστι, τρίβοντες· ἐπείνων γὰρ, οἷα λιμῷ μαχόμενοι· βραχέα μὲν γὰρ τοῦ σώματος ἐφρόντιζον· τὸ πᾶν δὲ τῇ ἀκροάσει καὶ προσεδρείᾳ τοῦ Σωτῆρος ἔνεμον, καὶ διὰ τοῦτο ἐλίμωττον.

2 Οἱ δὲ Φαρισαῖοι ἰδόντες, εἶπον αὐτῷ· Ἰδοὺ, οἱ μα–

(α) Ματθ. Ζ', 14.
(β) Μαρκ. Β', 23.
(γ) Λουκ. ς', 1.

θηταί σου ποιοῦσιν, ὃ οὐκ ἔξεστι ποιεῖν ἐν σαββάτῳ.

Ο δὲ Λουκᾶς φησὶν, ὅτι τοῖς μαθηταῖς οὗτοι εἶπον· (α) *Τί ποιεῖτε, ὃ οὐκ ἔξεστι ποιεῖν ἐν τοῖς σάββασι;* Καὶ γὰρ καὶ τούτῳ, κἀκείνοις ταῦτα εἶπον οἱ σμικρολόγοι καὶ μεμψίμοιροι· καὶ περὶ ἐκείνου μὲν εἴρηκεν ὁ Ματθαῖος· περὶ τούτων δὲ ὁ Λουκᾶς· καὶ πολλαχοῦ τοιαῦτα πολλάκις εὑρήσεις. Ἐμέμψαντο δὲ τὸ τίλλειν, ὡς ἔργον, οὐ τὸ ἐσθίειν.

3 Ὁ δὲ εἶπεν αὐτοῖς· Οὐκ ἀνέγνωτε, τί ἐποίησε Δαυῒδ,
4 ὅτε ἐπείνασεν αὐτὸς, καὶ οἱ μετ' αὐτοῦ; Πῶς
εἰσῆλθεν εἰς τὸν οἶκον τοῦ θεοῦ, καὶ τοὺς ἄρτους
τῆς προθέσεως ἔφαγεν, οὓς οὐκ ἐξὸν ἦν αὐτῷ φα-
γεῖν, οὐδὲ τοῖς μετ' αὐτοῦ, εἰ μὴ τοῖς ἱερεῦσι
μόνοις;

Εν τῇ πρώτῃ βίβλῳ τῶν Βασιλειῶν (β) ἱστόρηται, ὅτι Δαυῒδ ἐπιβουλευθεὶς ὑπὸ Σαοὺλ, τοῦ ἰδίου πενθεροῦ, καὶ φεύγων αὐτὸν, ἐπείνασε, καὶ ἀπελθὼν εἰς Νομβὰ, πόλιν τῶν ἱερέων τοῦ θεοῦ, προσεποιήσατο παρὰ Σαοὺλ τοῦ βασιλέως ἀποσταλῆναι πρὸς χρείαν τινὰ, καὶ ἐζήτησεν ἄρτους, καὶ μὴ εὑρὼν ἄλλους κατὰ τὸν καιρὸν ἐκεῖνον, ἔλαβε παρὰ τοῦ ἱερέως, διὰ τὴν ἀνάγκην τοῦ λιμοῦ, τοὺς τῆς προθέσεως· (ἡ δὲ πρόθεσις, τράπεζα ἦν ἐν τῷ ναῷ, ἐφ' ἧς οἱ ἄρτοι τῆς θυσίας προέκειντο·) καὶ λαβὼν ἔφαγεν αὐτὸς, καὶ τὰ μετ' αὐτοῦ παιδάρια. Ἡ μὲν οὖν ἱστορία τοιαύτη.

Τὸ δὲ, *Οὐκ ἐξὸν ἦν*, ἀντὶ τοῦ, Οὐ συγκεχωρημένον ἦν παρὰ τοῦ νόμου. Ταύτην δὲ τὴν ἱστορίαν προεβάλετο τοῖς φαρισαίοις ὁ Χριστὸς, εἰς συνηγορίαν τῶν μαθητῶν αὐτοῦ, δεικνύων, ὅτι συγγνώμης εἰσὶν ἄξιοι, διὰ τὸν λιμὸν, δι' ὃν καὶ αὐτὸς ὁ πε-

(α) Λουκ. ϛ', 2.
(β) Α' Βασιλ. ΚΑ'.

ριώνυμος Δαυῒδ ἔλυσε τὸν νόμον τῶν ἄρτων τῆς προθέσεως· καὶ οὐ μόνον οὐκ ἐπετιμήθη παρὰ τοῦ τηνικαῦτα ἐφημερεύοντος ἱερέως, ἀλλὰ καὶ μᾶλλον παρ' αὐτοῦ τούτους ἔλαβεν.

5 Ἢ οὐκ ἀνέγνωτε ἐν τῷ νόμῳ, ὅτι τοῖς σάββασιν
οἱ ἱερεῖς ἐν τῷ ἱερῷ τὸ σάββατον βεβηλοῦσι, καὶ
ἀναίτιοί εἰσι;

Συνεχῶς αὐτοῖς ἐπιλέγει τὸ, *Οὐκ ἀνέγνωτε;* ὀνειδίζων τούτοις ματαιοπονίαν, ὡς μὴ ἐπιγινώσκουσιν, ἃ ἀναγινώσκουσι. Νόμος δὲ ἦν, κελεύων, μηδὲν ἔργον ἐν σαββάτῳ ποιεῖν· καὶ νόμος πάλιν ἕτερος, ἐπιτρέπων τοῖς ἱερεῦσι θύειν ἐν σαββάτῳ, καὶ διὰ τὴν θυσίαν ξυλοκοπεῖν, καὶ πῦρ ἀνάπτειν, καὶ κρεανομεῖν, καὶ ἄλλα τινα τοιαῦτα ποιεῖν· καὶ ὡς μὲν ὅλως ἐργαζόμενοι, ἐβεβήλουν τὸ σάββατον, εἴτουν, ἐμίαινον· ὡς δὲ ἱερὰ ἐργαζόμενοι, ἀναίτιοι ἦσαν. Τὴν μὲν οὖν κατὰ τὸν Δαυῒδ ἱστορίαν τέθεικε, συγγνώμης τοὺς μαθητὰς ἀξιῶν, ὡς προέφημεν· τὸ δὲ παρὸν ἔλαβε παράδειγμα, δεικνύων ἐκ περιουσίας, ὅτι παντελῶς εἰσιν ἀναίτιοι.

Καὶ ὅρα ἀπὸ πόσων τοῦτο κατασκευάζει. Πρῶτον, ἀπὸ τοῦ προσώπου· οἱ ἱερεῖς γάρ, φησιν· εἶτα, ἀπὸ τοῦ ναοῦ (1)· ἐν τῷ ἱερῷ γάρ· ἔπειτα, ἀπὸ τοῦ πράγματος· βεβηλοῦσι γάρ· οὐδὲ γὰρ εἶπεν, ὅτι ἀθετοῦσι τὸ σάββατον, ἀλλὰ τὸ βαρύτερον, ὅτι *βεβηλοῦσιν*· εἶθ' οὕτως ἐπήγαγε τὸ τοῦ λόγου κεφάλαιον, ὅτι *καὶ ἀναίτιοί εἰσιν*.

Προέταξε μὲν οὖν τὴν εὐχερεστέραν ἀπολογίαν· εἶτα δ' ἐπήγαγε τὴν ἰσχυροτέραν. Ὁ μὲν γὰρ Δαυῒδ, ἅπαξ διὰ περίστασιν λύσας τὸν περὶ τῶν ἄρτων τῆς προθέσεως νόμον, κατὰ συγγνώμην ἀφείθη τοῦ ἐγκλήματος· οἱ δ' ἱερεῖς, καθ' ἕκαστον σάββατον, δίχα περιστάσεως, λύοντες τὸν τοῦ σαββάτου νόμον, κατὰ νόμον ἀπολέλυνται τῆς παρανομίας.

(1) Ἴσως, ἀπὸ τοῦ τόπου, ὅπερ καὶ ὀρθότερον. Οὕτω καὶ παρὰ τῷ Εντενίῳ.

6 Λέγω δὲ ὑμῖν, ὅτι τοῦ ἱεροῦ μείζων ἐστὶν ὧδε.

Αὐτὸς γὰρ ἐνταῦθα πάρεστιν ὁ τοῦ ἱεροῦ δεσπότης· καὶ ἐὰν οἱ τοῦ ἱεροῦ τὸ σάββατον λύοντες, ἀναίτιοι ὦσι, πολλῷ μᾶλλον οἱ τοῦ δεσπότου τοῦ ἱεροῦ. Ὥσπερ γὰρ ἐκεῖνοι δι' αἰτίαν εὔλογον ἀναίτιοί εἰσι· διὰ τὸ θύειν γὰρ καὶ ἱερὰ ἔργα ποιεῖν· οὕτω καὶ οὗτοι. Καὶ γὰρ τοῖς μὲν Ἑβραίοις, διὰ τὴν ἀσθένειαν αὐτῶν, μίαν ἡμέραν τῆς ἑβδομάδος ἄπρακτον ἀπεκλήρωσεν ὁ θεός· λέγω δὴ τὸ σάββατον· ὥστε ἐν αὐτῷ τούτους ἀργεῖν μὲν ἀπὸ τῶν ἄλλων ἔργων, καὶ διαναπαύειν τοὺς ὑπὸ χεῖρα, καὶ τὰ ὑποζύγια· σχολάζειν δὲ τῇ ἀναγνώσει τοῦ νόμου καὶ ταῖς θυσίαις· τοῖς δὲ χριστιανοῖς, ὡς ἰσχυροτέροις, ἅπασαν τὴν ἑβδομάδα σχολάζειν τῇ ἀναγνώσει καὶ ταῖς πνευματικαῖς θυσίαις ἐπέταξε· κἀκείνους μὲν ἀπὸ τῶν ἄλλων ἐκώλυσεν, ἵνα σχολάζωσι τῇ ἀναγνώσει καὶ ταῖς θυσίαις· τούτους δὲ, σχολάζοντας τοῖς πνευματικοῖς, οὐδ' ἀπὸ τῶν ἄλλων ἐκώλυσεν. Οὐκ ἔδει γὰρ δεδέσθαι τὰς χεῖρας τοὺς πρὸς μηδὲν φαῦλον ταύτας ἐκτείνοντας, οὐδὲ τὰ μικρὰ παιδεύεσθαι τοὺς τὰ μεγάλα φιλοσοφοῦντας, οὐδὲ τοῖς ἀτελέσιν ἐπίσης πολιτεύεσθαι τοὺς τελείους.

[Τὴν (1) μέντοι κυριακὴν τιμῶμεν κατ' ἐξαίρετον, ὡς κυρίως καταπαύσιμον, ἐν ᾗ τελείως κατέπαυσεν ἀπὸ τῆς θνητότητος ἡ ἀπαρχὴ τοῦ ἡμετέρου φυράματος, καὶ ἐνεκαίνισεν ἡμῖν τὴν ἀνάστασιν, καὶ τὴν ἐν ἀθανασίᾳ ζωήν.]

7 Εἰ δὲ ἐγνώκειτε, τί ἐστιν· «Ἔλεον θέλω, καὶ οὐ θυσίαν·» οὐκ ἂν κατεδικάσατε τοὺς ἀναιτίους.

[Τοῦ (2) προφήτου Ὠσηέ.] Ἐπειδὴ φορτικὸς ἔδοξεν, εἰπὼν,

(1) Ἐν τῷ περισελιδίῳ παρὰ τῷ Α.

(2) Ἐν τῷ περισελιδίῳ παρὰ τῷ Β. — Ὠσηὲ ς', 6.

ὅτι (α) *τοῦ ἱεροῦ μείζων ἐστὶν ὧδε*, μεθιστᾷ τὸν λόγον ἐπὶ συγγνώμην, ἀλλὰ μετ' ἐπιπλήξεως· πάλιν γὰρ ἄγνοιαν αὐτοῖς ὀνειδίζει τῶν γραφῶν· *Εἰ ἐγνώκειτε*, λέγων, τί σημαίνει τὸ προφητικὸν ῥητὸν, δι' οὗ ὁ θεὸς τὸν ἔλεον προτετίμηκε τῆς θυσίας, ἠλεήσατε ἂν τοὺς πεινῶντας τοσοῦτον, ὡς ἐσθίειν ἀκατέργαστον σῖτον, καὶ οὐκ ἂν ἐμέμψασθε τούτοις, ἀναιτίοις οὖσιν, εἰ καὶ μὴ δι' ἕτερον, ἀλλά γε διὰ τὸν λιμόν. Εἰ γὰρ διὰ θυσίαν λύεται τὸ σάββατον, ὡς προείρηται, πολλῷ μᾶλλον δι' ἔλεον. Μείζων γὰρ θυσίας ἡ ἐλεημοσύνη, κατὰ τὴν δηλωθεῖσαν θείαν ἀπόφασιν.

8 Κύριος γάρ ἐστι τοῦ σαββάτου ὁ υἱὸς τοῦ ἀνθρώπου.

Πάλιν παρεμφαίνει τὴν ἑαυτοῦ θεότητα. Ποτὲ μὲν γὰρ συσκιάζει ταύτην, διὰ τὴν ἀμβλυωπίαν τῶν μεμψιμοίρων· ποτὲ δὲ παρανοίγει, διὰ τὴν ὀξυωπίαν τῶν ἐπιεικεστέρων. Κύριος γάρ, φησιν, ἐστὶ τοῦ σαββάτου ὁ ἐνανθρωπήσας, ὡς ποιητὴς καὶ νομοθέτης αὐτοῦ. Καὶ λοιπὸν, παρόντος ἐμοῦ τοῦ κυρίου, καὶ ἀνεχομένου, μάτην ὑμεῖς τοὺς ἐμοὺς καταδικάζετε.

Ἐν δὲ τῷ κατὰ Μάρκον εὐαγγελίῳ, καὶ ἑτέραν ἀπολογίαν εὕρηται λέγων ὁ Χριστὸς, ὅτι *Τὸ σάββατον* (ϐ) *διὰ τὸν ἄνθρωπον ἐγένετο, οὐχ ὁ ἄνθρωπος διὰ τὸ σάββατον*, τουτέστιν, ἡ τοῦ σαββάτου ἀργία δι' ὠφέλειαν τοῦ ἀνθρώπου νενομοθέτηται, καὶ οὐ τὸ ἀνάπαλιν. Ἤ, Καὶ αὐτὸ τὸ σάββατον, καὶ αἱ πρὸ τούτου ἡμέραι πᾶσαι, δι' ὠφέλειαν τοῦ ἀνθρώπου γεγόνασιν.

Οὐ χρὴ δὲ θαυμάζειν, εἰ τὰ μὲν οὗτος ὁ εὐαγγελιστὴς προστίθησι, τὰ δὲ ἐκεῖνος παραλιμπάνει. Καὶ γὰρ οὐχ ἅμα τῷ

(α) Ματθ. ΙΒ', 6.

(ϐ) Μαρκ. Β', 27.

λέγειν τὸν Χριστὸν, ἔγραφον τὰ εὐαγγέλια, ἵνα καὶ πάντων ὁμοῦ τῶν αὐτοῦ λόγων ἀπομνημονεύειν ἔχοιεν· ἀλλὰ μετὰ πολλοὺς ὕστερον ἐνιαυτούς· καὶ εἰκὸς, ἀνθρώπους ὄντας αὐτοὺς, ἐπιλαθέσθαι τινῶν. Καὶ ταύτην ἔχε τὴν λύσιν ἐπὶ τῶν τοιούτων προσθηκῶν τε καὶ παραλείψεων. Πολλάκις δὲ καὶ διὰ συντομίαν τινά τινες παρελίμπανον· ἔστι δ' ὅτε καὶ ὡς οὐκ ἀναγκαῖα.

9 Καὶ μεταβὰς ἐκεῖθεν, ἦλθεν εἰς τὴν συναγωγὴν αὐτῶν.

Ο δὲ Μάρκος (α) εἶπεν, ὅτι *Καὶ εἰσῆλθε πάλιν εἰς τὴν συναγωγὴν αὐτῶν*· ὁ δὲ Λουκᾶς (ϐ) φανερώτερον εἴρηκεν, ὅτι *Ἐγένετο δὲ καὶ ἐν ἑτέρῳ σαββάτῳ εἰσελθεῖν αὐτὸν εἰς τὴν συναγωγὴν, καὶ διδάσκειν.*

ΚΕΦΑΛΑΙΟΝ ΚΑ΄.

Περὶ τοῦ ξηρὰν ἔχοντος τὴν χεῖρα.

10 Καὶ ἰδοὺ, ἄνθρωπος ἦν τὴν χεῖρα ἔχων ξηράν·

Ο δὲ Λουκᾶς εἶπε, καὶ ποίαν χεῖρα, γράψας, ὅτι *Καὶ ἡ χεὶρ αὐτοῦ ἡ δεξιὰ ἦν ξηρά* (γ).

10 Καὶ ἐπηρώτησαν αὐτὸν, λέγοντες· Εἰ ἔξεστι τοῖς σάββασι θεραπεύειν; ἵνα κατηγορήσωσιν αὐτοῦ.

Υποπτεύοντες, ὅτι πάλιν ἐν σαββάτῳ θεραπεύσει τινὰς, προ-

(α) Μαρκ. Γ΄, 1.
(ϐ) Λουκ. ϛ΄, 6.
(γ) Λουκ. ϛ΄, 6.

καταλαμϐάνουσιν αὐτὸν τῇ ἐρωτήσει, ἵνα ἀποκριθέντος, ὅτι ἔξεστι, λάϐωσιν ἀφορμὴν καὶ κατηγορήσωσιν αὐτοῦ λοιπὸν, ὡς παρανόμου, καὶ κωλύσωσιν οὕτω τὴν θεραπείαν, καὶ τοὺς ἀπὸ τῆς θεραπείας πιστεύειν μέλλοντας. Ἡροῦντο (1) γὰρ φθείρεσθαι ταῖς νόσοις τοὺς ὁμοφύλους ἢ δοξάζεσθαι τὸν Χριστόν.

11 Ὁ δὲ εἶπεν αὐτοῖς· Τίς ἔσται ἐξ ὑμῶν ἄνθρωπος, ὃς ἕξει πρόϐατον ἓν, καὶ ἐὰν ἐμπέσῃ τοῦτο τοῖς σάϐϐασιν εἰς ϐόθυνον, οὐχὶ κρατήσει αὐτὸ, καὶ ἐγερεῖ;

Ορα, πῶς συλλογίζεται (2) αὐτοὺς διὰ τοῦ παραδείγματος τούτου, καὶ δείκνυσι φιλοχρημάτους μᾶλλον ἢ φιλανθρώπους, καὶ κτηνῶν μὲν φειδομένους, ἀνθρώπους δὲ οὐκ ἐλεοῦντας. Παρατήρει δὲ καὶ, πῶς ἄλλοτε μὲν ἄλλας ἀπολογίας ποιεῖται περὶ τῆς τοῦ σαϐϐάτου λύσεως· πάσας δὲ καταλλήλους τοῖς πράγμασιν, ἵνα καὶ τὸν νόμον εὐλόγως ἀναπαύσῃ, καὶ μὴ πλήξῃ τοὺς Ἰουδαίους.

12 Πόσῳ οὖν διαφέρει ἄνθρωπος προϐάτου;

Συνομολογησάντων αὐτῶν διὰ τῆς σιωπῆς· καὶ γὰρ ὁ νόμος ἐπέτρεπεν, ὃ ἠρώτησε, καὶ ἀντειπεῖν οὐκ ἠδύναντο· φησὶν ἀποφαντικῶς (3), ὅτι Πολλῷ τιμιώτερός ἐστιν ὁ ἄνθρωπος τοῦ προϐάτου.

12 Ὥστε ἔξεστι τοῖς σάϐϐασι καλῶς ποιεῖν.

Διὰ τοῦ κατὰ τὸ πρόϐατον παραδείγματος φιμώσας αὐ-

(1) Νόει τὸ, μᾶλλον.
(2) συλλογίζεται καὶ δείκνυσιν αὐτούς... φιλοχρημάτους μᾶλλον, ὄντας δηλ.
(3) Ἄρα ὁ Εὐθύμιος ἀνέγνωσε κατ' ἀπόφανσιν, καὶ οὐχὶ κατ' ἐρώτησιν.

τούς, λοιπὸν δ (1) ἠρωτήθη παρ᾽ αὐτῶν ἀποκρίνεται. Μάρκος (α) δὲ καὶ Λουκᾶς φασιν, ὅτι καὶ ἔστησε τὸν ἄνθρωπον εἰς τὸ μέσον, καὶ ἠρώτησεν αὐτούς· *Τί ἔξεστι τοῖς σάββασιν; ἀγαθοποιῆσαι ἢ κακοποιῆσαι;* Μετὰ γὰρ τὸ ἀποκριθῆναι αὐτοῖς, ἔστησεν αὐτὸν εἰς τὸ μέσον, ἵνα ἀπὸ τῆς ἐλεεινῆς θέας καταμαλάξῃ τὴν σκληροκαρδίαν αὐτῶν, καὶ πείσῃ τούτους ἀποθέσθαι μὲν τὴν βασκανίαν, συνιδεῖν δέ, ὅτι καλὸν ἀεί, θεραπεύεσθαι τοὺς κακῶς ἔχοντας. Εἶτα ἀντηρώτησε καὶ αὐτὸς αὐτοὺς ἐρώτημα ἄφυκτον· οἱ δὲ ἐσιώπων, ἐλεγχόμενοι μὲν ὑπὸ τῆς ἀληθείας, ἐθελοκακοῦντες δέ· διὸ καὶ *περιεβλέψατο* (β) *αὐτοὺς μετ᾽ ὀργῆς*, καθά φησι Μάρκος, ὥστε ἐντρέψαι, συλλυπούμενος ἐπὶ τῇ πωρώσει τῆς καρδίας αὐτῶν. Πωρωθεῖσα (2) γὰρ ὑπὸ τοῦ φθόνου, οὔτε ὄψιν ἐλεεινὴν ἐδυσωπεῖτο, οὔτε λόγον ἀναντίῤῥητον παρεδέχετο.

13 Τότε λέγει τῷ ἀνθρώπῳ· Ἔκτεινον τὴν χεῖρά σου.
Καὶ ἐξέτεινε· καὶ ἀποκατεστάθη ὑγιής, ὡς ἡ ἄλλη.

Προστάγματι ταύτην ἰάσατο, καταπλήττων τε αὐτούς, καὶ δεικνύων, ὅτι θεός ἐστι. Ξηρὰν δὲ φέρει τὴν δεξιὰν χεῖρα καὶ πᾶς ὁ τὴν δεξιὰν πρᾶξιν μὴ μετερχόμενος, φημὶ δή, τὴν ἀρετήν.

14 Οἱ δὲ Φαρισαῖοι συμβούλιον ἔλαβον κατ᾽ αὐτοῦ ἐξελ-
θόντες, ὅπως αὐτὸν ἀπολέσωσιν.

Συμβούλιον ἔλαβον παρ᾽ ἀλλήλων. Ὁ δὲ Μάρκος (γ) φησίν, ὅτι μετὰ τῶν Ἡρωδιανῶν τοῦτο ἐβουλεύσαντο. Οἱ δὲ Ἡρωδιανοί, γένος μὲν ἦσαν Ἰουδαῖοι καὶ αὐτοί, τὸν Ἡρώδην δὲ διαφερόντως ἐτίμων, καὶ αὐτὸν ἔλεγον εἶναι τὸν ὑπὸ τῶν προφητῶν καταγγελλόμενον Χριστόν. Ἐπεὶ γὰρ τότε προεφητεύετο ἐλθεῖν ὁ Χριστός, ὅτε ἐκλείψει ἡγούμενος Ἰουδαῖος· ἐξέλιπε δὲ ἐπὶ τῶν ἡμερῶν Ἡρώδου τοῦ βρεφοκτόνου· πρῶτος γὰρ οὗτος ἀλλόφυλος Ἰουδαίων ἐβασίλευσεν· ὑπέλαβον, αὐτὸν εἶναι τὸν προσδοκώμενον ἥξειν, καὶ συστάντες, ἰδίαν αἵρεσιν ἐποιήσαντο. Διὸ καί, ἀπὸ τοῦ σφόδρα φιλεῖν τὸν Ἡρώδην, *Ἡρωδιανοὶ* ἐπωνομάσθησαν. Ἀλλὰ ταῦτα μὲν περὶ τῶν Ἡρωδιανῶν· περὶ δὲ τῶν Ἰουδαίων ὁ Λουκᾶς εἶπεν, ὅτι *ἐπλήσθησαν* (α) *ἀνοίας, καὶ διελάλουν πρὸς ἀλλήλους, τί ἂν ποιήσειαν τῷ Ἰησοῦ.* Καὶ γὰρ οὐ μόνον οὐ κατεπλάγησαν, ἀλλὰ καὶ σκοτισθέντες ὑπὸ τῆς βασκανίας, ἐπλήσθησαν ἀσυνεσίας· καὶ πρῶτα μὲν συνελάλησαν, τί ἂν ποιήσειαν αὐτῷ κακόν, εἶτα συνεβουλεύσαντο ἀνελεῖν αὐτόν.

(1) Ἤτοι, πρὸς ὃ ἠρωτήθη.

(α) Μαρκ. Γ΄, 3. Λουκ. ς΄, 8.

(β) Μαρκ. Γ΄, 5.

(2) Ἡ καρδία.

(γ) Μαρκ. Γ΄, 6.

15 Ὁ δὲ Ἰησοῦς γνοὺς ἀνεχώρησεν ἐκεῖθεν·

Χρὴ γὰρ ἀναχωρεῖν ἀπὸ τῶν πονηρῶν, καὶ μὴ ῥιψοκινδύνως ἐφιέναι (1) ταῖς μανίαις αὐτῶν. Ἅμα δὲ καί, οὔπω ἐληλύθει ἡ ὥρα τοῦ θανάτου αὐτοῦ, καὶ ἔδει πολλοὺς ἔτι θεραπευθῆναι, καὶ ἀπολαῦσαι τῆς διδασκαλίας αὐτοῦ.

15 Καὶ ἠκολούθησαν αὐτῷ ὄχλοι πολλοί· καὶ ἐθερά-
16 πευσεν αὐτοὺς πάντας. Καὶ ἐπετίμησεν αὐτοῖς, ἵνα
μὴ φανερὸν αὐτὸν ποιήσωσιν.

Ἐνταῦθα τό, *ἐπετίμησεν*, ἀντὶ τοῦ, παρήγγειλε, καὶ ἐξησφαλίσατο. Σκόπει δέ, πῶς καὶ τῶν νοσούντων ἐπιμελεῖται, καὶ

(α) Λουκ. ς΄, 11.

(1) ἑαυτόν.

τὸν φθόνον τῶν Ἰουδαίων θεραπεύει, παραγγέλλων, ἵνα μὴ φανερὸν αὐτὸν ποιήσωσιν, ὅτι θεραπεύει· τοῦτο γὰρ ἀκούοντες, ἔμελλον ἐπὶ πλεῖον ἐξαγριοῦσθαι. Ἐπεὶ δὲ ὑπὸ μακροθυμίας πολλῆς ἐποιεῖτο τὴν τοιαύτην παραγγελίαν, αἱρούμενος μάλιστα συγκαλύπτεσθαι τὴν ἑαυτοῦ δόξαν, ὑπὲρ τοῦ μὴ ἐξάπτεσθαι τούτους εἰς πλείονα μανίαν, εἰσάγει τὸν προφήτην ὁ εὐαγγελιστὴς, προαναφωνοῦντα τὴν τοιαύτην αὐτοῦ μακροθυμίαν καὶ ἀνεξικακίαν, καὶ φησίν·

17 Ὅπως πληρωθῇ τὸ ῥηθὲν διὰ Ἡσαΐου τοῦ προφή-
18 του, λέγοντος· «Ἰδοὺ, ὁ παῖς μου, ὃν ἡρέτισα·

Προσώπῳ τοῦ πατρὸς ταῦτά φησιν: *Ἰδοὺ, ὁ παῖς μου* (α) ὁ μονογενής· *ὃν δὲ ἡρέτισα*, ἀντὶ τοῦ, ὃν προέκρινα πάντων. Ἐπεὶ δὲ διπλοῦς ἐστὶν ὁ Χριστός· τὸ μὲν, *ὁ παῖς μου*, δηλωτικόν ἐστι τῆς θεότητος· τὸ δὲ, *ὃν ἡρέτισα*, τῆς ἀνθρωπότητος. Καὶ τὰ ἑξῆς δὲ, τοιαῦτα.

18 Ὁ ἀγαπητός μου, εἰς ὃν εὐδόκησεν ἡ ψυχή μου·

Ὁμοίως τὸ μὲν, *ὁ ἀγαπητός μου*, περὶ τῆς θεότητος εἴρηται· τὸ δὲ, *εἰς ὃν εὐδόκησεν ἡ ψυχή μου*, περὶ τῆς ἀνθρωπότητος. Ἔστι γὰρ *ἀγαπητὸς* μὲν, ὡς μονογενής· *εἰς αὐτὸν* δὲ *εὐδόκησεν*, ὡς εἰς αὐτὸν ἐπαναπαυόμενος, ἢ ὡς δι' αὐτοῦ τὰ ἀγαθὰ θελήσας, λέγω δὴ, τὴν σωτηρίαν τῶν ἀνθρώπων.

Καὶ βαπτιζομένου δὲ αὐτοῦ τοιαύτην ὁ πατὴρ ἄνωθεν ἀφῆκε φωνὴν εἰπών· *Οὗτός* (β) *ἐστιν ὁ υἱός μου ὁ ἀγαπητὸς, ἐν ᾧ εὐδόκησα*· καὶ τοιαύτην κἀκεῖ τὴν ἐξήγησιν ἐποιησάμεθα. Καὶ ἀνάγνωθι κἀκείνην, καὶ ἐπιγνώσῃ σαφέστερον. Τὸ δὲ, *εἰς ὃν εὐδόκησεν ἡ ψυχή μου*, ἀντὶ τοῦ, εἰς ὃν εὐδόκησα ἐγώ.

(α) Ἡσ. Κεφ. ΜΒ', 1. καὶ ἑξῆς.
(β) Ματθ. Γ', 17.

Πολλὰ δὲ τοιαῦτα ἀνθρωποπρεπῆ φησὶν ἡ παλαιὰ Γραφὴ ἐπὶ τοῦ θεοῦ, διὰ τὴν παχύτητα τῆς διανοίας τῶν Ἑβραίων, ἃ χρὴ πάντα θεοπρεπῶς νοεῖν.

18 Θήσω τὸ πνεῦμά μου ἐπ' αὐτόν.

Περὶ τοῦ ἐνανθρωπήσαντος υἱοῦ τοῦτο εἴρηκεν, ὡς περὶ ἀνθρώπου, προκόπτοντος τῇ ἐπιφοιτήσει τοῦ παναγίου Πνεύματος, περὶ οὗ φησὶ καὶ ὁ Λουκᾶς· *Τὸ δὲ παιδίον* (α) *ηὔξανε, καὶ ἐκραταιοῦτο πνεύματι, πληρούμενον σοφίας· καὶ χάρις θεοῦ ἦν ἐπ' αὐτό.*

18 Καὶ κρίσιν τοῖς ἔθνεσιν ἀπαγγελεῖ.

Κρίσιν λέγει τὸν εὐαγγελικὸν νόμον, ὃν ἐκήρυξε τοῖς ἔθνεσι διὰ τῶν ἀποστόλων· ἢ τὴν δικαιοκρισίαν αὐτοῦ, ὅτι τῶν Ἰουδαίων ἀπωσαμένων αὐτὸν, προσελάβετο τὰ ἔθνη. Τοῦτο γὰρ δικαία κρίσις ὄντως ἐστὶν, ἵνα μὴ τέλεον ἀπόληται τὸ πλάσμα τῶν χειρῶν αὐτοῦ.

19 Οὐκ ἐρίσει, οὐδὲ κραυγάσει, οὐδὲ ἀκούσει τις ἐν
ταῖς πλατείαις τὴν φωνὴν αὐτοῦ·

Διὰ ταῦτα τὰ ῥητὰ, τὴν ὅλην ἐντέθεικε προφητείαν. Μακρόθυμος γὰρ ὢν καὶ πρᾳότατος, οὐκ ἤριζε πρὸς τοὺς ἀντιλέγοντας, οὐδ' ἐκραύγαζεν ἀδικούμενος, οὐδ' ἐν ταῖς ἀγοραῖς ἐδίδασκεν, ὡς οἱ τὴν παρὰ τῶν ἀνθρώπων δόξαν θηρεύοντες· ἀλλ' ἐν τῷ ἱερῷ, καὶ ἐν ταῖς συναγωγαῖς τῶν Ἰουδαίων, καὶ ἐν ἐρημίαις καὶ ὄρεσι καὶ αἰγιαλοῖς. Εἶτα προφητεύει καὶ περὶ τῆς ἄγαν ἀσθενείας τῶν ἐπιβουλευόντων τῷ παντοδυνάμῳ τούτῳ θεῷ.

20 Κάλαμον συντετριμμένον οὐ κατεάξει.

Κάλαμον ὠνόμασε τοὺς Ἰουδαίους, ὡς ἀσθενεστάτους πρὸς

(α) Λουκ. Β', 40.

τὴν θείαν καὶ ἄμαχον αὐτοῦ δύναμιν· καὶ οὐδὲ ἁπλῶς κάλαμον, ἀλλὰ *συντετριμμένον*, πρὸς ἐπίτασιν τῆς ἀσθενείας αὐτῶν. Λέγει δὲ, ὅτι δυνάμενος, ὡς *κάλαμον συντετριμμένον*, εὐκολώτατα διακλᾶσαι αὐτοὺς, ὅμως οὐ ποιήσει τοῦτο, δι' οἰκείαν μακροθυμίαν.

20 Καὶ λῖνον τυφόμενον οὐ σβέσει.

Ἐνταῦθα δηλοῖ τὸν ἀναπτόμενον θυμὸν τῶν Ἰουδαίων κατὰ τοῦ Σωτῆρος, ὃν καὶ *λῖνον τυφόμενον* προσηγόρευσεν, ὡς εὐχερῆ πρὸς τὸ σβέννυσθαι, διὰ τὴν ἰσχὺν τοῦ Χριστοῦ, δυναμένου κατασβέσαι τοῦτον οὕτω ῥᾳδίως, ὡς ἂν σβέσῃ τις *λῖνον τυφόμενον*, τουτέστιν, ἀνακαιόμενον. *Λῖνον* δὲ νῦν νοοῦμεν, τὸ λινοῦν ῥάκος. Ἀλλ' οὐ σβέσει τοῦτον, ἵνα πάθῃ, καὶ ἵνα παθὼν δείξῃ τὴν περὶ ἡμᾶς ὑπερβάλλουσαν ἀγάπην αὐτοῦ.

20 Ἕως ἂν ἐκβάλῃ εἰς νῖκος τὴν κρίσιν.

Ἕως ἂν ἐξενέγκῃ εἰς τέλος τὴν δικαιοσύνην αὐτοῦ. *Νῖκος* μὲν γὰρ, τὸ τέλος· *κρίσιν* δὲ, τὴν δικαιοσύνην ὠνόμασεν. Ἕως ἂν πληρώσῃ τὴν δικαιοσύνην αὐτοῦ, ἕως ἂν ἐπιδείξηται τὰ παρ' ἑαυτοῦ δικαιώματα, τὰ καταδικάζοντα τοὺς Ἰουδαίους, καὶ περιαιροῦντα πᾶσαν αὐτῶν ἀναίσχυντον πρόφασιν. Μετὰ τοῦτο δὲ, συντρίψει αὐτοὺς, ὡς σκεύη (α) κεραμέως ἐν ῥάβδῳ σιδηρᾷ, τῇ δυναστείᾳ τῶν Ῥωμαίων, Οὐεσπασιανοῦ καὶ Τίτου, τῶν πολιορκησάντων καὶ ἐξολοθρευσάντων αὐτούς.

21 Καὶ ἐν τῷ ὀνόματι αὐτοῦ ἔθνη ἐλπιοῦσιν.»

Ἐλπίσουσιν, ὅτι καὶ μόνον ὀνομαζόμενος ἐν πειρασμοῖς ἐξελεῖται τοὺς ἐλπίζοντας ἐπ' αὐτῷ.

(α) Ψαλμ. Β', 9.

ΚΕΦΑΛΑΙΟΝ ΚΒ'.

Περὶ τοῦ δαιμονιζομένου τυφλοῦ καὶ κωφοῦ.

22 Τότε προσηνέχθη αὐτῷ δαιμονιζόμενος, τυφλὸς καὶ κωφός· καὶ ἐθεράπευσεν αὐτὸν, ὥστε τὸν τυφλὸν καὶ κωφὸν καὶ λαλεῖν καὶ βλέπειν.

Τὸ, *τότε*, ποτὲ μὲν ἀκολουθίαν καὶ τάξιν πραγμάτων σημαίνει, καθάπερ καὶ τὸ, *Τῷ καιρῷ ἐκείνῳ*· ποτὲ δὲ καὶ ἄμφω τὸν χρόνον μόνον δηλοῦσι, καθ' ὃν ἐγένοντο τὰ ῥηθῆναι μέλλοντα. *Κωφὸν* δὲ νῦν τὸν ἄλαλον λέγει.

23 Καὶ ἐξίσταντο πάντες οἱ ὄχλοι, καὶ ἔλεγον· Μήτι οὗτός ἐστιν ὁ υἱὸς Δαυΐδ;

Ἤκουον γὰρ τῶν προφητῶν καταγγελλόντων ἐκ σπέρματος Δαυῒδ ἥξειν τὸν Χριστόν.

24 Οἱ δὲ Φαρισαῖοι ἀκούσαντες, εἶπον· Οὗτος οὐκ ἐκβάλλει τὰ δαιμόνια, εἰ μὴ ἐν τῷ Βεελζεβοὺλ, ἄρχοντι τῶν δαιμονίων.

Ἐδάκνοντο γὰρ, ζηλοτυποῦντες τὴν δόξαν αὐτοῦ· διὸ καὶ ὑπὸ τῆς ἄγαν βασκανίας οὐκ ἐφείδοντο τῷ Βεελζεβοὺλ ἐπιγραφόμενοι τὰ ἔργα τῆς θείας φύσεως, καὶ λέγοντες· *Οὗτος οὐκ ἐκβάλλει τὰ δαιμόνια* ἐν οἰκείᾳ δυνάμει, *ἀλλ' ἐν τῷ Βεελζεβοὺλ*, ἔνοικον καὶ φίλον ἔχων αὐτόν. Καὶ ἀλλαχοῦ γὰρ ἔλεγον, ὅτι *Βεελζεβοὺλ ἔχει* (α).

(α) Μάρκ. Γ', 22.

25 **Εἰδὼς δὲ ὁ Ἰησοῦς τὰς ἐνθυμήσεις αὐτῶν, εἶπεν αὐτοῖς·**

Καθ' ἑαυτοὺς γὰρ τοῦτο ἔλεγον, φοβούμενοι τὸν ὄχλον· αὐτὸς δὲ ἐδημοσίευσε τὸ τῆς διανοίας αὐτῶν μυστήριον, κἀντεῦθεν δεικνύων, ὅτι θεός ἐστιν. Ὅρα δὲ, ὅτι καὶ πρότερον μὲν τοῦτο κατηγορηθεὶς, οὐκ ἐπετίμησεν αὐτοῖς, ἐνδιδοὺς γνῶναι τὴν αὐτοῦ δύναμιν, ἀπό τε τῶν πλειόνων σημείων, ἀπό τε τῆς μετὰ τοῦτο διδασκαλίας· ἐπεὶ δὲ πάλιν τὸ αὐτὸ λέγοντες ἐπέμενον, οὐδὲν ἐκεῖθεν βελτιωθέντες, ἐπιτιμᾷ λοιπὸν, καὶ ἐξελέγχει τὴν τούτων ἄνοιαν· μετὰ πρᾳότητος δὲ τοῦτο ποιεῖ, παιδεύων ἡμᾶς πρᾴως ἐλέγχειν τοὺς ἁμαρτάνοντας. Ἀπὸ δὲ τῶν κοινῇ συμβαινόντων ποιεῖται τὸν ἔλεγχον, καὶ παραδείγματα λαμβάνει γνώριμά τε καὶ ὡμολογημένα, καὶ τρία· τὸ μὲν, ἰσχυροτάτης δυνάμεως· τὸ δὲ, μέσης· τὸ δὲ, ἐλαχίστης· βεβαιῶν, ὅτι, κἂν μέγα τι στασιάζῃ πρὸς ἑαυτὸ, κἂν μέσον, κἂν μικρὸν, ἀπόλλυται.

25 **Πᾶσα βασιλεία μερισθεῖσα καθ' ἑαυτῆς ἐρημοῦται·**

Στασιαζόντων ἀλλήλοις τῶν μερισθέντων.

25 **Καὶ πᾶσα πόλις ἢ οἰκία μερισθεῖσα καθ' ἑαυτῆς, οὐ σταθήσεται.**

Οὐ συστήσεται διὰ τὴν ῥηθεῖσαν αἰτίαν.

26 **Καὶ εἰ ὁ σατανᾶς τὸν σατανᾶν ἐκβάλλει, ἐφ' ἑαυτὸν ἐμερίσθη· πῶς οὖν σταθήσεται ἡ βασιλεία αὐτοῦ;**

Εἰ ὁ Σατανᾶς, ὁ ἄρχων τῶν δαιμόνων, τὸν ἁπλῶς Σατανᾶν διώκει βιαίως· οὐ γὰρ ἂν ἑκών ποτε καταλίπῃ τὸ ἴδιον οἰκητήριον· ἐχθρὸς ἔσται πάντως ὁ διωκόμενος τῷ διώκοντι· καὶ λοιπὸν καθ' ἑαυτοῦ ἐμερίσθη, διαιρεθείσης ἀπ' αὐτοῦ τῆς ὑποταγῆς τῶν δαιμόνων· καὶ πῶς συστήσεται ἡ βασιλεία αὐτοῦ, ἢ πρὸς αὐτούς; [Ὥστε (1), εἴγε τούτων ἄρχων ἐστὶν, οὐκ ἂν, ἀπελάσας τούτους, στασιάσῃ πρὸς αὐτοὺς,] οὐδ' ἂν ἐπικουρήσῃ ἀνθρώπῳ κατὰ δαίμονος, οὐδ' ἂν γένοιτό ποτε φιλάνθρωπος, ἀνθρωποκτόνος ὢν ἀπ' ἀρχῆς.

27 **Καὶ εἰ ἐγὼ ἐν Βεελζεβοὺλ ἐκβάλλω τὰ δαιμόνια, οἱ υἱοὶ ὑμῶν ἐν τίνι ἐκβάλλουσι;**

Μετὰ τὴν πρώτην λύσιν τῆς κατηγορίας, ἐπὶ δευτέραν ἔρχεται σαφεστέραν. Ἐπεὶ γὰρ καὶ οἱ μαθηταὶ αὐτοῦ δαίμονας ἐξέβαλλον ἤδη, παρ' αὐτοῦ λαβόντες τὴν ἐξουσίαν, ἀπὸ τούτων ἐλέγχει μᾶλλον τοὺς φαρισαίους, διὰ φθόνον μόνον τοιαῦτα κατηγοροῦντας αὐτοῦ. Καὶ γὰρ ἐκείνοις οὐδέν τι τοιοῦτον ἐγκαλοῦντες, αὐτοῦ μόνου κατηγόρουν οὕτως. Υἱοὺς δὲ αὐτῶν, τοὺς ἀποστόλους ὠνόμασε, διὰ τὸ τοὺς φαρισαίους πατέρων τάξιν ἐπέχειν ἐν Ἰουδαίοις, ἐξ ὧν οἱ ἀπόστολοι κατήγοντο, καὶ διὰ τὸ νεωτέρους ἐκείνων εἶναι τούτους. Ἐρωτᾷ οὖν, ὅτι *Ἐν τίνι ἐκβάλλουσιν;* ἆρα ἐν Βεελζεβοὺλ; καὶ πῶς οὐ κατηγορεῖτε καὶ αὐτῶν; Εἰ δὲ ἐν χάριτι θεοῦ, θεὸς ἄρα ἐγώ· ἐν τῷ ἐμῷ γὰρ ὀνόματι τὰ δαιμόνια διώκουσι.

27 **Διὰ τοῦτο αὐτοὶ ὑμῶν ἔσονται κριταί.**

Διότι τοίνυν ἐκβάλλουσι καὶ αὐτοὶ δαιμόνια, καὶ οὐκ ἐγκαλοῦνται παρ' ὑμῶν, *διὰ τοῦτο αὐτοὶ ὑμῶν ἔσονται κριταὶ*, καὶ κατακρινοῦσιν ἡμᾶς, οὐκ ἐπὶ τοῖς βεβιωμένοις· τοῦτο γὰρ μόνου θεοῦ· ἀλλ' ἐπὶ τῇ βλασφημίᾳ ταύτῃ, ὅτι διὰ φθόνον ἐγκαλεῖτε μόνῳ ἐμοὶ, ἐκείνους ἀφέντες. Ἢ διὰ τοῦτο, διότι υἱοὶ ὑμῶν ὄντες, ἐπέγνωσαν τὴν ἀλήθειαν, κατακρινοῦσιν ὑμᾶς τοὺς πατέρας αὐτῶν, μὴ θελήσαντας ἐπιγνῶναι ταύτην.

---

(1) Τὰ ἐνταῦθα παρεντεθειμένα λείπουσιν ἀπὸ τοῦ Α, καὶ ἴσως διὰ τὸ διττὸν, πρὸς αὐτούς.

28 Εἰ δὲ ἐγὼ ἐν πνεύματι θεοῦ ἐκβάλλω τὰ δαιμόνια, ἄρα ἔφθασεν ἐφ' ὑμᾶς ἡ βασιλεία τοῦ θεοῦ.

[*Δάκτυλος* (1) *θεοῦ*, τὸ Πνεῦμα τὸ ἅγιον. Τῶν γὰρ ἄλλων εὐαγγελιστῶν εἰπόντων· *Εἰ δὲ ἐγὼ ἐν πνεύματι θεοῦ ἐκβάλλω τὰ δαιμόνια*, ὁ Λουκᾶς εἶπεν· *Εἰ δὲ ἐγὼ ἐν δακτύλῳ θεοῦ ἐκβάλλω τὰ δαιμόνια.*]

Ἀποδείξας, ὅτι οὐκ ἐν Βεελζεβοὺλ ἐκβάλλει τὰ δαιμόνια, συναπέδειξεν, ὅτι λοιπὸν ἐν πνεύματι θεοῦ ταῦτα ἀπελαύνει. *Πνεῦμα* δὲ *θεοῦ* νῦν, τὴν δύναμιν τοῦ θεοῦ φησί. Διὸ καὶ ὁ Λουκᾶς, *Ἐν* (α) *δακτύλῳ θεοῦ*, εἶπε, τουτέστιν, ἐν χειρί· χεῖρα δὲ θεοῦ, τὴν δύναμιν αὐτοῦ λέγομεν. Εἰ δὲ ἐν δυνάμει θείᾳ, φησὶν, ἐγὼ ἐκβάλλω τὰ δαιμόνια, ὡς μὴ ψιλὸς ἄνθρωπος, ἀλλὰ καὶ υἱὸς θεοῦ, *ἄρα ἔφθασεν ἐφ' ὑμᾶς ἡ βασιλεία τοῦ θεοῦ*· λέγει δὲ τὴν ἑαυτοῦ, ἥντινα διὰ τοῦ Χριστοῦ ἔρχεσθαι ἐπ' αὐτοὺς προκατήγγειλαν οἱ προφῆται. Μόνου γὰρ θεοῦ, τὸ ἐν δυνάμει θείᾳ δαίμονας ἐκβάλλειν· οἱ γὰρ ἀπόστολοι, οὐκ ἐν δυνάμει θείᾳ, ἀλλ' ἐν χάριτι θείᾳ τούτους ἐξέβαλλον· οὐ γὰρ ἠδύναντο, ὡς ὁ θεὸς, ἀλλὰ χάριν εἶχον ἐκ τοῦ θεοῦ· ὁ μὲν γὰρ, ἐπιτάγματι μόνῳ τοὺς δαίμονας ἐφυγάδευεν· οἱ δὲ, ἐν τῷ ὀνόματι αὐτοῦ τούτους ἐξώριζον. Εἰ δὲ ἔφθασεν ἐφ' ὑμᾶς ἡ βασιλεία τοῦ θεοῦ, διὰ τί ταύτην ἀπωθεῖσθε; διὰ τί τοῖς ὑμετέροις ἀγαθοῖς πολεμεῖτε; Οὗτος γὰρ ἐκεῖνος ὁ καιρὸς τῆς σωτηρίας ὑμῶν, ὃν πάλαι προεῖπον οἱ προφῆται.

29 Ἢ πῶς δύναταί τις εἰσελθεῖν εἰς τὴν οἰκίαν τοῦ ἰσχυροῦ, καὶ τὰ σκεύη αὐτοῦ διαρπάσαι, ἐὰν μὴ

(1) Τὰ παρεντεθειμένα ἀναγινώσκονται ἐν τῷ περισελιδίῳ παρ' ἀμφοτέροις τοῖς χειρογράφοις. Ἀναφέρονται δὲ εἰς Λουκ. ΙΑ', 20.

(α) Λουκ. ΙΑ', 20.

πρῶτον δήσῃ τὸν ἰσχυρόν; καὶ τότε τὴν οἰκίαν αὐτοῦ διαρπάσει.

Παραδειγματικῶς μὲν ἐξάγει τὸν λόγον· ὑποδηλοῖ δὲ *ἰσχυρὸν* μὲν, τὸν ἄρχοντα τῶν δαιμονίων, οὐχ ὡς ἰσχυρὸν τῇ φύσει, ἀλλ' ὡς τυραννοῦντα μέχρι τότε, καὶ καταδυναστεύοντα τῶν ἀσθενούντων ἐκ ῥαθυμίας· *σκεύη* δὲ αὐτοῦ, τὰ ὑποτεταγμένα αὐτῷ δαιμόνια, ὡς ὅπλα αὐτοῦ. Σκεύη γὰρ ὀνομάζονται, καὶ τὰ ὅπλα· διὸ καὶ ὁ Λουκᾶς, *πανοπλίαν* (α) αὐτοῦ ταῦτα ὠνόμασε, δι' ὧν κατεδουλοῦτο τοὺς ἀθλίους ἀνθρώπους. Εἰσάγει δὲ λογισμὸν διὰ τοῦ τοιούτου παραδείγματος ὁ Χριστὸς, δεικνύοντα, ὅτι οὐ μόνον οὐκ ἔχει φίλον τὸν ἄρχοντα τῶν δαιμονίων, ἀλλὰ καὶ μᾶλλον ἐδέσμησεν αὐτοῦ τὴν ἰσχὺν, ὡς ἐχθίστου. Ἔστι γὰρ ὁ τοῦ λογισμοῦ σκοπὸς, ὅτι ὥσπερ οὐ δύναταί τις εἰσελθεῖν εἰς τὴν οἰκίαν τοῦ ἰσχυροῦ, καὶ τὰ σκεύη αὐτοῦ διαρπάσαι, φυλαττόμενα παρ' αὐτοῦ, ἐὰν μὴ πρῶτον δήσῃ τὸν ἰσχυρὸν, οὕτως οὐδ' αὐτὸς διήρπασεν ἂν τὰ δαιμόνια, τουτέστι, διεσκόρπισεν, εἰ μὴ πρῶτον ἐδέσμησε τὸν ἄρχοντα τούτων τὸν ἐνισχύοντα αὐτά.

Χρὴ δὲ γινώσκειν, ὡς οὐ πάντοτε τὰ παραδείγματα κατὰ πάντα λόγον προσαρμόζουσι ταῖς ὑποθέσεσιν, εἰς ἃς ἐκλαμβάνονται· ἀλλ' ὡς ἐπὶ τὸ πλεῖστον ἐν μόνοις τοῖς καιριωτέροις καὶ κεφαλαιωδεστέροις μέρεσι.

Τινὲς δὲ σκεύη τῶν δαιμόνων λέγουσιν εἶναι τοὺς δαιμονιζομένους, οὓς ὁ Χριστὸς διήρπασεν ἀπ' αὐτῶν, δήσας τὰς δυνάμεις αὐτῶν. Εἶεν δ' ἂν σκεύη τοῦ διαβόλου, καὶ πάντες οἱ ἐργαζόμενοι τὰ τοῦ διαβόλου, καὶ ὑπηρετοῦντες τοῖς αὐτοῦ θελήμασιν.

30 Ὁ μὴ ὢν μετ' ἐμοῦ, κατ' ἐμοῦ ἐστι· καὶ ὁ μὴ συνάγων μετ' ἐμοῦ, σκορπίζει.

Καὶ δι' ἑτέρου λογισμοῦ βεβαιοῖ, ὅτι μᾶλλον ἔχθιστος αὐτῷ

(α) Λουκ. ΙΑ', 22.

ἐστιν ὁ ἄρχων τῶν δαιμονίων. Ὅτι μὲν γὰρ οὐκ ἔστι μετὰ τοῦ Χριστοῦ, οὐδὲ συνάγει μετ᾽ αὐτοῦ, δῆλον, ἀφ᾽ ὧν ὁ μὲν Χριστὸς, πᾶσάν τε ἀρετὴν διδάσκει, καὶ φιλάνθρωπος ὢν, ἰᾶται τοὺς νοσοῦντας· ὁ δὲ τοὐναντίον, πᾶσάν τε κακίαν διδάσκει, καὶ μισάνθρωπος ὢν, λωβᾶται τοῖς ὑγιαίνουσιν. Εἰ δὲ οὔτε μετ᾽ αὐτοῦ ἐστιν, ἤγουν, οὐχ ὁμογνωμονεῖ αὐτῷ, καθὼς ἀποδέδεικται, οὔτε συνάγει μετ᾽ αὐτοῦ πρὸς πίστιν, πάντως κατ᾽ αὐτοῦ ἐστι, καὶ σκορπίζει, οὓς ὁ Χριστὸς συνάγει, ὅσον τὸ ἐπ᾽ αὐτῷ. Εἰπὼν δὲ, ὅτι ὁ *μὴ ὢν μετ᾽ ἐμοῦ, κατ᾽ ἐμοῦ ἐστι*, καὶ δόξας ἀσαφῶς εἰπεῖν, ἑρμήνευσε τὸν λόγον, προσθεὶς, ὅτι *καὶ ὁ μὴ συνάγων μετ᾽ ἐμοῦ, σκορπίζει*. Τῷ διαβόλῳ δὲ συνέταξε καὶ τοὺς Ἰουδαίους, κατ᾽ αὐτοῦ τε ὄντας, καὶ σκορπίζοντας, ἃ συνῆγεν, ὅσον τὸ ἐπ᾽ αὐτοῖς.

31 Διὰ τοῦτο.

Διότι τοιαῦτα κατ᾽ ἐμοῦ λέγετε.

31 Λέγω ὑμῖν· Πᾶσα ἁμαρτία καὶ βλασφημία ἀφεθή-
σεται τοῖς ἀνθρώποις· ἡ δὲ τοῦ πνεύματος βλασφη-
μία οὐκ ἀφεθήσεται τοῖς ἀνθρώποις.

Οὐχ ἁπλῶς πᾶσαν ἁμαρτίαν καὶ βλασφημίαν λέγει. Διὰ τῶν ἐφεξῆς γὰρ ἐσαφήνισε, ποίαν πᾶσαν λέγει. Φησὶ γάρ·

32 Καὶ ὃς ἂν εἴπῃ λόγον κατὰ τοῦ υἱοῦ τοῦ ἀνθρώπου,
ἀφεθήσεται αὐτῷ· ὃς δ᾽ ἂν εἴπῃ κατὰ τοῦ πνεύμα-
τος τοῦ ἁγίου, οὐκ ἀφεθήσεται αὐτῷ, οὔτε ἐν τῷ
νῦν αἰῶνι, οὔτε ἐν τῷ μέλλοντι.

Ὃς μὲν ἂν ἁμάρτῃ κατὰ τῆς ἀνθρωπότητός μου, φησὶ, τουτέστιν, ὅστις ἂν εἴπῃ βλάσφημον λόγον κατ᾽ αὐτῆς, σκανδαλιζόμενος, ἐφ᾽ οἷς, ὡς ἄνθρωπος, ἐσθίω, καὶ πίνω, καὶ ὑπνῶ, καὶ κοπιῶ, καὶ τἄλλα, ὅσα τῆς ἀνθρωπίνης φύσεως ἴδια, ἅπερ ἀνθρωποπρεπῶς, τὰ μὲν ἐνεργῶ, τὰ δὲ πάσχω, βεβαιῶν, ὅτι

κατὰ ἀλήθειαν ἐνηνθρώπησα, ὁ τοιοῦτος συγγνωσθήσεται πάντως, ὡς οὐκ ἐθελοκακήσας, ἀλλ᾽ ἐν ἀγνοίᾳ τῆς ἀληθείας βλασφημήσας· ὁ δὲ βλέπων τὰς θεοπρεπεῖς μου ἐνεργείας, ἃς μόνος δύναται ποιεῖν ὁ θεὸς, καὶ τῷ Βεελζεβοὺλ ταύτας ἐπιγραφόμενος, ὡς καὶ ὑμεῖς νῦν, καὶ οὕτω βλασφημῶν κατὰ τοῦ πνεύματος τοῦ ἁγίου, ἤτοι κατὰ τῆς θεότητος· ταύτην γὰρ νῦν καλεῖ Πνεῦμα ἅγιον· οὗτος, ὡς ἐθελοκακήσας προδήλως, καὶ ἐν γνώσει καθυβρίσας τὸν θεὸν, καὶ ἀναπολόγητα πλημμελήσας, οὐ συγχωρηθήσεται.

Τὸ δὲ, *οὔτε ἐν τῷ νῦν αἰῶνι, οὔτε ἐν τῷ μέλλοντι*, προσέθηκε, διδάσκων, ὅτι μεγίστη καὶ φοβερωτάτη ἐστὶν ἡ κατὰ τοῦ θεοῦ βλασφημία, καὶ ὅτι τῶν ἀνθρώπων, οἱ μὲν καὶ ἐνταῦθα καὶ ἐκεῖ κολάζονται, ὡς οἱ Σοδομῖται καὶ ὡς Ἰουδαῖοι· καὶ περὶ μὲν τῶν Σοδομιτῶν προειρήκαμεν ἐν τῷ ἐννεακαιδεκάτῳ κεφαλαίῳ· Ἰουδαῖοι δὲ καὶ ἐνταῦθα δίκην ἔδοσαν, ἐλεεινῶς ὑπὸ Ῥωμαίων πολιορκηθέντες, καὶ ἐκεῖ τιμωρηθήσονται χαλεπώτερον· τινὲς δὲ, ἐνταῦθα μόνον κολάζονται, ὡς ὁ πεπορνευκὼς παρὰ Κορινθίοις καὶ παραδοθεὶς τῷ Σατανᾷ· τινὲς δὲ, ἐκεῖ μόνον, ὡς ὁ ἀποτηγανιζόμενος ἐν τῇ φλογὶ πλούσιος· τινὲς δὲ, οὔτε ἐνταῦθα, οὔτε ἐκεῖ, ὡς οἱ ἀπόστολοι, καὶ οἱ προφῆται, καὶ ὁ Ἰώβ· ἃ γὰρ ἔπασχον, οὐ τῆς ἐκ θεοῦ κολάσεως ἦσαν, ἀλλ᾽ ἀγώνων καὶ παλαισμάτων. Ἡ μὲν οὖν ἀπειλὴ, κατὰ τῶν μενόντων ἀμεταμελήτων· δῆλον δὲ, ὅτι τοῖς μετανοοῦσιν ἀφεθήσεται καὶ ἐνταῦθα καὶ ἐκεῖ. Πολλοὶ γὰρ τῶν οὕτω τηνικαῦτα πλημμελησάντων, πιστεύσαντες ὕστερον, πάντα συνεχωρήθησαν.

33 Ἢ ποιήσατε τὸ δένδρον καλὸν, καὶ τὸν καρπὸν αὐτοῦ
καλόν· ἢ ποιήσατε τὸ δένδρον σαπρὸν, καὶ τὸν
καρπὸν αὐτοῦ σαπρόν· ἐκ γὰρ τοῦ καρποῦ τὸ δένδρον
γινώσκεται.

Ποιήσατε, ἀντὶ τοῦ, εἴπατε. Καταισχύνει δὲ πάλιν ἑτέρως

αὐτοὺς, ὡς ἀνακόλουθα καὶ παρὰ φύσιν κατηγοροῦντας. Ἐπεὶ γὰρ τὸ μὲν ἀπελαύνεσθαι τοὺς δαίμονας, οὐκ ἐκάκιζον, εἰ καὶ σφόδρα ἠναισχύντουν· τὸν δὲ ἀπελαύνοντα τούτους διέβαλλον, παραδειγματικῶς αὐτοὺς ἐλέγχει, τὸ μὲν ἔργον καλὸν κρίνοντας, τὸν δὲ ἐργαζόμενον, κακὸν, ὅπέρ ἐστιν ἐναντιότητος καὶ ἀναισχυντίας.

Καὶ *δένδρον* μὲν, ἑαυτὸν ὑποφαίνει· *καρπὸν* δὲ, τὸ ἔργον αὐτοῦ. Λέγει τοίνυν, ὅτι Ἢ εἴπατε τὸν ἐργάτην καλὸν, καὶ τὸ ἔργον αὐτοῦ καλόν· ἢ τὸν ἐργάτην αὐτοῦ κακὸν, καὶ τὸ ἔργον αὐτοῦ κακόν. Εἰ γὰρ τὸ ἔργον καλὸν, ἄρα καὶ ὁ ἐργάτης αὐτοῦ καλός· ἐκ γὰρ τοῦ ἔργου ὁ ἐργάτης αὐτοῦ γινώσκεται· εἰ μὲν καλοῦ, καλός· εἰ δὲ κακοῦ, κακός. Ἐδίδαξε γὰρ ἐν τῷ πέμπτῳ κεφαλαίῳ, ὅτι (α) *Οὐ δύναται δένδρον ἀγαθὸν, καρποὺς πονηροὺς ποιεῖν, οὐδὲ δένδρον σαπρὸν, καρποὺς καλοὺς ποιεῖν.*

34 Γεννήματα ἐχιδνῶν! πῶς δύνασθε ἀγαθὰ λαλεῖν, πονηροὶ ὄντες;

Οὐκ ἔστι θαυμαστὸν, εἰ τοιαῦτα βλασφημεῖτε. Πονηροὶ γὰρ ὄντες, οὐ δύνασθε ἀγαθὰ λαλεῖν. Εἶτα καὶ φυσιολογικῶς ἀποδείκνυσι, πῶς οὐ δύνανται.

34 Ἐκ γὰρ τοῦ περισσεύματος τῆς καρδίας τὸ στόμα λαλεῖ.

Ὑπερβλυζούσης γὰρ τῆς κακίας ἐν τῇ καρδίᾳ, λοιπὸν ἐξ ἀνάγκης ἀπὸ τοῦ περιττεύοντος ἐκχεῖται κακία, ἥτις ἐστὶ λόγος πονηρός. Καὶ καθάπερ οἱ ἐμοῦντες, παρὰ μὲν τὴν ἀρχὴν βιάζονται ἔνδον κατέχειν ἐκπηδῶντας τοὺς χυμοὺς, ὑπερβλυζόντων δὲ, νικῶνται, καὶ προΐενται τοὺς περιττεύοντας· οὕτω

(α) Ματθ. Ζ', 18.

δὴ καὶ οἱ τὰ πονηρὰ βουλεύματα τρέφοντες. *Γεννήματα* δὲ *ἐχιδνῶν* αὐτοὺς προσηγόρευσεν, ὡς καὶ ὁ Βαπτιστὴς Ἰωάννης ἐν τῷ τρίτῳ κεφαλαίῳ (α). Καὶ ζήτησον τὴν ἐν ἐκείνῳ ἐξήγησιν.

35 Ὁ ἀγαθὸς ἄνθρωπος ἐκ τοῦ ἀγαθοῦ θησαυροῦ τῆς καρδίας ἐκβάλλει τὰ ἀγαθά· καὶ ὁ πονηρὸς ἄνθρωπος ἐκ τοῦ πονηροῦ θησαυροῦ ἐκβάλλει πονηρά.

Διδάσκει νῦν, ὅτι τὸ ἐκ τοῦ περισσεύματος τῆς καρδίας τὸ στόμα λαλεῖν, οὐκ ἐπὶ τῶν πονηρῶν ἀνθρώπων γίνεται μόνον, ἀλλὰ καὶ ἐπὶ τῶν ἀγαθῶν. Καὶ *θησαυρὸν* μὲν καλεῖ, τὴν βλύσιν καὶ πηγὴν τῆς ἀγαθότητος καὶ τῆς πονηρίας· *ἀγαθὰ* δὲ *καὶ πονηρὰ*, τοὺς ἀγαθοὺς λόγους καὶ πονηρούς.

36 Λέγω δὲ ὑμῖν, ὅτι πᾶν ῥῆμα ἀργὸν, ὃ ἐὰν λαλήσωσιν οἱ ἄνθρωποι, ἀποδώσουσι περὶ αὐτοῦ λόγον ἐν ἡμέρᾳ κρίσεως.

Ἀργὸν μὲν λέγει, τὸ συκοφαντικὸν καὶ μάταιον, ἢ τὸ περιττὸν καὶ βλαβερόν· *λόγον* δὲ, τὴν εὐθύνην καὶ ἀπολογίαν. Οὐ μικρὸν δὲ μέρος διορθώσεως, τὸ μὴ μόνον ἀπολογεῖσθαι καὶ ἐλέγχειν, ἀλλὰ καὶ ἀπειλεῖν, ὃ δὴ πολλαχοῦ ποιεῖ.

37 Ἐκ γὰρ τῶν λόγων σου δικαιωθήσῃ, καὶ ἐκ τῶν λόγων σου καταδικασθήσῃ.

Ἐκ μὲν τῶν ἀγαθῶν, δικαιωθήσῃ· ἐκ δὲ τῶν πονηρῶν, καταδικασθήσῃ.

(α) Ματθ. Γ', 7.

ΚΕΦΑΛΑΙΟΝ ΚΓ΄.

Περὶ τῶν αἰτούντων σημεῖον.

38 **Τότε ἀπεκρίθησάν τινες τῶν Γραμματέων καὶ Φαρισαίων, λέγοντες· Διδάσκαλε, θέλομεν ἀπὸ σοῦ σημεῖον ἰδεῖν.**

Ὅτε θαυμάσαι καὶ ὑποκύψαι ἔδει, τότε πάλιν ἀναισχυντοῦσι· καὶ ὃν πρὸ μικροῦ θρασέως ἐκάλουν δαιμονῶντα, νῦν κολακευτικῶς διδάσκαλον ὀνομάζουσι· καὶ μετὰ τοσαῦτα θαύματα, σημεῖον ἰδεῖν αἰτοῦσιν, οὐχ ἵνα πιστεύσωσιν, ἀλλ' ἵνα ἐπιλάβωνται αὐτοῦ. Μὴ δυνάμενοι γὰρ ἀντειπεῖν αὐτῷ, ῥᾳδίως αὐτοὺς ἐλέγχοντι, πρὸς τὰ ἔργα μεταβαίνουσιν. Ὁ δὲ Λουκᾶς φησὶν, ὅτι (α) *ἕτεροι, πειράζοντες, σημεῖον παρ' αὐτοῦ ἐζήτουν ἐξ οὐρανοῦ*. Ὑπελάμβανον γὰρ, ὅτι τὰ μὲν ἐπὶ τῆς γῆς σημεῖα γοητεύων ἐπιτελεῖ· ἐξ οὐρανοῦ δὲ οὐκ ἂν δύναιτο ποιῆσαι σημεῖον, μὴ ὢν ἀπὸ τοῦ Θεοῦ. Καὶ γὰρ καὶ ἀλλαχοῦ ἔλεγον· *Οὗτος ὁ ἄνθρωπος οὐκ ἔστιν ἀπὸ τοῦ θεοῦ* (β).

39 **Ὁ δὲ ἀποκριθεὶς, εἶπεν αὐτοῖς· Γενεὰ πονηρὰ καὶ μοιχαλὶς σημεῖον ἐπιζητεῖ·**

Ὅταν μὲν ὕβριζον αὐτὸν, διελέγετο (1) μακροθύμως· ὅταν δὲ ἐκολάκευον, ἀπεκρίνετο τραχέως, ὡς μήτε θυμῷ νικώμενος, μήτε κολακείᾳ μαλακιζόμενος· διασύρει δὲ τούτους, ἀπὸ τῆς τῶν προγόνων αὐτῶν κακίας, ὡς ἄξια ἐκείνων γεννήματα. Καὶ *πονηρὰν* μὲν *τὴν γενεὰν* τούτων ὠνόμασεν, ὡς ἔκπαλαι ἄπιστον καὶ πειράζουσαν· φησὶ γὰρ ὁ Δαυΐδ· *Καὶ* (γ) *οὐκ ἐπίστευσαν ἐν τοῖς θαυμασίοις αὐτοῦ*· καὶ πάλιν· *Καὶ* (α) *ἐπείρασαν καὶ παρεπίκραναν τὸν θεὸν τὸν ὕψιστον*· *μοιχαλίδα* δὲ, διὰ τὴν τῶν προγόνων αὐτῶν ἐκ θεοῦ ἀποστασίαν, οἵτινες ἀποζυγέντες πάλαι τῆς πίστεως τοῦ θεοῦ, ἐκολλήθησαν τῇ πίστει τῶν δαιμόνων. Μοιχείαν γὰρ ὀνομάζει, καὶ τὴν εἰδωλολατρείαν ἡ παλαιὰ Γραφή· καὶ τοῦτο πολλαχοῦ τῶν προφητικῶν βίβλων εὑρήσεις.

(α) Λουκ. ΙΑ', 16.

(β) Ἰωαν. Θ', 16.

(1) Αὐτοῖς.

(γ) Ψαλμ. ΟΖ', 32.

39 **Καὶ σημεῖον οὐ δοθήσεται αὐτῇ, εἰ μὴ τὸ σημεῖον Ἰωνᾶ τοῦ προφήτου.**

Οὐ *δοθήσεται αὐτῇ*· διότι οὐκ ἐκ πίστεως, ἀλλ' ἐκ πονηρίας, καὶ πειράζουσα σημεῖον ζητεῖ. Τί οὖν; οὐκ ἐποίησεν ἔκτοτε σημεῖον; Ἐποίησεν, ἀλλ' οὐ δι' αὐτούς· πεπωρωμένοι γὰρ ἦσαν· ἀλλὰ διὰ τὴν τῶν ἄλλων ὠφέλειαν. *Σημεῖον* δὲ *Ἰωνᾶ τοῦ προφήτου* λέγει, τὴν μετὰ τρεῖς ἡμέρας καὶ τρεῖς νύκτας ἐκ τοῦ τάφου ἀνάστασιν αὐτοῦ. Προαναφωνεῖ γὰρ ἤδη ταύτην τοῖς Ἰουδαίοις· ἵνα ἀναστάντος μνημονεύωσιν, ὅτι προεῖπε τούτοις περὶ αὐτῆς, ἐπισημηνάμενος λεπτομερῶς καὶ τὰς ἡμέρας καὶ τὰς νύκτας τῆς ἰδίας ταφῆς. Διὰ τοῦτο γὰρ καὶ ὕστερον ταφέντος αὐτοῦ (β), « συνήχθησαν οἱ ἀρχιερεῖς καὶ οἱ φαρισαῖοι πρὸς Πιλάτον λέγοντες· Κύριε, ἐμνήσθημεν, ὅτι ὁ πλάνος ἐκεῖνος εἶπεν ἔτι ζῶν· Μετὰ τρεῖς ἡμέρας ἐγείρομαι. » Σημεῖον δὲ Ἰωνᾶ τοῦ προφήτου ταύτην ὠνόμασε, διὰ τὴν ὁμοιότητα, ἣν καὶ ἑρμηνεύει, λέγων·

40 **Ὥσπερ γὰρ ἦν Ἰωνᾶς ἐν τῇ κοιλίᾳ τοῦ κήτους τρεῖς ἡμέρας καὶ τρεῖς νύκτας· οὕτως ἔσται ὁ υἱὸς τοῦ**

(α) Ψαλμ. ΟΖ', 56.

(β) Ματθ. ΚΖ', 62. 63.

ἀνθρώπου ἐν τῇ καρδίᾳ τῆς γῆς τρεῖς ἡμέρας καὶ τρεῖς νύκτας.

Ὄντως τοῦτο σημεῖον ἦν, καὶ σημεῖον πάντων παραδοξότερον· οὐδενὸς γὰρ οὐδέποτε τοιαύτη γέγονεν ἐκ νεκρῶν ἀνάστασις. Ἐδόθη δὲ τὸ σημεῖον τοῦτο τοῖς ἀπίστοις Ἰουδαίοις, τουτέστιν, ἐτερατουργήθη παρ᾽ αὐτοῖς, ἵνα πληροφορηθῶσιν, ὅτι θεός ἐστι παντοδύναμος· καὶ λοιπὸν, ὡς θεομάχοι, τὸ συνειδὸς ἕξουσι τύπτον καὶ πικρῶς αὐτοὺς βασανίζον, καὶ προανατυποῦν τὰ μέλλοντα καταλαβεῖν τούτους κακά. *Καρδίαν* δὲ *γῆς* νόει, τὸ βάθος αὐτῆς· ἐν βάθει γὰρ ἦν λελατομημένος ὁ τάφος· τρία δὲ ἡμερονύκτια διήγαγεν ὑπὸ γῆν, ἵνα πιστευθῇ, ὅτι ἀπέθανεν.

† Καρδίαν (1) γῆς, τὸν τάφον λέγει.

41 Ἄνδρες Νινευῖται ἀναστήσονται ἐν τῇ κρίσει μετὰ τῆς γενεᾶς ταύτης, καὶ κατακρινοῦσιν αὐτήν· ὅτι μετενόησαν εἰς τὸ κήρυγμα Ἰωνᾶ· καὶ ἰδοὺ, πλεῖον Ἰωνᾶ ὧδε.

Ἅμα μὲν, ὡς πάντα εἰδὼς, προλέγει τὸ, καὶ μετὰ τὴν τοιαύτην ἀνάστασιν, ἀμετανόητον αὐτῶν· ἅμα δὲ καὶ ἐκφοβεῖ τούτους. Ἐπεὶ δὲ εἰώθαμεν λέγειν, ὅτι ὁ δεῖνα ἐν τῇ μελλούσῃ κρίσει κατακρινεῖ ἡμᾶς, οὐχ ὡς ἐκείνου κρίνοντος· εἷς γὰρ κριτὴς πάντων, ὁ Χριστός· ἀλλ᾽ ὡς τῆς ἐκείνου πράξεως ἐν τῷ παρεξετάζεσθαι ταῖς ἡμετέραις καταισχυνούσης ἡμᾶς· τῇ συνηθείᾳ ταύτῃ καὶ ὁ Χριστὸς ἠκολούθησε. *Πλεῖον* δὲ *τοῦ Ἰωνᾶ ὧδέ*, φησι· διότι ὁ μὲν Ἰωνᾶς ἦν δοῦλος, ὁ δὲ Χριστὸς, δεσπότης· καὶ ὁ μὲν, ἐκ κήτους ἐξῆλθεν, οὗτος δὲ, ἐξ ᾅδου· καὶ ὁ

(1) Τὰς πέντε λέξεις ταύτας μόνος ὁ Ἐντένιος εὕρηκεν ἐν τῷ περισελιδίῳ τοῦ χειρογράφου αὐτοῦ.

μὲν, ἄκων ἐκήρυξεν, οὗτος δὲ, ἑκών· καὶ ὁ μὲν, ξένος ἦν, οὗτος δὲ, συγγενὴς κατὰ σάρκα· καὶ ὁ μὲν, καταστροφὴν ἐκήρυξεν, οὗτος δὲ, βασιλείαν οὐρανῶν· καὶ ὁ μὲν, οὐδὲν σημεῖον ἐποίησεν, οὗτος δὲ, μυρία· καὶ περὶ ἐκείνου μὲν οὐδεὶς προεῖπε, περὶ τούτου δὲ πάντες οἱ προφῆται. Καὶ οἱ μὲν Νινευῖται, βάρβαροι ἐτύγχανον· οἱ δὲ Ἰουδαῖοι, ταῖς θείαις ἦσαν ἐντεθραμμένοι γραφαῖς. Κἀκεῖνοι μὲν οὐδὲν παρὰ τοῦ Ἰωνᾶ πλέον ἤκουσαν, εἰ μὴ μόνον, *Ἔτι (α) τρεῖς ἡμέραι, καὶ ἡ Νινευῒ καταστραφήσεται*, καὶ εὐθὺς ἐπίστευσαν αὐτῷ, καὶ μετενόησαν· οὗτοι δὲ παντοίαν ἠνωτίσθησαν παρὰ τοῦ Χριστοῦ φιλοσοφωτάτην διδασκαλίαν, καὶ οὐκ ἐπίστευσαν αὐτῷ. Καὶ πολλὰ ἕτερα τοιαῦτα εὕροιμεν ἂν, ἔχοντα τὸ μεῖζον.

42 Βασίλισσα νότου ἐγερθήσεται ἐν τῇ κρίσει μετὰ τῆς γενεᾶς ταύτης, καὶ κατακρινεῖ αὐτήν· ὅτι ἦλθεν ἐκ τῶν περάτων τῆς γῆς ἀκοῦσαι τὴν σοφίαν Σολομῶντος· καὶ ἰδοὺ, πλεῖον Σολομῶντος ὧδε.

Νότον λέγει τὴν χώραν, ἀφ᾽ ἧς ὁ νότος πνέει, λέγω δὴ τὴν Αἰθιοπίαν, ἣν Σαβὰ κέκληκεν ἡ τρίτη (β) βίβλος τῶν Βασιλειῶν. Κεῖται δὲ ἡ τοιαύτη χώρα ἐν τῷ πέρατι τῆς οἰκουμένης. *Πλεῖον* δὲ *Σολομῶντος ὧδέ*, φησι, ὅτι Σολομὼν μὲν, βασιλεὺς ἦν Ἰουδαίας μόνης· ὁ δὲ Χριστὸς, βασιλεὺς οὐρανοῦ καὶ γῆς· καὶ ὁ μὲν, περὶ σοφίας ἀνθρωπίνης αὐτῇ διελέχθη· οὗτος δὲ, περὶ σοφίας θείας ἐποιεῖτο τὰς ὁμιλίας. Οὕτω παραστήσας ἀπὸ συγκρίσεως τὴν ὑπερβολὴν τῆς κακίας αὐτῶν, λοιπὸν προλέγει διὰ παραβολῆς τὰ μέλλοντα καταλαβεῖν αὐτοὺς κακά.

43 Ὅταν δὲ τὸ ἀκάθαρτον πνεῦμα ἐξέλθῃ ἀπὸ τοῦ

(α) Ἰωαν. Γʹ, 4.
(β) Γʹ Βασιλ. Ιʹ, 1.

ἀνθρώπου, διέρχεται δι' ἀνύδρων τόπων, ζητοῦν ἀνάπαυσιν, καὶ οὐχ εὑρίσκει·

Ἀνύδρους τόπους λέγει τὰς ἐρημίας. Δηλοῖ δὲ τὰς τῶν ἁγίων ψυχὰς, μηδεμίαν ὑγρότητα πάθους ἐχούσας, ἐρήμους δὲ καὶ ἀγόνους κακίας ὑπαρχούσας, εἰς ἃς οὐκ ἔχει πάροδον.

44 Τότε λέγει· Ἐπιστρέψω εἰς τὸν οἶκόν μου, ὅθεν ἐξῆλθον·

Οἶκον αὐτοῦ φησι, τὸν ἄνθρωπον, ἀφ' οὗ ἐξῆλθεν, οὐχ ἑκὸν, ἀλλὰ κελεύσει θεοῦ.

44 Καὶ ἐλθὸν, εὑρίσκει σχολάζοντα, σεσαρωμένον, καὶ κεκοσμημένον·

Τοῦτο λέγει περὶ τῶν ἀπαλλαγέντων μὲν τοῦ δαίμονος, ἐξ ἀπροσεξίας δὲ καὶ ἀμελείας εὐεπιχειρήτων πάλιν καὶ εὐαλώτων τῷ δαίμονι. *Εὑρίσκει δέ*, φησι, τὸν πρότερον οἶκον αὐτοῦ *σχολάζοντα* καὶ κενὸν ἁγίου Πνεύματος ἢ ἀρετῆς. Ἔτι δὲ *σεσαρωμένον* καὶ κεκαθαρμένον, τουτέστιν, ηὐτρεπισμένον εἰς ὑποδοχὴν αὐτοῦ· ναὶ μὴν, *καὶ κεκοσμημένον*, ἤγουν, τερπνὸν αὐτῷ.

45 Τότε πορεύεται, καὶ παραλαμβάνει μεθ' ἑαυτοῦ ἑπτὰ ἕτερα πνεύματα, πονηρότερα ἑαυτοῦ, καὶ εἰσελθόντα κατοικεῖ ἐκεῖ·

Πονηρότερα, ἀντὶ τοῦ, ἰσχυρότερα πρὸς τὸ κακοποιεῖν. Δέδοικε γὰρ εἰσελθεῖν, μήποτε, ὡς μόνον καὶ ἀσθενὲς, πάλιν ἀπελαθῇ. *Ἑπτὰ* δὲ ἁπλῶς, τὰ πολλά φασιν οἱ Ἑβραῖοι.

[Ἢ (1) πονηρὸν πνεῦμα, παραληπτικὸν τῶν ἑπτὰ πονηροτέρων αὐτοῦ πνευμάτων, ἔστιν ὁ λογισμὸς τῆς γαστριμαργίας, ᾧ ἕπεται ὁ τῆς πορνείας, καὶ ὁ τῆς φιλαργυρίας, καὶ ὁ τῆς ὀργῆς, καὶ ὁ τῆς λύπης, καὶ ὁ τῆς ἀκηδίας, καὶ ὁ τῆς κενοδοξίας, καὶ ὁ τῆς ὑπερηφανείας].

(1) Τὰ παρεντιθειμένα ἀναγινώσκονται ἐν τῷ περισελιδίῳ παρὰ τῷ Α.

45 Καὶ γίνεται τὰ ἔσχατα τοῦ ἀνθρώπου ἐκείνου χείρονα τῶν πρώτων.

Πρότερον μὲν γὰρ ὑφ' ἑνὸς *δαίμονος* ἐβασανίζετο· ὕστερον δὲ, ὑπὸ πολλῶν.

45 Οὕτως ἔσται καὶ τῇ γενεᾷ ταύτῃ τῇ πονηρᾷ·

Ὥσπερ οἱ δαιμονῶντές, φησιν, ὅταν ἀπαλλαγῶσι τοῦ δαίμονος, ἐὰν ἀμελήσωσι, χαλεπωτέραν ὑφίστανται τὴν ἐπήρειαν· οὕτως ἔσται καὶ τῇ γενεᾷ ταύτῃ τῇ ἀπίστῳ καὶ ἀπειθεῖ. Καὶ ὄντως οὕτως αὐτῇ συνέβη! Πρότερον μὲν γὰρ οἱ Ἰουδαῖοι κατείχοντο δαίμοσιν, εἰδωλολατροῦντες, καὶ θύοντες (1) τοὺς υἱοὺς αὐτῶν καὶ τὰς θυγατέρας· ἀπηλλάγησαν δὲ τούτων διὰ τῶν προφητῶν. Ἐπεὶ δὲ ἠμέλησαν τῆς οἰκείας σωτηρίας, καὶ τὸν Σωτῆρα ἑαυτῶν ἀνεῖλον, εὐεπιχείρητοι γεγόνασι τοῖς δαίμοσι πάλιν. Διὸ καὶ μανέντες ἐστασίασαν κατ' ἀλλήλων, καὶ ἐμφυλίων σφαγῶν τὴν Ἱερουσαλὴμ ἐνέπλησαν, ὡς Ἰώσηπος ἱστόρησε. Καὶ λοιπὸν ἐγένοντο αἱ ἔσχαται συμφοραὶ αὐτῶν βαρύτεραι τῶν πρεσβυτέρων. Τὰ γὰρ ὑπὸ Οὐεσπασιανοῦ καὶ Τίτου ἐπενεχθέντα αὐτοῖς, πολλῷ χαλεπώτερα τῶν κατ' Αἴγυπτον καὶ κατὰ Βαβυλῶνα καὶ κατὰ Ἀντίοχον.

Διὸ καὶ ὁ Χριστὸς ἔλεγεν· *Ἔσται* (α) *θλίψις μεγάλη, οἵα οὐδέποτε γέγονεν, οὐδ' οὐ μὴ ἔσται*. Διὰ τῆς ῥηθείσης οὖν παραβολῆς καὶ ἡμεῖς μανθάνομεν, ὅτι πᾶς ὁ ἀπαλλαγεὶς κα-

(1) Παρὰ τῷ Α προστίθεται καὶ, αὐτοῖς.

(α) Ματθ. ΚΔ', 21. — Ἡ διαφορὰ τοῦ κειμένου ἐκ τοῦ Χρυσοστόμου. Τομ. Ζ'. Σελ. 462. D.

κοῦ, καὶ μὴ βελτιωθεὶς, μεγάλην ὑποστήσεται τιμωρίαν, καὶ τῷ μετὰ τὴν ἐλευθερίαν τῆς τυραννούσης ἁμαρτίας εὐεπίβατον πάλιν αὐτῇ ἑαυτὸν ποιήσαντι, χαλεπωτέρα τῆς προτέρας καταδίκης ἡ μετὰ τοῦτο. Διὰ ταῦτα γὰρ καὶ πρὸς τὸν παράλυτον εἶπεν ὁ Χριστός· *Ἴδε, ὑγιὴς γέγονας· μηκέτι ἁμάρτανε, ἵνα μὴ χεῖρόν τί σοι γένηται* (α).

46 Ἔτι δὲ αὐτοῦ λαλοῦντος τοῖς ὄχλοις, ἰδοὺ, ἡ μήτηρ
καὶ οἱ ἀδελφοὶ αὐτοῦ εἱστήκεισαν ἔξω, ζητοῦντες
47 αὐτῷ λαλῆσαι. Εἶπε δέ τις αὐτῷ· Ἰδοὺ, ἡ μήτηρ
σου καὶ οἱ ἀδελφοί σου ἔξω ἑστήκασι, ζητοῦντές σοι
λαλῆσαι.

Ἔξω τῆς οἰκίας, ἐν ᾗ ἐδίδασκεν, ἵσταντο· διότι οὐκ ἠδύναντο συντυχεῖν αὐτῷ διὰ τὸν ὄχλον, ὡς ὁ Λουκᾶς (β) εἴρηκεν. Ἀπέστειλαν δὲ πρὸς αὐτὸν, *φωνοῦντες αὐτὸν*, ὡς ὁ Μάρκος (γ) εἶπεν, ἤγουν, καλοῦντες ἔξω. *Ἀδελφοὺς* δὲ αὐτοῦ φησι, τοὺς υἱοὺς Ἰωσὴφ, διὰ τὸ τὸν πατέρα τούτων μνηστεύσασθαι τὴν τούτου μητέρα.

48 Ὁ δὲ ἀποκριθεὶς, εἶπε τῷ εἰπόντι αὐτῷ· Τίς ἐστιν ἡ μήτηρ μου; καὶ τίνες εἰσὶν οἱ ἀδελφοί μου;

Τοῦτο εἶπεν, οὐκ ἀρνούμενος τὴν ἑαυτοῦ μητέρα· πῶς γάρ; ὁ καὶ κατὰ τὸν τοῦ θανάτου αὐτοῦ καιρὸν πολλὴν αὐτῆς φροντίδα ποιούμενος; οὐδ' αἰσχυνόμενος τὸ ἔχειν αὐτὴν μητέρα· πῶς γάρ; ὁ διὰ τὴν πρὸς αὐτὴν αἰδῶ μεταβαλὼν εἰς οἶνον τὸ ὕδωρ ἐν Κανᾷ, καὶ ὑποτασσόμενος οὐ ταύτῃ μόνον, ἀλλὰ καὶ τῷ νομισθέντι πατρὶ αὐτοῦ; *Ἦν γὰρ*, φησιν (δ) *ὑποτασσόμενος αὐτοῖς*. Εἰ γὰρ ἔμελλεν ἀρνεῖσθαι αὐτὴν, ἢ αἰσχύνεσθαι δι' αὐτὴν, οὐκ ἂν ὅλως ἐξ αὐτῆς ἐγεννήθη. Ἀλλ' ἐπεὶ τηνικαῦτα τὸ πλῆθος ἐδίδασκε, καὶ οὐκ ἦν εἰκὸς, ἀπολιπεῖν αὐτοὺς καὶ δραμεῖν πρὸς τὴν μητέρα καὶ τοὺς ἀδελφοὺς, λέγει, Τίς τηλικαύτη ἐστὶν ἡ μήτηρ μου, καὶ τίνες τηλικοῦτοί εἰσιν οἱ ἀδελφοί μου, ἵνα διὰ τὴν θεραπείαν αὐτῶν παρίδω τὴν τοῦ τοσούτου πλήθους ὠφέλειαν; Οὐ φαυλίζων οὖν αὐτοὺς, εἶπε τὸν λόγον τοῦτον, ἀλλὰ διδάσκων, ὅτι προτιμοτέραν κρίνει τῆς τῶν γονέων καὶ συγγενῶν θεραπείας τὴν τῶν ἀπολλυμένων σωτηρίαν. Καὶ οὐδὲν θαυμαστόν· διὰ ταύτην γὰρ καὶ γονεῖς καὶ συγγενεῖς ἔχειν κατεδέξατο.

(α) Ἰωαν. Ε', 14.
(β) Λουκ. Η', 19.
(γ) Μάρκ. Γ', 31.
(δ) Λουκ. Β', 51.

49 Καὶ ἐκτείνας τὴν χεῖρα αὐτοῦ ἐπὶ τοὺς μαθητὰς αὐτοῦ, εἶπεν· Ἰδοὺ, ἡ μήτηρ μου, καὶ οἱ ἀδελφοί μου.

Μητέρα μὲν αὐτοὺς ὠνόμασεν, ὡς ὑποδεχομένους τὸν λόγον τῆς διδασκαλίας ἐν τῇ νοερᾷ γαστρὶ τῆς ψυχῆς, καὶ κατὰ τὸν προσήκοντα καιρὸν ἀποτίκτοντας αὐτόν· *ἀδελφοὺς* δὲ, ὡς υἱοθετηθέντας τῷ οὐρανίῳ πατρὶ διὰ τῆς εἰς Χριστὸν πίστεως, καὶ γεγονότας συγκληρονόμους τῆς βασιλείας αὐτοῦ. Εἶτα ἑρμηνεύει τὸν λόγον.

50 Ὅστις γὰρ ἂν ποιήσῃ τὸ θέλημα τοῦ πατρός μου, τοῦ ἐν οὐρανοῖς, αὐτός μου ἀδελφὸς, καὶ ἀδελφὴ, καὶ μήτηρ ἐστίν.

Αὐτός μου καὶ ἀδελφὸς, καὶ ἀδελφὴ, καὶ μήτηρ, ἀντὶ τοῦ, Αὐτός μου συγγενὴς καὶ οἰκεῖος, ὡς τὰ αὐτὰ ἐμοὶ ποιῶν· καὶ γὰρ κἀγὼ τὸ θέλημα ποιῶ τοῦ πατρός μου. Ἀδελφῆς δὲ ἐμνημόνευσε, διότι καὶ θυγατέρας εἶχεν ὁ Ἰωσήφ· ἢ διὰ τὰς γυναῖκας, τὰς τὸ θέλημα τοῦ θεοῦ ποιούσας· θέλημα δὲ τοῦ θεοῦ, τὸ φυλάττειν τὰς εὐαγγελικὰς ἐντολὰς, καὶ σώζεσθαι. Ὥστε οὐδὲ ἡ μήτηρ αὐτοῦ καὶ οἱ ἀδελφοὶ αὐτοῦ ἦσαν ἂν μήτηρ αὐτοῦ καὶ

ἀδελφοὶ αὐτοῦ, εἰ μὴ ἐποίουν τὸ θέλημα τοῦ θεοῦ. Οὐκ ἔστιν οὖν οὐδ' ὁ λόγος οὗτος ἀρνουμένου τὴν κατὰ σάρκα συγγένειαν ἐκείνων· οὐδὲ γὰρ εἶπεν, ὅτι Οὐκ (1) εἰσίν· ἀλλὰ προτιμῶντος τὴν κατ' ἀρετὴν (2), καὶ διδάσκοντος, ὅτι οὐδὲν κέρδος ἐκείνης, μὴ παρούσης καὶ ταύτης.

Εἰ οὖν τὴν Θεοτόκον οὐκ ὠφέλει τὸ γενέσθαι μητέρα θεοῦ, εἰ μὴ ἐνάρετος ἦν, τίνα ἂν ἕτερον ὠφελήσῃ συγγένεια ἁγίου, μὴ ἔχοντα ἀρετήν; Ἔστι γὰρ καὶ τοὺς συγγενεῖς μὴ λογίζεσθαι συγγενεῖς, καὶ τοὺς μὴ συγγενεῖς λογίζεσθαι συγγενεῖς· ἐκεῖνο μὲν, δι' ἀνομοιότητα βίου· τοῦτο δὲ, δι' ὁμοιότητα πολιτείας. Διὸ καὶ ἀλλαχοῦ, γυναικός τινος εἰπούσας· *Μακαρία* (α) *ἡ κοιλία ἡ βαστάσασά σε, καὶ μαστοὶ, οὓς ἐθήλασας*· οὐκ ἠρνήσατο, ἀλλ' ὁμοίως εἶπε· *Μακάριοι οἱ ἀκούοντες τὸν λόγον τοῦ θεοῦ, καὶ φυλάσσοντες αὐτόν*. Βαβαὶ τῆς ἀρετῆς! Εἰς ὅσην τιμὴν ἀνάγει τοὺς μετιόντας αὐτὴν, συγγενεῖς αὐτοὺς τοῦ Χριστοῦ ποιοῦσα!

Φησὶ δὲ ὁ Χρυσόστομος (3), ὡς ἡ μήτηρ αὐτοῦ ἀνθρώπινόν τι καὶ αὐτὴ τότε παθοῦσα, ἠθέλησεν ἐπιδείξασθαι τοῖς ὄχλοις, οἵαν τιμὴν ἔχει πρὸς αὐτὴν ὁ Χριστός. Διὸ καὶ διδάσκοντος αὐτοῦ παραγέγονε, καὶ ἀπέστειλε μετακαλουμένη τοῦτον ἔξω τῆς οἰκίας, ὡς δῆθεν περὶ οἰκιακοῦ πράγματος ἐντυχεῖν αὐτῷ μέλλουσα, καὶ προσεδόκα παραυτίκα τοῦτον ἐξελθεῖν πρὸς αὐτὴν, ὡς πρὸς μητέρα, καταλιπόντα πάντας. Ὁ δὲ τοῦτο γνοὺς, ἀντέπραξε μᾶλλον· καὶ οὐ μόνον οὐκ ἐξῆλθε πρὸς αὐτὴν, ἀλλὰ καὶ μᾶλλον, δι' ὧν εἶπε, κατῄσχυνεν ἠρέμα τὸν φιλόδοξον σκοπὸν αὐτῆς, καὶ τὸ τυραννικὸν πάθος τῆς κενοδοξίας ἀπήλασεν.

---

(1) συγγενεῖς δηλαδή.
(2) συγγένειαν.
(α) Λουκ. ΙΑ', 27-28.
(3) Τομ. Ζ'. Σελ. 467. C.

ΚΕΦ. XIII, 1 Ἐν δὲ τῇ ἡμέρᾳ ἐκείνῃ ἐξελθὼν ὁ Ἰησοῦς ἀπὸ τῆς οἰκίας, ἐκάθητο παρὰ τὴν θάλασσαν·
2 καὶ συνήχθησαν πρὸς αὐτὸν ὄχλοι πολλοὶ, ὥστε αὐτὸν εἰς τὸ πλοῖον ἐμβάντα καθῆσθαι·

Η οἰκία, τινὸς ἦν τῶν πιστευσάντων εἰς αὐτόν. Ἐκάθισεν οὖν παρὰ τὴν θάλασσαν, διὰ τὴν εὐρυχωρίαν τοῦ τόπου· πολλοῦ δὲ πλήθους ἐπισυναχθέντος, εἰσελθὼν εἰς πλοῖον ὁρμιζόμενον, ἐκάθητο ἁλιεύων τοὺς ἐν τῇ γῇ.

ΚΕΦΑΛΑΙΟΝ ΚΔ'.

Περὶ τῶν παραβολῶν.

2 Καὶ πᾶς ὁ ὄχλος ἐπὶ τὸν αἰγιαλὸν εἱστήκει.
3 Καὶ ἐλάλησεν αὐτοῖς πολλὰ ἐν παραβολαῖς·

Διὰ παραβολῶν ὑφαίνει ταύτην πᾶσαν τὴν ὁμιλίαν, διὰ τὸ ἀναμεμίχθαι νῦν μάλιστα τοῖς ὄχλοις πολλοὺς γραμματεῖς καὶ φαρισαίους, οἷς οὐκ ἐβούλετο γυμνὰ προθεῖναι τὰ τῆς διδασκαλίας μυστήρια, διὰ τὴν ἀνίατον κακίαν αὐτῶν.

3 Λέγων· Ἰδοὺ, ἐξῆλθεν ὁ σπείρων τοῦ σπείρειν.

Ο δὲ Λουκᾶς (α) προσέθηκεν, ὅτι *τὸν σπόρον αὐτοῦ*. Καὶ *σπείρων* μὲν ἐστιν, ὁ Χριστὸς διδάσκων· *σπόρος δὲ αὐτοῦ*, ὁ λόγος τῆς διδασκαλίας αὐτοῦ. Καὶ ἐξῆλθε μὲν εἰς τὰς πόλεις καὶ κώμας τῆς Ἰουδαίας, διὰ τὸ σπεῖραι τοῦτον ἐν τῇ νοητῇ γῇ τῶν ἀνθρωπίνων ψυχῶν, ἤγουν ἐν τῷ νοῒ τούτων.

(α) Λουκ. Η', 5.

4 Καὶ ἐν τῷ σπείρειν αὐτὸν, ἃ μὲν ἔπεσε παρὰ τὴν
ὁδόν· καὶ ἦλθε τὰ πετεινὰ, καὶ κατέφαγεν αὐτά.

Ηρμήνευσε μὲν ταύτην τε τὴν παραβολὴν καὶ τὰς ἑξῆς ὁ Χριστὸς προϊών· ἐροῦμεν δὲ καὶ ἡμεῖς, ὡς δυνατόν. *Ὁδὸς* ὠνόμασται νῦν, ὁ ῥᾴθυμος, ὁ ἐνωτισθεὶς μὲν τὸν λόγον τῆς διδασκαλίας, διὰ ῥᾳθυμίαν δὲ, μὴ κατακρύψας αὐτὸν ἐν τῇ καρδίᾳ αὐτοῦ, ἀλλὰ καθάπερ ὁδὸς καταπεπατημένη, καὶ διὰ τοῦτο σκληρὰ, φέρων αὐτὸν ἀκροθιγῶς ἐπικείμενον· *πετεινὰ* δὲ τοῦ οὐρανοῦ, τὰ ἐν τῷ ἀέρι διαιτώμενα δαιμόνια· οὐρανὸν γὰρ, καὶ τὸν ἀέρα κέκληκεν ἡ Γραφή· ἅτινα ἐπικαταπτάντα αὐτῷ, αἴρουσι τὸ ἐσπαρμένον ἐν τῇ καρδίᾳ αὐτοῦ, ὡς μὴ κατακρυβέν. *Κατέφαγε* γὰρ, ἀντὶ τοῦ, ἀφείλετο καὶ διέφθειρεν.

5 Ἄλλα δὲ ἔπεσεν ἐπὶ τὰ πετρώδη, ὅπου οὐκ εἶχε
γῆν πολλήν· καὶ εὐθέως ἐξανέτειλε, διὰ τὸ μὴ ἔχειν
6 βάθος γῆς. Ἡλίου δὲ ἀνατείλαντος, ἐκαυματίσθη·
καὶ διὰ τὸ μὴ ἔχειν ῥίζαν, ἐξηράνθη.

Πετρώδη μέρη ἐστὶν, ὁ μικρόψυχος, ὁ κατακρύψας μὲν τὸ σπαρὲν ἐν τῇ καρδίᾳ αὐτοῦ, *μὴ ἔχων* δὲ *γῆν πολλὴν*, ἤτοι, σταθερότητα· παρ' ᾧ τινι ἐξανέτειλε μὲν αὐτίκα ἡ πίστις, μήπω ῥιζωθεῖσα βεβαίως, διὰ τὸ μὴ ἔχειν αὐτὸν, ὡς εἴρηται, σταθερότητα· τοιαῦτα γὰρ τὰ ἐν ὀλίγῃ κατακρυπτόμενα γῇ, ταχέως ἐξανατέλλουσιν· *ἡλίου δὲ ἀνατειλαντος*, λέγω δὴ, πυρώσεως πειρασμοῦ προσβαλούσης, *ἐκαυματίσθη* καὶ ἐφλογίσθη, *καὶ διὰ τὸ μὴ ἔχειν ῥίζαν* ἀναψύχουσαν, εἴτουν, ἑδραίωσιν, *ἐξηράνθη* καὶ προδέδωκε τὴν πίστιν.

7 Ἄλλα δὲ ἔπεσεν ἐπὶ τὰς ἀκάνθας· καὶ ἀνέβησαν αἱ
ἄκανθαι, καὶ ἀπέπνιξαν αὐτά.

Ακανθαί εἰσιν, ἡ μέριμνα τοῦ βίου, κεντοῦσα καὶ νύττουσα καὶ κατατείνουσα τὴν ψυχήν· ἔτι δὲ καὶ ἡ ἀπάτη τοῦ πλούτου, οἷον ἡ τρυφὴ, ἡ κενοδοξία, ἡ οἴησις, καὶ τὰ τοιαῦτα, ἅπερ ἅπαντα ἀπάτη μόνον εἰσί· δοκοῦσι μὲν γὰρ ἀγαθὰ, οὐκ εἰσὶ δέ· κεντοῦσι δὲ καὶ ταῦτα, δίκην ἀκάνθης, καὶ ἐνοχλοῦσιν. *Ἀνέβησαν* δὲ, ἀντὶ τοῦ, ηὐξήθησαν, ὑπερίσχυσαν.

8 Ἄλλα δὲ ἔπεσεν ἐπὶ τὴν γῆν τὴν καλήν·

Γῆ καλή ἐστι, ψυχὴ ἀγαθὴ καὶ ἐλευθέρα τῶν προαπηριθμημένων παθῶν, καὶ ἐπιτηδεία πρὸς καρποφορίαν ἀρετῆς. Ὅρα δὲ, πῶς σπάνια τὰ καλὰ, καὶ ὀλίγοι οἱ σωζόμενοι. Ἰδοὺ γὰρ μόνον τὸ τέταρτον μέρος τοῦ σπόρου καρποφορεῖ, τὰ τρία δὲ φθείρονται. Καὶ ὁ μὲν σπείρων, ἐπὶ πάντας σπείρει, μὴ διακρίνων τοῦτον ἀπ' ἐκείνου· ὁ δὲ σπόρος ἐν ἄλλοις μὲν ἀπώλετο, παρ' ἄλλοις δὲ ἐπολυπλασίασε· τοῦτο δὲ γέγονεν, οὐ διὰ τὴν τοῦ σπόρου φύσιν· ὁ αὐτὸς γὰρ καὶ ἐπίσης καὶ ἐπὶ πάντας· ἀλλὰ διὰ τὰς ἀνομοίους γνώμας τῶν ἀνθρώπων, εἰς οὓς ὁ σπόρος κατεβλήθη.

Καὶ διὰ τί ἔσπειρεν ἀδιακρίτως ἐπὶ τὴν ὁδὸν, καὶ ἐπὶ τὰ πετρώδη, καὶ ἐπὶ τὰς ἀκάνθας; Διὰ τὴν ὑπερβολὴν πάντως τῆς οἰκείας ἀγαθότητος καὶ δικαιοσύνης, καὶ ἵνα μὴ δύνωνται λέγειν ἐν ἡμέρᾳ κρίσεως, ὅτι εἰ ἔσπειρε καὶ ἐπ' αὐτοὺς, ἐκαρποφόρησαν ἄν. Ἐγίνωσκε μὲν γὰρ αὐτοὺς ἀκάρπους, ὅμως δὲ τὸ ἑαυτοῦ πεποίηκεν, ὡς φιλάνθρωπος, ἵνα ἔχοι λέγειν· Τί με ἔδει ποιῆσαι, καὶ οὐ πεποίηκα;

Ταύτην δὲ τὴν παραβολὴν εἶπε, παραινῶν διὰ ταύτης τοῖς μαθηταῖς, μὴ ἀποκάμνειν, εἰ πλείους εὑρίσκουσι τῶν σωζομένων τοὺς ἀπολλυμένους, μηδ' ἀφίστασθαι τοῦ σπείρειν, ἔχοντας ὑπόδειγμα τὸν διδάσκαλον ἑαυτῶν, ὃς, καίτοι προειδὼς τοὺς ἀκάρπους, ὅμως ἔσπειρε καὶ ἐπ' αὐτούς.

8 Καὶ ἐδίδου καρπὸν, ὃ μὲν ἑκατὸν, ὃ δὲ ἑξήκοντα,
ὃ δὲ τριάκοντα.

Ωσπερ διαφέρουσιν ἀλλήλων οἱ ἀπολλύμενοι, οὕτω πάλιν δια-

φέρουσιν ἀλλήλων καὶ οἱ σωζόμενοι. Τρεῖς μὲν γὰρ ἀπηριθμήσατο τάξεις τῶν ἀπολλυμένων, λέγω δὴ, τοὺς ῥαθύμους, τοὺς μικροψύχους, καὶ τοὺς ταῖς μερίμναις τοῦ βίου καὶ τῇ ἀπάτῃ τοῦ πλούτου δουλεύοντας· τρεῖς δὲ πάλιν τάξεις καὶ τῶν σωζομένων, φημὶ δὲ, τοὺς καρποφοροῦντας ἐν ἑκατὸν, καὶ τοὺς ἐν ἑξήκοντα, καὶ τοὺς ἐν τριάκοντα. Διὰ τῶν ἑκατὸν μὲν γὰρ, ἐδήλωσε τὴν τελείαν καρποφορίαν τῆς ἀρετῆς· διὰ τῶν ἑξήκοντα δὲ, τὴν μέσην· διὰ τῶν τριάκοντα δὲ, τὴν ὑφειμένην. Τῶν γὰρ τριάκοντα, διπλάσια μὲν τὰ ἑξήκοντα, τριπλάσια δὲ τὰ ἑκατὸν, μᾶλλον δὲ καὶ ὑπὲρ τὰ τριπλάσια, διὰ τὴν ὑπεροχὴν τῆς τελειότητος. Τὸ δὲ, *ὃ μὲν ἑκατὸν*, ἀντὶ τοῦ, ποτὲ μὲν ἑκατὸν, ἐν τούτῳ τῷ ἀνθρώπῳ, ποτὲ δὲ, τὰ ἑξῆς, ἐν ἄλλῳ καὶ ἄλλῳ. Ἀποδέχεται δὲ καὶ τοὺς πρώτους, καὶ τοὺς δευτέρους, καὶ τοὺς τρίτους.

Μὴ τοίνυν ἐκ ῥαθυμίας ἀπολέσωμεν τὸν σπόρον, μηδὲ ἐκ μικροψυχίας αὐτὸν προδώσωμεν, μηδὲ ἐκ φροντίδων βιωτικῶν καὶ ἀπάτης τοῦ πλούτου τοῦτον ἐναποπνίξωμεν. Δεῖ γὰρ πρῶτον μὲν ἐγρηγορέναι περὶ τὴν ὑποδοχὴν αὐτοῦ· εἶτα μεγαλοψύχως φέρειν τοὺς πειρασμούς· ἔπειτα πάσης ἀπηλλάχθαι μερίμνης βιωτικῆς καὶ ματαιότητος πλούτου, καὶ οὕτω γίνεσθαι γῆν καλὴν, καὶ διδόναι καρπὸν κατὰ δύναμιν, εἴτε τέλειον, εἴτε μέσον, εἴτε ἐλάττονα, καὶ μηδενὶ τρόπῳ ἀπόλλυσθαι. Ἐὰν γὰρ τῶν μὲν ἀμελῶμεν, τῶν δὲ ἐπιμελώμεθα, πάντως ἀπολλύμεθα. Ποία γὰρ διαφορὰ, εἰ μὴ διὰ ῥαθυμίας, ἀλλὰ διὰ μικροψυχίας, καὶ εἰ μὴ διὰ μικροψυχίας, ἀλλὰ διὰ μερίμνης καὶ ματαιότητος ἀπολούμεθα;

9 Ὁ ἔχων ὦτα ἀκούειν, ἀκουέτω.

Τοῦτο εἶπε καὶ ἐν τῷ εἰκοστῷ κεφαλαίῳ, καὶ ζήτησον ἐν ἐκείνῳ τὴν τούτου ἐξήγησιν.

10 Καὶ προσελθόντες οἱ μαθηταὶ, εἶπον αὐτῷ· Διατὶ ἐν παραβολαῖς λαλεῖς αὐτοῖς;

Ἰδόντες τοὺς ὄχλους ἀχθομένους, διὰ τὴν ἀσάφειαν τῶν εἰρημένων λόγων, προσῆλθον, ὡς οἰκεῖοι, καὶ ὑπὲρ ἐκείνων τοῦτο λέγουσιν.

11 Ὁ δὲ ἀποκριθεὶς εἶπεν αὐτοῖς· Ὅτι ὑμῖν δέδοται γνῶναι τὰ μυστήρια τῆς βασιλείας τῶν οὐρανῶν·

Ὑμῖν, τοῖς ὀρθὰ καὶ βλέπουσι καὶ ἀκούουσι, καὶ διὰ τοῦτο πιστεύουσι. *Μυστήρια* δὲ, τὰ ἀπόῤῥητα· *τῆς βασιλείας δὲ τῶν οὐρανῶν*, ἤτοι, τοῦ βασιλέως τῶν οὐρανῶν· *δέδοται* δὲ, παρὰ τοῦ θεοῦ.

11 Ἐκείνοις δὲ οὐ δέδοται.

Τοῖς σκολιὰ καὶ βλέπουσι καὶ ἀκούουσι, καὶ μὴ πιστεύουσι· λέγει δὲ, τοὺς ἀμεταβλήτους. Τίς γὰρ ὠφέλεια, γνῶναι μὲν, μὴ πιστεύειν δέ; Ταῦτα δὲ συνᾴδουσι καὶ οἷς πρότερον ἔλεγεν (α)· *Ἐξομολογοῦμαί σοι, πάτερ, κύριε τοῦ οὐρανοῦ καὶ τῆς γῆς, ὅτι ἀπέκρυψας ταῦτα ἀπὸ σοφῶν καὶ συνετῶν, καὶ ἀπεκάλυψας αὐτὰ νηπίοις.*

12 Ὅστις γὰρ ἔχει, δοθήσεται αὐτῷ, καὶ περισσευθήσεται· ὅστις δὲ οὐκ ἔχει, καὶ ὃ ἔχει, ἀρθήσεται ἀπ' αὐτοῦ.

Ὅστις μὲν ἔχει πίστιν, δοθήσεται αὐτῷ γνῶσις τῶν μυστηρίων, καὶ δαψιλῶς· ὅστις δὲ οὐκ ἔχει πίστιν, ἀρθήσεται ἀπ' αὐτοῦ, καὶ ὃ ἔχει παρὰ θεοῦ δώρημα. Πᾶς γὰρ δώρημα ἔχει θεοῦ, ὁ μὲν τοιόνδε, ὁ δὲ τοιόνδε· καὶ οἱ μὲν παρασκευάσαντες ἑαυτοὺς ἀξίους, οὐ μόνον λαμβάνουσι τὴν τοιαύτην γνῶσιν, ἀλλὰ καὶ δαψιλῶς· οἱ δὲ μὴ οὕτως ἔχοντες, οὐ μόνον οὐ λαμ-

(α) Ματθ. ΙΑ΄, 25.

ξάνουσι ταύτην, ἀλλὰ προσαφαιροῦνται, καὶ ἃ προέλαβον χαρίσματα.

13 Διὰ τοῦτο ἐν παραβολαῖς αὐτοῖς λαλῶ, ὅτι βλέποντες οὐ βλέπουσι, καὶ ἀκούοντες οὐκ ἀκούουσιν, οὐδὲ συνιοῦσι.

Διότι, βλέποντες τοῖς σωματικοῖς ὀφθαλμοῖς τὰ παρ' ἐμοῦ γινόμενα θαύματα, μύουσι τοὺς τῆς ψυχῆς· καὶ ἀκούοντες τοῖς σωματικοῖς ὠσὶ τοὺς παρ' ἐμοῦ λόγους, μύουσι τοὺς τῆς ψυχῆς, καὶ διὰ τοῦτο πάντως ἀπιστοῦσιν. Ἵνα δὲ γνῷς, ὅτι τύφλωσιν καὶ κώφευσιν, τὴν τῆς ψυχῆς λέγει, ἐπήγαγεν, *Οὐδὲ συνιοῦσι*· σύνεσις γὰρ, τὸ βλέπειν καὶ ἀκούειν κατὰ ψυχήν. Τοῖς τοιούτοις οὖν δικαίως καὶ οἰκονομικῶς ἐν παραβολαῖς ἐλάλει, ὥστε αὐτοὺς ἀκούειν μὲν, μὴ συνιέναι δέ· καὶ δικαίως μὲν, ὡς διὰ τὴν ἐθελοκακίαν αὐτῶν ἀναξίοις ἀκοῆς γυμνῶν μυστηρίων· οἰκονομικῶς δὲ, ἵνα μὴ τὴν γνῶσιν τῶν μυστηρίων ἀντιλογίας ὕλην ποιήσαντες, βαρυτέραν ἐπισπάσωνται καταδίκην.

14 Καὶ ἀναπληροῦται αὐτοῖς ἡ προφητεία Ἡσαΐου.

Ἡ τοιαύτη προφητεία (α) ἐπληρώθη μὲν ἐκ μέρους, ἐπὶ τῶν πάλαι σκληροκαρδίων Ἰουδαίων· πληροῦται δὲ παντελῶς νῦν, ἐπὶ τούτων. Διὰ τοῦτο γὰρ καὶ *ἀναπληροῦται* εἶπεν, ἀντὶ τοῦ, παντελῶς πληροῦται· ἢ, ἀναπληροῦται, ἁπλῶς, ἀντὶ τοῦ πληροῦται.

14 Ἡ λέγουσα· « Ἀκοῇ ἀκούσετε, καὶ οὐ μὴ συνῆτε· καὶ βλέποντες βλέψετε, καὶ οὐ μὴ ἴδητε.

Ἀκοῇ σωματικῇ ἀκούσετε τοὺς λόγους, καὶ οὐ μὴ συνῆτε τὴν ἀλήθειαν, ὡς ἐθελοκωφοῦντες κατὰ ψυχήν· καὶ βλέποντες σω-

(α) Ἡσ. Κεφ. ϛ', 8. 9.

ματικῶς, βλέψετε τὰ θαύματα, καὶ οὐ μὴ ἴδητε τὴν ἀλήθειαν, ὁμοίως ὡς ἐθελοτυφλώττοντες κατὰ ψυχήν. Εἶτα λέγει καὶ τὴν αἰτίαν ὁ προφήτης, δι' ἣν τοῦτο πεπόνθασιν.

15 Ἐπαχύνθη γὰρ ἡ καρδία τοῦ λαοῦ τούτου.

Ἐπαχύνθη, ἀντὶ τοῦ, ἐσκληρύνθη, ἐπωρώθη τῷ φθόνῳ καὶ ταῖς ἄλλαις κακίαις, καὶ διὰ τοῦτο ἀσυνετοῦσιν.

15 Καὶ τοῖς ὠσὶ βαρέως ἤκουσαν, καὶ τοὺς ὀφθαλμοὺς αὐτῶν ἐκάμμυσαν.

Ὦτα καὶ ὀφθαλμοὺς, τοὺς τῆς ψυχῆς λέγει· *βαρέως δὲ ἤκουσαν*, ἀντὶ τοῦ, ἐκώφευσαν·

15 Μήποτε ἴδωσι τοῖς ὀφθαλμοῖς, καὶ τοῖς ὠσὶν ἀκούσωσι, καὶ τῇ καρδίᾳ συνῶσι, καὶ ἐπιστρέψωσι, καὶ ἰάσωμαι αὐτούς. »

[Τὸ (1), *μήποτε*, νοηθείη ἂν, καὶ ἀντὶ τοῦ, *ἴσως*, ὁποῖόν ἐστι καὶ παρὰ τῷ ἀποστόλῳ· *Ἐν πρᾳότητί*, φησι, *παιδεύοντα τοὺς ἀντιδιατιθεμένους, μήποτε δῴη αὐτοῖς ὁ θεὸς ἐπίγνωσιν εἰς σωτηρίαν* (α). Τοῦ γὰρ προφήτου, ὥσπερ λογιζομένου, μάτην εἰς τοιοῦτον λαὸν κηρύξαι, ἐπήγαγεν ὁ θεὸς τουτὶ τὸ ῥητόν.]

Δι' ὑπερβολὴν δὲ φθόνου, καὶ τῶν ἄλλων, ὡς εἴρηται, κακιῶν, ἐπωρώθησαν εἰς σύνεσιν, καὶ ἐκώφευσαν μὲν, πρὸς τοὺς ὑπερφυεῖς λόγους, ἐκάμμυσαν δὲ, πρὸς τὰ παράδοξα ἔργα, ὥσπερ δειλιῶντες, μήποτε ἀκούσαντες, καὶ ἰδόντες τὰ παρ' ἐμοῦ, καὶ γνόντες τὸ δέον, ἐπιστρέψωσι πρός με, καὶ ἰάσωμαι αὐτοὺς ἀπὸ τῶν πλημμελημάτων αὐτῶν. Ἐκ προσώπου γὰρ τοῦ Χριστοῦ ὁ λόγος. Τοῦτο δὲ προσέθηκε, διασύρων αὐτοὺς εἰς ἐσχάτην ἄνοιαν.

(1) Τὰ παρεντεθειμένα ἀναγινώσκονται ἐν τῷ περιθελιδίῳ παρὰ τῷ Α.

(α) Β' Τιμ. Β', 25.

16 Ὑμῶν δὲ μακάριοι οἱ ὀφθαλμοὶ, ὅτι βλέπουσι· καὶ τὰ ὦτα ὑμῶν, ὅτι ἀκούει.

Μακάριοι, ὅτι βλέπουσι καὶ ἀκούουσιν ὀρθῶς.

17 Ἀμὴν γὰρ λέγω ὑμῖν, ὅτι πολλοὶ προφῆται καὶ δίκαιοι ἐπεθύμησαν ἰδεῖν, ἃ βλέπετε, καὶ οὐκ εἶδον· καὶ ἀκοῦσαι, ἃ ἀκούετε, καὶ οὐκ ἤκουσαν.

Πολλοὶ, καὶ οὐ πάντες· τινὲς γὰρ ταῦτα καὶ εἶδον, καὶ ἤκουσαν· ὑπερφυῶς δὲ, ὡς ὁ Ἀβραὰμ καὶ οἱ ἐπισημότεροι. Ἢ, *πολλοὶ*, ἀντὶ τοῦ, πάντες· ὡς τό· *Καὶ ἐθεράπευσε* (α) *πολλούς*· πάντας γὰρ τότε ἐθεράπευσε. Καὶ πάλιν· *Καὶ δαιμόνια πολλὰ ἐξέβαλε* (β)· πάντα γὰρ τηνικαῦτα ἐξέβαλεν. *Ἐπεθύμησαν δὲ ἰδεῖν*, τὸν θεὸν ἐνανθρωπήσαντα, καὶ τὰ τοῦ Χριστοῦ θαύματα, καὶ ἀκοῦσαι αὐτοῦ διδάσκοντος. Τοὺς προφήτας δὲ προσηγόρευσε, καὶ δικαίους. Ἢ, *δικαίους* νόει τοὺς ἄλλους ἁγίους, οἵτινες ἀκούσαντες τὰ περὶ τοῦ Χριστοῦ παρὰ τῶν προφητῶν, ἐπεθύμησαν ἰδεῖν, καὶ ἀκοῦσαι τὰ δηλωθέντα.

18 Ὑμεῖς οὖν ἀκούσατε τὴν παραβολὴν τοῦ σπείροντος.

Ὑμεῖς, οἱ πιστεύοντες.

19 Παντὸς ἀκούοντος τὸν λόγον τῆς βασιλείας, καὶ μὴ συνιέντος, ἔρχεται ὁ πονηρὸς, καὶ ἁρπάζει τὸ ἐσπαρμένον ἐν τῇ καρδίᾳ αὐτοῦ·

Λόγον τῆς βασιλείας φησὶ, τὸν λόγον τοῦ θεοῦ, ἢ τὸν λόγον τῆς πίστεως· βασιλεία γὰρ, καὶ ἡ πίστις· ὁ γὰρ πιστεύων, βασιλεύει μὲν κατὰ τῶν παθῶν, συμβασιλεύει δὲ τῷ Χριστῷ· *μὴ συνιέντος* δὲ, ἀντὶ τοῦ, μὴ ἐμβάλλοντος τὸν λόγον εἰς

(α) Μαρκ. Ά, 34.
(β) Μαρκ. Ά, 34.

τὸ βάθος τῆς καρδίας, ἀλλ᾽ ἁπλῶς αὐτὸν ἐνωτιζομένου. *Πονηρὸν* δὲ λέγει, τὸν διάβολον, καθὼς ἐν τῷ πέμπτῳ κεφαλαίῳ τὴν εὐχὴν ἑρμηνεύοντες παραδεδώκαμεν. *Ἁρπάζει* δὲ *τὸ ἐσπαρμένον*, ὡς ἐπιπολαίως ἀκατάκρυπτον κείμενον.

19 Οὗτός ἐστιν ὁ παρὰ τὴν ὁδὸν σπαρείς.

Σπείρεται καὶ ὁ σπόρος, ἤγουν, εἰς γῆν καταβάλλεται· σπείρεται καὶ ἡ γῆ, τουτέστιν, ὑποδέχεται τὸν σπόρον. Διὸ νῦν τὸ, *σπαρεὶς*, οὐκ ἐπὶ τοῦ σπόρου νοοῦμεν, ἀλλ᾽ ἐπὶ τῆς γῆς· οἷον, Οὗτός ἐστιν, ἡ κατὰ τὴν ὁδὸν σπαρεῖσα γῆ. Τοῦτο δὲ καὶ ἐπὶ τῶν ἄλλων.

20 Ὁ δὲ ἐπὶ τὰ πετρώδη σπαρεὶς, οὗτός ἐστιν.

Ἡ δὲ κατὰ τὰ πετρώδη σπαρεῖσα γῆ πάλιν, οὗτός ἐστιν, περὶ οὗ μέλλει ἐρεῖν.

20 Ὁ τὸν λόγον ἀκούων, καὶ εὐθὺς μετὰ χαρᾶς λαμ-
21 βάνων αὐτόν· οὐκ ἔχει δὲ ῥίζαν ἐν ἑαυτῷ, ἀλλὰ
πρόσκαιρός ἐστι.

Προλαβόντες εἰρήκαμεν ῥίζαν, τὴν (1) ἑδραίωσιν. *Πρόσκαιρον* δὲ λέγει, τὸν εὐμετάτρεπτον, ὅστις καὶ ἐν τῷ διδάσκεσθαι, εὐθὺς λαμβάνει, καὶ ἐν τῷ πειράζεσθαι, εὐθὺς ἀποβάλλει.

21 Γενομένης δὲ θλίψεως ἢ διωγμοῦ διὰ τὸν λόγον, εὐθὺς σκανδαλίζεται.

Λόγον νῦν, τὸν τῆς πίστεως λέγει. Ὁ δὲ Λουκᾶς τὴν θλίψιν καὶ τὸν διωγμὸν, περιληπτικῶς *πειρασμὸν* (α) προσηγόρευσεν· ἀντὶ δὲ τοῦ, *σκανδαλίζονται*, *ἀφίστανται* εἶπεν.

(1) Ἴδ. τὴν ἑρμηνείαν ἐν Κεφ. ΙΓ΄, 6.
(α) Λουκ. Η΄, 13.

22 Ὁ δὲ εἰς τὰς ἀκάνθας σπαρεὶς, οὗτός ἐστιν.

Η δὲ κατὰ τὰς ἀκάνθας σπαρεῖσα γῆ, οὗτός ἐστιν, ὃν ἐρεῖ.

22 Ὁ τὸν λόγον ἀκούων· καὶ ἡ μέριμνα τοῦ αἰῶνος τούτου, καὶ ἡ ἀπάτη τοῦ πλούτου συμπνίγει τὸν λόγον, καὶ ἄκαρπος γίνεται.

Ο δὲ Μάρκος τῇ ἀπάτῃ προσέθηκεν, ὅτι *Καὶ αἱ περὶ τὰ λοιπὰ ἐπιθυμίαι* (α), συμπεριλαβὼν πᾶσαν βλαβερὰν ἐπιθυμίαν. Καὶ ὁ Λουκᾶς δὲ ὁμοίως τῇ μερίμνῃ, καὶ τὴν ἡδονὴν συνέζευξε (β). *Τοῦ αἰῶνος δὲ τούτου*, ἀντὶ τοῦ, τῆς ζωῆς ταύτης. Ἔστι γὰρ καὶ ἄλλος αἰὼν, ἡ μέλλουσα ζωὴ, ὁ κυρίως αἰὼν, ὡς ἀεὶ ὢν καὶ μηδέποτε περατούμενος.

23 Ὁ δὲ ἐπὶ τὴν γῆν τὴν καλὴν σπαρεὶς, οὗτός ἐστιν.

Η δὲ κατὰ τὴν γῆν τὴν καλὴν σπαρεῖσα γῆ, οὗτός ἐστιν, ὁ δηλωθησόμενος.

23 Ὁ τὸν λόγον ἀκούων, καὶ συνιών·

Συνιὼν, ἤγουν, ἐγκρύπτων τῷ βάθει τῆς καρδίας ἀνεπιβούλευτον. Διὸ καὶ ὁ Μάρκος εἶπεν (γ)· *Οἵτινες ἀκούουσι τὸν λόγον καὶ παραδέχονται*. Καὶ ὁ Λουκᾶς δὲ πάλιν· *Οἵτινες* (δ) *ἐν καρδίᾳ καλῇ καὶ ἀγαθῇ, ἀκούσαντες τὸν λόγον, κατέχουσι*. *Καρδίαν* δὲ τὴν ψυχὴν ὡς ἐπὶ τὸ πλεῖστον ἡ θεία Γραφὴ προσαγορεύει.

23 Ὃς δὴ καρποφορεῖ, καὶ ποιεῖ, ὁ μὲν ἑκατὸν, ὁ δὲ ἑξήκοντα, ὁ δὲ τριάκοντα.

Ταῦτα προλαβόντες ἐντελῶς διερμηνεύσαμεν ἀνωτέρω.

(α) Μαρκ. Δ', 19.
(β) Λουκ. Η', 14.
(γ) Μαρκ. Δ', 20.
(δ) Λουκ. Η', 15.

24 Ἄλλην παραβολὴν παρέθηκεν αὐτοῖς, λέγων· Ὡμοιώθη ἡ βασιλεία τῶν οὐρανῶν ἀνθρώπῳ σπείροντι καλὸν σπέρμα ἐν τῷ ἀγρῷ αὐτοῦ.

Βασιλείαν τῶν οὐρανῶν, ἑαυτὸν ὀνομάζει νῦν, ὅστις ὡμοιώθη ἀνθρώπῳ, ἐνανθρωπήσας. *Ἐν ὁμοιώματι* (α) *γάρ*, φησιν, *ἀνθρώπου γενόμενος*. *Καλὸν* δὲ *σπέρμα*, τρόπον ἕτερον ἐκάλεσε τοὺς υἱοὺς τῆς βασιλείας, ὡς αὐτὸς ἡρμήνευσεν, ἐρωτηθεὶς παρὰ τῶν μαθητῶν, περὶ ὧν ἐροῦμεν ἐκεῖ γενόμενοι. *Ἀγρὸς* δὲ *αὐτοῦ ἐστιν*, ὁ κόσμος, ὡς κτίσμα καὶ κτῆμα αὐτοῦ.

25 Ἐν δὲ τῷ καθεύδειν τοὺς ἀνθρώπους, ἦλθεν αὐτοῦ ὁ ἐχθρὸς, καὶ ἔσπειρε ζιζάνια ἀνὰ μέσον τοῦ σίτου· καὶ ἀπῆλθεν·

Προαγορεύει διὰ τῆς παραβολῆς ταύτης τὴν δευτέραν ἐπιβουλὴν τοῦ διαβόλου. Ὅταν γὰρ ἴδῃ τὴν καλὴν γῆν καρποφοροῦσαν ἐν ἑκατὸν, καὶ ἐν ἑξήκοντα, καὶ ἐν τριάκοντα, μὴ δυνάμενος λοιπὸν ἢ ἁρπάσαι τὸν σπόρον, ἢ φλογίσαι τὸ βλαστῆσαν, ἢ ἀποπνίξαι αὐτὸ, δευτέραν μέτεισι μηχανήν· καὶ ὡς ἐχθρὸς τοῦ γεωργοῦ, σπουδάζει διαφθεῖραι τὸν πόνον αὐτοῦ· καὶ *κοιμωμένων τῶν ἀνθρώπων*, ἤγουν, ἀφροντιστούντων περὶ τὴν φυλακὴν τοῦ ἀγροῦ· (ἐμφαίνει δὲ τοὺς διδασκάλους, τοὺς φύλακας τῶν ὀρθοδόξων)· ἐνσπείρει *ζιζάνια*, τουτέστιν, αἱρετικοὺς, μεταξὺ τῶν ὀρθοδόξων. Τούτους γὰρ ὠνόμασε σῖτον, ὡς εὐχρήστους τῷ σπείραντι.

26 Ὅτε δὲ ἐβλάστησεν ὁ χόρτος, καὶ καρπὸν ἐποίησε, τότε ἐφάνη καὶ τὰ ζιζάνια.

Ὥσπερ οὖν τὰ ζιζάνια ἐοίκασι μὲν τῷ σίτῳ, κατὰ τὴν καλάμην· ἀπεοίκασι δὲ, κατὰ τὸν καρπόν· εἰσὶ δὲ βλαβερὰ τῷ

(α) Φιλιπ. Β', 7·

σίτῳ· οὕτω καὶ οἱ αἱρετικοὶ, ἐοίκασι μὲν τοῖς ὀρθοδόξοις, κατὰ τὸ σχῆμα· ἀπεοίκασι δὲ κατὰ τὴν ἀρετὴν, ἥτις ἐστὶ καρπός· ἀρετὴ δὲ καὶ καρπὸς, πρὸ πάντων, ἡ τῶν δογμάτων ἀλήθεια.

Καὶ καθάπερ τὰ ζιζάνια μέχρι μὲν τῆς καρποφορίας λανθάνοντα συναύξονται, τότε δὲ διαγινώσκονται· οὕτως ἄρα καὶ οἱ αἱρετικοὶ, μέχρι μὲν τοῦ διδάσκειν, λανθάνοντες συνδιάγουσιν· ὅτε δὲ πολλὴν λάβωσι παῤῥησίαν, τότε τὸν ἰὸν ἐκχέουσι, καὶ διαγινώσκονται. Διὸ καὶ προλαβὼν εἶπεν, ὅτι *Ἀπὸ τῶν καρπῶν αὐτῶν ἐπιγνώσεσθε αὐτούς* (α). Καὶ ἑτέρως δέ· ὅτε μὲν ἔσπειρεν ὁ Χριστὸς, οὐκ ἐφάνησαν αἱρετικοί· ὅτε δὲ ηὐξήνθησαν οἱ ὀρθόδοξοι, τότε ἀνεφάνησαν.

27 Προσελθόντες δὲ οἱ δοῦλοι τοῦ οἰκοδεσπότου, εἶπον αὐτῷ· Κύριε, οὐχὶ καλὸν σπέρμα ἔσπειρας ἐν τῷ σῷ ἀγρῷ; Πόθεν οὖν ἔχει τὰ ζιζάνια;

Οἰκοδεσπότης μέν ἐστιν αὐτὸς, ὡς τοῦ κόσμου δεσπότης· *δούλους* δὲ αὐτοῦ ταῦτα λέγοντας πλάττει τοὺς θερμοτέρους εἰς τὸν ὑπὲρ εὐσεβείας ζῆλον ὀρθοδόξους, οἳ πολλάκις ἀγανακτοῦντες ἐξαποροῦνται, πῶς ὁ θεὸς παραχωρεῖ τοιαῦτα φύεσθαι ζιζάνια.

28 Ὁ δὲ ἔφη αὐτοῖς· Ἐχθρὸς ἄνθρωπος τοῦτο ἐποίησεν.

Ἄνθρωπον ὠνόμασε τὸν διάβολον, ὡς οὐδὲν ἀνθρώπου διαφέροντα κατὰ τὸ ἐμπαθὲς καὶ φιλήδονον, καὶ ὡς ἐπίσης ἀνθρώπῳ φιλοσωματοῦντα, καὶ τοῖς γηΐνοις ἀναφυρόμενον.

28 Οἱ δὲ δοῦλοι εἶπον αὐτῷ· Θέλεις οὖν ἀπελθόντες συλλέξωμεν αὐτά;

Συλλέξωμεν, ἀνασπῶντες βιαίως, καὶ ξίφεσιν ἐκθερίζοντες.

(α) Ματθ. Ζ', 16.

29 Ὁ δὲ ἔφη· Οὔ· μήποτε, συλλέγοντες τὰ ζιζάνια, ἐκριζώσητε ἅμα αὐτοῖς τὸν σῖτον.

Ἐκώλυσεν ἀναιρεῖσθαι τοὺς αἱρετικοὺς, διὰ τὸ μὴ συναναιρεῖσθαι καὶ τοὺς ὀρθοδόξους. Ἔμελλον γὰρ πόλεμοι γίνεσθαι κατ' ἀλλήλων καὶ σφαγαί.

30 Ἄφετε συναυξάνεσθαι ἀμφότερα μέχρι τοῦ θερισμοῦ·

Ἀμφότερα, τὰ γένη. *Θερισμὸν* δὲ λέγει, τὴν τοῦ κόσμου συντέλειαν. Κελεύει οὖν ἐᾷν ἀμφότερα τὰ γένη ζῆν συναυξανόμενα ἐν τῷ κόσμῳ, μέχρι συντελείας· εἰκὸς γὰρ, πολλοὺς τῶν αἱρετικῶν ἄχρι τότε μεταβληθῆναι· οὐ μὴν διὰ τοῦτο (1) συναναμίγνυσθαι τοῖς αἱρετικοῖς· εὐρύχωρος γὰρ ὁ κόσμος, καὶ δεῖ αὐτοὺς καθ' ἑαυτοὺς ζῆν, μὴ ἀναιρουμένους μὲν, ἀφαιρουμένους δὲ τὸ διδάσκειν καὶ λυμαίνεσθαι τῷ σίτῳ τοῦ σπείραντος.

30 Καὶ ἐν καιρῷ τοῦ θερισμοῦ ἐρῶ τοῖς θερισταῖς·

Θεριστὰς νῦν ὀνομάζει, τοὺς ἀγγέλους.

30 Συλλέξατε πρῶτον τὰ ζιζάνια.

Θερίσατε (2) τῷ δρεπάνῳ τοῦ θανάτου τὰ εὑρισκόμενα τότε ζιζάνια. Διὰ τί δὲ *πρῶτον*; Ἵνα μὴ καὶ οἱ ζῶντες τηνικαῦτα ὀρθόδοξοι, συνεκθεριζόμενοι τοῖς αἱρετικοῖς ἀναμὶξ, πονηρὰς ἕξουσιν ἐλπίδας.

30 Καὶ δήσατε αὐτὰ εἰς δεσμάς.

Συνδήσατε αὐτοὺς ἀλλήλοις. Ἐμφαίνει δὲ ὁ λόγος, ὅτι οἱ κοινωνοὶ τῆς αὐτῆς ἁμαρτίας, κοινωνοὶ καὶ τῆς αὐτῆς κολάσεως γενήσονται, καὶ ὁμοῦ τὴν τιμωρίαν ὑφέξουσι.

(1) Νοεῖται, κελεύει.

(2) Παρὰ τῷ Α: Θερίσατε πρῶτον τοῦ θανάτου τῷ δρεπάνῳ τά.—Τὸ, πρῶτον, ἐγκρίσεως ἄξιον καὶ διὰ τὸ κείμενον τοῦ εὐαγγελίου καὶ διὰ τὴν ἑρμηνείαν,

30 Πρὸς τὸ κατακαῦσαι αὐτά· τὸν δὲ σῖτον συναγάγετε εἰς τὴν ἀποθήκην μου.

Τὰ παραπλήσια καὶ ὁ Βαπτιστὴς ἠπείλησε τοῖς Σαδδουκαίοις καὶ Φαρισαίοις, ἐν τῷ τρίτῳ κεφαλαίῳ, εἰπὼν περὶ τοῦ Χριστοῦ, ὅτι *Καὶ συνάξει τὸν σῖτον αὐτοῦ εἰς τὴν ἀποθήκην, τὸ δὲ ἄχυρον κατακαύσει πυρὶ ἀσβέστῳ* (α). Καὶ ζήτησον ἐν ἐκείνῳ, καὶ εὑρήσεις, τί μὲν λέγει κατάκαυσιν, τί δὲ ἀποθήκην. Περιττὸν γάρ, τὰ ἅπαξ ἑρμηνευθέντα πάλιν ὁμοίως ἐφερμηνεύειν.

31 Ἄλλην παραβολὴν παρέθηκεν αὐτοῖς, λέγων· Ὁμοία ἐστὶν ἡ βασιλεία τῶν οὐρανῶν κόκκῳ συνάπεως, ὃν λαβὼν ἄνθρωπος ἔσπειρεν ἐν τῷ ἀγρῷ αὐτοῦ.

[Κόκκῳ (1) *συνάπεως* παρείκασε τὸ κήρυγμα, καὶ διὰ τὸ μικροπρεπὲς καὶ εὐτελὲς τῶν λέξεων, ὃ τοσοῦτον ηὐξήθη, ὥστε τὴν ἀττικίζουσαν καὶ δεινὴν συλλογίζεσθαι σοφίαν τῶν Ἑλλήνων ἀποκρυβῆναι τῷ μεγέθει τοῦ ἀγροικιζομένου εὐαγγελίου.]

Βασιλείαν δὲ *τῶν οὐρανῶν* λέγει νῦν, τὸν λόγον τῆς πίστεως, ὡς ἀῤῥαβῶνα τῆς βασιλείας τῶν οὐρανῶν. Ἀπεικάζει δὲ αὐτὸν *κόκκῳ συνάπεως*· διότι βραχὺς μὲν καὶ εὐπερίγραφος σπείρεται, μὴ δυναμένων τῶν μαθητῶν βαστάζειν ἐν ἀρχῇ πλεῖον· καὶ γὰρ καὶ ὁ προφήτης πάλαι, *λόγον* (β) *συντετμημένον* αὐτὸν ἐκάλεσεν· ὅταν δὲ γεωργηθεὶς αὐξήσῃ ταῖς ἀρδείαις τοῦ θείου πνεύματος, ὑπερβάλλει πάντα λόγον, καὶ ὑψηλότερος ὅλων φαίνεται. Διὰ δὲ τῆς παραβολῆς ταύτης προαναφωνεῖ τὴν αὔξησιν τοῦ κηρύγματος. Περὶ δὲ τοῦ σπείροντος ἀνθρώπου, καὶ τοῦ ἀγροῦ, ἐν τῇ πρὸ ταύτης παραβολῇ προδιε-

(α) Ματθ. Γ', 12.
(1) Τὰ παρεντεθειμένα ἀναγινώσκονται ἐν τῷ περισελιδίῳ παρὰ τῷ Α.
(β) Ἡσ. Ι', 23.

λάβομεν. *Ἀγρὸς* δέ, ὁ κόσμος λέγεται, καὶ διὰ τὸ γεωργεῖσθαι ἐν αὐτῷ τὸν λογικὸν σῖτον.

[Ἡ *παραβολὴ* σημαίνει (1) καὶ τὸ διήγημα, ὡς τό, *Ἔθου ἡμᾶς εἰς παραβολὴν ἐν τοῖς ἔθνεσι* (α)· καὶ τὸν αἰνιγματώδη λόγον, ὡς τό, *Νοῆσαι τε παραβολὴν καὶ σκοτεινὸν λόγον* (β)· καὶ τὴν ὁμοίωσιν, ὡς τὰ προκείμενα ταῦτα· καὶ τὴν τροπολογίαν, ὡς τό, *Υἱὲ ἀνθρώπου, εἰπὲ αὐτοῖς τὴν παραβολὴν ταύτην· Ὁ ἀετὸς ὁ μέγας, ὁ μεγαλοπτέρυγος* (γ)· ἀετὸν λέγων τὸν βασιλέα τῶν Ἀσσυρίων. Σημαίνει δὲ καὶ τὸν τύπον, ὡς ὅταν λέγῃ Παῦλος περὶ τοῦ Ἀβραὰμ ὅτι *τὸν μονογενῆ προσέφερεν, ὁ τὰς ἐπαγγελίας δεξάμενος. Ὅθεν ἐν παραβολῇ αὐτὸν ἐκομίσατο* (δ), τουτέστιν, ἐν τύπῳ, ἐν εἰκόνι].

32 Ὃ μικρότερον μέν ἐστι πάντων τῶν σπερμάτων· ὅταν δὲ αὐξηθῇ, μεῖζον τῶν λαχάνων ἐστί.

Ὅπερ, σπέρμα δηλονότι, σμικρότατον μέν ἐστι τῇ ποσότητι, μέγιστον δὲ τῇ ποιότητι, εἴτουν, τῇ δυνάμει· διὸ καὶ εἰς μέγεθος ἐπιδίδωσι. Κατὰ τὴν ὁμοιότητα γοῦν τοῦ σπέρματος τούτου καὶ οἱ μαθηταί, ποίμνιον ὄντες ὀλίγον, εἰς ἄπειρον ηὐξήνθησαν.

32 Καὶ γίνεται δένδρον, ὥστε ἐλθεῖν τὰ πετεινὰ τοῦ οὐρανοῦ, καὶ κατασκηνοῦν ἐν τοῖς κλάδοις αὐτοῦ.

Ταῦτα εἶπεν εἰς ἔμφασιν τοῦ μεγέθους καὶ τῆς στερεότητος αὐτοῦ. Τινὲς δὲ *κλάδους* τοῦ λόγου τῆς πίστεως εἶπον τοὺς

(1) Ἐν τῷ περισελιδίῳ παρὰ τῷ Β.
(α) Ψαλμ. ΜΓ', 15.
(β) Παροιμ. Α', 6. ὅπου ἀναγινώσκεται, νοήσει τε.
(γ) Ἰεζ. ΙΖ', 2. 3.
(δ) Ἑβρ. ΙΑ', 17. 19.

πιστεύοντας ἀνθρώπους, ἐν οἷς κατασκηνοῦσι τὰ πετεινὰ τοῦ οὐρανοῦ, ἤγουν, οἱ ἄγγελοι, φυλάττοντες αὐτούς.

Ἕτεροι δέ φασι, *κλάδους* μὲν, τὰς ἀρετὰς, ἃς βλαστάνειν εἴωθεν ὁ λόγος τῆς πίστεως· *πετεινὰ* δὲ, τοὺς ὑπερβαίνοντας τὰ γεηρὰ πράγματα, καὶ τῷ πτερῷ τοῦ νοῦ κουφιζομένους εἰς ὕψος γνώσεως, καὶ πρὸς τὸν οὐρανὸν ἐπειγομένους.

33 Ἄλλην παραβολὴν ἐλάλησεν αὐτοῖς· Ὁμοία ἐστὶν
ἡ βασιλεία τῶν οὐρανῶν ζύμῃ·

Διὰ μὲν τῆς παραβολῆς τοῦ σινάπεως, τὴν αὔξησιν τῆς πίστεως προηγόρευσε, τὴν διὰ τῆς προσθήκης τῶν ἑκάστοτε πιστευόντων· διὰ δὲ τῆς παραβολῆς τῆς ζύμης, τὴν ἰσχὺν αὐτῆς προκηρύττει. *Βασιλείαν* γὰρ *τῶν οὐρανῶν* πάλιν τὸν λόγον τῆς πίστεως ὑποληπτέον.

33 Ἣν λαβοῦσα γυνὴ ἐνέκρυψεν εἰς ἀλεύρου σάτα τρία.

Σάτον μέν ἐστιν, εἶδος μέτρου παρ' Ἑβραίοις· *τρία* δὲ, τὰ πολλὰ νῦν εἴρηκεν. Εἰώθασι γὰρ πολλάκις διὰ τοῦ ἀριθμοῦ τῶν τριῶν, τὰ πολλὰ σημαίνειν. Καὶ *γυνὴ* μὲν νοεῖται, ἡ σοφία, ἤγουν, ὁ Χριστὸς, διὰ τὸ γόνιμον καὶ τρόφιμον· γεννᾷ γὰρ τοὺς πιστοὺς διὰ τοῦ βαπτίσματος, καὶ τρέφει αὐτοὺς τῇ βρώσει τῶν δογμάτων τῆς πίστεως. *Ζύμη* δὲ ὁ λόγος τῆς πίστεως παρεικάζεται· διότι, καθάπερ ἡ ζύμη, ὀλίγη τις οὖσα, καὶ εἰς πολὺ ἄλευρον ἐγκρυβεῖσα, διὰ τῆς ἀναφυράσεως ὅλον τὸ ἄλευρον εἰς ἓν σῶμα συνενοῖ, καὶ εἰς ἕτερον εἶδος, παρ' ὃ πρότερον εἶχε, μεθιστᾷ, καὶ νεκρὸν ὂν, τρόπον τινὰ ζωοῖ, καὶ ἄνω βαίνειν παρασκευάζει, δύναμιν ἔχουσα δραστικήν· οὕτω καὶ ὁ λόγος τῆς πίστεως, ὀλίγος ὢν, ὡς προείρηται, τῇ ποσότητι, καὶ ἐγκρυπτόμενος ψυχαῖς πολλῶν ἀνθρώπων διὰ τῆς διδασκαλίας, πάντας εἰς ἓν σῶμα τῆς ἐκκλησίας συνενοῖ, καὶ εἰς ἕτερον εἶδος πολιτείας μεθιστᾷ, καὶ νεκροὺς ὄντας εἰς ἐνέργειαν ἀρετῆς, ζωοῖ πρὸς ἐργασίαν αὐτῆς, καὶ ἄνω βαίνειν πρὸς οὐρανὸν παρασκευάζει, καὶ πάντα ποιεῖ, δύναμιν ἔχων ἄφατον.

33 Ἕως οὗ ἐζυμώθη ὅλον.

Οὐ στήσεται γὰρ, ἐγκρυπτόμενος ταῖς ψυχαῖς τῶν ἀνθρώπων, ἕως οὗ ἑνωθῶσιν εἰς ἓν πάντες, οὓς προώρισεν ἡ πάντων τὰς γνώμας προγινώσκουσα σοφία. Τὰ γὰρ τρία σάτα, εἰ καὶ τῇ ἐμφάσει πλῆθος δηλοῦσιν, ἀλλὰ τῷ ἀριθμῷ πεπερατωμένα τέως εἰσί. Πολλὴ οὖν τοῦ κηρύγματος ἡ δύναμις, καὶ τὸ ζυμωθὲν ἅπαξ, ζύμη πάλιν τῷ λοιπῷ μέρει γίνεται. Τινὲς δὲ *ἄλευρον* μὲν λέγουσι, τοὺς ἀνθρώπους· *σάτα* δὲ, ἤτοι μέτρα, τρία, τοὺς Ἰουδαίους, τοὺς Σαμαρείτας, καὶ τοὺς Ἕλληνας.

34 Ταῦτα πάντα ἐλάλησεν ὁ Ἰησοῦς ἐν παραβολαῖς
τοῖς ὄχλοις, καὶ χωρὶς παραβολῆς οὐκ ἐλάλει αὐ-
35 τοῖς· ὅπως πληρωθῇ τὸ ῥηθὲν διὰ τοῦ προφήτου,
λέγοντος· « Ἀνοίξω ἐν παραβολαῖς τὸ στόμα μου·
ἐρεύξομαι κεκρυμμένα ἀπὸ καταβολῆς κόσμου. »

Χωρὶς παραβολῆς οὐκ ἐλάλει αὐτοῖς, κατὰ τὸν καιρὸν ἐκεῖνον δηλαδή· πολλὰ γὰρ πολλάκις ἐλάλησεν αὐτοῖς δίχα παραβολῆς· τότε δὲ διὰ παραβολῶν ἐλάλει αὐτοῖς, ἵνα πληρωθῇ καὶ τὸ ῥηθὲν διὰ τοῦ Δαυΐδ. Ἀλλ' ἡ μὲν ἑρμηνεία τῶν Ἑβδομήκοντα, *Φθέγξομαι προβλήματα ἀπ' ἀρχῆς* (α), ἔγραψεν· ὁ δὲ τὸ παρὸν εὐαγγέλιον εἰς τὴν Ἑλλάδα γλῶσσαν μεταβαλὼν, *Ἐρεύξομαι κεκρυμμένα ἀπὸ καταβολῆς κόσμου*, εἴρηκε, ταῖς ἑβραϊκαῖς λέξεσι προσχὼν, αἵτινες καὶ ταῦτα κἀκεῖνα δηλοῦσι· καὶ τὸ *ἐρεύγομαι* γὰρ, τὸ *φθέγγομαι* σημαίνει. Καὶ *προβλήματα* ἐκεῖνοι, τὰ *αἰνίγματα* εἶπον, ὡς καὶ ὁ Ἀκύλας ἐμαρτύρησεν. Αἰνίγματα δέ εἰσι, καὶ αἱ εὐαγγελικαὶ παρα-

(α) Ψαλμ. ΟΖ', 2.

ϐολαί. Καθάπερ γὰρ τὰ αἰνίγματα κεκρυμμένην ἔχουσι τὴν ἀλήθειαν, οὕτω δὴ καὶ αὗται. Καὶ τὸ *ἀπὸ καταβολῆς* δὲ *κόσμου*, τὸ ἀπ' ἀρχῆς κόσμου δηλοῖ. Ὁ δὲ Μάρκος εἶπεν, ὅτι *Καὶ τοιαύταις παραβολαῖς πολλαῖς ἐλάλει αὐτοῖς τὸν λόγον, καθὼς ἠδύναντο ἀκούειν* (ϐ), τουτέστι, καθὼς ἦσαν ἄξιοι ἀκούειν οἱ γραμματεῖς καὶ φαρισαῖοι. Ἐπεὶ γὰρ οὐ διὰ τὸ ὠφεληθῆναι ἠρώτων, ἀλλὰ διὰ τὸ ἐπηρεάσαι τοῖς αὐτοῦ λόγοις, ἐν παραβολαῖς αὐτοῖς ἐλάλησεν, ἵνα καὶ αὐτὸς τὸ οἰκεῖον ἔργον εἴη πληρῶν, καὶ αὐτοὶ μὴ νοοῦντες, ἃ λέγει, μείνωσιν ἄπρακτοι.

36 Τότε ἀφεὶς τοὺς ὄχλους, ἦλθεν εἰς τὴν *οἰκίαν* ὁ
Ἰησοῦς.

Εἰς *τὴν οἰκίαν*, ἐν ᾗ ἐξενοδοχεῖτο.

36 Καὶ προσῆλθον αὐτῷ οἱ μαθηταὶ αὐτοῦ, λέγοντες·
Φράσον ἡμῖν τὴν παραβολὴν τῶν ζιζανίων τοῦ
ἀγροῦ.

Κατὰ μόνας μετὰ παῤῥησίας ἐρωτῶσιν, ὡς ἀκούσαντες πρότερον, ὅτι αὐτοῖς δέδοται γνῶναι τὰ μυστήρια. Περὶ μόνης δὲ ταύτης τῆς παραϐολῆς ἐρωτῶσιν, ὡς τὰς ἄλλας δύο συνέντες τήν τε τοῦ σινάπεως, καὶ τὴν τῆς ζύμης, ἅτε σαφεστέρας οὔσας· αὕτη δὲ καὶ φοϐερὰν εἶχεν ἀπειλὴν ἐπὶ τέλει, θορυϐοῦσαν αὐτούς.

37 Ὁ δὲ ἀποκριθεὶς, εἶπεν αὐτοῖς· Ὁ σπείρων τὸ
καλὸν σπέρμα, ἐστὶν ὁ υἱὸς τοῦ ἀνθρώπου·

Υἱὸν ἀνθρώπου, ἑαυτὸν ὀνομάζει, διὰ τὴν φαινομένην ἐνανθρώπησιν αὐτοῦ· καὶ τοῦτο συνεχῶς λέγει, βεϐαιῶν, ὅτι κατὰ ἀλήθειαν ἐνηνθρώπησε. Καὶ ἔστω σοι τοῦτο τοῦ λοιποῦ γνώριμον.

(ϐ) Μάρκ. Δ', 33.

38 Ὁ δὲ ἀγρὸς, ἐστὶν ὁ κόσμος·

Ἀνωτέρω περὶ τούτου προείρηται.

38 Τὸ δὲ καλὸν σπέρμα, οὗτοί εἰσιν·

Τίνες οὗτοι;

38 Οἱ υἱοὶ τῆς βασιλείας·

Υἱοὶ μὲν *τῆς βασιλείας* λέγονται οἱ ὀρθόδοξοι, ὡς ὑπὸ τοῦ βασιλέως Χριστοῦ σπαρέντες εἰς γεωργίαν ἀρετῆς, καὶ κληρονομεῖν τῆς βασιλείας αὐτοῦ μέλλοντες· *υἱοὶ* δὲ *τοῦ πονηροῦ*, οἱ αἱρετικοὶ, ὡς ὑπὸ τοῦ διαϐόλου σπαρέντες εἰς γεωργίαν κακίας, καὶ κληρονομεῖν τοῦ ἡτοιμασμένου αὐτῷ πυρὸς μέλλοντες ὁμοίως.

38 Τὰ δὲ ζιζάνια, εἰσὶν οἱ υἱοὶ τοῦ πονηροῦ·

Εἴρηται ἤδη περὶ τούτων.

39 Ὁ δὲ ἐχθρὸς, ὁ σπείρας αὐτὰ, ἐστὶν ὁ διάϐολος· ὁ
δὲ θερισμὸς, συντέλεια τοῦ αἰῶνός ἐστιν· οἱ δὲ θερισταὶ,
ἄγγελοί εἰσιν.

Καὶ περὶ τούτων προδιελάϐομεν. Χρὴ δέ σε μνημονεύειν, ὅτι ἐν τῷ ὀκτωκαιδεκάτῳ κεφαλαίῳ, *θερισμὸν* μὲν ἐκάλεσε, τοὺς πιστεῦσαι μέλλοντας, ὡς ἑτοίμους εἰς τὸ συγκομισθῆναι· *θεριστὰς* δὲ τοὺς συγκομίζοντας αὐτοὺς ἀποστόλους· ἐν δὲ τῷ παρόντι, *θερισμὸν* μὲν, τὴν συντέλειαν τοῦ κόσμου, διὰ τὴν ἀπὸ τῆς ἐπικήρου ζωῆς ἐκτομὴν τῶν ἀνθρώπων· *θεριστὰς* δὲ, τοὺς ἐκτέμνοντας αὐτοὺς ἀπ' αὐτῆς ἀγγέλους. Ὁμοίως δὲ καὶ *σπέρμα*, ὀπίσω μὲν, τὸν λόγον τῆς πίστεως ὠνόμασεν· ἐν δὲ τῇ προκειμένῃ παραϐολῇ, αὐτοὺς τοὺς πιστεύσαντας κατ' ἄλλην καὶ ἄλλην ἔννοιαν. Ὁ γὰρ πιστεύσας λέγεται μὲν καὶ σῖτος, ὡς καρπὸς τοῦ πρώτου σπέρματος, ἤτοι, τοῦ λόγου τῆς πίστεως· λέγοιτο δ' ἂν καὶ σπέρμα, ὡς καρποφορῶν πάλιν ἕτερον

εἰς πίστιν. Οὐχ ἡρμήνευσε δὲ, τίνες μέν εἰσιν οἱ καθεύδοντες ἄνθρωποι. τίνες δὲ οἱ δοῦλοι τοῦ οἰκοδεσπότου, ἀλλὰ παρῆκεν αὐτοὺς, ἢ ὡς ἐγνωσμένους, ἢ καὶ διδάσκων, ὅτι οὐ χρὴ τὰς παραβολὰς κατὰ ῥῆσιν ἑρμηνεύειν, ὥς φησιν ὁ Χρυσόστομος (1), ἀλλὰ κατὰ μόνα τὰ ἀναγκαιότερα μέρη, δι' ἃ καὶ παραλαμβάνονται· τἄλλα γὰρ, διὰ μόνον τὸ πλασθῆναι ταύτας πιθανῶς, συμπαραλαμβάνονται, καὶ λοιπὸν οὐκ ἀκίνδυνον, τὸ καὶ ταῦτα πολυπραγμονεῖν.

40 Ὥσπερ οὖν συλλέγεται τὰ ζιζάνια, καὶ πυρὶ κατακαίεται· οὕτως ἔσται ἐν τῇ συντελείᾳ τοῦ αἰῶνος τούτου.

Εἶτα λέγει, πῶς ἔσται.

41 Ἀποστελεῖ ὁ υἱὸς τοῦ ἀνθρώπου τοὺς ἀγγέλους αὐτοῦ, καὶ συλλέξουσιν ἐκ τῆς βασιλείας αὐτοῦ πάντα τὰ σκάνδαλα, καὶ τοὺς ποιοῦντας τὴν ἀνομίαν.

Βασιλείαν αὐτοῦ φησὶ, τὸν κόσμον, ὡς φύσει βασιλεύων αὐτοῦ, κατὰ τὴν θεότητα, ἢ καὶ ὡς δοθείσης αὐτῷ πάσης ἐξουσίας ἐν οὐρανῷ καὶ ἐπὶ γῆς. *Σκάνδαλα δὲ καὶ ποιοῦντας τὴν ἀνομίαν*, τοὺς αὐτοὺς ὀνομάζει· *συλλέξουσι* δὲ αὐτοὺς, ἀναστάντας ἐκ νεκρῶν ἤδη. Χρὴ γὰρ γινώσκειν, ὅτι ἅμα μὲν τούτοις ἀναστήσονται καὶ οἱ δίκαιοι· πρὸ δὲ τῆς συλλογῆς τούτων ἐκεῖνοι μὲν *ἁρπαγήσονται ἐν νεφέλαις εἰς ἀπάντησιν τοῦ Κυρίου εἰς ἀέρα* (2), καθὼς εἶπε Παῦλος· οὗτοι δὲ, κάτω ἀπολειφθέντες, ὡς ἀνάξιοι, μετὰ τὸ κατελθεῖν αὐτὸν συλλεγήσονται. Καὶ πρῶτον μὲν ἐκεῖνοι δικαιωθήσονται· εἶτα οὗτοι καταδικασθήσονται. Καὶ λοιπὸν, μετὰ τὰς τοιαύτας ἀποφά-

(1) Τομ. Ζ', Σελ. 487. Ε.
(2) Α' Θεσσαλ. Δ', 17.

σεις, πρῶτον μὲν οἱ ἁμαρτωλοὶ ἀπελεύσονται εἰς κόλασιν αἰώνιον· εἶτα οἱ δίκαιοι, εἰς ζωὴν αἰώνιον, ὡς ἐν τῷ ἑξηκοστῷ πρώτῳ κεφαλαίῳ φησίν.

42 Καὶ βαλοῦσιν αὐτοὺς εἰς τὴν κάμινον τοῦ πυρός.

Δι' ἑαυτοῦ μὲν σπείρει, δεικνύων, ὅτι οἰκεῖον αὐτοῦ τὸ εὐεργετεῖν· δι' ἑτέρων δὲ κολάζει, παριστῶν, ὅτι ἀλλότριον αὐτοῦ τὸ κολάζειν.

42 Ἐκεῖ ἔσται ὁ κλαυθμὸς καὶ ὁ βρυγμὸς τῶν ὀδόντων.

Ἐκεῖ, ἐν τῇ καμίνῳ τοῦ αἰωνίου πυρός· ἢ ἐν αὐτοῖς. Διὰ δὲ τοῦ *κλαυθμοῦ* καὶ τοῦ *βρυγμοῦ τῶν ὀδόντων*, τὴν ἄφατον ὀδύνην ἐνέφηνε.

43 Τότε οἱ δίκαιοι ἐκλάμψουσιν, ὡς ὁ ἥλιος, ἐν τῇ βασιλείᾳ τοῦ πατρὸς αὐτῶν.

Καὶ μὴν, τῆς αἴγλης τοῦ θεοῦ τότε προσβαλούσης αὐτοῖς, μεταρυθμοῦνται πρὸς αὐτὴν, καὶ θεοειδεῖς γίνονται, καὶ ἀκόλουθόν ἐστι, λαμπρότερον ἡλίου λάμπειν αὐτούς. Πῶς οὖν φησὶν, *ὡς ὁ ἥλιος*; Διότι γνωρίμῳ πρὸς αὐτοὺς ἔδει χρήσασθαι παραδείγματι· οὐκ ἦν δὲ οὐδὲν τῶν γνωρίμων αὐτοῖς ἡλίου λαμπρότερον.

43 Ὁ ἔχων ὦτα ἀκούειν, ἀκουέτω.

Τοῦτο πολλάκις ἐπιλέγει, παροξύνων αὐτοὺς εἰς τὸ γίνεσθαι διορατικωτέρους.

44 Πάλιν ὁμοία ἐστὶν ἡ βασιλεία τῶν οὐρανῶν θησαυρῷ κεκρυμμένῳ ἐν τῷ ἀγρῷ, ὃν εὑρὼν ἄνθρωπος ἔκρυψε, καὶ ἀπὸ τῆς χαρᾶς αὐτοῦ ὑπάγει, καὶ πάντα, ὅσα ἔχει, πωλεῖ, καὶ ἀγοράζει τὸν ἀγρὸν ἐκεῖνον.

Διὰ τί, τῶν ὄχλων μὴ παρόντων, ἐν παραβολαῖς ἔτι λαλεῖ τοῖς μαθηταῖς; Διότι ἔγνω τούτους σοφωτέρους ἤδη γενομένους

ἀπὸ τῶν εἰρημένων, ὡς καὶ συνιέναι δύνασθαι. Διὸ καὶ μετὰ τὸ τέλος τῶν παραβολῶν λέγει αὐτοῖς· *Συνήκατε ταῦτα πάντα; Λέγουσιν αὐτῷ· Ναὶ, Κύριε* (α).

Ὥσπερ δὲ ἐπὶ τῶν ἀνωτέρω κειμένων δύο παραβολῶν, τοῦ τε σινάπεως καὶ τῆς ζύμης, βασιλείαν οὐρανῶν ἔλεγε τὸν λόγον τῆς πίστεως· οὕτω καὶ ἐπὶ ταύτης. Ἀπεικάζει δὲ αὐτὸν θησαυρῷ, διὰ τὸν ἐν αὐτῷ πλοῦτον τοῦ ἁγίου Πνεύματος. Ἀγρὸς δέ ἐστιν, ὁ κόσμος, ὡς προδεδήλωται. Μάθε δὲ, ὅτι ἐν τῷ κόσμῳ μὲν κέκρυπται ἡ πίστις· ἐν τῇ πίστει δὲ, ὁ πλοῦτος τοῦ ἁγίου Πνεύματος.

Καὶ τὰ μὲν ἄλλα τῆς παραβολῆς ἔα, καθὼς προείρηται· σκόπει δὲ, πῶς ὁ *εὑρὼν* τοῦτον τὸν πλουτίζοντα θησαυρὸν, εἴτουν, ὁ ἐπιγνοὺς αὐτὸν, σπουδάζει· τοῦτο γὰρ ἐμφαίνει τὸ, *Ὑπάγει, καὶ μετὰ χαρᾶς πάντα, ὅσα ἔχει, πωλεῖ*, ἵνα μόνον κερδήσῃ τοῦτον. Καὶ σύνες, ὅτι διδάσκει πάντας ἡ τοιαύτη παραβολὴ, μὴ μόνον μὴ λυπεῖσθαι προϊεμένους ὑπὲρ τῆς πίστεως πάντα, ὅσα ἔχουσιν, ἀλλὰ καὶ μετὰ χαρᾶς τοῦτο ποιεῖν, καὶ τὴν ἀποβολὴν ταύτην κέρδος ἡγεῖσθαι μέγιστον· καὶ ὅτι ὁ μὴ ἀποβάλλων αὐτὰ, καὶ ὁ μὴ μετὰ χαρᾶς ἀποβάλλων, οὐ δύναται κερδῆσαι τὸν τῆς πίστεως θησαυρόν. Πάντα δὲ, ὅσα τις ἔχει, νοοῦνται, καὶ τὰ ἐν ἔργῳ, καὶ ἐν λόγῳ, καὶ κατὰ διάνοιαν ἁμαρτήματα, ἅπερ ὁμοίως χρὴ πωλεῖν, ὅ ἐστιν, ἀποκτᾶσθαι.

45 Πάλιν ὁμοία ἐστὶν ἡ βασιλεία τῶν οὐρανῶν ἀνθρώ-
46 πῳ ἐμπόρῳ, ζητοῦντι καλοὺς μαργαρίτας· ὃς εὑ-
ρὼν ἕνα πολύτιμον μαργαρίτην, ἀπελθὼν πέπρακε
πάντα ὅσα εἶχε, καὶ ἠγόρασεν αὐτόν.

Βασιλείαν τῶν οὐρανῶν, ἰδιοτρόπως ἐνταῦθα νοοῦμεν τὴν

(α) Ματθ. ΙΓ', 51.

ἐπιθυμίαν τῆς βασιλείας τῶν οὐρανῶν· καὶ *ἄνθρωπον* μὲν αὐτὴν εἶπεν, ὡς ἐν ἀνθρώπῳ ἐνεργοῦσαν· *ἔμπορον* δὲ, ὡς πραγματευομένην τὴν ἰδίαν σωτηρίαν. Ὅρα γὰρ, ὅτι εὑροῦσα ἕνα πολύτιμον μαργαρίτην, ὅς ἐστιν ὁ λόγος τῆς πίστεως· ὁ εἷς μὲν, διὰ τὸ εἶναι μίαν τὴν ἀληθῆ πίστιν, καὶ διὰ τὸ μὴ εἶναι τοιοῦτον ἄλλον· πολύτιμος δὲ, ὡς κατὰ πολὺ τίμιος, [καὶ (1) ὡς πολλοῖς ὢν τίμιος,] δηλαδὴ τοῖς εἰδόσιν αὐτόν· *ἀπῆλθεν*, ὃ δηλοῖ τὴν σπουδὴν, καὶ ἀπεκτήσατο πάντα, ὅσων ἀπήλαυε πρότερον, καὶ ἐκτήσατο τοῦτον μόνον.

Αἱ δύο δὲ αὗται παραβολαὶ τὰ πλείω ἀλλήλαις ἐοικυῖαι, βραχέα διαφέρουσιν, ὅτι ἡ μὲν θησαυρὸν, ἡ δὲ μαργαρίτην ὀνομάζει τὸν λόγον τῆς πίστεως· ὥσπερ ἄρα καὶ αἱ πρὸ τούτων δύο παραβολαὶ, ἡ μὲν κόκκον σινάπεως, ἡ δὲ ζύμην αὐτὸν ἐκάλεσε· καὶ καθάπερ διὰ τῶν δύο ἐκείνων ἐδήλωσεν ὁ Χριστὸς τὴν αὔξησιν καὶ τὴν ἰσχὺν τῆς πίστεως· οὕτω καὶ διὰ τῶν δύο τούτων πάλιν, τὸν πλοῦτον καὶ τὸ ἐξαίρετον αὐτῆς. Αὔξει μὲν γὰρ, ὡς κόκκος σινάπεως· ἰσχύει δὲ, ὡς ζύμη· πλουτίζει δὲ, ὡς θησαυρός· ἐξαίρετος δέ ἐστιν, ὡς διαφορώτατος μαργαρίτης. Τἄλλα γὰρ τῆς παραβολῆς οὐ περιεργαστέον ἡμῖν. Ἵνα δὲ μὴ θαῤῥῶμεν τῇ πίστει μόνῃ, μηδὲ ἀρκεῖν αὐτὴν εἰς σωτηρίαν νομίζωμεν, προστίθησι καὶ ἑτέραν παραβολὴν, δι' ἧς μανθάνομεν, ὅτι οὐ πάντες οἱ πιστεύοντες σώζονται, ἀλλὰ πολλοὶ τούτων ἀπόλλυνται.

[*Μαργαρίτης* δὲ (2) καὶ ὁ Κύριος κέκληται· διότι τῷ βυθῷ τῆς θεότητος ἥνωται, καὶ μόνοις τοῖς ἁλιεῦσι καὶ τοῖς αὐτῶν μαθηταῖς ἐγνώρισται].

47 Πάλιν ὁμοία ἐστὶν ἡ βασιλεία τῶν οὐρανῶν σαγήνῃ

(1) Τὰ παρεντεθειμένα λείπουσιν ἀπὸ τοῦ Α.

(2) Τὰ παρεντεθειμένα ἀναγινώσκονται ἐν τῷ περιθελιδίῳ παρὰ τῷ Α.

βληθείσῃ εἰς τὴν θάλασσαν, καὶ ἐκ παντὸς γένους συναγαγούσῃ·

Β*ασιλείαν τῶν οὐρανῶν* αὖθις λέγει τὸν λόγον τῆς πίστεως· *θάλασσαν* δὲ, τὸν κόσμον, διὰ τὴν πικρίαν καὶ τὰ κύματα τῶν πειρασμῶν· *παντοῖα* δὲ *γένη ἰχθύων*, τὰ ποικίλα πλήθη τῶν ἐνδιαιτωμένων αὐτῷ ἀνθρώπων, ἀνδρῶν, γυναικῶν, νέων, γερόντων, ἀγάμων, γεγαμηκότων καὶ τοιούτων ἄλλων, ἢ καὶ τὰ διάφορα ἔθνη.

48 Ἣν, ὅτε ἐπληρώθη, ἀναβιβάσαντες ἐπὶ τὸν αἰγιαλὸν, καὶ καθίσαντες, συνέλεξαν τὰ καλὰ εἰς ἀγγεῖα, τὰ δὲ σαπρὰ ἔξω ἔβαλον·

Ὅ*τε ἐπληρώθη*, τουτέστιν, ὅτε πάντες ἐπίστευσαν, οἱ μὲν, ἑκόντες, οἱ δὲ, ἄκοντες· *αἰγιαλὸν* δὲ νόει, τὸν τόπον, ἔνθα μέλλει κρῖναι ὁ Κύριος· *συλλέγοντας* δὲ, τοὺς ἀγγέλους· καὶ *καλὰ* μὲν θηράματα, τοὺς δικαίους· *σαπρὰ* δὲ, τοὺς πονηρούς· *ἀγγεῖα* δὲ, τὰς ἀποκεκληρωμένας τοῖς δικαίοις μονάς. Τἄλλα δὲ τῆς παραβολῆς ὁμοίως οὐ πολυπραγμονητέον.

49 Οὕτως ἔσται ἐν τῇ συντελείᾳ τοῦ αἰῶνος·

Ο*ὕτως*, ὡς ἐρεῖ.

49 Ἐξελεύσονται οἱ ἄγγελοι, καὶ ἀφοριοῦσι τοὺς πο-
50 νηροὺς ἐκ μέσου τῶν δικαίων· καὶ βαλοῦσιν αὐτοὺς
εἰς τὴν κάμινον τοῦ πυρός· ἐκεῖ ἔσται ὁ κλαυθμὸς
καὶ ὁ βρυγμὸς τῶν ὀδόντων.

Καὶ μὴν, ἐν τῷ ἑξηκοστῷ πρώτῳ κεφαλαίῳ φησὶν, ὅτι (α) αὐτὸς *ἀφοριεῖ αὐτοὺς ἀπ' ἀλλήλων*. Τί οὖν ἔστιν εἰπεῖν; Ὅτι αὐτὸς μὲν ἀφοριεῖ αὐτοὺς, τῷ προστάγματι· οἱ δὲ ἄγγελοι ἀφοριοῦσιν αὐτοὺς, τῇ ἐνεργείᾳ, τὸ πρόσταγμα τὸ δεσποτικὸν

(α) Ματθ. ΚΕʹ, 32.

ὡς ὑπηρέται πράττοντες. *Ἀφορίζειν* δέ ἐστι, τὸ διαχωρίζειν. Ἐπεὶ δὲ ἐν τῷ τέλει τῆς παραβολῆς εἶπεν, ὅτι *τὰ σαπρὰ ἔξω ἔβαλον*, ἵνα μὴ ὑπολάβῃ τις, ἀκίνδυνον εἶναι τὴν τοιαύτην ἐξαγωγὴν, ἡρμήνευσε ταύτην. εἰρηκὼς, ὅτι *καὶ βαλοῦσιν αὐτοὺς εἰς τὴν κάμινον τοῦ πυρὸς*, καὶ τὰ ἑξῆς.

51 Λέγει αὐτοῖς ὁ Ἰησοῦς· Συνήκατε ταῦτα πάντα;

Τ*ὰ ἀναγκαῖα* δηλαδὴ τῶν παραβολῶν; Καὶ μὴν, ὡς θεὸς ἐγίνωσκεν, ὅτι συνῆκαν αὐτά. Λοιπὸν οὖν, ὡς ἄνθρωπος τοῦτο ἠρώτησεν.

51 Λέγουσιν αὐτῷ· Ναί, Κύριε. Ὁ δὲ εἶπεν αὐτοῖς· Διὰ
52 τοῦτο πᾶς γραμματεὺς μαθητευθεὶς εἰς τὴν βασιλείαν τῶν οὐρανῶν, ὅμοιός ἐστιν ἀνθρώπῳ οἰκοδεσπότῃ, ὅστις ἐκβάλλει ἐκ τοῦ θησαυροῦ αὐτοῦ καινὰ καὶ παλαιά.

Ὁμολογησάντων γνῶναι, λέγει παραβολὴν διδάσκουσαν, ὅτι πάντες οἱ γνησίως αὐτῷ μαθητευθέντες πλουτοῦσι γνῶσιν. *Πᾶς γάρ*, φησι, *γραμματεὺς*, ἤτοι, σοφὸς, *μαθητευθεὶς* τῷ βασιλεῖ τῶν οὐρανῶν, ὅς ἐστιν ὁ Χριστὸς, πλουτεῖ γνῶσιν· μαθητευθεὶς δὲ αὐτῷ, πρὸ (1) τοῦ σοφισθῆναι δηλονότι· καὶ *ἔοικεν ἀνθρώπῳ οἰκοδεσπότῃ*, τουτέστι, πλουσίῳ, *ὅστις ἐκβάλλει*, ὅτε βούλεται, *ἐκ τοῦ θησαυροῦ αὐτοῦ, καινὰ καὶ παλαιὰ* χρυσία. Νοοῦνται δὲ *καινὰ* μὲν, τὰ τῆς νέας Διαθήκης νοήματα· *παλαιὰ* δὲ, τὰ τῆς παλαιᾶς. Τὸ δὲ, *διὰ τοῦτο*, οὐκ ἔστι νῦν αἰτιολογικὸν, ἀλλὰ βεβαιωτικὸν, ἀντὶ τοῦ, *ἀληθῶς*.

53 Καὶ ἐγένετο, ὅτε ἐτέλεσεν ὁ Ἰησοῦς τὰς παρα-
54 βολὰς ταύτας, μετῆρεν ἐκεῖθεν. Καὶ ἐλθὼν εἰς τὴν

(1) Ἴσως, πρὸς τὸ σοφισθῆναι.

πατρίδα αὐτοῦ, ἐδίδασκεν αὐτοὺς ἐν τῇ συναγωγῇ αὐτῶν·

Πατρίδα αὐτοῦ λέγει τὴν Ναζαρὲτ, ὡς πατρίδα τῆς μητρὸς αὐτοῦ καὶ τοῦ νομιζομένου πατρὸς αὐτοῦ, καὶ ὡς τραφεὶς ἐν αὐτῇ. Φησὶ γὰρ ὁ Λουκᾶς (α), ὅτι *Καὶ ἦλθεν εἰς τὴν Ναζαρὲτ, οὗ ἦν τεθραμμένος*. *Ἐδίδασκε δὲ αὐτούς*. Τίνας; Δηλαδὴ τοὺς τῆς πατρίδος αὐτοῦ. Τὴν αἰτίαν δὲ, δι' ἣν ἐν ταῖς συναγωγαῖς διδάσκει, προειρήκαμεν ἐν ἀρχῇ τοῦ τετάρτου κεφαλαίου.

54 Ὥστε ἐκπλήττεσθαι αὐτοὺς, καὶ λέγειν· Πόθεν τούτῳ ἡ σοφία αὕτη, καὶ αἱ δυνάμεις;

Η *σοφία* τῶν λόγων, καὶ *αἱ δυνάμεις* τῶν λόγων. *Ἠ, δυνάμεις*, καλεῖ τὰ θαύματα. Βλέποντες γὰρ αὐτὸν ὑψηλότερα μὲν καὶ πιθανώτερα τῶν πάλαι περιβοήτων ἀνδρῶν διδάσκοντα, μείζονα δὲ θαύματα ποιοῦντα, καὶ ἀγνοοῦντες, ὅτι αὐτὸς ἦν σοφία θεοῦ καὶ δύναμις, ἐθαύμαζον μὲν καὶ τοὺς λόγους αὐτοῦ καὶ τὰ θαύματα· εἰς αὐτὸν δὲ, τὸν τοιαῦτα διδάσκοντα καὶ τερατουργοῦντα, ἐσκανδαλίζοντο, δι' οὐδὲν ἕτερον, ἢ διότι γονέων ἦν εὐτελῶν. Ἀλλ' ὄντως τυφλὸν καὶ ἀνόητον ὁ φθόνος! Ἀφ' ὧν γὰρ ἔδει μᾶλλον θαυμάζειν, καὶ προσκυνεῖν αὐτὸν, ὅτι τοιούτων γονέων τοιοῦτος προῆλθεν υἱὸς, ἀπὸ τούτων εἰς αὐτὸν σκανδαλίζονται.

55 Οὐχ οὗτός ἐστιν ὁ τοῦ τέκτονος υἱός; οὐχὶ ἡ μήτηρ αὐτοῦ λέγεται Μαριὰμ, καὶ οἱ ἀδελφοὶ αὐτοῦ
56 Ἰάκωβος, καὶ Ἰωσῆς, καὶ Σίμων, καὶ Ἰούδας; καὶ αἱ ἀδελφαὶ αὐτοῦ οὐχὶ πᾶσαι πρὸς ἡμᾶς εἰσι;

Ταυτὶ πάντα κατ' ἐρώτησιν ἀναγνωστέον. Διαποροῦντες γὰρ

(α) Λουκ. Δ', 16.

ἔλεγον ταῦτα πρὸς ἀλλήλους. *Πρὸς ἡμᾶς δὲ*, ἀντὶ τοῦ, παρ' ἡμῖν.

56 Πόθεν οὖν τούτῳ ταῦτα πάντα;

Ορα βαθεῖαν ἄνοιαν! Λέγουσι γὰρ ὅτι, Ἐπεὶ γονέων εὐτελῶν ἐστὶ, πόθεν ἄλλοθεν τούτῳ ταῦτα πάντα προσεγένοντο; Καὶ μὴν, ὦ μάταιοι, οὐκ ἀπὸ γονέων εὐκλείας, οὐδ' ἀπὸ χρημάτων δαψιλείας, ἢ τοιούτου τινὸς, ἀλλ' ἐξ ἐναρέτου πολιτείας ἡ γνῶσις καὶ τὰ θαύματα θεόθεν τοῖς ἀξίοις χαρίζονται.

57 Καὶ ἐσκανδαλίζοντο ἐν αὐτῷ.

Αντὶ τοῦ, *ἐπ' αὐτῷ*.

57 Ὁ δὲ Ἰησοῦς εἶπεν αὐτοῖς· Οὐκ ἔστι προφήτης ἄτιμος, εἰ μὴ ἐν τῇ πατρίδι αὐτοῦ, καὶ ἐν τῇ οἰκίᾳ αὐτοῦ.

Ο δὲ Μάρκος εἶπεν (α), ὅτι *εἰ μὴ ἐν τῇ πατρίδι αὐτοῦ, καὶ ἐν τοῖς συγγενέσι, καὶ ἐν τῇ οἰκίᾳ αὐτοῦ*. Παραδειγματικῶς δὲ ἑαυτὸν ἐδήλωσεν ὁ Χριστός· καὶ, *ἐν μὲν τῇ πατρίδι*, εἴρηκε, διὰ πᾶσαν τὴν Ναζαρέτ· *ἐν δὲ τοῖς συγγενέσι*, διὰ τοὺς ὁπωσδήποτε συγγενεῖς αὐτοῦ· *ἐν δὲ τῇ οἰκίᾳ*, διὰ μόνους τοὺς ἀδελφοὺς αὐτοῦ. Πάντες γὰρ αὐτοῦ κατεφρόνουν, οἱ μὲν, ὡς συμπατριώτου, οἱ δὲ, ὡς συγγενοῦς, οἱ δὲ, ὡς ἀδελφοῦ. Διὸ καὶ ὑπερφυῶς εὐδοκιμοῦντος ἐσκανδαλίζοντο *ἐπ' αὐτῷ*, τουτέστιν, οὐκ ἠδύναντο πιστεύειν αὐτῷ διὰ τὸν φθόνον, εἰ καὶ οἱ μὲν πλεῖον, οἱ δὲ ἔλαττον ἐφθόνουν. *Οὐκ ἔστιν* οὖν, φησὶ, *προφήτης ἄτιμος*, παρ' οἷς δοκεῖ προφήτης, *εἰ μὴ ἐν τῇ πατρίδι αὐτοῦ, καὶ ἐν τοῖς συγγενέσι, και ἐν τῇ οἰκίᾳ αὐτοῦ*. Οὗτοι γὰρ, καίτοι προφήτην αὐτὸν εἰδότες, ὅμως καταφρονοῦσιν αὐτοῦ, διά τε τὴν ῥηθεῖσαν αἰτίαν, καὶ διότι τὰ συνήθη, εὐκα-

(α) Μάρκ. ϛ', 4,

παρρόντα. Ὁ δὲ Λουκᾶς εἶπεν, ὅτι (α) *Οὐδεὶς προφήτης δεκτός ἐστιν ἐν τῇ πατρίδι αὐτοῦ*, δεκτὸν κἀκεῖνος λέγων, τὸν τίμιον.

58 Καὶ οὐκ ἐποίησεν ἐκεῖ δυνάμεις πολλὰς, διὰ τὴν ἀπιστίαν αὐτῶν.

Δυνάμεις τὰ θαύματα λέγει, ὡς δυνάμεως θείας ἔργα. Καὶ ὅρα σοφίαν! Ἐποίησε μὲν γὰρ, ἵνα μὴ δύνωνται λέγειν, ὅτι Μισῶν ἡμᾶς, οὐ θεραπεύει τοὺς ἐν ἡμῖν, καὶ ὅτι, εἰ ἐποίησε καὶ παρ' ἡμῖν, ἐπιστεύσαμεν ἂν καὶ ἡμεῖς. *Οὐ πολλὰς δὲ*, διὰ τὴν ἀπιστίαν αὐτῶν, ὅτι καὶ γινομένων ἠπίστουν ἔτι. Διὸ καὶ ὁ Μάρκος εἶπεν (β), ὅτι *Καὶ ἐθαύμαζε διὰ τὴν ἀπιστίαν αὐτῶν*, δηλονότι τοσοῦτον ἀναισχυντούσαν. Ἀλλ' ὁ μὲν Ματθαῖός φησιν, ὅτι *Οὐκ ἐποίησεν ἐκεῖ δυνάμεις πολλάς*· ὁ δὲ Μάρκος, ὅτι *Καὶ οὐκ ἠδύνατο ἐκεῖ οὐδεμίαν δύναμιν ποιῆσαι, εἰ μὴ ὀλίγοις ἀῤῥώστοις ἐπιθεὶς τὰς χεῖρας, ἐθεράπευσε* (γ). Πῶς οὖν εἶπεν, ὅτι *οὐκ ἠδύνατο*; Διότι ἀδυναμίαν ὀνομάζειν εἰώθαμεν, οὐ μόνον τὴν ἔλλειψιν τῆς δυνάμεως, ἀλλὰ καὶ τὸν ἐμποδισμὸν τῆς οἴας δή τινος αἰτίας, ὥσπερ καὶ νῦν. Ἐνεπόδιζε γὰρ αὐτῷ *ἡ ἀπιστία* τῶν εὐεργετουμένων. *Οὐκ ἠδύνατο* οὖν, ἀντὶ τοῦ, ἐνεποδίζετο· καὶ οὐκ ἔδει βιαίως εὐεργετεῖν αὐτούς.

(α) Λουκ. Δ', 24.
(β) Μάρκ. ς', 6.
(γ) Μάρκ. ς', 5.

ΚΕΦΑΛΑΙΟΝ ΚΕ'.

Περὶ Ἰωάννου καὶ Ἡρώδου.

ΚΕΦ. XIV. 1 Ἐν ἐκείνῳ τῷ καιρῷ ἤκουσεν Ἡρώδης
2 ὁ τετράρχης τὴν ἀκοὴν Ἰησοῦ· καὶ εἶπε τοῖς παισὶν αὐτοῦ· Οὗτός ἐστιν Ἰωάννης ὁ Βαπτιστής· αὐτὸς ἠγέρθη ἀπὸ τῶν νεκρῶν, καὶ διὰ τοῦτο αἱ δυνάμεις ἐνεργοῦσιν ἐν αὐτῷ.

Τὰ ὅμοια λέγει καὶ ὁ Μάρκος (α)· ὁ δὲ Λουκᾶς φησὶν, ὅτι *Ἤκουσεν Ἡρώδης ὁ τετράρχης τὰ γινόμενα ὑπ' αὐτοῦ πάντα· καὶ διηπόρει, διὰ τὸ λέγεσθαι ὑπό τινων, ὅτι Ἰωάννης ἐγήγερται ἐκ νεκρῶν· ὑπό τινων δὲ, ὅτι Ἠλίας ἐφάνη· ἄλλων δὲ, ὅτι προφήτης εἷς τῶν ἀρχαίων ἀνέστη. Καὶ εἶπεν Ἡρώδης· Ἰωάννην ἐγὼ ἀπεκεφάλισα· τίς δὲ ἐστιν οὗτος, περὶ οὗ ἐγὼ ἀκούω τοιαῦτα; Καὶ ἐζήτει ἰδεῖν αὐτόν* (β).

Πῶς οὖν Ματθαῖος μὲν καὶ Μάρκος ἔγραψαν, ὅτι διεβεβαιοῦτο Ἡρώδης, αὐτὸν εἶναι τὸν Ἰωάννην· ὁ δὲ Λουκᾶς, ὅτι λεγόντων τοῦτό τινων, ὁ Ἡρώδης μᾶλλον εἶπε, μὴ εἶναι τοῦτον; *Ἰωάννην* γὰρ, φησιν, *ἐγὼ ἀπεκεφάλισα*. Καὶ λοιπὸν οὐκ ἔστιν Ἰωάννης. Τί οὖν ἐροῦμεν; Ὅτι ὑπολαβὼν, ἐκ νεκρῶν ἀναστῆναι τοῦτον, χαρίσματα θαυμάτων ἐκ θεοῦ λαβόντα διὰ τὴν ἄδικον αὐτοῦ σφαγὴν, πρὸς μὲν τοὺς τοῦτο λέγοντας, εἶπε, μὴ εἶναι τὸν Ἰωάννην, ἵνα μὴ προσδράμωσιν αὐτῷ, καὶ στασιάσωσι κατ' αὐτοῦ· πρὸς δὲ τοὺς οἰκέτας αὐτοῦ, θαῤῥεῖ τὸ μυστήριον· *παῖδας* γὰρ νῦν, τοὺς οἰκέτας εἶπεν ὁ εὐαγγελιστής· θαῤῥεῖ δὲ αὐτοῖς τοῦτο, σφόδρα δειλιάσας τοῦτον, ὡς

(α) Μάρκ. ς', 14.
(β) Λουκ. Θ', 7—9.

ἰσχυρότερον ἤδη γεγενημένον, καὶ σφοδρότερον αὐτὸν ἐλέγξοντα. Καὶ ὅρα θαυμαστόν! Ὁ φονεύσας φοβεῖται τὸν πεφονευμένον. Τοιοῦτον γὰρ ὁ κακός· φοβεῖται καὶ τοὺς νεκρούς· καὶ τοιοῦτον ὁ ἐνάρετος, φόβον ἐμποιῶν τοῖς ζῶσι καὶ μετὰ θάνατον. Παρεμπεσούσης δὲ τῆς κατὰ τὸν Ἰωάννην ὑποθέσεως, λοιπὸν ὁ εὐαγγελιστὴς διηγεῖται, πῶς ἀπέθανεν.

†† Οὗτος (1) ὁ Ἡρώδης, υἱὸς ἦν τοῦ τὰ βρέφη ἐν Βηθλεὲμ ἀποκτείναντος.

3 Ὁ γὰρ Ἡρώδης, κρατήσας τὸν Ἰωάννην, ἔδησεν
αὐτὸν, καὶ ἔθετο ἐν φυλακῇ, διὰ Ἡρωδιάδα τὴν
4 γυναῖκα Φιλίππου τοῦ ἀδελφοῦ αὐτοῦ. Ἔλεγε γὰρ
5 αὐτῷ ὁ Ἰωάννης· Οὐκ ἔξεστί σοι ἔχειν αὐτήν. Καὶ
θέλων αὐτὸν ἀποκτεῖναι, ἐφοβήθη τὸν ὄχλον, ὅτι
ὡς προφήτην αὐτὸν εἶχον.

Ὁ δὲ Μάρκος εἶπεν, ὅτι ἡ *Ἡρωδιὰς ἐνεῖχεν αὐτῷ*, τουτέστιν, ἐνεκότει αὐτῷ, καὶ ὅτι *ἤθελεν αὐτὸν ἀποκτεῖναι· καὶ οὐκ ἠδύνατο*. Εἶτα προσέθηκε καὶ τὴν αἰτίαν τοῦ μὴ δύνασθαι αὐτὴν ἀνελεῖν αὐτόν. Εἴρηκε γὰρ, ὅτι Ὁ *Ἡρώδης* (α) *ἐφοβεῖτο τὸν Ἰωάννην, εἰδὼς αὐτὸν ἄνδρα δίκαιον καὶ ἅγιον· καὶ συνετήρει αὐτόν·* καὶ ὅτι *ἀκούων αὐτοῦ, πολλὰ ἐποίει, καὶ ἡδέως αὐτοῦ ἤκουε*. Ταῦτα μὲν οὖν ἱστόρησεν ὁ Μάρκος. Εἰ δὲ εἰδὼς αὐτὸν ὁ Ἡρώδης ἄνδρα δίκαιον καὶ ἅγιον, συνετήρει αὐτὸν, πῶς εἴρηκεν ὁ Ματθαῖος, ὅτι ἤθελε μὲν αὐτὸν ἀποκτεῖναι, ἐφοβεῖτο δὲ τὸν ὄχλον; Καὶ εἰ πολλὰ ἐποίει, ὧν ὁ Ἰωάννης παρῄνει, καὶ εἰ ἡδέως αὐτοῦ ἤκουε παραινοῦντος; διὰ τί ἔδησεν αὐτὸν καὶ ἀπέκλεισε; Διότι, ἃ μὲν φησὶν ὁ Μάρκος, πρῶτον ἐγένοντο· ἃ δέ φησιν ὁ Ματθαῖος, ὕστερον ἐπεγένοντο.

(1) Ταῦτα μετηνέχθησαν ἐνταῦθα ἐκ τοῦ Θεοφυλάκτου Σελ. 80. Β.
(α) Μαρκ. ϛʹ, 19.

Πρῶτον γὰρ ἡ μὲν Ἡρωδιὰς ἐχαλέπαινε τῷ Ἰωάννῃ, καὶ ἤθελεν ἀνελεῖν αὐτόν· ὁ δὲ Ἡρώδης οὐ παρεχώρει, γινώσκων αὐτὸν δίκαιον καὶ ἅγιον· διὰ τοῦτο γὰρ καὶ ἀκούων αὐτοῦ, πολλὰ ἐποίει, καὶ ἡδέως αὐτοῦ ἤκουεν· ἐπεὶ δὲ ἐνέκειτο, σφοδρῶς ἐλέγχων αὐτὸν καὶ διασύρων, λοιπὸν, τοῦτο μὲν, ἐκνικηθεὶς ὑπὸ τῆς λύπης Ἡρώδης, τοῦτο δὲ, καὶ παρὰ τῆς Ἡρωδιάδος ἐκβιασθεὶς, μετέβαλε τὴν αἰδῶ πρὸς ὀργὴν, καὶ μὴ παυόμενον ὅλως, ἤθελεν αὐτὸν ἀνελεῖν· φοβηθεὶς δὲ τὸν ὄχλον, ἔδησε μὲν αὐτὸν ἀμυνόμενος, ἀπέκλεισε δὲ, ἵνα μὴ περιερχόμενος κωμῳδῇ αὐτόν. Ἐπετίμα δὲ αὐτῷ ὁ Ἰωάννης, ὡς παρανόμως ἔχοντι τὴν γυναῖκα τοῦ ἀδελφοῦ αὐτοῦ, κατὰ δύο αἰτίας· πρῶτον μὲν, ὅτι ζῶντος τοῦ ἀδελφοῦ αὐτοῦ βιαίως ἀφείλετο καὶ τὴν γυναῖκα αὐτοῦ καὶ τὴν τετραρχίαν· ἔπειτα, ὅτι καὶ θυγατέρα ἔχουσαν ἐξ ἐκείνου, ταύτην ἔγημεν, ἃ καὶ ἄμφω παράνομα. Καὶ γὰρ ὁ νόμος ἐκέλευε μὲν γῆμαι τὴν γυναῖκα τοῦ ἀδελφοῦ, ἀλλ' οὐκ ἔτι ζῶντος, οὐδὲ παιδίον ἔχουσαν.

6 Γενεσίων δὲ ἀγομένων τοῦ Ἡρώδου, ὠρχήσατο ἡ
θυγάτηρ τῆς Ἡρωδιάδος ἐν τῷ μέσῳ· καὶ ἤρεσε
7 τῷ Ἡρώδῃ. Ὅθεν μεθ' ὅρκου ὡμολόγησεν αὐτῇ
δοῦναι, ὃ ἐὰν αἰτήσηται.

Ὁ δὲ Μάρκος φησὶ, *Καὶ* (α) *ὡμολόγησεν αὐτῇ· Ὅτι ὃ ἐὰν με αἰτήσῃς, δώσω σοι, ἕως ἡμίσους τῆς βασιλείας μου. Γενεσίων δὲ ἀγομένων*, ἀντὶ τοῦ, τελουμένων. Ἔθος γὰρ ἦν τοῖς ἄρχουσιν ἑορτάζειν τὰ οἰκεῖα γενέθλια. Ὁμολόγησιν δὲ νῦν, τὴν ὑπόσχεσιν ὠνόμασεν. Ὦ πολλῆς ἀνοίας! Καὶ ὤμοσε δοῦναι, καὶ κυρίαν τῆς αἰτήσεως τὴν κόρην ἐποίησε, καὶ τὸ

(α) Μαρκ. ϛʹ, 23.—Παρὰ τῷ Μάρκῳ ἀναγινώσκεται, Καὶ ὤμοσεν αὐτῇ. Οὕτω καὶ παρὰ τῷ Χρυσοστόμῳ Τομ. Ζʹ. Σελ. 497. C. Καὶ παρ' αὐτῷ δὲ τῷ Εὐθυμίῳ εἰς τὸν Μάρκον.

ἥμισυ τῆς βασιλείας αὐτοῦ βραχείας ὀρχήσεως ἀπημπόλησεν!

8 Ἡ δὲ, προβιβασθεῖσα ὑπὸ τῆς μητρὸς αὐτῆς, Δός μοι, φησὶν, ὧδε ἐπὶ πίνακι τὴν κεφαλὴν Ἰωάννου τοῦ Βαπτιστοῦ.

Προβιβασθεῖσα, ἀντὶ τοῦ, διδαχθεῖσα. Φησὶν οὖν, *Δός μοι ὧδε*, τουτέστιν, ἐνταῦθα, ἐν τῷ συμποσίῳ. Ὁ δὲ Μάρκος εἰπεῖν αὐτὴν λέγει, ὅτι (α) *Θέλω, ἵνα μοι δῷς ἐξαυτῆς*, ὅ ἐστιν, αὐτίκα, εὐθύς. Καιρὸν γὰρ ἐπιτήδειον ἡ Ἡρωδιὰς εὑροῦσα, ὡς ἱστόρισε πάλιν ὁ Μάρκος, εἰπών· ὅτι *Καὶ γενομένης ἡμέρας εὐκαίρου* (β)· ἐπεὶ πρὸς αὐτὴν εἰσῆλθεν ἡ θυγάτηρ ἐρωτῶσα, τί αἰτήσεται· παρήγγειλεν αὐτίκα ἐν τῷ συμποσίῳ αἰτῆσαι δοθῆναι αὐτῇ τὴν κεφαλὴν Ἰωάννου, φοβηθεῖσα μὴ, τοῦ τηνικαῦτα καιροῦ παραδραμόντος, μεταμεληθῇ πάντως ὁ Ἡρώδης, ἀνανήψας τῆς μέθης, ἢ, (1) μὴ καὶ τῶν φίλων τινὲς παρακαλέσαντες (2), ἐλευθερώσωσι τὸν Ἰωάννην.

9 Καὶ ἐλυπήθη ὁ βασιλεύς·

Ἐλυπήθη, διότι ἔμελλε μέγαν ἀνελεῖν ἄνδρα, καὶ κινῆσαι πρὸς μῖσος ἑαυτοῦ τὸν ὄχλον.

9 Διὰ δὲ τοὺς ὅρκους καὶ τοὺς συνανακειμένους, ἐκέλευσε δοθῆναι.

Ὦ γυναικεῖον ἀνδράποδον! Ἐπιορκίας μὲν μάρτυρας ἔχειν ἐδειλίασας· παρανόμου δὲ σφαγῆς θεατὰς τοσούτους ἔχειν οὐκ ἐφοβήθης; Ἔδει γάρ σε μὴ προπετῶς ὀμόσαι· ἐπεὶ δὲ ἀπερισκέπτως ὤμοσας, κρεῖττον ἦν ἐπιορκῆσαι. Δύο γὰρ κακῶν τὸ κουφότερον αἱρετώτερον.

(α) Μαρκ. ς', 25.
(β) Μάρκ. ς', 21.
(1) Ἀπὸ κοινοῦ τὸ, φοβηθεῖσα.
(2) τὸν Ἡρώδην.

10 Καὶ πέμψας ἀπεκεφάλισε τὸν Ἰωάννην ἐν τῇ φυλακῇ.

Πέμψας (α) *σπεκουλάτωρα*, ἤτοι, δήμιον, ὡς εἶπεν ὁ Μάρκος, λάθρα τοῦτον ἀνεῖλεν, ἵνα μὴ καὶ ἀναιρούμενος δημοσιεύῃ τὴν ἀσελγῆ μίξιν αὐτοῦ, καὶ ἵνα μὴ τὸν ὄχλον ἔξῃ κωλύοντα. Ὁ δὲ Θεὸς ἠνέσχετο, ὁμοῦ μὲν, τὸν δίκαιον στεφανῶν μειζόνως· ὁμοῦ δὲ, τοῖς ἀδίκως πάσχουσι καταλιμπάνων παραμυθίαν.

11 Καὶ ἠνέχθη ἡ κεφαλὴ αὐτοῦ ἐπὶ πίνακι.

Ὦ μιαροῦ συμποσίου καὶ θηριώδους! Πῶς οὐκ ἰλιγγίασαν οἱ συνανακείμενοι θεάσασθαι κεφαλὴν ἀνθρώπου, θερμοῦ στάζουσαν αἵματος, ἐπὶ τὴν τράπεζαν αὐτῶν εἰσαγομένην, ὡς ἔδεσμα; πῶς οὐκ ἔφριξαν;

11 Καὶ ἐδόθη τῷ κορασίῳ·

Μισθὸς ἐναγὴς ἀναισχύντου πράξεως! Ὄντως τοιαύτης μητρὸς ἀξία θυγάτηρ! Ἅπαξ γὰρ τὴν παρθενικὴν αἰδῶ παρωσαμένη, καὶ ἐν ὀφθαλμοῖς τοσούτων ἀνδρῶν ἀσέμνως ἑαυτὴν θεατρίσασα, καὶ ποικίλως ἀσχημονήσασα (1), ψυχὴν ἀπάνθρωπον ἐκτήσατο, καὶ κατετόλμησεν ἅψασθαι πίνακος φόνου γέμοντος, καὶ οὐχ ἅψασθαι μόνον, ἀλλὰ καὶ, καθάπερ τι δῶρον ἥδιστον, διαβαστάσαι, καὶ χαριέντως ἀποκομίσαι τῇ μητρί.

11 Καὶ ἤνεγκε τῇ μητρὶ αὐτῆς.

Οὐκ ἠρκεῖτο γὰρ ἡ βδελυρὰ μήτηρ, ἀναιρεθέντος, ἀλλ' ἐδίψα καὶ λαβεῖν εἰς χεῖρας τὴν στηλιτεύουσαν τὴν ἀκολασίαν αὐτῆς κεφαλὴν, ὥστε ἐνυβρίσαι αὐτῇ καὶ ἐπιτωθάσαι. Τοιαῦταί εἰσιν αἱ μοιχευόμεναι γυναῖκες, ἁπάντων ἰταμώτεραι καὶ ὠμότεραι

(α) Μαρκ. ς', 27.
(1) Τοῖς τῆς ὀρχήσεως τρυφεροῖς καὶ ἀναιδέσι σχήμασιν.

καὶ ἀνοσιώτεραι! Σκόπει δὲ καὶ, ὅσα κακὰ διεπράξατο· κατῄσχυνε καὶ ἑαυτὴν, καὶ τὸν ἄνδρα αὐτῆς Φίλιππον, καὶ τὸν μοιχὸν Ἡρώδην, καὶ τὴν θυγατέρα· καὶ ἀνεῖλε μὲν τὸν κατήγορον τῆς μοιχείας, ἵνα μοιχευομένη λανθάνῃ τοὺς τότε μόνον· ἀνελοῦσα δὲ αὐτὸν, οὐ μόνον οὐκ ἔλαθεν ἐκείνους, ἀλλὰ καὶ τοῖς μεταγενεστέροις ἐδημοσιεύθη, καὶ μέχρι παντὸς ἐν ὅλῳ τῷ κόσμῳ δημοσιεύεται.

12 Καὶ προσελθόντες οἱ μαθηταὶ αὐτοῦ ἦραν τὸ σῶμα,
καὶ ἔθαψαν αὐτό·

Ο δὲ Μάρκος (α) τὸ *πτῶμα αὐτοῦ* φησὶ, *πτῶμα*, τὸ σῶμα καλέσας, διὰ τὸ πεσεῖν εἰς ἔδαφος μετὰ τὴν ἐκτομὴν τῆς κεφαλῆς.

12 Καὶ ἐλθόντες ἀπήγγειλαν τῷ Ἰησοῦ.

Λοιπὸν ἐνδεικνύμενοι τὴν πρὸς αὐτὸν εὔνοιαν. Ἔκαμψε γὰρ αὐτοὺς μᾶλλον ἡ συμφορά.

13 Καὶ ἀκούσας ὁ Ἰησοῦς, ἀνεχώρησεν ἐκεῖθεν ἐν
πλοίῳ εἰς ἔρημον τόπον κατ' ἰδίαν·

Ακούσας, ὅτι ἀνῃρέθη ὁ Ἰωάννης· καὶ γὰρ καὶ, ὅτε ἤκουσεν, ὅτι παρεδόθη εἰς τὸ δεσμωτήριον, ἀνεχώρησε· δι' ἣν δὲ αἰτίαν, εἰρήκαμεν ἐν τῷ τρίτῳ κεφαλαίῳ· καὶ ἵνα φυλάξῃ ἑαυτὸν εἰς τὸν πρέποντα τοῦ σταυροῦ καιρόν.

Τινὲς δὲ ἑρμηνεύουσιν, Ὅτι ἀκούσας, ὅτι προσεδόκησεν Ἡρώδης τὸν Ἰωάννην αὐτὸν εἶναι· καὶ γὰρ τὴν ἀναίρεσιν αὐτοῦ κατὰ παρενθήκην (1) μνημονευθῆναι νῦν, καὶ περατωθῆναι μέχρι τοῦ παρόντος ῥητοῦ τὴν διήγησιν αὐτῆς, εἶτα πάλιν ἀποκατασταθῆναι τὸν λόγον εἰς τὴν προτέραν ἀκολουθίαν αὐτοῦ.

(α) Μάρκ. ς, 29.

(1) Δηλαδὴ ἀπὸ στίχου 3 ἕως τέλους τοῦ 12.

Εἰκὸς δὲ αὐτὸν ἀκοῦσαι καὶ ἀμφότερα κατὰ τὸν τηνικαῦτα καιρὸν, καὶ ὑποχωρῆσαι δι' ἀμφότερα. Καὶ γὰρ καὶ τρίτην αἰτίαν τῆς τοιαύτης ἀναχωρήσεως ὁ Μάρκος ἱστόρισε, τὸ βούλεσθαι διαναπαῦσαι τοὺς μαθητὰς, ὑποστρέψαντας ἀπὸ τοῦ κηρύγματος. Εἴρηκε γὰρ οὕτως· «Καὶ (α) συνάγονται οἱ ἀπόστολοι πρὸς τὸν Ἰησοῦν, καὶ ἀπήγγειλαν αὐτῷ πάντα, καὶ ὅσα ἐποίησαν, καὶ ὅσα ἐδίδαξαν. Καὶ εἶπεν αὐτοῖς· Δεῦτε ὑμεῖς αὐτοὶ κατ' ἰδίαν εἰς ἔρημον τόπον, καὶ ἀναπαύεσθε ὀλίγον. Ησαν γὰρ οἱ ἐρχόμενοι καὶ οἱ ὑπάγοντες πολλοί· καὶ οὐδὲ φαγεῖν ηὐκαίρουν. Καὶ ἀπῆλθον εἰς ἔρημον τόπον τῷ πλοίῳ κατ' ἰδίαν». Ταῦτα μὲν οὖν ὁ Μάρκος.

Παραπλήσια δὲ λέγων καὶ ὁ Λουκᾶς, προστίθησι καὶ γνώρισμα τῆς ἐρήμου. Φησὶ γὰρ, ὅτι (β) *Καὶ παραλαβὼν αὐτοὺς, ὑπεχώρησε κατ' ἰδίαν εἰς τόπον ἔρημον πόλεως, καλουμένης Βηθσαϊδά.* Χρὴ δὲ γινώσκειν, ὅτι ἀνθρωποπρεπῶς ὁ Χριστὸς καὶ ἀκούει, καὶ ἀναχωρεῖ, καὶ οἰκονομεῖ τὰ καθ' ἑαυτόν. Ὡς γὰρ Θεὸς, καὶ ἐγίνωσκε πάντα, καὶ οὐκ ἐδεῖτο φυγῆς.

13 Καὶ ἀκούσαντες οἱ ὄχλοι, ἠκολούθησαν αὐτῷ πε-
ζῇ ἀπὸ τῶν πόλεων.

Ο δὲ Μάρκος φησὶν, ὅτι *Καὶ εἶδον αὐτοὺς ὑπάγοντας* (γ). Τινὲς μὲν γὰρ εἶδον αὐτοὺς, τινὲς δὲ ἤκουσαν τοῦτο παρὰ τῶν ἰδόντων, καὶ ἀκολουθοῦσι πεζῇ πάντες· τοιοῦτον γάρ ἐστι πόθος· πᾶν ἐμπόδιον διακρούεται.

14 Καὶ ἐξελθὼν ὁ Ἰησοῦς, εἶδε πολὺν ὄχλον· καὶ
ἐσπλαγχνίσθη ἐπ' αὐτοῖς, καὶ ἐθεράπευσε τοὺς
ἀῤῥώστους αὐτῶν.

Εἶδες τὸν πόθον, ὅρα καὶ τὸν μισθὸν αὐτοῦ. Καὶ οὐκ ἀπαιτεῖ

(α) Μάρκ. ς', 30—32.

(β) Λουκ. Θ', 10.

(γ) Μάρκ. ς', 33.

τούτους πίστιν· ἔδειξαν γὰρ ταύτην ἀκολουθοῦντες πεζῇ, δίχα τροφῆς εἰς ἔρημον τόπον. Μάρκος δὲ καὶ Λουκᾶς εἶπον, ὅτι *Καὶ ἤρξατο διδάσκειν αὐτοὺς πολλὰ, καὶ ὅτι ἐλάλει αὐτοῖς περὶ τῆς βασιλείας τοῦ θεοῦ* (α).

Πόθεν δὲ ἐξελθὼν ἰάσατο καὶ ἐδίδαξε; Πάντως ἀπὸ τοῦ ὄρους. Φησὶ γὰρ ὁ Ἰωάννης (β), ὅτι « Ἀπῆλθεν ὁ Ἰησοῦς πέραν τῆς θαλάσσης τῆς Γαλιλαίας, τῆς Τιβεριάδος. Καὶ ἠκολούθει αὐτῷ ὄχλος πολὺς, ὅτι ἑώρων αὐτοῦ τὰ σημεῖα, ἃ ἐποίει ἐπὶ τῶν ἀσθενούντων. Ἀνῆλθε δὲ εἰς τὸ ὄρος ὁ Ἰησοῦς, καὶ ἐκεῖ ἐκάθητο μετὰ τῶν μαθητῶν αὐτοῦ. » Προέλαβε γὰρ ἐν πλοίῳ μετὰ τῶν μαθητῶν, καὶ ἀνελθόντες εἰς τὸ ὄρος, διανεπαύοντο. Εἶτα ἐξῆλθε καὶ ἰάσατο καὶ ἐδίδαξεν.

ΚΕΦΑΛΑΙΟΝ ΚϚʹ.

Περὶ τῶν πέντε ἄρτων

15 Ὀψίας δὲ γενομένης, προσῆλθον αὐτῷ οἱ μαθηταὶ αὐτοῦ, λέγοντες· Ἔρημός ἐστιν ὁ τόπος, καὶ ἡ ὥρα ἤδη παρῆλθεν· ἀπόλυσον τοὺς ὄχλους, ἵνα ἀπελθόντες εἰς τὰς κώμας, ἀγοράσωσιν ἑαυτοῖς βρώματα·

Ἡ *μὲν ἡμέρα κλίνειν ἤρξατο* (γ), καθὼς εἶπε Λουκᾶς· αὐτοὶ δὲ παρέμενον ἄσιτοι, τοῦ τῆς ἀκροάσεως ἔρωτος νικῶντος τὴν ἀνάγκην τῆς πείνης. Ὁ δὲ Χριστὸς, διὰ τοῦτο βουλόμε-

(α) Μάρκ. ϛʹ, 34. Λουκ. Θʹ, 11.
(β) Ἰωάν. ϛʹ, 1—3.
(γ) Λουκ. Θʹ, 12.

νος θρέψαι παραδόξως αὐτοὺς, ὅμως ἀνέμεινε παρ' ἑτέρων λαβεῖν ἀφορμὴν, ἵνα μὴ δόξῃ ταῖς θαυματουργίαις ἐπιπηδᾷν· καὶ οὐκ ἐνταῦθα μόνον, ἀλλὰ καὶ πολλαχοῦ τοῦτο διατηρεῖ· καὶ μὴν καὶ, ἵνα πεινάσαντες πολλὴν αἴσθησιν τοῦ θαύματος λάβωσιν.

16 Ὁ δὲ Ἰησοῦς εἶπεν αὐτοῖς· Οὐ χρείαν ἔχουσιν ἀπελθεῖν· δότε αὐτοῖς ὑμεῖς φαγεῖν.

Οὐ *χρείαν ἔχουσιν*, ἀντὶ τοῦ, οὐκ ὀφείλουσιν. Οὐκ εἶπε δὲ, ὅτι Ἐγὼ θρέψω αὐτούς· τοῦτο γὰρ ἐδόκει κομπηρόν· ἀλλὰ τοὺς μαθητὰς προτρέπεται δοῦναι αὐτοῖς φαγεῖν, ἵνα τούτων προβαλομένων ἀπορίαν, τότε λοιπὸν ἐξ ἀνάγκης αὐτὸς ποιήσῃ τὸ ἑαυτοῦ.

Ἀλλὰ Ματθαῖος μὲν καὶ Μάρκος καὶ Λουκᾶς (α) λέγουσι, παρὰ τῶν μαθητῶν ὑπομνησθῆναι τὸν Χριστὸν περὶ τοῦ ἀπολῦσαι τοὺς ὄχλους, ἵνα ἀγοράσωσι τροφάς· ὁ δὲ Ἰωάννης φησὶ (β), ὅτι «Ἐπάρας ὁ Ἰησοῦς τοὺς ὀφθαλμοὺς, καὶ θεασάμενος, ὅτι πολὺς ὄχλος ἔρχεται πρὸς αὐτὸν, λέγει πρὸς τὸν Φίλιππον· Πόθεν ἀγοράσομεν ἄρτους, ἵνα φάγωσιν οὗτοι; (Τοῦτο δὲ ἔλεγε πειράζων αὐτόν· αὐτὸς γὰρ ᾔδει, τί ἔμελλε ποιεῖν.) Ἀπεκρίθη αὐτῷ Φίλιππος· Διακοσίων δηναρίων ἄρτοι οὐκ ἀρκοῦσιν αὐτοῖς· ἵνα ἕκαστος αὐτῶν βραχύ τι λάβῃ». Ταῦτα μὲν οὖν ἱστόρησεν ὁ Ἰωάννης.

Εἰκὸς δὲ, πρῶτον μὲν ὑπομνησθῆναι παρὰ τῶν μαθητῶν· εἶτα εἰπεῖν αὐτοῖς· *Οὐ χρείαν ἔχουσιν ἀπελθεῖν· δότε αὐτοῖς ὑμεῖς φαγεῖν*· ἔπειτα ἐπᾶραι τοὺς ὀφθαλμοὺς, καὶ θεάσασθαι πολὺν ὄχλον ἕτερον ἐρχόμενον, καὶ τότε λοιπὸν ἀνθρωποπρεπῶς *πειράσαι* τὸν Φίλιππον, εἴτουν, δοκιμάσαι τοῦτον, εἰ

(α) Μάρκ. ϛʹ, 35. Λουκ. Θʹ, 12.
(β) Ἰωάν. ϛʹ, 5—7.

πιστεύει, δύνασθαι αὐτὸν διαθρέψαι πάντας. Ἐπείραζε δὲ αὐτὸν, ὡς ἀτελέστερον τηνικαῦτα τῶν ἄλλων· ἢ δι' αὐτοῦ καὶ πρὸς τοὺς ἄλλους ἀποτείνεται, πειράζων καὶ τούτους. Δῆλον τοίνυν, ὅτι ἃ μὲν εἶπον οἱ ἄλλοι εὐαγγελισταὶ, παρέδραμεν ὁ Ἰωάννης· ἃ δὲ παρέδραμον ἐκεῖνοι, ταῦτα οὗτος ἀπήγγειλεν.

17 Οἱ δὲ λέγουσιν αὐτῷ· Οὐκ ἔχομεν ὧδε, εἰ μὴ πέντε
ἄρτους καὶ δύο ἰχθύας·

Ἰωάννης δέ φησι (α), τὸν Ἀνδρέαν εἰπεῖν, ὅτι «*Ἔστι παιδάριον ἓν ὧδε, ὃ ἔχει πέντε ἄρτους κριθίνους, καὶ δύο ὀψάρια· ἀλλὰ ταῦτα τί ἐστιν εἰς τοσούτους;*» Πάντως δὲ τὸ παιδάριον ἐκεῖνο διεπώλει ταῦτα τοῖς μαθηταῖς· διὸ καὶ, ὡς ἤδη ἔχοντες αὐτὰ, ἀπεκρίθησαν, μὴ ἔχειν ἕτερον, εἰ μὴ ταῦτα μόνον. Οὕτω πάρεργα αὐτοῖς ἦσαν τὰ σωματικὰ, τῶν πνευματικῶν μᾶλλον ἀντεχομένοις. Οἱ δώδεκα γὰρ πέντε μόνοις ἄρτοις ἔμελλον τραφῆναι, καὶ τούτοις κριθίνοις.

18 Ὁ δὲ εἶπε· Φέρετέ μοι αὐτοὺς ὧδε.

Αὐτὸς μὲν προσέταξεν ἐνεχθῆναι τοὺς ἄρτους καὶ τοὺς ἰχθύας, διδάσκων, ὅτι χρὴ καὶ αὐτὰ τὰ ὀλίγα παρασχεῖν τοῖς δεομένοις, καὶ προτιμᾷν αὐτούς· αὐτοὶ δὲ, καίτοι πεινῶντες ὁμοίως, καὶ μηδὲν ἕτερον ἔχοντες, ὅμως ἀναντιῤῥήτως πείθονται.

19 Καὶ κελεύσας τοὺς ὄχλους ἀνακλιθῆναι ἐπὶ τοὺς
χόρτους·

Ὁ δὲ Μάρκος εἶπεν (β), ὅτι *Καὶ ἐπέταξεν αὐτοῖς ἀνακλιθῆναι* (1) *πάντας, συμπόσια συμπόσια, ἐπὶ τῷ χλωρῷ χόρτῳ*.

(α) Ἰωάν. ς', 8. 9.

(β) Μάρκ. ς', 29.

(1) Παρὰ τῷ Μάρκῳ: Καὶ ἐπέταξεν αὐτοῖς, ἀνακλῖναι πάντας. Τὸ, ἀνακλιθῆναι, ἐνταῦθα ἐλήφθη ἐκ τοῦ Ματθαίου.

Καὶ ἀνέπεσον πρασιαὶ πρασιαὶ, ἀνὰ ἑκατὸν, καὶ ἀνὰ πεντήκοντα. Συμπόσια συμπόσια λέγων, ἀντὶ τοῦ, συμπόσια διῃρημένα, τουτέστι, συναγωγὴν μὲν ἐνταῦθα, συναγωγὴν δὲ ἐκεῖ, συναγωγὴν δὲ ἀλλαχοῦ. Τὸ αὐτὸ δὲ δηλοῖ καὶ τὸ, *πρασιαὶ πρασιαί*. Εἶεν δ' ἂν καὶ ἑτέρως, συμπόσια μὲν, αἱ κυκλοειδεῖς συναγωγαί· πρασιαὶ δὲ, αἱ τετραγωνοειδεῖς. Τοιαῦται γὰρ αἱ τῶν κήπων πρασιαί. *Κλισίας* (α) δὲ ὁ Λουκᾶς ἐκάλεσε τὰ τοιαῦτα, ἀπὸ τοῦ κατακλιθῆναι στιχηδόν.

19 Λαβὼν τοὺς πέντε ἄρτους καὶ τοὺς δύο ἰχθύ-
ας, ἀναβλέψας εἰς τὸν οὐρανὸν, εὐλόγησε·

Ἀνέβλεψεν εἰς τὸν οὐρανὸν, τιμῶν τε τὸν πατέρα, καὶ δεικνύων, ὅτι οὐκ ἔστιν ἀντίθεος, καὶ διδάσκων, μὴ πρότερον ἅπτεσθαι τραπέζης, ἕως ἂν εὐχαριστήσωμεν τῷ Θεῷ, τῷ χορηγῷ τῆς τροφῆς, καὶ τὴν εὐλογίαν ταύτης οὐρανόθεν ἑλκύσωμεν. Θαυματουργεῖ τοίνυν, ποτὲ μὲν, κατ' ἐξουσίαν, ὡς Θεὸς, ποτὲ δὲ εὐχόμενος, διὰ τὰς προῤῥηθείσας αἰτίας, ἵνα μὴ σκανδαλίσῃ τοὺς πονηρούς.

19 Καὶ κλάσας, ἔδωκε τοῖς μαθηταῖς τοὺς ἄρτους, οἱ
δὲ μαθηταὶ τοῖς ὄχλοις·

Ἔδωκε *τοῖς μαθηταῖς*, τοῦτο μὲν, τιμῶν αὐτοὺς ὡς οἰκειοτέρους, τοῦτο δὲ καὶ, ἵνα μὴ ἐπιλάθωνται τοῦ θαύματος, εἰς ὃ διηκόνησαν αἱ χεῖρες αὐτῶν.

20 Καὶ ἔφαγον πάντες, καὶ ἐχορτάσθησαν·

Χορτάσας αὐτοὺς πρότερον πνευματικῆς τροφῆς, ἐν τῷ διδάσκειν, ὡς εἴρηται, καὶ λαλεῖν περὶ τῆς βασιλείας τοῦ Θεοῦ, νῦν χορτάζει τούτους καὶ σωματικῆς. Καὶ οὐ ταῦτα μόνον,

(α) Λουκ. Θ', 14.

ἀλλὰ παιδεύει αὐτοὺς πολλά· ἀπὸ μὲν τῆς ἐπὶ τῷ χόρτῳ κατακλίσεως, ταπεινοφροσύνην· ἀπὸ δὲ τοῦ μηδὲν πλέον ἄρτου καὶ ἰχθύος παρασχεῖν, ἐγκράτειαν· ἀπὸ δὲ τοῦ πᾶσι τὰ αὐτὰ διανεῖμαι, ἰσότητα.

20 Καὶ ἦραν τὸ περισσεῦον τῶν κλασμάτων, δώδεκα κοφίνους πλήρεις·

Τοὺς πέντε ἄρτους κλάσας ἔδωκε, τὰ κλάσματα δὲ τούτων ἐν ταῖς χερσὶ τῶν μαθητῶν ἐπληθύνοντο· καὶ τὸ θαῦμα ξένον. Οὐχ ἵστατο γὰρ μέχρι τοῦ κορεσθῆναι τὸν λαὸν, ἀλλὰ καὶ εἰς τὸ περισσεύειν ἐξεχεῖτο, καὶ τὸ περισσεῦον, δώδεκα κόφινοι γέμοντες, ἵνα καὶ οἱ δώδεκα ἀπόστολοι διαβαστάσωσι τοὺς κοφίνους, καὶ ὥσπερ τὰς χεῖρας, οὕτω καὶ τοὺς ὤμους ἕξουσι διακόνους καὶ μάρτυρας τοῦ τοιούτου θαύματος. Ὁ δὲ Μάρκος εἶπεν (α), ὅτι καὶ τοὺς δύο ἰχθύας ἐμέρισεν αὐτοῖς, καὶ ὅτι καὶ ἐκ τούτων ἦραν περισσεύματα.

21 Οἱ δὲ ἐσθίοντες ἦσαν ἄνδρες ὡσεὶ πεντακισχίλιοι, χωρὶς γυναικῶν καὶ παιδίων.

Τοῦτο καί αὔξησίς ἐστι τοῦ θαύματος, καὶ τῶν ὄχλων ἔπαινος, ὅτι μετὰ γυναικῶν καὶ παιδίων προσήδρευον· καὶ ἐπειδὴ πανοικὶ παρέμειναν, πανοικὶ καὶ τῆς εὐεργεσίας ἀπήλαυσαν.

ΚΕΦΑΛΑΙΟΝ ΚΖ΄.

Περὶ τοῦ ἐν θαλάσσῃ περιπάτου.

22 Καὶ εὐθέως ἠνάγκασεν ὁ Ἰησοῦς τοὺς μαθητὰς αὐ-

(α) Μάρκ. ς΄, 41. 43.

τοῦ ἐμβῆναι εἰς τὸ πλοῖον, καὶ προάγειν αὐτὸν εἰς τὸ πέραν, ἕως οὗ ἀπολύσῃ τοὺς ὄχλους.

Μὴ βουλομένους ἀποσπασθῆναι αὐτοῦ, ἠνάγκασεν αὐτοὺς ἐμβῆναι εἰς τὸ πλοῖον, *καὶ προάγειν*, ἤτοι, προλαμβάνειν αὐτὸν εἰς τὸ πέραν μέρος· προφάσει μὲν, ἵνα αὐτὸς ὑπολειφθεὶς, ἀπολύσῃ τοὺς ὄχλους· τῇ δ' ἀληθείᾳ, ἵνα, μεθ' ἑαυτῶν ἔχοντες τοὺς κοφίνους τῶν κλασμάτων, κατὰ σχολὴν, ἀπόντος αὐτοῦ, περιεργάσωνται τὰ κλάσματα, καὶ βεβαιωθῶσιν, ὅτι οὐ κατὰ φαντασίαν τὸ θαῦμα γέγονε. Διὰ τοῦτο γὰρ καὶ ἐπερίσσευσαν, καὶ ἔδει τοὺς μαθητὰς αὐτοῦ πληροφορηθῆναι μᾶλλον, ἅτε κοινοὺς διδασκάλους εἰς τὴν οἰκουμένην εἰσιέναι μέλλοντας. Μία μὲν αὕτη αἰτία τοῦ προπέμψαι τοὺς μαθητάς.

Δευτέρα δὲ, ὅτι ἐβούλετο μόνος εἰς τὸ ὄρος ἀνελθεῖν, ὡς δηλωθήσεται, διδάσκων ἐντεῦθεν, ὅτι χρὴ μήτε ἀναμίγνυσθαι διηνεκῶς τῷ πλήθει, μήτε φεύγειν ἀεὶ τὸ πλῆθος, ἀλλ' ἑκάτερον χρησίμως ποιεῖν. Λοιπὸν οὖν καὶ ἡμεῖς, ἀφέντες τὰς πόλεις καὶ τοὺς περισπασμοὺς αὐτῶν, πεζοὶ καὶ κοῦφοι τῷ Χριστῷ κατακολουθήσωμεν εἰς ἐρημίαν, εἴτουν ἠρεμίαν καὶ ἡσυχίαν, ὑπάγοντι, καὶ παραμείνωμεν αὐτῷ, διδάσκοντι τὰ σωτήρια, ἵνα νηστεύσαντες τῇ ἀποχῇ τῶν παθῶν, ἐμπλησθῶμεν τῆς θείας χάριτος.

23 Καὶ ἀπολύσας τοὺς ὄχλους, ἀνέβη εἰς τὸ ὄρος κατ' ἰδίαν προσεύξασθαι. Ὀψίας δὲ γενομένης, μόνος ἦν ἐκεῖ·

Χρήσιμον γὰρ ταῖς προσευχαῖς καὶ τὸ ὄρος, καὶ ἡ νὺξ, καὶ ἡ μόνωσις, ἡσυχίαν καὶ τὸ ἀπερίσπαστον καὶ γαλήνην παρέχοντα.

24 Τὸ δὲ πλοῖον ἤδη μέσον τῆς θαλάσσης ἦν, βασανιζόμενον ὑπὸ τῶν κυμάτων· ἦν γὰρ ἐναντίος ὁ ἄνεμος.

Πάλιν οἱ μαθηταὶ κλυδωνίζονται, καθὼς καὶ τὸ πρότερον.

Ἀλλὰ τότε μὲν, ἀτελεστέροις οὖσι συνῆν καὶ αὐτὸς εἰς παραμυθίαν, εἰ καὶ ἐκάθευδε· νῦν δὲ προκοψάντων ἄπεστιν, ἵνα, μηδαμόθεν ἔχοντες παραμυθίαν, καρτερικώτεροι γένωνται.

25 Τετάρτῃ δὲ φυλακῇ τῆς νυκτὸς ἀπῆλθε πρὸς αὐ-
τοὺς ὁ Ἰησοῦς, περιπατῶν ἐπὶ τῆς θαλάσσης.

Ὁ δὲ Μάρκος εἴρηκεν (α), ὅτι *Καὶ εἶδεν αὐτοὺς βασανιζομένους ἐν τῷ ἐλαύνειν*· ὁ δὲ Ἰωάννης (β), ὅτι ἤλασαν ὡς *σταδίους εἰκοσιπέντε ἢ καὶ τριάκοντα. Στάδιον* δέ ἐστι, τόπος ὀργυιῶν ἑκατόν. *Τετάρτην δὲ φυλακὴν* τῆς νυκτὸς ὠνόμασαν οἱ παλαιοὶ νυκτοφύλακες τῶν στρατοπέδων, τὸ τέταρτον μέρος τῆς νυκτὸς, ἤτοι τὰς τελευταίας τρεῖς ὥρας. Ἀφῆκε δὲ τοὺς μαθητὰς ὁ Χριστὸς ἐπὶ τοσοῦτον κλυδωνίζεσθαι, παιδεύων ἐγκαρτερεῖν τοῖς δεινοῖς, οἰκονομικῶς ἐπαγομένοις, καὶ μὴ ζητεῖν ταχεῖαν ἀπαλλαγήν· ἔτι δὲ καὶ, ἵνα πρὸ ὀφθαλμῶν τὸν θάνατον ἔχοντες, εἶτα παραδόξως ῥυσθέντες, ἐπιγνῶσιν, ὅτι θεός ἐστιν ὁ τούτους διασωσάμενος. Οὔπω γὰρ τελείαν εἶχον πληροφορίαν. Διὸ καὶ μετὰ τὴν ἀπαλλαγὴν προσεκύνησαν αὐτῷ, λέγοντες· *Ἀληθῶς θεοῦ υἱὸς εἶ.*

26 Καὶ ἰδόντες αὐτὸν οἱ μαθηταὶ ἐπὶ τὴν θάλασσαν
περιπατοῦντα, ἐταράχθησαν, λέγοντες· Ὅτι φάν-
τασμά ἐστι· καὶ ἀπὸ τοῦ φόβου ἔκραξαν.

Τὸν ἀπὸ τοῦ κλύδωνος φόβον ἕτερος διαδέχεται (1)· καὶ οὐκ ἔλυσε τοῦτον, ἕως (2) ἐδόκησαν, ἵνα γυμνασθῶσι φέρειν τὰς διαδοχὰς τῶν πειρασμῶν.

(α) Μαρκ. ϛʹ, 48.
(β) Ἰωαν. ϛʹ, 19.
(1) Παρὰ τῷ Α προστίθεται, φόβος.
(2) ἕως οὗ, παρὰ τῷ Α.

27 Εὐθέως δὲ ἐλάλησεν αὐτοῖς ὁ Ἰησοῦς, λέγων·
Θαρσεῖτε· ἐγώ εἰμι· μὴ φοβεῖσθε.

Ἐπεὶ οὐκ ἠδύναντο γνωρίσαι αὐτὸν ἀπὸ τοῦ προσώπου διὰ τὴν νύκτα, λοιπὸν τὴν γνώριμον φωνὴν αὐτοῖς ἐπαφίησι, λύουσαν ἀμφοτέρους τοὺς φόβους.

28 Ἀποκριθεὶς δὲ αὐτῷ ὁ Πέτρος, εἶπε· Κύριε, εἰ σὺ
29 εἶ, κέλευσόν με πρὸς σὲ ἐλθεῖν ἐπὶ τὰ ὕδατα. Ὁ
δὲ εἶπεν· Ἐλθέ.

Ἀφικνεῖσθαι πρὸς αὐτὸν ἐπάνω τῶν ὑδάτων ζητεῖ, προφάσει μὲν, εἰς διάπειραν τοῦ γνῶναι ἐντεῦθεν, εἰ αὐτός ἐστιν ὁ Χριστός· τῇ δ' ἀληθείᾳ, ἐνωτισθεὶς τὴν φωνὴν αὐτοῦ, λίαν ἐχάρη, καὶ διαθερμανθεὶς γλίχεται πρὸ τῶν ἄλλων ἐντυχεῖν αὐτῷ.

29 Καὶ καταβὰς ἀπὸ τοῦ πλοίου ὁ Πέτρος, περιεπά-
30 τησεν ἐπὶ τὰ ὕδατα, ἐλθεῖν πρὸς τὸν Ἰησοῦν. Βλέ-
πων δὲ τὸν ἄνεμον ἰσχυρὸν, ἐφοβήθη· καὶ ἀρξάμενος
καταποντίζεσθαι, ἔκραξε, λέγων· Κύριε, σῶσόν με.

Τὴν μὲν θάλασσαν οὐκ ἐδειλίασε, καίτοι μαινομένην, ἀλλὰ πιστεύσας τῇ δυνάμει τοῦ κελεύσαντος, θαῤῥαλέως ἐπέβη τῶν κυμάτων, καὶ ὀρθὸς ἐβάδιζε· τὸν ἄνεμον δὲ μᾶλλον ἐφοβήθη, μήποτε περιτρέψῃ αὐτόν. Τοιοῦτον γὰρ ἡ ἀνθρωπίνη φύσις. Πολλάκις τὰ μεγάλα κατορθοῦσα, μᾶλλον ἐν τοῖς ἐλάττοσιν ἐλέγχεται. Λοιπὸν οὖν, ἀσθενησάσης τῆς πίστεως, μεθ' ἧς κατετόλμησε τῶν κυμάτων, ἀφῆκεν αὐτὸν ἡ χάρις αὐτῆς, ἡ κουφίζουσα τοῦτον, καὶ κατεποντίζετο.

31 Εὐθέως δὲ ὁ Ἰησοῦς ἐκτείνας τὴν χεῖρα, ἐπελά-
βετο αὐτοῦ, καὶ λέγει αὐτῷ· Ὀλιγόπιστε, εἰς τί
ἐδίστασας;

Ταῦτα ὀνειδίσας αὐτῷ, ἔδειξεν, ὅτι οὐχ ἡ τοῦ ἀνέμου βία

τοῦτον κατέβαλεν, ἀλλ' ἡ *ὀλιγοπιστία*, τουτέστιν, ἡ ἀσθένεια τῆς ῥηθείσης πίστεως. *Ὀλιγόπιστον* οὖν αὐτὸν ἐκάλεσεν, ὡς ἀποβαλόντα πολύ τι μέρος αὐτῆς ἐν τῷ φοβηθῆναι τὸν ἄνεμον. Λέγει τοίνυν αὐτῷ· *Διὰ τί ἐδίστασας;* ἤγουν, Διὰ τί πρῶτον μὲν ἐθάῤῥησας, ὕστερον δὲ ἐδειλίασας; τοῦτο γὰρ ὠνόμασε *δισταγμόν*· ὁ γὰρ ἐνισχύων σε κατὰ τῶν κυμάτων, ἐνίσχυσεν ἄν σε καὶ κατὰ τοῦ ἀνέμου.

32 Καὶ ἐμβάντων αὐτῶν εἰς τὸ πλοῖον, ἐκόπασεν ὁ ἄνεμος.

Οὐκ εὐθὺς Ἐνέβησαν εἰς τὸ πλοῖον, ἀλλὰ καί, τοῦ ἀνέμου σφοδρῶς ἐγκειμένου, πολὺ διάστημα περιεπάτησαν ἔτι, πρὸς πληροφορίαν τοῦ Πέτρου, καὶ ἔλεγχον τῆς ὀλιγοπιστίας αὐτοῦ. Φησὶ γὰρ ὁ Ἰωάννης (α), ὅτι *ἤθελον λαβεῖν αὐτὸν εἰς τὸ πλοῖον, καὶ εὐθέως τὸ πλοῖον ἐγένετο ἐπὶ τὴν γῆν* (1), *εἰς ἣν ὑπῆγον*. Κἀντεῦθεν φανερόν, ὅτι πλησίον τῆς γῆς γενομένου τοῦ πλοίου, τότε λοιπὸν Ἐνέβησαν εἰς αὐτό.

33 Οἱ δὲ ἐν τῷ πλοίῳ, ἐλθόντες προσεκύνησαν αὐτῷ, λέγοντες· Ἀληθῶς θεοῦ υἱὸς εἶ.

Τὸ μέγεθος τοῦ θαύματος τελειοτέραν αὐτοῖς τὴν πίστιν ἐνέθηκε. Τοῦ γὰρ ἐπιτιμᾷν τῇ θαλάσσῃ μεῖζον τὸ περιπατεῖν ἐπ' αὐτῆς, καὶ μὴ μόνον αὐτὸν περιπατεῖν, ἀλλὰ καὶ ἑτέρῳ τοῦτο χαρίζεσθαι· καὶ μὴ ταῦτα μόνον, ἀλλὰ καὶ βίας ἀνέμου καταιγιζούσης, καὶ ἀναμοχλευούσης τὴν θάλασσαν. Ἀλλ' ὁ μὲν παρὼν εὐαγγελιστής φησιν, ὅτι κοινῇ πάντες ὡμολόγησαν θεοῦ υἱὸν εἶναι αὐτόν. Ὁ δὲ Μάρκος εἶπεν, ὅτι ἐθαύμασαν μέν, οὐ

(α) Ἰωάν. ς', 21.

(1) Παρὰ τῷ Ἰωάννῃ ἀναγινώσκεται, ἐπὶ τῆς γῆς, καθὼς καὶ παρὰ τῷ Εὐθυμίῳ εἰς τὸν Ἰωάννην. Σημαίνει δὲ ἡ Ἐπὶ ἐνταῦθα τὸ πλησίον. Ὁ Χρυσόστομος ἐν μὲν Τομ. Ζ'. Σελ. 515. C. γράφει, εἰς τὴν γῆν, ἐν δὲ Τομ. Η'. Σελ. 255. C. ἐγγὺς τῆς γῆς ἐγένετο.

συνῆκαν δέ· λέγει γάρ, ὅτι *Καὶ* (α) *λίαν ἐκ περισσοῦ ἐν ἑαυτοῖς ἐξίσταντο, καὶ ἐθαύμαζον. Οὐ γὰρ συνῆκαν ἐπὶ τοῖς ἄρτοις. Ἦν γὰρ αὐτῶν ἡ καρδία πεπωρωμένη*. Ἔστι δὲ ὁ νοῦς τῶν ῥητῶν τοιοῦτος, ὅτι ὑπερεξεπλήττοντο αὐτόν, ὡς ἄνθρωπον τοιαῦτα δυνάμενον· δέον μάλιστα προσκυνεῖν αὐτόν, ὡς θεὸν πάντα δυνάμενον. Ἐμφῆναι δὲ θέλων, ὅτι οὐδ' ἐπὶ τῇ προλαβούσῃ θαυματουργίᾳ τῶν ἄρτων μετέμαθον τὸ δέον, προσέθηκεν, ὅτι *οὐ συνῆκαν οὐδὲ ἐπὶ τοῖς ἄρτοις*. Ἐπήγαγε δὲ καὶ τὴν αἰτίαν τοῦ μὴ συνιέναι, εἰρηκώς, ὅτι *Ἦν ἡ καρδία αὐτῶν πεπωρωμένη*.

Λέγομεν δὲ ἡμεῖς, ἅμα μὲν τῷ ἐμβῆναι εἰς τὸ πλοῖον τὸν Ἰησοῦν, συνέβησαν, ἅπερ εἶπεν ὁ Μάρκος· εἶτα λυθείσης τῆς πωρώσεως, λοιπὸν γεγόνασιν, ἅπερ ἱστόρησεν ὁ Ματθαῖος. Χρὴ γὰρ γινώσκειν, ὅτι ποτὲ μὲν ἐκρατεῖτο ἡ καρδία τῶν μαθητῶν, καὶ οὐκ ἠδύναντο συνιέναι, ποτὲ δὲ ἀπελύετο, καὶ συνίεσαν· ἑκάτερον δὲ συνέβαινε κατὰ θειοτέραν οἰκονομίαν. Καὶ ἡμεῖς τοίνυν, ὅταν ἀρχώμεθα καταποντίζεσθαι τῷ κλύδωνι τῶν παθῶν, ἐπικαλεσώμεθα τὸν Ἰησοῦν, καὶ εὐθέως δώσει καὶ ἡμῖν χεῖρα βοηθείας, καὶ ἀνελκύσει ἡμᾶς.

34 Καὶ διαπεράσαντες, ἦλθον εἰς τὴν γῆν Γεννησαρέτ.

Ὁ δὲ Μάρκος εἶπεν, ὅτι *ἠνάγκασε* (β) *τοὺς μαθητὰς αὐτοῦ ἐμβῆναι εἰς τὸ πλοῖον, καὶ προάγειν εἰς τὸ πέραν πρὸς Βηθσαϊδά*· ὁ δὲ Ἰωάννης (γ), ὅτι *ἤρχοντο πέραν τῆς θαλάσσης εἰς Καπερναούμ*. Εἰσὶ δὲ καὶ ἡ Βηθσαϊδά, καὶ ἡ Καπερναούμ, ἐν τῇ γῇ Γεννησαρέτ· λίμνη δὲ ἡ Γεννησαρέτ, ἡνωμένη τῇ Τιβεριάδι.

(α) Μάρκ. ς', 51.
(β) Μάρκ. ς', 45.
(γ) Ἰωάν. ς', 17.

35 Καὶ ἐπιγνόντες αὐτὸν οἱ ἄνδρες τοῦ τόπου ἐκείνου,
ἀπέστειλαν εἰς ὅλην τὴν περίχωρον ἐκείνην· καὶ
προσήνεγκαν αὐτῷ πάντας τοὺς κακῶς ἔχον-
36 τας· καὶ παρεκάλουν αὐτὸν, ἵνα μόνον ἅψωνται
τοῦ κρασπέδου τοῦ ἱματίου αὐτοῦ· καὶ ὅσοι ἥψαν-
το, διεσώθησαν.

Εἶδες, πῶς κατὰ μικρὸν οἱ μαθηταὶ προέκοψαν; ὅρα καὶ τὸ πλῆθος. Οὐκ ἔτι γὰρ αὐτὸν εἰς τὰς οἰκίας ἕλκουσιν, οὐδὲ χεῖρας ἐπιθεῖναι ζητοῦσιν, οὐδὲ πρόσταγμα διὰ ῥήματος αἰτοῦσιν, ἀλλ' ὑψηλότερον πολλῷ καὶ θεοπρεπέσσερον ἐπισπῶνται τὴν θεραπείαν. Ἡ γὰρ αἱμόῤῥους πλείονα πίστιν αὐτοῖς ἐνέθηκεν.

ΚΕΦΑΛΑΙΟΝ ΚΗ'.

Περὶ τῆς παραβάσεως τῆς ἐντολῆς τοῦ Θεοῦ.

ΚΕΦ. XV, 1 Τότε προσέρχονται τῷ Ἰησοῦ οἱ ἀπὸ
Ἱεροσολύμων Γραμματεῖς καὶ Φαρισαῖοι, λέγοντες·
2 Διὰ τί οἱ μαθηταί σου παραβαίνουσι τὴν παράδοσιν
τῶν πρεσβυτέρων; οὐ γὰρ νίπτονται τὰς χεῖρας
αὐτῶν, ὅταν ἄρτον ἐσθίωσιν.

Ἐν πάσαις μὲν ταῖς χώραις τῶν δώδεκα φυλῶν ἦσαν γραμματεῖς καὶ φαρισαῖοι· πονηρότεροι δὲ τῶν ἄλλων ἦσαν οἱ ἀπὸ Ἱεροσολύμων, ὡς τὴν μητρόπολιν οἰκοῦντες, καὶ διὰ τοῦτο τετυφωμένοι. Θεατάμενοι γὰρ τὴν μεγάλην τοῦ λαοῦ πίστιν, ἐσπούδασαν ἐλαττῶσαι αὐτήν· καὶ τῷ Χριστῷ μὲν οὐδέν τι μέμψασθαι δύνανται, τῶν μαθητῶν δὲ κατηγοροῦσιν, οὐ παρανομίαν, ἀλλὰ παράβασιν ἀνθρωπίνου παραγγέλματος. Τὸ

γὰρ μὴ ἐσθίειν πρὸ τοῦ νίψασθαι νόμος οὐ προσέταξε θεῖος, ἀλλ' οἱ πρεσβύτεροι τοῦ λαοῦ. Φησὶ γὰρ ὁ Μάρκος (α), ὅτι *οἱ φαρισαῖοι καὶ πάντες οἱ Ἰουδαῖοι, ἐὰν μὴ πυγμῇ νίψωνται τὰς χεῖρας, οὐκ ἐσθίουσι, κρατοῦντες τὴν παράδοσιν τῶν πρεσβυτέρων· καὶ ἀπὸ ἀγορᾶς, ἐὰν μὴ ῥαντίσωνται* (1), *οὐκ ἐσθίουσι. Καὶ ἄλλα πολλά ἐστιν, ἃ παρέλαβον κρατεῖν, βαπτισμοὺς ποτηρίων καὶ ξεστῶν καὶ χαλκίων καὶ κλινῶν.* Ταῦτα μέν, φησιν, ὁ Μάρκος. Ἔστι δὲ *πυγμῇ νίπτεσθαι*, τὸ νίπτεσθαι μέχρι τοῦ ἀγκῶνος. Ἐβάπτιζον δὲ τὰ ποτήρια καὶ τοὺς ξέστας καὶ τὰ χαλκία καὶ τὰς κλίνας, ἁγιάζειν οὕτω ταῦτα δοκοῦντες. Καὶ ἄλλα πολλὰ ἐκαινοτόμουν, τὸν μὲν νόμον παραβαίνοντες, τὰ καταγέλαστα δὲ ταῦτα παραφυλάττοντες. Οἱ μαθηταὶ δὲ πολλάκις ἀνίπτοις χερσὶν ἤσθιον, οὐκ ἐπιτηδεύοντες τοῦτο· πῶς γάρ; οἱ μηδὲν μηδέποτε τοιοῦτον παρατηροῦντες· ἀλλὰ μόνης τῆς ἀρετῆς φροντίζοντες, τὰ τῆς σωματικῆς χρείας περιεφρόνουν, ὡς μηδὲν εἰς ψυχὴν δυνάμενον βλάπτειν;

3 Ὁ δὲ ἀποκριθεὶς, εἶπεν αὐτοῖς· Διατί καὶ ὑμεῖς
παραβαίνετε τὴν ἐντολὴν τοῦ θεοῦ, διὰ τὴν παρά-
δοσιν ὑμῶν;

Οὐκ εἶπεν, ὅτι Καλῶς ποιοῦσι παραβαίνοντες, ἵνα μὴ δῷ τοῖς Ἰουδαίοις ἀφορμὴν φιλονεικίας· οὐδ' ὅτι Κακῶς ποιοῦσιν, ἵνα μὴ βεβαιώσῃ τὴν τοιαύτην παράδοσιν· οὐδὲ διαβάλλει τοὺς παραδόντας αὐτὴν, ἵνα μὴ ὡς ὑβριστὴν τοῦτον ἀποστραφῶσιν· ἀλλ' εὐθὺς ἀντεγκαλεῖ περὶ μείζονος ἁμαρτήματος, δεικνὺς, ὅτι τοὺς τὴν ἐντολὴν τοῦ θεοῦ παραβαίνοντας οὐ χρὴ μέμφεσθαι τοῖς παραβαίνουσιν ἀνθρώπων παράδοσιν. Εἶτα

(α) Μαρκ. Ζ', 3 — 4.

(1) Παρὰ τῷ Μάρκῳ γράφεται, βαπτίσωνται, ὡς γράφει καὶ ὁ Εὐθύμιος εἰς τὴν ἑρμηνείαν τοῦ Λουκ. ΙΑ, 38.

λέγει, καὶ ποίαν ἐντολὴν τοῦ θεοῦ παραβαίνουσι, καὶ διὰ ποίαν παράδοσιν αὐτῶν, καὶ εἰς μέσον φέρει μάλιστα τὴν ἐπιπολάζουσαν τότε παρανομίαν.

4 Ὁ γὰρ θεὸς ἐνετείλατο, λέγων· «Τίμα τὸν πατέρα
σου, καὶ τὴν μητέρα·» καί· «Ὁ κακολογῶν πατέρα
ἢ μητέρα, θανάτῳ τελευτάτω.»

Ἐν τῇ βίβλῳ τῆς Γενέσεως (1) καὶ ἄμφω αὗται αἱ ἐντολαὶ κεῖνται.

5 Ὑμεῖς δὲ λέγετε· Ὃς ἂν εἴπῃ τῷ πατρὶ ἢ τῇ μη-
τρί· Δῶρον, ὃ ἐὰν ἐξ ἐμοῦ ὠφεληθῇς·

Δυσχερὴς ἡ τῶν ῥητῶν τούτων ἔσται σύνταξις, εἰ μὴ προδιηγησόμεθα τὴν ὑπόθεσιν. Οἱ πρεσβύτεροι τῶν Ἰουδαίων ἐπαίδευσαν τοὺς νέους, ἐν προφάσει εὐσεβείας, καταφρονεῖν τῶν γονέων. Εἰ γάρ τις τῶν γονέων ἐζήτησε λαβεῖν ἀπὸ τῶν τοῦ υἱοῦ, πρόβατον ἢ μόσχον ἢ ἕτερόν τι, παρήγγελλον αὐτοῖς λέγειν, ὅτι *Δῶρόν ἐστι τῷ θεῷ, ὃ ἂν ἐξ ἐμοῦ ὠφεληθῇς*, τουτέστιν, Ἀφιέρωται τῷ θεῷ, ὃ ἂν ἐξ ἐμοῦ κερδανῇς. Καὶ οὕτως ἐδίδασκον αὐτοὺς ἀτιμάζειν τοὺς γονεῖς καὶ παρανομεῖν. Ἀτιμία γὰρ τὸ τοὺς παῖδας ἀπατᾷν τοὺς γονεῖς, καὶ παρανομία. Τούς τε γὰρ γονεῖς ἀπεστέρουν, προφάσει τοῦ θεοῦ, καὶ οὐδὲ τῷ θεῷ προσέφερον. Ἡ μὲν οὖν διήγησις τοιαύτη. Χρὴ δὲ λοιπὸν ἑρμηνεῦσαι καὶ τὰ ῥητά. *Ὑμεῖς δὲ λέγετε*, ἀντὶ τοῦ, ὑμεῖς ἑρμηνεύετε, ὑμεῖς διδάσκετε τὴν ἀπάτην τὸν ἄνθρωπον ἐκεῖνον, ὃς *ἂν εἴπῃ τῷ πατρὶ, ἢ τῇ μητρὶ, ὅτι Δῶρόν ἐστι τῷ θεῷ, ὃ ἂν ἐξ ἐμοῦ ὠφεληθῇς*, εἴτουν, ὃ ἂν ἐξ ἐμοῦ κερδᾶναι θέλῃς.

(1) Οὐχὶ τῆς Γενέσεως, ἀλλὰ τῆς Ἐξόδου Κεφ. Κ', 12. ΚΑ', 17. Καὶ ὁ Ἐντίνιος τῆς Ἐξόδου ἀνέγνωσεν.

[Τινὲς (1) δὲ ἐλλειπτικῶς τὸ ῥητὸν ἑρμηνεύοντες, φασὶν, ὅτι Ὁ μὲν θεὸς ἐνετείλατο τάδε καὶ τάδε· ὑμεῖς δὲ, ταῦτα ἀθετοῦντες, λέγετε, ὅτι Ὃς ἂν εἴπῃ τῷ πατρὶ ἢ τῇ μητρὶ, *Κορβᾶν*, ἤτοι, δῶρόν ἐστι τῷ θεῷ τὸ ζητούμενον, ἠλευθέρωται. Τοῦτο γὰρ λέγουσιν ἐλλείπειν, ὡς τοῖς Ἰουδαίοις γνώριμον, πρὸς οὓς εἴρηκε τὸν λόγον.]

5 Καὶ οὐ μὴ τιμήσῃ τὸν πατέρα αὐτοῦ, ἢ τὴν μητέρα
αὐτοῦ.

Καὶ ὁ τοιοῦτος ἄνθρωπος, ἀναίσχυντος τοῦ λοιποῦ γενόμενος, οὐκ ἔτι τιμήσει τοὺς γονεῖς αὐτοῦ.

6 Καὶ ἠκυρώσατε τὴν ἐντολὴν τοῦ θεοῦ διὰ τὴν
παράδοσιν ὑμῶν.

Προδήλως ἀποδείξας αὐτοὺς παρανομίας διδασκάλους, ἀπήλλαξε μέμψεως λοιπὸν καὶ τοὺς μαθητὰς αὐτοῦ, μὴ τηροῦντας τὴν παράδοσιν τῶν μὴ τηρούντων τὴν ἐντολὴν τοῦ θεοῦ.

7 Ὑποκριταὶ, καλῶς προεφήτευσε περὶ ὑμῶν Ἡσαΐας,

Ὑποκριτὰς αὐτοὺς εἶπεν, ὡς δοκοῦντας μὲν ἐννόμους, ὄντας δὲ παρανόμους. Ἄγει δὲ τὸν προφήτην (α) εἰς μέσον, πάλαι κατηγοροῦντα αὐτῶν, ἃ νῦν οὗτος κατηγόρησε, καὶ δείκνυσιν, ὅτι αὐτός ἐστιν ὁ κἀκεῖνα δι' ἐκείνου φθεγξάμενος.

8 Λέγων· «Ἐγγίζει μοι ὁ λαὸς οὗτος τῷ στόματι
αὐτῶν, καὶ τοῖς χείλεσί με τιμᾷ· ἡ δὲ καρδία αὐ-
9 τῶν πόῤῥω ἀπέχει ἀπ' ἐμοῦ. Μάτην δὲ σέβονταί με,
διδάσκοντες διδασκαλίας, ἐντάλματα ἀνθρώπων.»

Εἰπὼν, ὅτι *ἐγγίζει μοι τῷ στόματι*, ἐξηρμήνευσε τοῦτο προσθεὶς, ὅτι *Καὶ τοῖς χείλεσί με τιμᾷ·* θεὸν ὁμολογῶν με, καὶ

(1) Τὰ παρεντεθειμένα ἀναγινώσκονται ἐν τῷ περισελιδίῳ παρὰ τῷ Β.
(α) Ἡσ· ΚΘ', 13.

ποιητὴν, καὶ κύριον τοῦ παντός· ἡ δὲ καρδία αὐτῶν πόῤῥω διΐσταται ἀπ᾽ ἐμοῦ, μὴ πλησιάζουσα τοῖς ἐμοῖς θελήμασι. *Μάτην δὲ σέβονταί με*, μὴ τὰς ἐμὰς φυλάσσοντες ἐντολὰς, ἀλλὰ διδάσκοντες διδασκαλίας, οὔσας ἐντάλματα ἀνθρώπων, καὶ οὐ τοῦ θεοῦ. Φοβηθῶμεν οὖν καὶ ἡμεῖς, ὁ τοῦ Χριστοῦ λαὸς, μὴ καὶ καθ᾽ ἡμῶν ταῦτα ῥηθείη.

10 Καὶ προσκαλεσάμενος τὸν ὄχλον, εἶπεν αὐτοῖς·

Ἐκείνους μὲν ἐπιστομίσας καὶ καταισχύνας ἀφῆκεν, ὡς ἀνιάτους· τρέπει δὲ τὸν λόγον πρὸς τὸν ὄχλον, ὡς ἀξιολογώτερον.

10 Ἀκούετε καὶ συνίετε.

Ἀκούετε, ὃ ἐρῶ, καὶ γνῶτε αὐτό. Λέγει δὲ τοῦτο, τιμῶν αὐτοὺς, ἵνα εὐπαράδεκτον γένηται τὸ ῥηθησόμενον.

11 Οὐ τὸ εἰσερχόμενον εἰς τὸ στόμα κοινοῖ τὸν ἄνθρωπον·

Κοινοῖ, ἀντὶ τοῦ, μιαίνει. Λέγει τοίνυν, ὅτι Οὐχ ὁ ἀπὸ τῶν ἀνίπτων χειρῶν ῥύπος, μετὰ τῶν βρωμάτων εἰσερχόμενος εἰς τὸ στόμα, μιαίνει τὸν ἄνθρωπον· οὐδὲ γὰρ ἅπτεται τῆς ψυχῆς· μόνον γὰρ μιαρὸν ἡ ἁμαρτία, βλάπτουσα τὴν ψυχήν. Ἡ μὲν οὖν πρόχειρος ἑρμηνεία τοῦ ῥητοῦ τοιαύτη.

Φασὶ δὲ καὶ ἄλλην ὑποκεκρύφθαι βαθυτέραν, ὅτι οὐδὲν παρὰ θεοῦ γενόμενον, φύσει μιαρόν ἐστι. Φησὶ γὰρ ὁ Μωϋσῆς· *Καὶ εἶδεν ὁ θεὸς τὰ πάντα, ὅσα ἐποίησε, καὶ ἰδοὺ, καλὰ λίαν* (α). Καὶ λέγουσι διὰ ταύτης τῆς βαθυτέρας τὴν τῶν βρωμάτων ἐκβάλλεσθαι παρατήρησιν, ἣν Ἰουδαῖοι παρεφυλάττοντο. Τοῦ γὰρ περὶ βρωμάτων νόμου συμβολικὴν θεωρίαν ἔχοντος, οἱ Ἰουδαῖοι μηδὲν ὑψηλὸν ἐννοεῖν δυνάμενοι, σωματικῶς πάντα καὶ κατὰ τὸ φαινόμενον ἐξελαμβάνοντο.

(α) Γεν. Α΄. 31.

11 Ἀλλὰ τὸ ἐκπορευόμενον ἐκ τοῦ στόματος, τοῦτο κοινοῖ τὸν ἄνθρωπον.

Ἐκπορεύεται ἐκ τοῦ στόματος, πᾶς λόγος· ἀλλὰ περὶ τοῦ πονηροῦ λέγει νῦν, ὃς ἔχει πηγὴν τὴν καρδίαν. Προϊὼν δὲ σαφηνίζει τὰ ἀσαφῶς ἐνταῦθα ῥηθέντα.

12 Τότε προσελθόντες οἱ μαθηταὶ αὐτοῦ, εἶπον αὐτῷ· Οἶδας, ὅτι οἱ Φαρισαῖοι, ἀκούσαντες τὸν λόγον, ἐσκανδαλίσθησαν;

Ποῖον λόγον; Δηλαδὴ τὸν λέγοντα, ὅτι *Οὐ τὸ εἰσερχόμενον εἰς τὸ στόμα κοινοῖ τὸν ἄνθρωπον*· ἀνέτρεπε γὰρ τὴν παράδοσιν τῶν πρεσβυτέρων.

13 Ὁ δὲ ἀποκριθεὶς, εἶπε· Πᾶσα φυτεία, ἣν οὐκ ἐφύτευσεν ὁ πατήρ μου ὁ οὐράνιος, ἐκριζωθήσεται.

Φυτείαν λέγει νῦν τὴν παράδοσιν τῶν πρεσβυτέρων, καὶ τὰ ἐντάλματα τῶν ἀνθρώπων.

14 Ἄφετε αὐτούς·

Ὡς ἀνιάτους. Διὰ τοῦτο γὰρ οὐδὲ ἐθεράπευσε τὸ σκάνδαλον αὐτῶν, εἰδὼς αὐτοὺς οὐδὲν ὠφεληθησομένους.

14 Ὁδηγοί εἰσι τυφλοὶ τυφλῶν.

Τυφλοὺς αὐτούς φησιν, ὡς πηρωθέντας τὸν τῆς ψυχῆς ὀφθαλμὸν ὑπὸ τοῦ ῥεύματος τῶν παθῶν, καὶ ὡς μὴ δυναμένους ἐνατενίζειν τῷ φωτὶ τῆς ἀληθείας. Καὶ μὴ τοῦτο μόνον, ἀλλὰ καὶ ὁδηγοὺς ὄντας τῶν πεπηρωμένων ὑπὸ τῆς ἀγνοίας τῶν γραφῶν. Μέγα μὲν γὰρ κακὸν τὸ, τυφλὸν εἶναί τινα· τὸ δὲ καὶ, τυφλὸν ὄντα, ὁδηγεῖν ἕτερον, διπλοῦν ἄρα κακόν.

14 Τυφλὸς δὲ τυφλὸν ἐὰν ὁδηγῇ, ἀμφότεροι εἰς βόθυνον πεσοῦνται.

Τοῦτο, *σαφές* ἐστιν.

15 Ἀποκριθεὶς δὲ ὁ Πέτρος, εἶπεν αὐτῷ· Φράσον ἡμῖν
τὴν παραβολὴν ταύτην.

Ὁ δὲ Μάρκος εἴρηκεν (α), ὅτι *Καὶ ὅτε εἰσῆλθεν εἰς οἶκον ἀπὸ τοῦ ὄχλου, ἐπηρώτησαν αὐτὸν οἱ μαθηταὶ αὐτοῦ περὶ τῆς παραβολῆς.* Τοῦ Πέτρου γὰρ προκαταρξαμένου, καὶ οἱ ἄλλοι συνεπηρώτησαν. *Παραβολὴν* δὲ καλοῦσιν Ἑβραῖοι, τὸ αἴνιγμα, τὸν σκοτεινὸν λόγον· καὶ ἐπεὶ εἶπεν ὁ Χριστὸς ἀνωτέρω, ὅτι *Τὸ ἐκπορευόμενον ἐκ τοῦ στόματος, τοῦτο κοινοῖ τὸν ἄνθρωπον·* εἶτα, καθά φησι Μάρκος (ϐ), ἐπήγαγεν, ὅτι ὁ *ἔχων ὦτα ἀκούειν, ἀκουέτω·* καὶ ἔδοξεν αὐτοῖς ἀσαφὴς ὁ λόγος, παραϐολὴν τοῦτον ὀνομάσαντες, ἐρωτῶσι περὶ τούτου.

16 Ὁ δὲ Ἰησοῦς εἶπεν· Ἀκμὴν καὶ ὑμεῖς ἀσύνετοί ἐστε;
Ἀκμὴν, ἀντὶ τοῦ, ἔτι. Κατ' ἐρώτησιν δὲ καὶ τοῦτο καὶ τὰ ἑξῆς.

17 Οὔπω νοεῖτε, ὅτι πᾶν τὸ εἰσπορευόμενον εἰς τὸ
στόμα, εἰς τὴν κοιλίαν χωρεῖ, καὶ εἰς ἀφεδρῶνα
ἐκϐάλλεται;

Ὁ δὲ Μάρκος εἰπὼν, ὅτι *Καὶ* (γ) *εἰς τὸν ἀφεδρῶνα ἐκπορεύεται*, προσέθηκεν, ὅτι *Καθαρίζον πάντα τὰ βρώματα*, τουτέστι, καθαρὰ ἀπολιμπάνον. Καὶ γὰρ ὁ δηλωθεὶς ῥύπος ἐξέρχεται εἰς τὸν ἀφεδρῶνα, καθαρὰ ἀφιεὶς ἔνδον πάντα τὰ βρώματα, ὅσα δηλαδὴ παρακατέσχεν ἡ φύσις.

[*Ἕδρα* (1) μὲν, τὸ μέρος τοῦ σώματος· *ἀφεδρὼν* δὲ, ὁ κοπρών.]

18 Τὰ δὲ ἐκπορευόμενα ἐκ τοῦ στόματος, ἐκ τῆς

(α) Μαρκ. Ζ', 17.
(ϐ) Μάρκ. Ζ', 16.
(γ) Μαρκ. Ζ', 19.
(1) Τὰ παρεντεθειμένα ἀναγινώσκονται ἐν τῷ περισελιδίῳ παρὰ τῷ Β.

καρδίας ἐξέρχεται, κἀκεῖνα κοινοῖ τὸν ἄνθρωπον.

Εἴρηκε γὰρ καὶ πρὸς τῷ τέλει τοῦ εἰκοστοῦ δευτέρου κεφαλαίου, ὅτι (α) *ἐκ τοῦ περισσεύματος τῆς καρδίας τὸ στόμα λαλεῖ.* Ἐνθυμούμεθα γὰρ πρῶτον ἐν τῇ καρδίᾳ, εἶτα τὸ ἐνθυμηθὲν ἐξάγομεν διὰ τοῦ στόματος· καὶ τὸ μὲν ἔξωθεν εἰσπορευόμενον, ἔξω πάλιν χωρεῖ· τὸ δὲ ἔσωθεν ἐκπορευόμενον, ἔσω πάλιν μένει, καὶ μιαίνει.

19 Ἐκ γὰρ τῆς καρδίας ἐξέρχονται διαλογισμοὶ πο-
νηροὶ, φόνοι, μοιχεῖαι, πορνεῖαι, κλοπαὶ, ψευδο-
μαρτυρίαι, βλασφημίαι.

Ὁ δὲ Μάρκος (ϐ) πλατύτερον ἀπαριθμεῖται καὶ ἕτερα, πλεονεξίαν, πονηρίαν, δόλον, ἀσέλγειαν, ὀφθαλμὸν πονηρὸν, ὑπερηφανίαν καὶ ἀφροσύνην. Συντόμως δὲ καὶ ἁπλῶς εἰπεῖν, *διαλογισμοὶ* μέν εἰσι πονηροὶ, τὰ βλαϐερὰ ἐνθυμήματα· ὁ δὲ φόνος, καὶ ἡ κλοπὴ, καὶ ἡ ψευδομαρτυρία, καὶ ἡ πλεονεξία, καὶ ὁ δόλος, καὶ ἡ ὑπερηφανία, γνώριμα· *μοιχεία* δέ ἐστι, τὸ εἰς τὴν ὕπανδρον ἀπελθεῖν· *πορνεία* δὲ, τὸ εἰς τὴν μὴ ἔχουσαν ἄνδρα· *βλασφημία* δὲ, τὸ ὑϐρίζειν τὸν θεὸν, ἢ ἀχαριστεῖν αὐτῷ ἢ μέμφεσθαι αὐτῷ· *πονηρία* δὲ, τὸ μελετᾷν (1) κατά τινος, ἢ ὑπολαμϐάνειν, ἃ μὴ χρὴ περὶ αὐτοῦ· *ἀσέλγεια* δὲ, ἡ ἀρσενοκοιτία, καὶ εἴ τι τοιοῦτον ἀκόλαστον· *ὀφθαλμὸν* δὲ *πονηρὸν* ἐνταῦθα λέγει, τὴν βασκανίαν· *ἀφροσύνη* δὲ κυρίως, τὸ μὴ εἰδέναι τὸν θεόν· *Εἶπε γάρ*, φησιν, *ἄφρων* (γ) *ἐν καρδίᾳ αὐτοῦ· Οὐκ ἔστι θεός.* Εἰσὶ δὲ καὶ ἕτεραι κακίαι μυρίαι· παρέλιπε δὲ νῦν ταύτας ὁ Χριστὸς, διὰ τὸ ἀρκεῖν τὰ

(α) Ματθ. ΙΒ', 34.
(ϐ) Μαρκ. Ζ', 22.
(1) κακὰ, ὡς καὶ παρὰ τῷ Ἐντενίῳ, τὸ ὁποῖον ἴσως παρελείφθη διὰ τὸ ἑπόμενον, κατά.
(γ) Ψαλμ. ΙΓ', 1.

ῥηθέντα πρὸς τὴν κἀκείνων διάγνωσιν. Ταῦτα δὲ πάντα ἐκ τῆς καρδίας εἶπεν ἐξέρχεσθαι· διότι τὰς ἀρχὰς ἐξ αὐτῆς ἔχουσιν. Ἀρχαὶ γὰρ τούτων, αἱ ἐνθυμήσεις, ἃς ἡ καρδία πηγάζειν εἴωθεν. Ἐπεὶ δὲ ἐκ τῆς καρδίας ἐξέρχονται, πάντως καὶ ἐκ τοῦ στόματος, ὅταν, ὑπερβλυσάντων (1) ἐν τῇ καρδίᾳ, δίκην πονηροῦ χυμοῦ, τὸ περιττεῦον ἐξεμεθῆναι βιάσηται.

20 Ταῦτά ἐστι τὰ κοινοῦντα τὸν ἄνθρωπον· τὸ δὲ ἀνίπτοις χερσὶ φαγεῖν, οὐ κοινοῖ τὸν ἄνθρωπον.

Μαθόντες ἤδη καὶ ἡμεῖς τὰ μιαίνοντα τὸν ἄνθρωπον, ταύτην ἄρα τὴν ῥυπαρίαν ἀποῤῥύψωμεν, τὴν κηλιδοῦσαν τὴν ψυχήν. Ἐὰν γὰρ ὅλοις ποταμοῖς τὸ σῶμα λούσῃς, οὐδὲν ὄφελος, ἀκαθάρτου μενούσης αὐτῆς, ἥτις ὕδατι δακρύων καὶ καθαρσίοις ἀρετῶν ἀπολούεται.

ΚΕΦΑΛΑΙΟΝ ΚΘ'.

Περὶ τῆς Χαναναίας.

21 Καὶ ἐξελθὼν ἐκεῖθεν ὁ Ἰησοῦς, ἀνεχώρησεν εἰς τὰ μέρη Τύρου καὶ Σιδῶνος.

Αὗται αἱ πόλεις τῶν Χαναναίων ἦσαν. Πῶς οὖν, τοῖς μαθηταῖς ἐντειλάμενος (α), εἰς ὁδὸν ἐθνῶν μὴ ἀπελθεῖν, αὐτὸς ἄπεισιν; Οὐκ ἀπῆλθε κηρύξων· εἰς τοῦτο γὰρ καὶ τοὺς μαθητὰς ἐκώλυσεν· ἀλλὰ θέλων ἀδειάσαι (2) μικρόν. Διὸ καὶ μετὰ

(1) Νοεῖται τὸ, αὐτῶν.
(α) Ματθ. Ι', 5.
(2) Ἀδειάζειν τὸ ἄδειαν ἔχειν, ἐν ἀδείᾳ εἶναι-ζῆν. Ἐνταῦθα δὲ, ἄδειαν πραγμάτων, ἄδειαν τοῦ διδάσκειν ἔχειν.

τὸ ἀπελθεῖν, ὡς ὁ Μάρκος εἶπεν, *εἰσελθὼν εἰς οἰκίαν, οὐδένα ἤθελε γνῶναι· καὶ οὐκ ἠδυνήθη λαθεῖν* (α).

22 Καὶ ἰδοὺ, γυνὴ Χαναναία, ἀπὸ τῶν ὁρίων ἐκείνων ἐξελθοῦσα, ἐκραύγασεν, αὐτῷ λέγουσα·

Ὁ δὲ Μάρκος φησὶν (β), *Ἦν δὲ ἡ γυνὴ Ἑλληνὶς, Σύρα, Φοινίκισσα τῷ γένει*, τουτέστιν, Ἑλληνὶς μὲν, τὴν θρησκείαν· Σύρα δὲ, τῇ διαλέκτῳ· Φοινίκισσα δὲ, τῷ γένει, εἴτουν, τῷ ἔθνει. Φοίνικες γὰρ οἱ Χαναναῖοι ἐλέγοντο, διὰ τὸ μητρόπολιν ἔχειν τὴν Φοινίκην. Ἀκούσασα δὲ πάλαι μὲν τὴν φήμην αὐτοῦ, νῦν δὲ (1), ὅτι ἐπιδεδήμηκεν, ἀνίχνευσεν αὐτόν.

[(2) *Συροφοινίκισσά* (3) ἐστιν ἡ ἑκάστου ψυχὴ, ἔχουσα, καθάπερ θυγατέρα, τὴν διάνοιαν κεκρατημένην τῇ φιλίᾳ τῆς ὕλης, καὶ διὰ τοῦτο ἐπιληπτευομένην, καὶ διαῤῥησομένην.]

22 Ἐλέησόν με, Κύριε, υἱὲ Δαυΐδ· ἡ θυγάτηρ μου κακῶς δαιμονίζεται.

Τὴν θυγατέρα δαιμονιζομένην ἀπολιποῦσα, διὰ τὸ παντελῶς ἀναισθητεῖν, πρόσεισιν, ἑαυτὴν ἐλεηθῆναι μάλιστα δεομένη, τὴν αἰσθανομένην τῆς νόσου, καὶ διὰ τοῦτο μυρία πάσχουσαν. Υἱὸν δὲ Δαυΐδ αὐτὸν καλεῖ, διὰ τὸ μαθεῖν, ὅτι ἐκ Δαυΐδ κατάγει τὸ γένος. Πᾶσι γὰρ ὁ Δαυΐδ ὀνομαστότατος ἦν. *Κακῶς δέ*, φησι, *δαιμονίζεται*, ἀντὶ τοῦ, χαλεπῶς.

23 Ὁ δὲ οὐκ ἀπεκρίθη αὐτῇ λόγον.

Ἡ μὲν βοᾷ μεγάλα, τὸν ἐνδομυχοῦντα τῆς καρδίας πόνον ἐνδεικνυμένη· αὐτὸς δὲ σιγᾷ παντελῶς, ἀναμένων ἅπασαν

(α) Μαρκ. Ζ', 24.
(β) Μαρκ. Ζ', 26.
(1) ἀκούσασα.
(2) Τὰ παρεντεθειμένα ἀναγινώσκονται ἐν τῷ περισελιδίῳ παρὰ τῷ Β.
(3) Οὕτως ἀναγινώσκουσιν ἄλλοι.

φανερωθῆναι τὴν πίστιν, καὶ ταπείνωσιν, καὶ σύνεσιν αὐτῆς, ὅπερ διαφόρως εἴωθε ποιεῖν ἐν πολλοῖς· ἅμα δὲ καὶ ἀντεπιδεικνύμενος Ἰουδαίοις, οἵαν περὶ αὐτοὺς ἔχει διάθεσιν, ὅτι τοὺς μὲν ἀῤῥώστους αὐτῶν ἅπαξ αἰτηθεὶς, ἢ οὐδ' ἅπαξ, εὐθὺς θεραπεύει, τοὺς δὲ τῶν ἐθνῶν οὐχ οὕτως.

23 Καὶ προσελθόντες οἱ μαθηταὶ αὐτοῦ, ἠρώτων αὐτὸν, λέγοντες· Ἀπόλυσον αὐτὴν, ὅτι κράζει ὄπισθεν ἡμῶν.

Η*ρώτων*, ἀντὶ τοῦ, παρεκάλουν. Καὶ γὰρ καὶ ὁ Μάρκος εἴρηκε περὶ τῆς γυναικὸς (α), ὅτι *Καὶ ἠρώτα αὐτὸν, ἵνα τὸ δαιμόνιον ἐκβάλῃ ἐκ τῆς θυγατρὸς αὐτῆς*, ἤγουν, παρεκάλει. Τὸ γὰρ *ἐρωτῶ*, σημαίνει μὲν ὡς ἐπὶ τὸ πλεῖστον τὸ, πυνθάνεσθαι· σημαίνει δὲ καὶ τὸ, παρακαλῶ· ὡς τὸ (β), *Ἐρωτῶ σε, ἔχε με παρῃτημένον*. Ἔστι δ' ὅτε δηλοῖ καὶ τὸ, προστάσσω· ὡς τὸ, *Ἐμβὰς* (γ) *δὲ εἰς ἓν τῶν πλοίων, ὃ ἦν τοῦ Σίμωνος, ἠρώτησεν αὐτὸν ἀπὸ τῆς γῆς ἐπαναγαγεῖν ὀλίγον*. Ὡς διδάσκαλος γὰρ προσέταξεν· ἐπεὶ καὶ μετὰ μικρὸν ἐξουσιαστικῶς εἶπεν, *Ἐπανάγαγε εἰς τὸ βάθος* (δ).

24 Ὁ δὲ ἀποκριθεὶς, εἶπεν· Οὐκ ἀπεστάλην, εἰ μὴ εἰς τὰ πρόβατα τὰ ἀπολωλότα οἴκου Ἰσραήλ.

Ικανὴ μὲν καὶ ἡ σιωπὴ εἰς ἀπόγνωσιν ἐμβαλεῖν αὐτήν· ἡ δ' ἀπόκρισις πολλῷ πλέον τὴν ἀπορίαν ἐπέτεινεν· ἀπεκρίθη γὰρ, ὅτι Οὐκ ἀπεστάλην εἰς ἄλλους, εἰ μὴ εἰς τοὺς Ἰουδαίους· τούτους γὰρ ὠνόμασε *πρόβατα ἀπολωλότα οἴκου Ἰσραήλ*. Ἐπεὶ καὶ ἐν τῷ ἐννεακαιδεκάτῳ κεφαλαίῳ τοῖς ἀποστόλοις οὕτω πάλιν

(α) Μαρκ, Ζ', 26,
(β) Λουκ. ΙΔ', 18.
(γ) Λουκ. Ε', 3.
(δ) Λουκ. Ε', 4.

εἶπε· *Πορεύεσθε* (α) *δὲ μᾶλλον πρὸς τὰ πρόβατα τὰ ἀπολωλότα οἴκου Ἰσραήλ*. Τί οὖν ἡ γυνή; Θεασαμένη παροφθεῖσαν μὲν ἑαυτὴν, ἀποπεμφθέντας δὲ καὶ τοὺς ὑπὲρ αὐτῆς παρακαλέσαντας, οὐκ ἀπέγνω· πολλὴν γὰρ εἶχε πίστιν καὶ σύνεσιν· ἀλλ' ἀναισχυντεῖ καλὴν ἀναισχυντίαν, καὶ ἀφεῖσα τὸ κράζειν πόῤῥωθεν, ἐγγὺς ἔρχεται. Ἡμεῖς δὲ οὐχ οὕτως· ἀλλ' ὅταν μὴ τύχωμεν, ἀφιστάμεθα, δέον ἐγγύτερον προσελθεῖν, καὶ θερμότερον ἐπικεῖσθαι.

25 Ἡ δὲ ἐλθοῦσα προσεκύνει αὐτῷ, λέγουσα· Κύριε, βοήθει μοι.

Αχρι γὰρ τότε, οὐδ' εἰς ὄψιν αὐτοῦ τετόλμηκεν ἐλθεῖν, ἀναξίαν ἑαυτὴν κρίνουσα.

26 Ὁ δὲ ἀποκριθεὶς, εἶπεν· Οὐκ ἔστι καλὸν λαβεῖν τὸν ἄρτον τῶν τέκνων, καὶ βαλεῖν τοῖς κυναρίοις.

Οσον ἐπέτεινεν ἐκείνη τὴν αἴτησιν, τοσοῦτον καὶ αὐτὸς τὴν παραίτησιν. Ὁ δὲ Μάρκος φησὶν, ὅτι εἶπεν αὐτῇ· *Ἄφες* (β) *πρῶτον χορτασθῆναι τὰ τέκνα*. Πανταχόθεν γὰρ ἐδήλου τὴν τῶν Ἰουδαίων οἰκείωσιν, καὶ τὴν εἰς αὐτοὺς ἀγάπην καὶ τιμὴν καὶ κηδεμονίαν. Καὶ *τέκνα* μὲν αὐτοὺς ὠνόμασεν, ὡς γνησίους καὶ ὡς ἠγαπημένους· *κυνάρια* δὲ, τὰ ἔθνη, ὡς ἀκάθαρτα, καὶ ὡς μιαρά· *ἄρτον* δὲ λέγει, τὴν θεραπείαν, οὐ τὴν σωματικὴν μόνον, ἀλλὰ καὶ τὴν ψυχικήν. Καὶ ὅρα σύνεσιν γυναικός! Δραξαμένη γὰρ τῶν τοῦ Χριστοῦ ῥημάτων, ἀπ' αὐτῶν πλέκει συνηγορίαν ἑαυτῆς.

27 Ἡ δὲ εἶπε· Ναὶ, Κύριε· καὶ γὰρ τὰ κυνάρια ἐσθίει

(α) Ματθ. Ι', 6,
(γ) Μαρκ. Ζ', 27.

ἀπὸ τῶν ψιχίων τῶν πιπτόντων ἀπὸ τῆς τραπέζης τῶν κυρίων αὐτῶν.

Ναί, *Κύριε*, φησιν, ἀληθῶς εἶπας· τέκνα μὲν ἐκεῖνοι· κυνάριον δὲ ἐγώ· καὶ διὰ τοῦτό με χρὴ μᾶλλον ἐλεηθῆναι· *καὶ γὰρ τὰ κυνάρια ἀπὸ τῶν ψιχίων ἐσθίει τῶν πιπτόντων ἀπὸ τῆς τραπέζης τῶν κυρίων αὐτῶν*. Ἐπεὶ τοίνυν κυνάριόν εἰμι, οὐκ εἰμὶ ἀλλοτρία, οὐδὲ κωλύομαι τῶν ψιχίων μετασχεῖν, ὥσπερ οὐδὲ τὰ κυνάρια· ψιχίων νοουμένων, τῶν ἐκ τοῦ παρατυχόντος ἰάσεων. Τὸ μὲν οὖν μὴ ἀποστῆναι, τοσοῦτον ἐξουδενωθεῖσαν, πίστεως ἦν· τὸ δὲ συνομολογῆσαι κυνάριον ἑαυτήν, ταπεινώσεως· τὸ δ' ἀπὸ τῶν λόγων τοῦ Χριστοῦ κατασκευάσαι συνηγορίαν, συνέσεως. Διὰ ταῦτα τοίνυν ἀνεβάλετο τὴν ἴασιν ὁ Χριστός, ἵνα ταῦτα φανερωθῶσιν· ἵνα δείξῃ τὴν ἐν τούτοις φιλοσοφίαν αὐτῆς, ἵνα καταισχυνθῶσιν Ἰουδαῖοι, τοσοῦτον εἰς πίστιν καὶ ταπείνωσιν καὶ σύνεσιν ἡττώμενοι γυναικὸς ἐθνικῆς· ἵνα ταῦτα βλέποντες οἱ ἀπόστολοι, θαῤῥήσωσιν ὕστερον, ἀποστελλόμενοι πρὸς τὰ ἔθνη. Λοιπὸν οὖν ἀνεκήρυξεν αὐτὴν ὁ Χριστός.

28 **Τότε ἀποκριθεὶς ὁ Ἰησοῦς, εἶπεν αὐτῇ· Ὦ γύναι, μεγάλη σου ἡ πίστις· γενηθήτω σοι, ὡς θέλεις. Καὶ ἰάθη ἡ θυγάτηρ αὐτῆς ἀπὸ τῆς ὥρας ἐκείνης.**

Ὁ δὲ Μάρκος, εἰπεῖν τὸν Χριστὸν πρὸς αὐτήν φησιν, ὅτι (α) *Διὰ τοῦτον τὸν λόγον ὕπαγε· ἐξελήλυθε τὸ δαιμόνιον ἐκ τῆς θυγατρός σου*, τουτέστι, Διὰ τὸν λόγον, ᾧτινι πρὸς συνηγορίαν ἐχρήσω, συνετῶς ἄγαν. Καὶ γὰρ ὁ Σωτὴρ καὶ τὴν πίστιν αὐτῆς ἐπῄνεσε, καὶ τὴν σύνεσιν. Καὶ διὰ τοῦτο Ματθαῖος μὲν τὸν ἔπαινον τῆς πίστεως αὐτῆς ἔγραψε, Μάρκος δὲ τὸν τῆς συνέσεως.

(α) Μαρκ. Ζ΄. 29.

Σὺ δὲ σκόπει, πῶς τῶν ἀποστόλων δεηθέντων ὑπὲρ αὐτῆς, καὶ μηδὲν ἀνυσάντων, αὐτὴ μᾶλλον ἤνυσε. Διδασκόμεθα γὰρ ἐντεῦθεν, ὅτι ὁ Θεὸς βούλεται μᾶλλον ἡμᾶς αὐτοὺς ὑπὲρ ἑαυτῶν ἱκετεύειν. Οἱ μὲν γὰρ μαθηταὶ μείζονα παῤῥησίαν εἶχον, ἀλλ' ἡ γυνὴ πολλὴν καρτερίαν ἐπεδείξατο. Καὶ ὄντως μεγάλα δύναται προσεδρεία παρακλήσεως!

Προετύπου δὲ κατὰ ἀλληγορίαν ἡ Χαναναία αὕτη γυνή, τὴν ἐξ ἐθνῶν ἐκκλησίαν, ἥτις ἕως μὲν ἔμενεν ἐν τοῖς ὁρίοις τῆς θρησκείας αὐτῆς, εἶχε τὴν θυγατέρα δαιμονιζομένην, ἤγουν, τὴν πρᾶξιν κυριευομένην ὑπὸ δαιμόνων· ἐξελθοῦσα δὲ τῶν ὁρίων αὐτῆς· *Ἐπιλάθου* (α) γάρ, φησι, *τοῦ λαοῦ σου, καὶ τοῦ οἴκου τοῦ πατρός σου*· λόγου ἠξιώθη παρὰ Χριστοῦ, καὶ ἀπηλλάγη τῆς δυναστείας των δαιμόνων.

29 Καὶ μεταβὰς ἐκεῖθεν ὁ Ἰησοῦς, ἦλθε παρὰ τὴν θάλασσαν τῆς Γαλιλαίας· καὶ ἀναβὰς εἰς τὸ ὄρος, ἐκάθητο ἐκεῖ.

Ποτὲ μέν, αὐτὸς περιέρχεται θεραπεύων τοὺς κακῶς ἔχοντας, ποτὲ δέ, κάθηται περιμένων τοὺς χρῄζοντας θεραπείας· ἐκεῖνο μέν, δι' οἰκείαν ἀγαθότητα, τοῦτο δέ, δοκιμάζων τὴν πίστιν τῶν καμνόντων. Συνεχῶς δὲ εἰς ὄρος ἄνεισι, διὰ τὸ ὕψος τῆς ἑαυτοῦ θεότητος, καὶ παιδεύων ἐπαίρεσθαι χαμόθεν τοὺς πλησιάζειν τῷ Θεῷ θέλοντας.

ΚΕΦΑΛΑΙΟΝ Λ΄.

Περὶ τῶν θεραπευθέντων ὄχλων

30 Καὶ προσῆλθον αὐτῷ ὄχλοι πολοί, ἔχοντες μεθ'

(α) Ψαλμ. ΜΔ΄, 11.

ἑαυτῶν χωλούς, τυφλούς, κωφούς, κυλλούς, καὶ ἑτέρους πολλούς·

Κυλλοὶ κυρίως, οἱ ἄχειρες, ὡς ἐν τῷ λζ΄· Κεφαλαίῳ διαγνωσθήσεται.

30 Καὶ ἔῤῥιψαν αὐτοὺς παρὰ τοὺς πόδας τοῦ Ἰησοῦ· καὶ ἐθεράπευσεν αὐτούς.

Ὅρα, προκόπτουσαν τὴν πίστιν αὐτῶν. Οὐκ ἔτι γὰρ ἅπτονται τοῦ κρασπέδου τοῦ ἱματίου αὐτοῦ, ἀλλὰ ῥίπτονται μόνον πρὸ τῶν ποδῶν αὐτοῦ, καὶ παραχρῆμα θεραπεύει αὐτούς, οὐχ ὡς πιστοτέρους τῆς Χαναναίας, ἀλλ' ὡς Ἰουδαίους, ἐμφράττων τῶν ἀχαρίστων Ἰουδαίων τὰ στόματα, καὶ ἀποφαίνων αὐτοὺς μείζονος τιμωρίας ἀξίους. Ὁ γὰρ ἀχάριστος, ὅσον εὐεργετεῖται μεῖζον, τοσοῦτον γίνεται μείζονι κολάσει ὑπεύθυνος.

31 Ὥστε τοὺς ὄχλους θαυμάσαι, βλέποντας, κωφοὺς λαλοῦντας, κυλλοὺς ὑγιεῖς, χωλοὺς περιπατοῦντας, καὶ τυφλοὺς βλέποντας·

Ἐθαύμαζον, διά τε τὸ πλῆθος τῶν θεραπευομένων, καὶ διὰ τὸ τάχος τῆς θεραπείας.

31 Καὶ ἐδόξασαν τὸν θεὸν Ἰσραήλ.

Τὸν θεὸν Ἰσραήλ, τουτέστι, τὸν τιμώμενον ὑπὸ τῶν Ἰσραηλιτῶν.

ΚΕΦΑΛΑΙΟΝ ΛΑ΄.

Περὶ τῶν ἑπτὰ ἄρτων.

32 Ὁ δὲ Ἰησοῦς, προσκαλεσάμενος τοὺς μαθητὰς αὐτοῦ, εἶπε· Σπλαγχνίζομαι ἐπὶ τὸν ὄχλον, ὅτι ἤδη ἡμέρας τρεῖς προσμένουσί μοι, καὶ οὐκ ἔχουσι τί φάγωσι·

Ἡμέρας τρεῖς, ἀντὶ τοῦ, *ἡμέραις τρισί*. Θαυμαστὴ δὲ ἡ τοσαύτη τοῦ ὄχλου καρτερία. Διὰ τί δὲ σιγῶσιν οἱ μαθηταί, καὶ οὐχ, ὡς πρότερον, λέγουσιν, *Ἀπόλυσον τὸν ὄχλον*, καὶ ταῦτα τριῶν παρελθουσῶν ἡμερῶν; Διότι ἔβλεπον τοὺς προσκαρτεροῦντας χαίροντας ἐπὶ ταῖς ἀναῤῥώσεσι τῶν ἀσθενούντων, καὶ οὐδ' ὅλως αἰσθανομένους λιμοῦ.

Ἴσως δὲ καὶ μέχρι τῆς τρίτης ἡμέρας εἶχον ἐφόδια· διὸ καὶ τότε λοιπὸν ἐπὶ τὸ θαῦμα ἔρχεται, ὅτε κατέστησαν ἐν χρείᾳ τροφῆς. Τίνος δὲ ἕνεκεν πάλιν αὐτοὺς ἐν ἐρήμῳ τρέφει; Πάντως, ἵνα μὴ ἐκλυθῶσιν ἐν τῇ ὁδῷ, καθὼς αὐτὸς εἶπε προϊών, καὶ ἵνα βεβαιώσῃ τὸ σημεῖον τῶν προλαβόντων πέντε ἄρτων. Διατεθρύλλητο γὰρ παρὰ πᾶσιν, ὡς καινοφανές.

32 Καὶ ἀπολῦσαι αὐτοὺς νήστεις οὐ θέλω, μήποτε ἐκλυθῶσιν ἐν τῇ ὁδῷ.

Ὁ δὲ Μάρκος προσέθηκε· *Τινὲς* (α) *γὰρ ἐξ αὐτῶν μακρόθεν ἥκουσιν*. Ὅρα δὲ δεσπότου φιλανθρωπίαν! Εἰδὼς γὰρ τὴν ἀνθρωπίνην φύσιν δεομένην τροφῆς, προνοεῖται ταύτης, καὶ μὴ αἰτηθεὶς παρέχει τροφήν. Κοινολογεῖται δὲ πρὸς τοὺς μαθητάς, ἵνα ἀναμνησθέντες τοῦ θαύματος τῶν πέντε ἄρτων,

(α) Μάρκ. Η΄, 3.

προσενέγκωσιν αὐτῷ τοὺς ἄρτους, οὓς ἔχουσι, καὶ εἴπωσιν, ὅτι Πλήθυνον καὶ τούτους· ἀλλ᾽ οὐ συνῆκαν ἐκεῖνοι τὴν αἰτίαν τῆς ἐρωτήσεως· διὸ καὶ πάλιν τὰ τῆς ἀπορίας προβάλλονται.

33 Καὶ λέγουσιν αὐτῷ οἱ μαθηταὶ αὐτοῦ· Πόθεν ἡμῖν ἐν ἐρημίᾳ ἄρτοι τοσοῦτοι, ὥστε χορτάσαι ὄχλον τοσοῦτον;

[Ερημία (1) νοηθείη ἂν ἡ φύσις τῶν ἀνθρώπων, ἢ ὁ κόσμος οὗτος, ἐν ᾧ προσμένουσι τῷ λόγῳ τῆς ἀρετῆς καὶ γνώσεως οἱ διὰ τὴν πίστιν καὶ τὴν ἐλπίδα τῶν μελλόντων ἀγαθῶν κακοπαθοῦντες· *ἡμέραι δὲ τρεῖς*, αἱ τῆς ψυχῆς τρεῖς δυνάμεις, καθ᾽ ἃς προσμένουσι· τῷ μὲν λόγῳ, ζητοῦντες· τῇ ἐπιθυμίᾳ δὲ, ποθοῦντες τὸ ζητούμενον· τῷ θυμῷ δὲ, ὑπεραγωνιζόμενοι τοῦ ποθουμένου· ἢ οἱ τρεῖς γενικώτεροι νόμοι, ὁ φυσικὸς, ὁ μωσαϊκὸς, ὁ εὐαγγελικὸς, φωτίζοντες δίκην ἡμέρας, καὶ πρὸς ἐργασίαν τοῦ συμφέροντος διεγείροντες. Οἱ τοίνυν καὶ κατὰ τούτους τοὺς τρεῖς λόγους (2) τῷ θεῷ λόγῳ προσμείναντες, καὶ τοὺς ὑπὲρ ἑκάστου πόνους προθύμως ὑπομείναντες, οὐκ ἀπολύονται νήστεις, ἀλλὰ δέχονται τροφὴν δαψιλῆ καὶ θείαν· ὑπὲρ μὲν τοῦ φυσικοῦ νόμου, τὴν ἄπταιστον τῶν κατὰ φύσιν ἐνέργειαν· ὑπὲρ δὲ τοῦ γραπτοῦ, τὴν ἀνενεργησίαν τῶν παρὰ φύσιν παθῶν· ὑπὲρ δὲ τοῦ εὐαγγελικοῦ, τὴν πρὸς αὐτὸν τὸν θεὸν ἕνωσιν καὶ θέωσιν.]

Καὶ πρότερον, καὶ ὕστερον, ἐν ἐρημίᾳ, πόῤῥω πόλεων καὶ κωμῶν, τὸ θαῦμα τοῦτο ποιεῖ, ἵνα μὴ δόξῃ τοῖς ὄχλοις ἐκ πλησιαζούσης πόλεως ἢ κώμης τὰ βρώματα μετακομίζειν.

34 Καὶ λέγει αὐτοῖς ὁ Ἰησοῦς· Πόσους ἄρτους ἔχετε; Οἱ δὲ εἶπον· Ἑπτὰ, καὶ ὀλίγα ἰχθύδια.

Καὶ ἐπὶ τῶν πέντε ἄρτων τοῦτο ἠρώτησεν, ὡς εἶπεν ὁ Λου-

(1) Τὰ παρεντεθειμένα ἀναγινώσκονται ἐν τῷ περισελιδίῳ παρὰ τῷ Β.

(2) Ἴσως, νόμους, ὡς καὶ ἐκ τῶν ἑξῆς πιθανόν.

κᾶς (α)· καὶ οὐδ᾽ οὕτω συνῆκαν. Σὺ δὲ, εἰ καὶ κακίζεις τὴν τοσαύτην πώρωσιν αὐτῶν, ὅτι νεαροῦ ὄντος ἔτι τοῦ προφθάσαντος θαύματος, οὕτω ταχέως ἐπελάθοντο· ἀλλὰ θαύμασον τὸ φιλάληθες αὐτῶν, πῶς γράφοντες οὐ κρύπτουσι τὸ οἰκεῖον ἔγκλημα. Ἐννόησον δὲ καὶ, πῶς ἐκυρίευον τῆς γαστρός· ἐν ἐρημίᾳ γὰρ ὄντες, καὶ τρεῖς ἡμέρας διατρίβοντες, ἑπτὰ μόνους ἄρτους ἐπεφέροντο.

35 Καὶ ἐκέλευσε τοῖς ὄχλοις ἀναπεσεῖν ἐπὶ τὴν γῆν.
36 Καὶ λαβὼν τοὺς ἑπτὰ ἄρτους καὶ τοὺς ἰχθύας,
εὐχαριστήσας, ἔκλασε, καὶ ἔδωκε τοῖς μαθηταῖς
37 αὐτοῦ· οἱ δὲ μαθηταὶ τῷ ὄχλῳ. Καὶ ἔφαγον πάν-
τες, καὶ ἐχορτάσθησαν·

Ὅμοια τοῖς προτέροις καὶ λέγει καὶ ποιεῖ, ἵνα πανταχόθεν αὐτοὺς ἀναμνήσῃ τοῦ προτέρου θαύματος.

37 Καὶ ἦραν τὸ περισσεῦον τῶν κλασμάτων, ἑπτὰ σπυ-
38 ρίδας πλήρεις. Οἱ δὲ ἐσθίοντες ἦσαν τετρακισχί-
λιοι ἄνδρες, χωρὶς γυναικῶν καὶ παιδίων.

Πῶς ἐκεῖ μὲν δώδεκα κόφινοι ἐπερίσσευσαν, ἐνταῦθα δὲ σπυρίδες ἑπτὰ, δέον ἐνταῦθα μάλιστα πλεῖον περισσεῦσαι, ἔνθα καὶ πλείονες οἱ ἄρτοι καὶ ἐλάττονες οἱ ἐσθίοντες; Φησὶν ὁ Χρυσόστομος (1), ὅτι αἱ σπυρίδες ἴσως μείζους τῶν κοφίνων ἦσαν. Ἢ καὶ ἑτέρως· ᾠκονομήθη τὸ τοιοῦτον, ἵνα ἡ τοιαύτη τῶν περισσευμάτων διαφορὰ καὶ ἀνοικειότης, ἑκατέρου θαύματος μνήμην ἀνεξάλειπτον συντηρήσῃ.

Καὶ τρόπον ἕτερον πάλιν. Ἐκεῖ μὲν τοὺς κοφίνους ἰσαρίθ-

(α) Παρὰ τῷ Λουκᾷ Θ', 13. οὐδὲν τοιοῦτον εὑρίσκεται, ἀλλὰ παρὰ τῷ Μάρκῳ ς', 38. Ὅθεν γραπτέον, Μάρκος, ἀντὶ τοῦ, Λουκᾶς.

(1) Τόμ. Ζ'. Σελ. 539. Δ.

μους τοῖς ἀποστόλοις ἐποίησεν· ἐνταῦθα δὲ τὰς σπυρίδας ἰσαρίθμους τοῖς ἄρτοις· διδάσκων ἐντεῦθεν, ὅτι ῥᾷον αὐτῷ ποιεῖν, οἷα βούλεται.

Χρὴ δὲ λοιπὸν καὶ μυστικώτερον ἐπιθεωρῆσαι, περί τε τῶν πεντακισχιλίων ἐκείνων, καὶ περὶ τῶν τετρακισχιλίων τούτων. Πεντακισχίλιοι μέν εἰσιν, οἱ ἀτελέστεροι πρὸς ἀρετήν· τετρακισχίλιοι δὲ, οἱ τελειότεροι. Πολλοὶ μὲν γὰρ καὶ οὗτοι, κἀκεῖνοι· πλείονες δὲ ἀεὶ οἱ ἀτελέστεροι τῶν τελειοτέρων. Ἐσθίουσι δὲ κατὰ Χριστὸν, τουτέστι, νοοῦσι πνευματικῶς, οἱ μὲν ἀτελέστεροι, ἐλάττονα νοήματα, δι' ἀσθένειαν τοῦ νοῦ· οἱ δὲ τελειότεροι, πλείονα, δι' εὐσθένειαν. Περιττεύουσι δὲ, ἀπὸ μὲν τῶν ἀτελεστέρων, πλείονα, δι' ὀλιγοτροφίαν· ἀπὸ δὲ τῶν τελειοτέρων, ἐλάσσονα, διὰ πολυτροφίαν.

Ταῦτα μὲν οὖν εἰρήκαμεν ἡμεῖς ἁπλούστερον καὶ συνοπτικώτερον· ἄλλοι δὲ καθέντες ἑαυτοὺς εἰς λεπτολογίαν, πολλὴν ἐπεσύραντο σμικρολογίαν καὶ ἀηδίαν, οὐκ ἐπὶ τοῦ παρόντος μόνον, ἀλλὰ καὶ ἐν πολλοῖς ἄλλοις θεωρήμασιν, ἅπερ ἑκόντες, ὡς ὀχληρὰ, παρατρέχομεν.

39 Καὶ ἀπολύσας τοὺς ὄχλους, ἀνέβη εἰς τὸ πλοῖον.

Οὐκ ἀπῆλθε πεζεύων, ἵνα μὴ ἀκολουθοῦντες δοξάζωσιν αὐτόν.

39 Καὶ ἦλθεν εἰς τὰ ὅρια Μαγδαλά.

Μάρκος δέ φησιν (α), ὅτι *Καὶ εὐθέως ἐμβὰς εἰς τὸ πλοῖον μετὰ τῶν μαθητῶν αὐτοῦ, ἦλθεν εἰς τὰ μέρη Δαλμανουθά.* Καὶ ἀμφοτέρας γὰρ τὰς ἐπωνυμίας εἶχεν ἡ χώρα ἐκείνη.

ΚΕΦ. XVI, 1 Καὶ προσελθόντες οἱ Φαρισαῖοι καὶ

(α) Μαρκ. Η', 10.

Σαδδουκαῖοι, πειράζοντες ἐπηρώτησαν αὐτὸν, σημεῖον ἐκ τοῦ οὐρανοῦ ἐπιδεῖξαι αὐτοῖς.

Ἐπηρώτησαν, ἀντὶ τοῦ, παρεκάλεσαν, ὡς προειρήκαμεν. Σημεῖον δὲ ἐξ οὐρανοῦ ἐζήτουν ἰδεῖν, τερατουργούμενον ἢ περὶ τὸν ἥλιον, ἢ περὶ τὴν σελήνην, ἢ περὶ τοὺς ἀστέρας· ἐζήτουν δὲ τοῦτο, *πειράζοντες*· οὐ γὰρ, ἵνα πιστεύσωσιν, ἀλλ' ἵνα ἐπιλάβωνται αὐτοῦ, ὡς γόητος. Καὶ ἄλλοι δὲ πρὸ τούτων πειρασταὶ σημεῖον ἐξ οὐρανοῦ ἐζήτησαν ἀπ' αὐτοῦ, ὡς ἐν τῷ εἰκοστῷ τρίτῳ Κεφαλαίῳ προειρήκαμεν. Καὶ ζήτησον ἐκεῖ καὶ ἄλλην αἰτίαν.

2 Ὁ δὲ ἀποκριθεὶς εἶπεν αὐτοῖς·

Ὁ δὲ Μάρκος εἶπεν (α), ὅτι *Καὶ ἀναστενάξας τῷ πνεύματι αὐτοῦ, λέγει*, τουτέστιν, ἀποστενάξας ἀπὸ τοῦ πνεύματος, ἀπὸ τῆς ψυχῆς, ὃ λέγομεν ἡμεῖς, ἀπὸ βάθους, ἀπὸ καρδίας. Γνοὺς γὰρ αὐτοὺς πειράζοντας, ἀνεστέναξεν ἐπὶ τῇ ἀνιάτῳ πονηρίᾳ αὐτῶν, καὶ εἶπεν αὐτοῖς·

2 Ὀψίας γενομένης, λέγετε· Εὐδία· πυῤῥάζει γὰρ
3 ὁ οὐρανός. Καὶ πρωΐ· Σήμερον χειμών· πυῤῥάζει
γὰρ στυγνάζων ὁ οὐρανός. Ὑποκριταὶ, τὸ μὲν πρόσωπον τοῦ οὐρανοῦ γινώσκετε διακρίνειν, τὰ δὲ σημεῖα τῶν καιρῶν οὐ δύνασθε;

Ὑποκριτὰς αὐτοὺς ὠνόμασεν, οὐ μόνον ὡς ἄλλα μὲν λέγοντας, ἄλλα δὲ φρονοῦντας, ἀλλὰ καὶ ὡς δοκοῦντας μὲν σοφοὺς, ὄντας δὲ ἀσόφους. Λέγει τοίνυν, ὅτι τὴν μὲν ἐπιφάνειαν τοῦ οὐρανοῦ γινώσκετε διακρίνειν, πότε μὲν εὐδίαν δηλοῖ, πότε δὲ χειμῶνα· τὰ δὲ σημεῖα τῶν καιρῶν οὐ δύνασθε διακρίνειν; Εἰ γὰρ ἦτε σοφοὶ, ἐγινώσκετε ἂν, ὅτι ταυτὶ μὲν τὰ ἐν τῇ γῇ

(α) Μαρκ. Η', 12.

σημεῖα τοῦ παρόντος εἰσὶ καιροῦ· τὰ δὲ ἐξ οὐρανοῦ σημεῖα, τοῦ καιροῦ τῆς συντελείας εἰσί. Τότε (α) γὰρ *ὁ ἥλιος σκοτισθήσεται, καὶ ἡ σελήνη οὐ δώσει τὸ φέγγος αὐτῆς, καὶ οἱ ἀστέρες πεσοῦνται ἀπὸ τοῦ οὐρανοῦ.*

4 Γενεὰ πονηρὰ καὶ μοιχαλὶς σημεῖον ἐπιζητεῖ· καὶ σημεῖον οὐ δοθήσεται αὐτῇ, εἰ μὴ τὸ σημεῖον Ἰωνᾶ τοῦ προφήτου.

Ταῦτα εἶπεν ἀπαραλλάκτως καὶ ἐν τῷ εἰκοστῷ τρίτῳ Κεφαλαίῳ, καὶ ἡρμηνεύθησαν ἐν ἐκείνῳ. Σὺ δὲ αὐτῶν ὅρα τὴν πώρωσιν, ὅτι καὶ τὸν Ἰωνᾶν εἰδότες, καὶ τὰ παρόντα ῥητὰ καὶ πρότερον καὶ νῦν ἀκούσαντες, οὐκ ἠθέλησαν ἐρωτῆσαι, καὶ μαθεῖν, τί ἐστι τοῦτο τὸ σημεῖον, ὃ λέγει· πειρασταὶ γὰρ ἦσαν, ὡς εἴρηται. Διὸ καὶ αὐτὸς, ἀφεὶς αὐτοὺς, ἀνεχώρησεν.

4 Καὶ καταλιπὼν αὐτοὺς, ἀπῆλθε.

Ὁ δὲ Μάρκος φησὶν, ὅτι *Ἐμβὰς πάλιν εἰς πλοῖον, ἀπῆλθεν εἰς τὸ πέραν* (ϐ).

ΚΕΦΑΛΑΙΟΝ ΛΒʹ.

Περὶ τῆς ζύμης τῶν Φαρισαίων καὶ Σαδδουκαίων.

5 Καὶ ἐλθόντες οἱ μαθηταὶ αὐτοῦ εἰς τὸ πέραν, ἐπελάθοντο ἄρτους λαβεῖν.

[Ἀρκοῦντας (1) αὐτοῖς δηλονότι.]

(α) Ματθ. ΚΔʹ, 29.
(ϐ) Μαρκ. Ἡ, 13.
(1) Τὰ παρεντεθειμένα παραλείπονται παρὰ τῷ Α.

Ὁ δὲ Μάρκος εἶπεν, ὅτι *Καὶ εἰ μὴ ἕνα ἄρτον οὐκ εἶχον μεθ' ἑαυτῶν ἐν τῷ πλοίῳ* (α).

6 Ὁ δὲ Ἰησοῦς εἶπεν αὐτοῖς· Ὁρᾶτε καὶ προσέχετε ἀπὸ τῆς ζύμης τῶν Φαρισαίων καὶ Σαδδουκαίων.

Ὁ δὲ Μάρκος εἴρηκεν, ὅτι *Καὶ διεστέλλετο αὐτοῖς, λέγων· Ὁρᾶτε, βλέπετε ἀπὸ τῆς ζύμης τῶν Φαρισαίων, καὶ τῆς ζύμης Ἡρώδου* (ϐ). *Διεστέλλετο* μὲν οὖν, ἀντὶ τοῦ, παρήγγελλε· τὸ δὲ, *ὁρᾶτε, βλέπετε*, ἀναδίπλωσίς ἐστιν, ἐμφαίνουσα ἐπίτασιν τῆς παραγγελίας. Ζύμην δὲ λέγει Φαρισαίων καὶ Σαδδουκαίων καὶ Ἡρώδου, τὴν διδαχὴν τῶν Φαρισαίων καὶ Σαδδουκαίων καὶ Ἡρωδιανῶν. Προειρήκαμεν δὲ περὶ μὲν τῶν Φαρισαίων καὶ Σαδδουκαίων ἐν τῷ τρίτῳ κεφαλαίῳ· περὶ δὲ τῶν Ἡρωδιανῶν ἐν τῷ εἰκοστῷ πρώτῳ κεφαλαίῳ. *Ζύμην* δὲ, τὴν διδαχὴν αὐτὴν ἐκάλεσεν, ὡς ὀξώδη καὶ σαπράν.

7 Οἱ δὲ διελογίζοντο ἐν ἑαυτοῖς, λέγοντες· Ὅτι ἄρτους οὐκ ἐλάβομεν.

Ὁ μὲν Χριστὸς ζύμην, τὴν διδαχὴν τῶν εἰρημένων ὠνόμασε, καὶ ταύτης ἀπέχεσθαι παρήγγειλεν· οἱ μαθηταὶ δὲ ζύμην, τοὺς Ἰουδαϊκοὺς ἄρτους νοήσαντες, καὶ περὶ τῆς ἀποχῆς τούτων παραγγελθῆναι νομίσαντες, *διελογίζοντο ἐν ἑαυτοῖς*, τουτέστιν, ἐθορυϐοῦντο, κωλυθέντες μὲν ἀπὸ τῶν Ἰουδαϊκῶν ἄρτων, ὡς προσεδόκησαν· ἑτέρους δὲ μὴ ἐπιφερόμενοι, λέγοντες ἐν μεταμελείᾳ, Ὅτι ἄρτους οὐκ ἐλάβομεν ἐκ τῶν ξενοδοχούντων ἡμᾶς πιστῶν, ἵνα τούτοις τραφῶμεν, εἰ συμϐῇ χρονίσαι.

Τί οὖν ὁ Χριστὸς, ὁ τὰς διανοίας αὐτῶν εἰδώς; Μέμφεται αὐτοῖς εἰκότως δι' ἀμφότερα, διότι τε προσεδόκησαν παραγγελθῆναι περὶ τῆς τῶν βρωμάτων παρατηρήσεως, ἣν Ἰουδαϊ-

(α) Μαρκ. Ἡ, 14.
(ϐ) Μαρκ. Ἡ, 15.

κὴν οὖσαν, αὐτὸς ἐξέβαλεν ἀνωτέρω, ὅτε ἐδίδαξεν, ὅτι *Οὐ τὸ εἰσερχόμενον εἰς τὸ στόμα κοινοῖ τὸν ἄνθρωπον* (α)· καὶ διότι περὶ τροφῆς ἐμερίμνησαν, ἔχοντες μεθ' ἑαυτῶν τὸν χορηγὸν ἁπάσης τροφῆς.

8 Γνοὺς δὲ ὁ Ἰησοῦς, εἶπεν αὐτοῖς· Τί διαλογίζεσθε ἐν ἑαυτοῖς, ὀλιγόπιστοι, ὅτι ἄρτους οὐκ ἐλάβετε;

Πρῶτον τὴν μέριμναν τῆς τροφῆς αὐτοῖς ὀνειδίζει, λέγων· Τί θορυβεῖσθε, διότι ἄρτους ἑτέρωθεν οὐκ ἐλάβετε; *Ὀλιγοπίστους* δὲ πάλιν αὐτοὺς ὀνομάζει, διότι οὐκ ἐπίστευσαν, ὅτι παρ' αὐτοῦ τραφήσονται πάντως, ἀλλ' αὐτοὶ περὶ ἑαυτῶν ἐφρόντιζον.

9 Οὔπω νοεῖτε, οὐδὲ μνημονεύετε τοὺς πέντε ἄρτους τῶν πεντακισχιλίων, καὶ πόσους κοφίνους ἐλάβετε;
10 Οὐδὲ τοὺς ἑπτὰ ἄρτους τῶν τετρακισχιλίων, καὶ πόσας σπυρίδας ἐλάβετε;

Μάρκος δὲ, βαρύτερον ἐπιτιμῆσαι αὐτοῖς λέγει, προσθείς· ***Ἔτι πεπωρωμένην*** *ἔχετε τὴν καρδίαν ὑμῶν; Ὀφθαλμοὺς ἔχοντες οὐ βλέπετε; καὶ ὦτα ἔχοντες οὐκ ἀκούετε* (β); Οὐ βλέπετέ, φησι, πῶς καὶ πόσους ἐν ἐρημίᾳ τρέφω; Καὶ οὐκ ἀκούετε, περὶ ὧν διδάσκω; Καὶ διὰ τί μὴ τότε μᾶλλον ὠνείδισεν αὐτοῖς, ὅτε εἶπον (γ)· *Πόθεν ἡμῖν ἐν ἐρημίᾳ ἄρτοι τοσοῦτοι;* Διότι οὐκ ἦν εἰκὸς, καταισχύναι τούτους ἐνώπιον πολλῶν· ἅμα δὲ καὶ ἀνέμενεν, ἵνα, διπλοῦ τοῦ θαύματος γενομένου, βαρυτέρα καὶ δραστικωτέρα ἡ κατηγορία γένηται.

11 Πῶς οὐ νοεῖτε, ὅτι οὐ περὶ ἄρτου εἶπον ὑμῖν,

(α) Ματθ. ΙΕ, 11.
(β) Μαρκ. Η, 17. 18.
(γ) Ματθ. ΙΕ, 33.

προσέχειν ἀπὸ τῆς ζύμης τῶν Φαρισαίων καὶ Σαδδουκαίων;

Ἰδοὺ λοιπὸν, καὶ τὴν παρατήρησιν τῶν βρωμάτων αὐτοῖς ὀνειδίζει.

12 Τότε συνῆκαν, ὅτι οὐκ εἶπε προσέχειν ἀπὸ τῆς ζύμης τοῦ ἄρτου, ἀλλ' ἀπὸ τῆς διδαχῆς τῶν Φαρισαίων καὶ Σαδδουκαίων.

Εἶδες ἀγανάκτησιν ἐπιτεταμένην, ὅρα καὶ τὸν καρπὸν αὐτῆς. Διήγειρε γὰρ αὐτίκα τὴν διάνοιαν αὐτῶν καθεύδουσαν, καὶ συνῆκαν. Χρὴ γὰρ μὴ πανταχοῦ πρᾶον εἶναι τὸν διδάσκαλον, ἀλλ' ἔστιν ὅτε καὶ τραχύνεσθαι· καὶ ποτὲ μὲν, μεταδιδόναι παῤῥησίας τοῖς μαθηταῖς πρὸς ἀνάκτησιν, ποτὲ δὲ, ἐπιτιμᾷν πρὸς συστολήν· καὶ τῇ τοιαύτῃ ποικιλίᾳ τὴν σωτηρίαν αὐτῶν οἰκονομεῖν.

ΚΕΦΑΛΑΙΟΝ ΛΓ'.

Περὶ τῆς ἐν Καισαρείᾳ ἐπερωτήσεως.

13 Ἐλθὼν δὲ ὁ Ἰησοῦς εἰς τὰ μέρη Καισαρείας τῆς Φιλίππου, ἠρώτα τοὺς μαθητὰς αὐτοῦ, λέγων· Τίνα με λέγουσιν οἱ ἄνθρωποι εἶναι, τὸν υἱὸν τοῦ ἀνθρώπου;

Τὴν Καισάρειαν ταύτην ὁ Φίλιππος ἐπὶ τιμῇ τοῦ Καίσαρος ἔκτισεν. Ἦν δὲ καὶ ἄλλη Καισάρεια, ἡ τοῦ Στράτωνος. Πόῤῥω δὲ τῶν Ἰουδαίων ἀπαγαγὼν τοὺς μαθητὰς, ἠρώτησεν, ἵνα χωρὶς φόβου μετὰ παῤῥησίας εἴπωσιν, ὃ ἠρωτήθησαν. Οὐκ ἐρωτᾷ δὲ περὶ τῶν γραμματέων καὶ φαρισαίων· προδήλως γὰρ ἐκεῖνοι τοῦτον ὕβριζον· ἀλλὰ περὶ τοῦ δημώδους ὄχλου, τοῦ

χωρὶς φθόνου καὶ πονηρίας (1). Λέγει γὰρ ὁ Ἰωάννης (α), ὅτι *Καὶ ἐγένετο ἐν τῷ εἶναι αὐτὸν προσευχόμενον κατὰ μόνας, συνῆσαν αὐτῷ οἱ μαθηταί· καὶ ἐπηρώτησεν αὐτοὺς λέγων· Τίνα με λέγουσιν οἱ ὄχλοι εἶναι;* Ὁ δὲ Μάρκος εἶπεν, ὅτι *ἐν τῇ ὁδῷ ἐπηρώτησεν αὐτούς* (β). Εἰκὸς γὰρ, ἐλθόντα εἰς τὰ μέρη Καισαρείας, εὔχεσθαι ἅμα καὶ ὁδεύειν.

Τὸν υἱὸν δὲ τοῦ ἀνθρώπου, φησὶ, τουτέστι, τὸν φαινόμενον αὐτοῖς ἄνθρωπον. Ἠρώτησε δὲ, οὐχ ὡς ἀγνοῶν, ἀλλ' οἰκονομικῶς, ἵνα ὁ Πέτρος εἴπῃ τὸ ἀποκαλυφθὲν αὐτῷ, καὶ ἀποδοκιμασθῶσιν αἱ περὶ αὐτοῦ τῶν ἄλλων πάντων ὑπολήψεις, ὡς πεπλανημέναι. Καὶ γὰρ ἐγίνωσκεν, ὅτι ἀπεκάλυψεν ὁ θεὸς καὶ πατὴρ τῷ Πέτρῳ περὶ αὐτοῦ, διανοίξας τὸν νοῦν αὐτοῦ·

Σκόπει δὲ, πῶς οὐκ ἐν ἀρχῇ τοῦ κηρύγματος ἠρώτησεν, ἀλλὰ μετὰ τὸ ποιῆσαι πολλὰ καὶ μεγάλα σημεῖα, μετὰ τὸ διδάξαι περὶ πολλῶν καὶ μεγάλων, μετὰ τὸ παρασχεῖν ἱκανὰς ἀποδείξεις τῆς ἑαυτοῦ θεότητος, καὶ τῆς πρὸς τὸν πατέρα ἰσότητος.

14 Οἱ δὲ εἶπον· Οἱ μὲν, Ἰωάννην τὸν Βαπτιστήν· ἄλ-
λοι δὲ, Ἠλίαν· ἕτεροι δὲ, Ἱερεμίαν, ἢ ἕνα τῶν
15 προφητῶν. Λέγει αὐτοῖς· Ὑμεῖς δὲ τίνα με λέγετε
εἶναι;

Ὑμεῖς, φησὶν, οἱ συνόντες μοι διαπαντὸς, καὶ πολλὴν πεῖραν ἔχοντες τῆς ἐμῆς δυνάμεως ἐν ἔργῳ καὶ λόγῳ. Εἰπὼν οὖν αὐτοῖς· *Ὑμεῖς δὲ τίνα με λέγετε εἶναι;* δεδήλωκεν, ὅτι κακῶς οἱ ὄχλοι λέγουσιν.

(1) Λείπει ἐνταῦθά τι, οἷον τὸ, κρίνοντος.

(α) Γραπτέον, Λουκᾶς, ἀντὶ τοῦ, Ἰωάννης. Διότι ὁ Λουκᾶς Θ', 18. λέγει ὅ,τι ὁ Εὐθύμιος φέρει ἐνταῦθα τὸν Ἰωάννην λέγοντα.

(β) Μαρκ. Η', 27.

16 Ἀποκριθεὶς δὲ Σίμων Πέτρος εἶπε· Σὺ εἶ ὁ Χρι-
στὸς, ὁ υἱὸς τοῦ θεοῦ τοῦ ζῶντος.

Πάλιν ὁ Πέτρος, ὁ πανταχοῦ θερμὸς, προπηδᾷ, καὶ προλαμβάνει. *Τοῦ ζῶντος* δὲ εἶπε, διότι γέγραπται περὶ αὐτοῦ· *Θεὸς ζῶν* (α) *ἐγώ εἰμι·* καὶ· *Ζῶ ἐγὼ* (β), *λέγει Κύριος·* καὶ πολλὰ τοιαῦτα, πρὸς ἀντιδιαστολὴν τῶν νεκρῶν εἰδώλων.

17 Καὶ ἀποκριθεὶς ὁ Ἰησοῦς, εἶπεν αὐτῷ· Μακάριος
εἶ, Σίμων βὰρ Ἰωνᾶ· ὅτι σὰρξ καὶ αἷμα οὐκ ἀπεκά-
λυψέ σοι, ἀλλ' ὁ πατήρ μου, ὁ ἐν τοῖς οὐρανοῖς.

Καὶ μὴν καὶ πρότερον, μετὰ τὴν ζάλην, οἱ μαθηταὶ υἱὸν θεοῦ εἶναι αὐτὸν ὡμολόγησαν, εἰπόντες· *Ἀληθῶς* (γ) *θεοῦ υἱὸς εἶ·* καὶ οὐκ ἐμακαρίσθησαν. Καὶ ἄλλοι δέ τινες, θεὸν αὐτὸν ὑπάρχειν ἐπίστευσαν, ὡς προειρήκαμεν· ἀλλ' οὐδένα τούτων ἐμακάρισε. Τί οὖν ἐστιν εἰπεῖν; Ὅτι πάντες, ὅσοι υἱὸν θεοῦ εἶναι αὐτὸν ὡμολόγησαν, ἢ θεὸν ὑπάρχειν ἐπίστευσαν, οὐ φύσει καὶ κυρίως ταῦτα εἶναι αὐτὸν ὑπέλαβον, ἀλλὰ θέσει, καὶ κατὰ προκοπὴν ἀρετῆς, ὡς καὶ πάντας τοὺς ἁγίους· μόνος δὲ ὁ Πέτρος, ἀληθῶς Χριστὸν, καὶ φύσει καὶ κυρίως υἱὸν τοῦ θεοῦ τοῦτον ἐνόησε. Διὸ καὶ θέλων ὁ Χριστὸς δεῖξαι τοῖς μαθηταῖς, ὅτι μόνος οὗτος ὀρθῶς ἔγνω, καὶ ἀπλανῶς ὡμολόγησε, μακαρίζει τοῦτον, ὡς τετυχηκότα περὶ τούτου θείας ἀποκαλύψεως. *Σὰρξ γάρ*, φησι, *καὶ αἷμα*, τουτέστιν, ἄνθρωπος, οὐκ ἐμυσταγώγησέ σε τὴν περὶ ἐμοῦ ταύτην ὁμολογίαν, *ἀλλ' ὁ πατήρ μου*, ὡς ἄξιον τοιαύτης ἀποκαλύψεως. Τὸ δὲ, *βὰρ*, ἑβραϊκὸν μέν ἐστι, σημαίνει δὲ τὸν υἱόν· υἱὸς γὰρ ἦν ὁ Πέτρος Ἰωνᾶ τινος. Οὕτω γοῦν βεβαιώσας τὸ δόγμα τοῦ Πέτρου, καὶ θεοδίδακτον ἀποφήνας αὐτὸν, βλέπε, τίνων αὐτὸν ἀξιοῖ.

(α) Ἰησ. Γ', 10.

(β) Ἰεζεκ. ΙΗ', 3.

(γ) Ματθ. ΙΔ', 33.

18 Κἀγὼ δέ σοι λέγω, ὅτι σὺ εἶ Πέτρος, καὶ ἐπὶ ταύ-
τῃ τῇ πέτρᾳ οἰκοδομήσω μου τὴν ἐκκλησίαν.

Σὺ εἶ Πέτρος, ὡς μέλλων γενέσθαι πέτρα πίστεως, μετὰ τὴν ἄρνησιν, ἢ ὡς ἤδη στεῤῥὸς ὢν τῷ φρονήματι. Καὶ λοιπὸν ἐπὶ *ταύτῃ τῇ στεῤῥότητι οἰκοδομήσω μου τὴν ἐκκλησίαν*, ἤγουν, σὲ θήσω θεμέλιον τῶν πιστευόντων. Ἐκκλησία γὰρ οἱ πιστοί. Εἶπε δὲ τοῦτο διανιστῶν αὐτοῦ τὸ φρόνημα πρὸς ποιμαντικήν.

18 Καὶ πύλαι ᾅδου οὐ κατισχύσουσιν αὐτῆς.

Οὐ κατακυριεύσουσι τῆς ἐκκλησίας. Πύλας δὲ ᾅδου λέγει, τὰς παρὰ τῶν Ἑλλήνων καὶ τῶν αἱρετικῶν βλασφημίας, ὡς εἰσαγούσας εἰς κόλασιν αἰώνιον, ἢ τὰς παρ᾽ αὐτῶν τιμωρίας, ὡς εἰσαγούσας εἰς θάνατον τῆς σαρκός. Εἶτα καὶ ἑτέραν λέγει τιμήν.

19 Καὶ δώσω σοι τὰς κλεῖς τῆς βασιλείας τῶν οὐρανῶν·

Ὁμολογήσαντος τοῦ Πέτρου, υἱὸν τοῦ θεοῦ γνήσιον εἶναι αὐτὸν, δείκνυσιν αὐτῷ λοιπὸν τῆς ἑαυτοῦ θεότητος τὸ ἀξίωμα, λέγων· Οἰκοδομήσω ἐπί σοὶ τὴν ἐκκλησίαν μου, καὶ *δώσω σοι τὰς κλεῖς τῆς βασιλείας τῶν οὐρανῶν*, ἤγουν, τὸ εἰσάγειν εἰς αὐτήν· κλειδούχου γὰρ ἔργον τὸ εἰσάγειν.

Καὶ μὴν τὸ δῶρον τοῦτο καὶ τῶν ἄλλων ἀποστόλων γέγονεν· ἀλλὰ πρώτῳ τούτῳ δέδοται· διότι πρῶτος οὗτος υἱὸν τοῦ θεοῦ γνήσιον τὸν Χριστὸν εἶναι ἀνωμολόγησε· διὸ καὶ, μετὰ τὴν εἰς οὐρανοὺς ἀνάληψιν τοῦ Σωτῆρος, οὗτος ἐδίδαξε πρὸ πάντων μέχρι πολλοῦ, καὶ πολλοὺς εἰσήγαγεν.

19 Καὶ ὃ ἐὰν δήσῃς ἐπὶ τῆς γῆς, ἔσται δεδεμένον ἐν
τοῖς οὐρανοῖς· καὶ ὃ ἐὰν λύσῃς ἐπὶ τῆς γῆς, ἔσται
λελυμένον ἐν τοῖς οὐρανοῖς.

Καὶ τοῦτο τῆς κλειδουχίας ταύτης ἴδιον· καὶ *δῆσιν* μὲν λέγει, τὴν ἀσυγχωρησίαν· *λύσιν* δὲ, τὴν συγχώρησιν. Ὑπισχνεῖ-

ται δὲ, Ὃ ἂν ἁμάρτημα οὐ συγχωρήσῃς ἐπὶ τῆς γῆς, ἔσται ἀσυγχώρητον καὶ ἐν οὐρανῷ παρὰ τοῦ θεοῦ· καὶ ὃ ἂν συγχωρήσῃς ἐνταῦθα, ἔσται κἀκεῖ συγκεχωρημένον.

Ἀλλὰ Μάρκος (α) μὲν καὶ Λουκᾶς, συντομίας ἕνεκεν, τὴν ἀπόκρισιν τοῦ Πέτρου κατ᾽ ἐπιτομὴν εἰρήκασι· διὸ καὶ τὸν μακαρισμὸν αὐτοῦ, καὶ τὴν ἄλλην τιμὴν ἀπεσιώπησαν, ἅμα καὶ ἀφιλότιμον εἰδότες αὐτόν· ὁ δὲ Ματθαῖος, ἀκριβείας χάριν, ταῦτα πάντα ἱστόρισεν, ἅμα καὶ τιμῶν τὸν κορυφαῖον.

20 Τότε διεστείλατο τοῖς μαθηταῖς αὐτοῦ, ἵνα μηδενὶ
εἴπωσιν, ὅτι αὐτός ἐστιν ὁ Χριστός.

Ὁ δὲ Μάρκος εἶπεν (α), ὅτι *Καὶ ἐπετίμησεν αὐτοῖς, ἵνα μηδενὶ λέγωσι περὶ αὐτοῦ*· ὁ δὲ Λουκᾶς (ϐ), ὅτι *Ἐπιτιμήσας αὐτοῖς, παρήγγειλε μηδενὶ εἰπεῖν τοῦτο*. *Διεστείλατο* μὲν οὖν, ἀντὶ τοῦ, παρήγγειλεν· *ἐπετίμησε* δὲ, ἀντὶ τοῦ, κατησφαλίσατο, ἵνα μηδενὶ εἴπωσιν, ὅτι αὐτός ἐστιν ὁ Χριστὸς, ὁ φύσει υἱὸς δηλαδὴ τοῦ θεοῦ, καθὼς ὁ Πέτρος ὡμολόγησεν.

Ἀναγκαῖον μὲν γὰρ ἦν, ἀποκαλυφθῆναι τοῦτο παρ᾽ αὐτοῦ τοῦ πατρός· βεβαιωθῆναι δὲ παρ᾽ αὐτοῦ τοῦ υἱοῦ, πρὸ τοῦ θανάτου αὐτοῦ, καὶ γνωρισθῆναι μόνοις τοῖς μαθηταῖς, ὡς τελειοτέροις τῶν ὄχλων, καὶ ὡς κοινοῖς διδασκάλοις τῆς οἰκουμένης· τοὺς ὄχλους δὲ τοῦτο μαθεῖν, οὐκ ἐβούλετο νῦν, ἄχρι τῆς ἐκ νεκρῶν ἀναστάσεως αὐτοῦ, ἵνα μὴ, νῦν μαθόντες, ὅτι φύσει υἱός ἐστι τοῦ θεοῦ, καὶ φύσει θεός, εἶτα θεασάμενοι τοῦτον ἀτίμως ὑβριζόμενον καὶ δεινὰ πάσχοντα καὶ πικρῶς ἀναιρούμενον, σκανδαλισθῶσι, καὶ εἰς τὴν προτέραν ἀπιστίαν παλινδρομήσωσι, καὶ δυσανάκλητοι γένωνται.

Εἰ γὰρ καὶ τοὺς μαθητὰς ἐσκανδάλισε ταῦτα, τοὺς τελειο-

(α) Μαρκ. Η΄, 29. Λουκ. Θ΄, 20.
(ϐ) Μαρκ. Η΄, 30.
(γ) Λουκ. Θ΄, 21.

τέρους τῶν ὄχλων, καὶ οὐ ταῦτα μόνον ὁρώμενα, ἀλλὰ καὶ οἱ περὶ τούτων λόγοι προμηνυόμενοι· τί οὐκ ἂν ἔπαθον οἱ ἀτελεῖς ὄχλοι, τοιαῦτα βλέποντες, καὶ ἀγνοοῦντες τὸ τοῦ πάθους μυστήριον, ὅπερ καὶ αὐτοῖς τοῖς μαθηταῖς ἔτι δυσπαράδεκτον ἦν; Καὶ οὗτοι γὰρ, ὅτε μετὰ τὴν ἀνάληψιν τοῦ Σωτῆρος ἐπεφοίτησεν αὐτοῖς τὸ Πνεῦμα τὸ ἅγιον, τότε λοιπὸν θείας χάριτος πλησθέντες, καὶ τοὺς ἀνθρωπίνους λογισμοὺς ἀποθέμενοι, συνῆκαν τὰ μυστήρια πάντα, καὶ στεῤῥότεροι γεγόνασιν ἀδάμαντος. Ἄχρι δὲ τότε συνεχῶς ἐσκανδάλιζον αὐτοὺς πάντα τὰ ἀνθρωποπρεπῆ τοῦ Χριστοῦ.

Διὰ τοῦτο τοίνυν, ὡς εἴρηται, τότε μὲν οὐκ ἤθελε γνωσθῆναι τοῖς ὄχλοις, ὅτι φύσει υἱὸς τοῦ θεοῦ ἐστι, καὶ φύσει θεὸς, καὶ διαφόρως τοῦτο παρήγγειλε τοῖς μαθηταῖς· ὅτε δὲ, τῶν σκανδαλιζόντων πάντων τελεσθέντων, ἔμελλον λαμπρῶς ἀνακηρύττειν αὐτὸν φύσει θεὸν ὁ ἥλιος σκοτιζόμενος, τὸ καταπέτασμα τοῦ ναοῦ ῥηγνύμενον, ἡ γῆ σειομένη, αἱ πέτραι σχιζόμεναι, καὶ τὰ σώματα τῶν κεκοιμημένων ἁγίων ἐγειρόμενα, καὶ αὐτὸς ἐνδόξως ἐκ νεκρῶν ἀνιστάμενος· τηνικαῦτα γὰρ σαφῶς ἐξέλαμψεν ἡ δύναμις τῆς αὐτοῦ θεότητος, καὶ ἀναντίῤῥητος ἦν ἡ ἀπόδειξις. Ἔμελλε δὲ καὶ τὸ πανάγιον Πνεῦμα σύνεσιν ἐμβαλεῖν, οὐ τοῖς μαθηταῖς μόνον, ἀλλὰ καὶ πᾶσι τοῖς πιστεύουσι· τότε δὴ τότε λοιπὸν ἐβούλετο δημοσιευθῆναι πᾶσι καὶ τὸ τῆς θεότητος, καὶ τὸ τοῦ πάθους αὐτοῦ μυστήριον, ἵνα ἀσκανδάλιστον ὁδεύοι τὸ κήρυγμα.

21 Ἀπὸ τότε ἤρξατο ὁ Ἰησοῦς δεικνύειν τοῖς μαθηταῖς αὐτοῦ, ὅτι δεῖ αὐτὸν ἀπελθεῖν εἰς Ἱεροσόλυμα, καὶ πολλὰ παθεῖν ἀπὸ τῶν πρεσβυτέρων καὶ ἀρχιερέων καὶ γραμματέων, καὶ ἀποκτανθῆναι, καὶ τῇ τρίτῃ ἡμέρᾳ ἐγερθῆναι.

Ἀπὸ τότε, ἀφ' οὗ βεβαίως ἔμαθον οἱ μαθηταὶ, ὅτι γνήσιος

υἱός ἐστι τοῦ θεοῦ· τὸ λοιπὸν γὰρ ἤρξατο *προδεικνύειν* (1), τουτέστι, προλέγειν τούτοις, ἃ μέλλει παθεῖν, ἵνα, ταῦτα προγινώσκοντες, κατὰ τὸν καιρὸν τοῦ πάθους μὴ σκανδαλισθῶσι, μηδ' ὑπολάβωσιν, ὅτι δι' ἀσθένειαν φύσεως πάσχει. Πῶς γάρ; ὃς καὶ προγινώσκει τοῦτο, καὶ προλέγει, καὶ σπεύδει μᾶλλον παθεῖν;

22 Καὶ προσλαβόμενος αὐτὸν ὁ Πέτρος, ἤρξατο ἐπιτιμᾷν αὐτῷ, λέγων·

Προσλαβόμενος, ἀντὶ τοῦ, παραλαβὼν κατ' ἰδίαν. Ἀκούσας γὰρ, ὅτι μέλλει ἀποθανεῖν, ἐβαρυθύμησεν, ἀνάξιον τῆς αὐτοῦ θεότητος τοῦτο νομίσας· διὸ καὶ, ὡς ἤδη παῤῥησίαν ἀπὸ τοῦ μακαρισθῆναι κτησάμενος, κατ' ἰδίαν *ἐπετίμησεν αὐτῷ*, εἴτουν ἐμέμψατο.

Χρὴ γὰρ γινώσκειν, ὅτι τὸ, *ἐπετίμησε*, παρὰ τοῖς εὐαγγελισταῖς, ποτὲ μὲν σημαίνει τὸ, *ἐπεστόμισεν*, ὡς ἐπὶ τοῦ δαίμονος, τοῦ εἰπόντος εἰδέναι τὸν Χριστὸν, ὅτι ἐστὶν ὁ ἅγιος τοῦ θεοῦ· *Ἐπετίμησε* (α) γάρ, φησιν, *αὐτῷ*, τουτέστιν ἐπεστόμισεν αὐτόν· ποτὲ δὲ δηλοῖ τὸ, *ἐχαλίνωσεν*, ἢ *ἐπέταξεν*, ὡς τό· *Ἐπετίμησε τοῖς ἀνέμοις καὶ τῇ θαλάσσῃ* (β)· ποτὲ δὲ τὸ, *κατησφαλίσατο*, ὡς τό· *Ἐπετίμησεν* (γ) *αὐτοῖς, ἵνα μηδενὶ λέγωσι περὶ αὐτοῦ*· ποτὲ δὲ τὸ, *ἐμέμψατο*, ὡς τοῦτο δὴ, περὶ οὗ νῦν ὁ λόγος· ποτὲ δὲ τὸ, *ἐπέπληξεν*, ὡς τό· *Ἐπετίμησε τῷ Πέτρῳ* (δ), καθὼς ἑξῆς δηλωθήσεται· ἔστι δὲ ὅτε καὶ τὸ, ἐκώλυσεν (ε), ὡς εὑρήσομεν πρὸς τῷ τέλει τοῦ τεσσαρακοστοῦ Κεφαλαίου.

---

(1) Ἐν τῷ κειμένῳ ὑπάρχει ἁπλῶς, δεικνύειν, καὶ παρ' αὐτῷ τῷ Εὐθυμίῳ, ὡς καὶ παρὰ τῷ Χρυσοστόμῳ Τομ. Ζ'. Σελ. 549. E. 577. C.

(α) Μαρκ. Α', 25,

(β) Ματθ. Η', 26.

(γ) Μαρκ. Η', 30.

(δ) Μαρκ. Η', 33.

(ε) Ματθ. ΙΘ', 13.

22 Ἵλεώς σοι, Κύριε· οὐ μὴ ἔσται σοι τοῦτο.

Συμβουλεύων δῆθεν τοῦτό φησιν, ὡς γνήσιος. Τὸ μὲν οὖν, *Ἵλεώς σοι*, κατὰ συνήθειαν εἴρηκεν· ἔθος γὰρ ἦν, τοῦτο λέγειν τὸν μεμφόμενόν τινι, εἰπόντι (1) παράλογον, οἷον Ἵλεώς σοι θεός εἴη, ἕνεκεν τοῦ τοιούτου λόγου· τὸ δὲ, *Οὐ μὴ ἔσται σοι τοῦτο*, ἀντὶ τοῦ, Μὴ γένοιτό σοι τοῦτο, ὃ λέγεις.

23 Ὁ δὲ στραφεὶς, εἶπε τῷ Πέτρῳ· Ὕπαγε ὀπίσω μου, σατανᾶ.

Μάρκος δέ φησιν, ὅτι *ἐπιστραφεὶς, καὶ ἰδὼν τοὺς μαθητὰς αὐτοῦ, ἐπετίμησε τῷ Πέτρῳ* (α), ἤγουν, ἐπέπληξε. Καὶ γὰρ ἠθέλησε κἀκείνους ἀκοῦσαι τῆς ἐπιπλήξεως, καὶ σωφρονισθῆναι, παθόντας, ὅπερ ὁ Πέτρος. *Σατανᾶν* δὲ αὐτὸν ὠνόμασεν, ὡς μιμούμενον τὸν Σατανᾶν, ἐν τῷ μὴ θέλειν ἀναιρεθῆναι τὸν Χριστόν. Καὶ γὰρ οὐδ᾽ ὁ Σατανᾶς ἤθελεν ἀναιρεθῆναι αὐτὸν, ἵνα φανῶσι ψευδεῖς αἱ περὶ τοῦ θανάτου αὐτοῦ προφητεῖαι, καὶ ἵνα μὴ ὁ θάνατος τῆς τούτου σαρκὸς, θάνατος γένηται τῆς αὐτοῦ δυνάμεως, εἰ καὶ αὐτὸς τοὺς Ἰουδαίους εἰς τὸν κατὰ τοῦ Σωτῆρος φόνον παρέθηγεν, ὑπὸ τῆς ἑαυτοῦ κακίας νικώμενος.

Ἔστι δὲ καὶ ἑτέρως εἰπεῖν, ὅτι, ἐπεὶ Σατανᾶς μὲν, ὁ ἀντικείμενος ἑρμηνεύεται· Πέτρος δὲ, κωλύων τὸν Χριστὸν ἀποθανεῖν, οὐκ ἠκολούθει τῷ θελήματι αὐτοῦ, ἀλλ᾽ ἀντέκειτο, φησὶ πρὸς αὐτὸν ὁ Σωτήρ· *Ὕπαγε ὀπίσω μου, σατανᾶ*, τουτέστιν, Ἀκολούθει μοι, ἀντικείμενε.

23 Σκάνδαλόν μου εἶ.

Ἐμπόδιόν μου νῦν ὑπάρχεις, ἀντικείμενος τῷ ἐμῷ θελήματι. Εἶτα λέγει καὶ τὴν αἰτίαν, δι᾽ ἣν ἀντέκειτο.

(1) Ἴσως λείπει ἐνταῦθα τὸ, τι.

(α) Μαρκ. Η΄, 33.

23 Ὅτι οὐ φρονεῖς τὰ τοῦ θεοῦ, ἀλλὰ τὰ τῶν ἀνθρώπων.

Τοῦτό, φησι, πάσχεις, διότι οὐ φρονεῖς θεϊκῶς, ἀλλ᾽ ἀνθρωπίνως. Εἰ μὲν γὰρ ἐφρόνεις θεῖα, ἀνάξιόν μου ἐνόμισας ἂν τὸ μὴ ἀποθανεῖν με ὑπὲρ τοῦ κόσμου· ἐπεὶ δὲ φρονεῖς ἀνθρώπινα, ἀνάξιόν μου κρίνεις μᾶλλον τὸ ἀποθανεῖν με.

Σὺ δέ μοι βλέπε τὸν πρὸ μικροῦ μεγάλα μακαριζόμενον, νῦν μεγάλα ἐπιπληττόμενον, εἰς καταστολήν τε τῆς παῤῥησίας αὐτοῦ, καὶ ἵνα μάθῃς τὸ ἀπροσωπόληπτον τοῦ Σωτῆρος. Ὅτε μὲν γὰρ ὀρθῶς εἴρηκεν, ἐμακάρισεν αὐτόν· ὅτε δὲ οὐκ ὀρθῶς εἶπεν, ἐπέπληξε· καὶ ὀρθῶς μὲν εἴρηκεν, ἐν οἷς ἀποκάλυψιν θεόθεν ἐδέξατο· οὐκ ὀρθῶς δὲ εἶπεν, ἐν οἷς οἴκοθεν ἐφθέγξατο.

24 Τότε ὁ Ἰησοῦς εἶπε τοῖς μαθηταῖς αὐτοῦ· Εἴ τις θέλει ὀπίσω μου ἐλθεῖν, ἀπαρνησάσθω ἑαυτὸν, καὶ ἀράτω τὸν σταυρὸν αὐτοῦ, καὶ ἀκολουθείτω μοι.

Μάρκος δὲ καὶ Λουκᾶς (α) φασὶ, καὶ πρὸς τὸν ὄχλον, καὶ ἁπλῶς πρὸς πάντας ταῦτα εἰπεῖν αὐτόν. Εἶπε δὲ ταῦτα βεβαιῶν, ὅτι οὐ μόνον οὐκ ἔστιν ἀπρεπὲς τὸ ἀποθανεῖν αὐτὸν, ἀλλ᾽ οὐδὲ δύναταί τις εἶναι αὐτοῦ μαθητὴς, ἐὰν μὴ καὶ αὐτὸς ἀποθάνῃ ὑπὲρ τοῦ καλοῦ. *Εἴ τις γάρ*, φησι, *θέλει ὀπίσω μου ἐλθεῖν*, ἤγουν ἀκολουθῆσαί μοι, ὡς μαθητὴς καὶ μιμητὴς, *ἀπαρνησάσθω ἑαυτὸν*, λέγω δὴ, τὸ ἑαυτοῦ θέλημα, τὸ φιλήδονον, τὸ φιλόζωον, ἢ τὸ ἑαυτοῦ σῶμα, μὴ φειδόμενος αὐτοῦ κακουχουμένου καὶ βασανιζομένου, ἀλλ᾽ ἐκδιδοὺς αὐτὸ κινδύνοις· *καὶ ἀράτω τὸν σταυρὸν αὐτοῦ*, ἤγουν βασταζέτω ἐπὶ μνήμης τὴν ἀναίρεσιν ἑαυτοῦ· διὰ τοῦ σταυροῦ γὰρ τὴν ἀναίρεσιν ἐδήλωσε· διότι τότε ἀναιρέσεως ἦν ὄργανον ὁ σταυρός· ἀεὶ προσδοκάτω τὴν σφαγὴν ἑαυτοῦ, πάντοτε ἕτοιμος ἔστω

(α) Μαρκ. Η΄, 34. Λουκ. Θ΄, 23.

πρὸς τὸν θάνατον, καὶ καθ' ἑκάστην ἀποθνησκέτω τῇ προαιρέσει (1).

Καὶ ἑτέρως δὲ τὸ παρὸν ἡρμηνεύσαμεν ῥητὸν ἐν τῷ ἐννεακαιδεκάτῳ Κεφαλαίῳ. Σκόπει δὲ, πῶς εἶπεν, *Εἴτις θέλει*, κἂν ἀνὴρ, κἂν γυνὴ, κἂν ἄρχων, κἂν ἀρχόμενος· καὶ, *ἐὰν θέλῃ*· οὐδένα γὰρ ἄκοντα καταναγκάζει. Ἵνα δὲ μὴ νομίσῃς, ὅτι τὸ κακῶς πάσχειν μόνον ἀρκεῖ· καὶ γὰρ καὶ λῃσταὶ καὶ τυμβωρύχοι καὶ γόητες καὶ ἄλλοι πονηροὶ πάσχουσι μυρία· προσέθηκεν, ὅτι *Καὶ ἀκολουθείτω μοι*· διδάσκων, ὅτι χρὴ μὴ μόνον τοιαῦτα πάσχειν, ἀλλὰ καὶ ἀκολουθεῖν αὐτῷ, τουτέστι, κατ' ἴχνος βαίνειν τῆς πολιτείας αὐτοῦ.

25 Ὃς γὰρ ἂν θέλῃ τὴν ψυχὴν αὐτοῦ σῶσαι, ἀπολέσει αὐτήν· ὃς δ' ἂν ἀπολέσῃ τὴν ψυχὴν αὐτοῦ ἕνεκεν ἐμοῦ, εὑρήσει αὐτήν.

Εἴρηκε ταῦτα καὶ ἐν τῷ ἐννεακαιδεκάτῳ Κεφαλαίῳ, καὶ ζήτησον ἐν ἐκείνῳ τὴν τούτων ἐξήγησιν. Μάρκος δέ φησιν, *Ἕνεκεν ἐμοῦ καὶ τοῦ εὐαγγελίου* (α), τουτέστι, Δι' ἐμὲ καὶ διὰ τὴν ἐμὴν διδασκαλίαν.

26 Τί γὰρ ὠφελεῖται ἄνθρωπος, ἐὰν τὸν κόσμον ὅλον κερδήσῃ, τὴν δὲ ψυχὴν αὐτοῦ ζημιωθῇ;

Ἀδύνατον μὲν, ἕνα τινὰ τὸν κόσμον ὅλον κερδῆσαι· εἰ δὲ καὶ

---

(1) Παρὰ τῷ Λουκᾷ Θ', 23 μετὰ τὸ «καὶ ἀράτω τὸν σταυρὸν αὐτοῦ» φέρεται καὶ τὸ «καθ' ἡμέραν,» καὶ εἰς τοῦτο ἀναφέρεται τὸ τοῦ Εὐθυμίου «Ἀεὶ προσδοκάτω —— τῇ προαιρέσει.» Εἰς αὐτὸ καὶ ὁ Χρυσόστομος Τομ. Ζ. Σελ. 557. Β, ἑρμηνεύων τὸ Ματθ. Ιϛ', 24, ἀναφερόμενος λέγει «Διὰ τοῦτο οὐκ εἶπεν «ἀπαρνησάσθω ἑαυτὸν μέχρι θανάτου», ἀλλ' «ἀράτω τὸν σταυρὸν αὐτοῦ,» τὸν ἐπονείδιστον θάνατον δηλῶν· καὶ ὅτι οὐχ ἅπαξ, οὐδὲ δὶς, ἀλλὰ διὰ παντὸς τοῦ βίου τοῦτο δεῖ ποιεῖν. Διηνεκῶς γάρ, φησι, περίφερε τὸν θάνατον, καὶ καθ' ἡμέραν ἕτοιμος ἔσο πρός σφαγήν.»

(α) Μαρκ. Η', 35.

δυνατὸν ἦν, οὐδὲν ὄφελος· τὰ μὲν γὰρ τοῦ κόσμου πάντα θνητά εἰσιν· ἡ δὲ ψυχὴ ἀθάνατος· καὶ τούτων μὲν ἡ τέρψις πρόσκαιρος· ταύτης δὲ ἡ κόλασις αἰώνιος. Εἶτα αὔξει τὸν φόβον· εἴωθε γὰρ ἐντεῦθεν μᾶλλον βελτιοῦν τοὺς ἀκροατάς.

26 Ἢ τί δώσει ἄνθρωπος ἀντάλλαγμα τῆς ψυχῆς αὐτοῦ;

Εἰ γὰρ οὐδ' ὁ σύμπας κόσμος ἀντάξιός ἐστι ψυχῆς λογικῆς, τί δώσει τις ἀντάλλαγμα, ὥστε ταύτην ἐξελέσθαι τῆς αἰωνίου κολάσεως; Ὄντως οὐδέν. Λοιπὸν οὖν χρὴ πάντων ἀφεμένους τῶν ἄλλων, ταύτης ἐπιμελεῖσθαι μόνης, ἧς ἡ ζημία καιριωτάτη, καὶ ἧς ἀπολομένης, οὐκ ἔστι δοῦναι ἀντάλλαγμα. Ἵνα δὲ μάθοιεν, ὅτι οὔτε τοῖς ῥαθύμοις ἀτιμώρητον ἔσται τὸ ῥάθυμον, οὔτε τοῖς σπουδαίοις ἀγέραστον τὸ σπουδαῖον, καὶ ἵνα ἐπὶ πλέον ἐκεῖνοι μὲν φοβηθῶσιν, οὗτοι δὲ παρηγορηθῶσι, φησί·

27 Μέλλει γὰρ ὁ υἱὸς τοῦ ἀνθρώπου ἔρχεσθαι ἐν τῇ δόξῃ τοῦ πατρὸς αὐτοῦ, μετὰ τῶν ἀγγέλων αὐτοῦ· καὶ τότε ἀποδώσει ἑκάστῳ κατὰ τὴν πρᾶξιν αὐτοῦ.

Ἅμα ἐνέφηνε, καὶ ὅτι τῆς αὐτῆς τῷ πατρὶ δόξης ἐστίν· *ἐν τῇ δόξῃ* γάρ, φησι, *τοῦ πατρὸς αὐτοῦ*· εἰ δὲ τῆς αὐτῆς δόξης ἐστί, τῆς αὐτῆς ἄρα καὶ οὐσίας ἐστὶ, καὶ δυνάμεως, καὶ θεότητος. Ὧν γὰρ δόξα ἡ αὐτή· τούτων ἄρα καὶ τἄλλα τὰ αὐτά.

28 Ἀμὴν λέγω ὑμῖν, εἰσί τινες τῶν ὧδε ἑστώτων, οἵτινες οὐ μὴ γεύσωνται θανάτου, ἕως ἂν ἴδωσι τὸν υἱὸν τοῦ ἀνθρώπου ἐρχόμενον ἐν τῇ βασιλείᾳ αὐτοῦ.

Εἰπὼν περὶ ἑαυτοῦ, ὅτι μέλλει ἔρχεσθαι ἐν δόξῃ μετὰ δορυφορίας καὶ προπομπῆς τῶν ἀγγέλων, καὶ γνοὺς τοὺς μαθητὰς δυσπιστοῦντας τῷ τοιούτῳ λόγῳ, βεβαιοῖ τοῦτον, προστιθεὶς,

ὅτι οὐκ εἰς μακράν τινες αὐτῶν ὄψονται τὴν δόξαν αὐτοῦ· ταύτην γὰρ νῦν ὠνόμασε *βασιλείαν*. Ἐδήλου δὲ τὴν λαμπρότητα τῆς μεταμορφώσεως αὐτοῦ, ἣν μετὰ καιρὸν ὀλίγον ἔμελλεν ὑποδεῖξαι Πέτρῳ, καὶ Ἰακώβῳ, καὶ Ἰωάννῃ. Περὶ τούτων γὰρ εἶπεν, ὅτι *Εἰσί τινες τῶν ὧδε ἑστώτων*. *Βασιλείαν* δὲ αὐτοῦ, ἤγουν, δόξαν, τὴν λαμπρότητα ταύτην ὠνόμασεν, ὡς οὖσαν προμήνυμα καὶ παράδειγμα τῆς λαμπρότητος ἐκείνης, μεθ' ἧς μέλλει κατελθεῖν ὕστερον, ὅτε ἀποδώσει ἑκάστῳ κατὰ τὴν πρᾶξιν αὐτοῦ. *Ἐρχόμενον* δὲ εἶπεν, ἀντὶ τοῦ, φαινόμενον.

ΚΕΦΑΛΑΙΟΝ ΛΔ'.

Περὶ τῆς μεταμορφώσεως τοῦ Χριστοῦ.

ΚΕΦ. XVII, 1 Καὶ μεθ' ἡμέρας ἓξ παραλαμβάνει ὁ Ἰησοῦς τὸν Πέτρον, καὶ Ἰάκωβον, καὶ Ἰωάννην τὸν ἀδελφὸν αὐτοῦ·

Λουκᾶς δὲ, *μετὰ ὀκτώ* (α), φησιν, οὐκ ἐναντιολογῶν· οὗτος μὲν γὰρ συνηρίθμησε καὶ αὐτὰς τὰς ἡμέρας, καθ' ἥν τε τὰ ῥηθέντα εἶπε τοῖς μαθηταῖς ὁ Χριςὸς, καὶ καθ' ἣν τούτους παρέλαβε· Ματθαῖος δὲ καὶ ἀμφοτέρας ταύτας παραλιπὼν, τὰς μεταξὺ μόνας ἀπηριθμήσατο. Διὰ τί δὲ μόνους τοὺς τρεῖς τούτους παραλαμβάνει, καὶ οὐ νῦν μόνον, ἀλλὰ καὶ πολλάκις, ὡς προϊόντες εὑρήσομεν; Διότι τῶν ἄλλων μαθητῶν ὑπερεῖχον οὗτοι· Πέτρος μὲν, ἀπὸ τοῦ σφόδρα φιλεῖν αὐτὸν, διὰ θερμότητα πίστεως· Ἰωάννης δὲ, ἀπὸ τοῦ σφόδρα φιλεῖσθαι ὑπ' αὐτοῦ, δι' ὑπερβολὴν ἀρετῶν· Ἰάκωβος δὲ, ἀπὸ τοῦ σφόδρα βαρὺς εἶναι τοῖς Ἰουδαίοις, [ὡς (1) καὶ τὸν Ἡρώδην ὕστερον ἀνελόντα τοῦτον, χάριν μεγίστην ἀπονεῖμαι τοῖς Ἰουδαίοις.]

(α) Λουκ. Θ', 28.

Σκόπει δὲ, πῶς ὁ Ματθαῖος οὐκ ἀπεκρύψατο τοὺς προτιμηθέντας αὐτοῦ. Τοῦτο δὲ καὶ Ἰωάννης πολλαχοῦ ποιεῖ, τὰ ἐξαίρετα τοῦ Πέτρου ἐγκώμια φιλαλήθως ἀναγράφων· φθόνου γὰρ ἐκτὸς ἦν ὁ τῶν ἀποστόλων χορός. Διὰ τί δὲ, εἰπὼν ὁ Χριστὸς, *Εἰσί τινες τῶν ὧδε ἑστώτων*, ἀπεκρύψατο τὰ τούτων ὀνόματα; Διὰ τὸ μὴ λυπῆσαι τοὺς ἄλλους. Καὶ γὰρ ἤλγησαν ἂν, δόξαντες ὡς ἀνάξιοι παρορᾶσθαι.

1 Καὶ ἀναφέρει αὐτοὺς εἰς ὄρος ὑψηλὸν κατ' ἰδίαν.

Ὁ δὲ Λουκᾶς εἶπεν, ὅτι *Παραλαβὼν αὐτοὺς, ἀνέβη εἰς τὸ ὄρος προσεύξασθαι* (α).

2 Καὶ μετεμορφώθη ἔμπροσθεν αὐτῶν, καὶ ἔλαμψε τὸ πρόσωπον αὐτοῦ ὡς ὁ ἥλιος· τὰ δὲ ἱμάτια αὐτοῦ ἐγένετο λευκὰ ὡς τὸ φῶς.

Ἀναφέρει μὲν αὐτοὺς εἰς ὄρος ὑψηλὸν, ἵνα γένηται πᾶσι τοῖς ἄλλοις ἀθέατος· διὰ τοῦτο γὰρ προσέθηκεν, ὅτι *κατ' ἰδίαν*· οὐδὲν γὰρ ἐποίει πρὸς φιλοτιμίαν, ἀλλὰ πάντα κατὰ χρείαν. Ἅμα δὲ καὶ ἵνα μάθωμεν, ὅτι χρὴ ὑπεραρθῆναι τῆς γεηρᾶς χθαμαλότητος τὸν μέλλοντα θεωρίας θείας ἀξιωθῆναι.

Μετεμορφώθη δὲ, μείναντος μὲν τοῦ σώματος ἐπὶ τοῦ οἰκείου σχήματος· τῆς θεϊκῆς δὲ λαμπρότητος μικρόν τι παραγυμνωθείσης, καὶ καταλαμπρυνάσης τὸ πρόσωπον αὐτοῦ, καὶ τὸ εἶδος τούτου μεταβαλούσης ἐπὶ τὸ θεοειδέστερον. *Ἔμπροσθεν* δὲ *αὐτῶν*, ἵνα βλέποντες, πῶς μετεμορφώθη, μὴ ὑπο-

(1) Τὰ παρεντεθειμένα λείπουσιν ἀπὸ τοῦ χειρογράφου Β, καὶ ἴσως διὰ τὴν ἐπανάληψιν τοῦ, τοῖς Ἰουδαίοις.

(α) Λουκ. Θ', 28.

λάβωσιν ἕτερον αὐτὸν εἶναι, καὶ ἵνα μάθωσι, πῶς οὕτω ῥᾷον, ὃ θέλει, δύναται.

Ἔλαμψε δὲ τὸ πρόσωπον αὐτοῦ, ὡς ὁ ἥλιος· διότι οὕτως ἔδοξεν αὐτοῖς· ἡ γὰρ λαμπρότης ἐκείνη ὑπὲρ τὸν ἥλιον ἦν, καὶ θεία τις καὶ ἀπόῤῥητος. *Τὰ δὲ ἱμάτια αὐτοῦ ἐγένετο λευκὰ, ὡς τὸ φῶς*, διαδοθείσης καὶ εἰς αὐτὰ τῆς φωτοχυσίας.

Εἴ τις οὖν καὶ ἡμῶν ἢ ἀγαπήσει τὸν Ἰησοῦν, ὡς Πέτρος· ἢ ἀγαπηθῇ παρ' αὐτοῦ, ὡς Ἰωάννης· ἢ βαρὺς γένηται κατὰ τῶν ἐχθρῶν αὐτοῦ, ὡς Ἰάκωβος· ἐχθροὶ δὲ τούτου καὶ μᾶλλον οἱ δαίμονες· ἀναχθήσεται ὑπ' αὐτοῦ εἰς ὄρος ὑψηλὸν, ἤγουν, εἰς ὕψος γνώσεως, καὶ θεωρήσει τὴν δόξαν αὐτοῦ, καθόσον ἐφικτὸν ἀνθρώπῳ, λέγω δὴ, τὰ τοῖς πολλοῖς ἀποκεκρυμμένα καὶ ἀθέατα μυστήρια.

Οὐκ ἄκαιρον δὲ εἰπεῖν, *πρόσωπον* μὲν τοῦ Ἰησοῦ, τὴν γνῶσιν τῶν λόγων αὐτοῦ· *ἱμάτια* δὲ αὐτοῦ, τὰς λέξεις τῶν λόγων αὐτοῦ, ἃς ἡ ἐγκεκρυμμένη τούτοις γνῶσις περιβέβληται, ὡς ἱμάτια· καὶ ὄψεται τὸ μὲν τοιοῦτον πρόσωπον αὐτοῦ λαμπρὸν καὶ φωτίζον τοὺς ἐνατενίζοντας· τὰ δὲ τοιαῦτα πάλιν ἱμάτια αὐτοῦ λευκὰ, μηδὲν σκοτεινὸν καὶ ἀσαφὲς ἔχοντα.

3 Καὶ ἰδοὺ, ὤφθησαν αὐτοῖς Μωσῆς καὶ Ἠλίας, μετ' αὐτοῦ συλλαλοῦντες.

Διὰ πολλὰς αἰτίας τὸν Μωϋσῆν καὶ τὸν Ἠλίαν παρέστησεν ἑαυτῷ. Ἐπειδὴ γὰρ οἱ ὄχλοι ἔλεγον, οἱ μὲν, Ἰωάννην τὸν Βαπτιστὴν εἶναι αὐτόν· ἄλλοι δὲ, Ἠλίαν· ἕτεροι δὲ, Ἱερεμίαν ἢ ἕνα τῶν προφητῶν τῶν ἀρχαίων· συμπαρέστησεν, ὡς δούλους, τοὺς ἐπισημοτέρους τῶν ἐν τῇ Παλαιᾷ λαμψάντων, ἵνα φανῇ τὸ μέσον ἑαυτοῦ τε κἀκείνων, καὶ πόσον αὐτὸς διαφέρει τούτων. Μία μὲν οὖν αὕτη αἰτία.

Ἑτέρα δὲ πάλιν: Ἐπειδήπερ ἐνεκάλουν αὐτῷ τὸ παραβαίνειν τὸν νόμον, λέγοντες· *Οὗτος* (α) *οὐκ ἔστιν ἐκ τοῦ θεοῦ, ὅτι*

(α) Ἰωαν. Θ', 16.

τὸ σάββατον οὐ τηρεῖ· καὶ πάλιν ἐκάλουν αὐτὸν βλάσφημον καὶ σφετεριζόμενον τὴν δόξαν τοῦ θεοῦ, φάσκοντες· *Περὶ* (α) *καλοῦ ἔργου οὐ λιθάζομέν σε, ἀλλὰ περὶ βλασφημίας, καὶ ὅτι ἄνθρωπος ὢν, ποιεῖς σεαυτὸν θεόν*· παρίστησιν ἑαυτῷ τὸν Μωϋσῆν μὲν, ἵνα δειχθῇ, ὅτι, εἰ παρέβαινε τὸν νόμον, οὐκ ἂν ὁ νομοθέτης δουλοπρεπῶς αὐτῷ παρίστατο· τὸν Ἠλίαν δὲ, ἵνα φανῇ, ὅτι, εἰ βλάσφημος ἦν καὶ τὴν τοῦ θεοῦ δόξαν ἐσφετερίζετο, μὴ προσήκουσαν αὐτῷ, οὐκ ἂν ὁ ὑπὲρ τῆς τοῦ θεοῦ δόξης ἀεὶ ζηλῶν, ὡς δοῦλος τῷ ἀντιθέῳ παρίστατο.

Καὶ ἄλλη δὲ αὖθις αἰτία, ἵνα γνωρισθῇ, ὅτι κύριός ἐστι καὶ θανάτου καὶ ζωῆς· Μωϋσῆς μὲν γὰρ θανὼν ἦν· Ἠλίας δὲ, ζῶν· καὶ ἵνα, βλέποντες αὐτὸν ὕστερον οἱ μαθηταὶ ἀποθνήσκοντα, νοήσωσιν, ἑκούσιον τὸ τοιοῦτον πάθος, καὶ λογίσωνται, ὅτι οὐκ ἂν ἄκων ἀποθάνοι ὁ ζωῆς καὶ θανάτου κύριος.

Ἔστι δὲ καὶ ἑτέραν εἰπεῖν αἰτίαν, ὅτι διὰ τοὺς μαθητὰς παρέστησεν αὐτοὺς, ἵνα διαναστῶσιν εἰς μίμησιν αὐτῶν. Καὶ γὰρ Μωϋσῆς μὲν, βραδύγλωσσος ἦν· Ἠλίας δὲ, ἀγροικότερον διακείμενος· καὶ ἀκτήμονες ἀμφότεροι· καὶ ὅμως πρὸς τυράννους ἕκαστος αὐτῶν ἐπαῤῥησιάσατο· Μωϋσῆς μὲν, πρὸς τὸν Φαραώ· Ἠλίας δὲ, πρὸς τὸν Ἀχαάβ· καὶ ὑπὲρ ἀγνωμόνων ἀνθρώπων, καὶ ὑπ' αὐτῶν τῶν εὐεργετουμένων μυρία δεινὰ πεπόνθασι, καὶ οὐδ' οὕτως ἀπέστησαν τοῦ περιέπειν αὐτούς· καὶ ἵνα ἔτι μιμήσωνται Μωϋσέως μὲν, τὴν ἀνεξικακίαν· Ἠλιοῦ δὲ, τὸν ὑπὲρ τοῦ θεοῦ ζῆλον· ἀμφοτέρων δὲ, τὸ δημαγωγικὸν καὶ φερέπονον. Μυριάκις γὰρ τὸ ἐπ' αὐτοῖς ἀπέθανον ὑπὲρ τῶν ἀρεσκόντων θεῷ, καὶ ὑπὲρ τοῦ δήμου τοῦ ἐμπιστευθέντος αὐτοῖς, καὶ τὰς ψυχὰς αὐτῶν ἀπολέσαντες, εὗρον αὐτάς.

Συνελάλουν δὲ αὐτῷ, δεικνύντες, ὅτι καὶ ὁ διὰ Μωϋσέως νόμος, καὶ ὁ διὰ τῶν προφητῶν λόγος, περὶ τοῦ θανάτου αὐτοῦ

(α) Ἰωαν. Ί, 33.

συμφώνως αὐτῷ προανεφώνησαν· ὁ μὲν, ἐν τύποις τῶν θυσιῶν· ὁ δὲ, ἐν διαφόροις προῤῥήσεσιν.

Λουκᾶς δέ φησιν, ὅτι καὶ οὗτοι *ἐν δόξῃ* ὤφθησαν (α), εἴτουν, ἐν λαμπρότητι, ἵνα μάθωμεν, ὅτι πάντες οἱ κατὰ θεὸν ζήσαντες τῆς θείας μεταλαμβάνουσι λαμπρότητος. Τί δὲ συνελάλουν αὐτῷ, ἐδίδαξε πάλιν ὁ Λουκᾶς· εἶπε γὰρ, ὅτι *Ἔλεγον τὴν ἔξοδον αὐτοῦ, ἣν ἔμελλε πληροῦν ἐν Ἱερουσαλήμ* (β)· *ἔξοδον* ὀνομάσας, τὴν ἀπὸ τῆς ζωῆς ταύτης ἐξέλευσιν καὶ μετάβασιν.

Τινὰ δὲ τῶν βιβλίων (1) οὐκ *ἔξοδον*, ἀλλὰ *δόξαν* γράφουσι· δόξα γὰρ καλεῖται καὶ ὁ σταυρός· τοῖς μὲν γὰρ ἄλλοις ἅπασιν, ὄνειδος ἦν, ὡς μεγάλων ἐγκλημάτων ἐπιτίμιον· μόνῳ δὲ τῷ Χριστῷ δόξα γέγονεν, ὡς μεγάλης ἀγάπης τῆς πρὸς ἡμᾶς ἐπιτίμιον. Τίς γὰρ εὐγνώμονα ψυχὴν ἔχων, ἀκούων τὸν ἐπέκεινα πάσης τιμῆς, τηλικαύτην ἀτιμίαν ὑποστάντα διὰ τὴν σωτηρίαν τῶν ἀνθρώπων, οὐ δοξάσει τοῦτον;

Ἔστι δὲ καὶ ἄλλος λόγος, καθ᾽ ὃν λέγεται *δόξα αὐτοῦ*, ὁ σταυρὸς, ὃν ἐροῦμεν ἐν καιρῷ τῷ προσήκοντι (2).

Τέως δὲ Μωϋσῆς καὶ Ἠλίας ἔλεγον τὴν ἔξοδον αὐτοῦ, ἢ τὴν δόξαν αὐτοῦ, τουτέστι, περὶ τῆς ἐξόδου αὐτοῦ, ἢ περὶ τῆς δόξης αὐτοῦ, εἴτουν, περὶ τοῦ σταυροῦ αὐτοῦ, πῶς ἔμελλε σταυρωθῆναι.

Ἄξιον δὲ ζητῆσαι, πόθεν οἱ μαθηταὶ μετὰ τοσαῦτα ἔτη τὸν

(α) Λουκ. Θ΄, 31.

(β) Λουκ. Θ΄, 31.

(1) Ἴδ. Χρυσοστ. Τομ. Ζ΄. Σελ. 567 Α. Σελ. 584. D. Συχνάκις οἱ Πατέρες τῆς ἐκκλησίας καλοῦσι τὸν σταυρὸν τοῦ Χριστοῦ δόξαν αὐτοῦ. Στηρίζεται δὲ ἡ ἑρμηνεία αὕτη εἰς Ἑβρ. Β΄, 9.

(2) Ἐν τοῖς εἰς τὰ Εὐαγγέλια ὑπομνήμασι δὲν λέγει τι τοιοῦτον ὁ Εὐθύμιος· ποῦ δὲ λέγει τοῦτο, ἄδηλον. Ἴσως ἔλεγεν αὐτὸ εἰς τὸ εἰς Ἑβρ. Β΄, 9. ὑπόμνημα αὐτοῦ.

Μωϋσῆν καὶ τὸν Ἠλίαν ἐγνώρισαν; Οὐ γὰρ ἦσαν παρ᾽ Ἑβραίοις εἰκόνων πίνακες. Φαμὲν οὖν, ὅτι ἐν βιβλίοις τινὲς τῶν παλαιοτέρων Ἑβραίων τὰ εἴδη τῶν ἐπιφανῶν ἀνδρῶν τοῖς μεταγενεστέροις ἀπολελοίπασιν, ἅπερ ἀναγινώσκοντες, ἐντεῦθεν αὐτοὺς ἐγίνωσκον. Εἰκὸς δὲ, καὶ ἐξ ἀγράφου παραδόσεως μνημονεύεσθαι τὰς ἰδέας αὐτῶν. Ἴσως δὲ καὶ ἐξ ἀποκαλύψεως θείας ἐπέγνωσαν αὐτούς.

[Ἢ (1) καὶ ἄλλως: Περὶ τὸν Χριστὸν φαίνονται Μωϋσῆς καὶ Ἠλίας, δηλοῦντες, ὅτι τὰ μυστήρια τῆς τε νομικῆς, τῆς τε προφητικῆς πραγματείας, εἰς τὸν Χριστὸν συνάγονται, καὶ τὰ περὶ αὐτὸν μηνύουσιν].

4 Ἀποκριθεὶς δὲ ὁ Πέτρος εἶπε τῷ Ἰησοῦ· Κύριε, καλόν ἐστιν ἡμᾶς ὧδε εἶναι· εἰ θέλεις, ποιήσωμεν ὧδε τρεῖς σκηνὰς, σοὶ μίαν, καὶ Μωσῇ μίαν, καὶ μίαν Ἠλίᾳ.

Σφόδρα φιλῶν ὁ Πέτρος τὸν διδάσκαλον, καὶ μὴ θέλων, ἀπελθεῖν αὐτὸν εἰς Ἱεροσόλυμα, ἵνα μὴ ἀπελθὼν ἐκεῖ πάθῃ, καθὼς προείρηκε, φανερῶς μὲν οὐ τολμᾷ κωλῦσαι αὐτὸν, ἵνα μὴ πάλιν ἐπιτιμηθῇ· θεασάμενος δὲ τὸ ὄρος, πολλὴν ἔχον ἀσφάλειαν, ὡς ἀγνοούμενον τοῖς ἐπιβουλεύουσιν· ἅμα δὲ καὶ Μωϋσῆν καὶ Ἠλίαν, ἱκανοὺς ἀμύνειν· ὁ μὲν γὰρ πολλὰ ἔθνη κατηγωνίσατο· ὁ δὲ πῦρ ἐξ οὐρανοῦ κατήγαγεν ἐπὶ τοὺς πεντηκοντάρχους· συμβουλεύει μένειν ἐκεῖ.

Εἰπὼν δὲ, ὅτι *Καλόν ἐστιν ἡμᾶς ὧδε εἶναι*, καὶ γνοὺς ὅτι κακῶς εἶπεν, ὡς ἐξ οἰκείας γνώμης ἀποφηνάμενος, προσέθηκεν, ὅτι *Εἰ θέλεις, ποιήσωμεν ὧδε τρεῖς σκηνὰς, σοὶ μίαν, καὶ Μωσῇ μίαν, καὶ μίαν Ἠλίᾳ*. Τί λέγεις, ὦ Πέτρε; Πρὸ μικροῦ μὲν, γνήσιον υἱὸν τοῦ θεοῦ τοῦτον ὡμολόγησας· νῦν δὲ

(1) Τὰ παρεντεθειμένα ἀναγινώσκονται ἐν τῷ περισελιδίῳ παρὰ τῷ Β.

μετὰ τῶν δούλων ἀριθμεῖς τὸν δεσπότην, καὶ ὑπὸ τούτων σωθῆναι αὐτὸν ἐλπίζεις; Ὅρα, πῶς πρὸ τοῦ σταυροῦ σφόδρα ἀτελεῖς ἦσαν οἱ μαθηταί! Ἅμα δὲ ὁ Πέτρος καὶ διπλοῦν τηνικαῦτα σάλον τῆς ψυχῆς ὑφιστάμενος, τοῦτο μὲν, ἀπὸ τοῦ ἀγωνιᾷν ὑπὲρ τοῦ διδασκάλου, τοῦτο δὲ, ἀπὸ τῆς ὑπερφυοῦς ὄψεως ἐκείνης, ἐταράχθη καὶ συνεχύθη, καὶ τοιαῦτα ἐφθέγγετο, *μὴ εἰδὼς, ὃ λέγει*, καθὼς εἶπε Λουκᾶς (α), ὅ ἐστιν, ἀσύνετα λαλῶν.

Μάρκος δέ φησιν (β), ὅτι *Οὐκ ᾔδει, τί λαλήσει*, τουτέστιν οὐκ ἐγίνωσκε, τί λαλήσει ἕτερον κρεῖττον. Εἶτα προσέθηκε καὶ αἰτίαν, εἰπών (γ)· ὅτι *ἦσαν ἔκφοβοι*. Λουκᾶς δὲ ἔγραψεν, ὅτι *ἦσαν βεβαρημένοι ὕπνῳ* (δ). Ἐξεφοβήθησαν μὲν γὰρ, ἰδόντες εἶδος ὑπὲρ ἄνθρωπον· ἐβαρήθησαν δὲ ὕπνῳ, λέγω δὴ, κάρῳ, τῷ ἀπὸ τῆς λαμπηδόνος· καὶ γὰρ οὐ νὺξ ἦν, ἀλλ' ἡμέρα· τὸ δὲ τῆς λαμπηδόνος ὑπερβάλλον ἐσκότισε μὲν τοὺς ὀφθαλμοὺς αὐτῶν· ἐκάρωσε δὲ τὸν νοῦν, ἕως οὗ *διαγρηγορήσαντες*, ὡς ὁ Λουκᾶς εἴρηκεν, εἶτουν (α), ἀνανήψαντες τοῦ τοιούτου κάρου καὶ τῆς σκοτοδίνης, *εἶδον*, ὡς δυνατὸν, *τὴν δόξαν αὐτοῦ*. Λοιπὸν δὲ ὁ Πέτρος, ἔτι ἐντεῦθεν συγκεχυμένον ἔχων τὸν νοῦν, ἀσύνετα παρεφθέγγετο.

[*Τρεῖς* (1) *σκηναὶ* νοηθεῖεν ἂν, αἱ τρεῖς ἕξεις τῆς σωτηρίας, ἤτε τῆς πράξεως, καὶ ἡ τῆς θεωρίας, καὶ ἡ τῆς θεολογίας. Τῆς μὲν οὖν πράξεως τύπος, ὁ Ἠλίας, ὡς ἀνδρεῖος καὶ σώφρων· τῆς δὲ θεωρίας, ὁ Μωϋσῆς, ὡς νομοθέτης καὶ δικαιοδότης· τῆς δὲ θεολογίας, ὁ Χριστὸς, ὡς ἐν παντὶ τέλειος. Σκηναὶ δὲ

(α) Λουκ. Θ', 33.
(β) Μαρκ. Θ', 6.
(γ) Μαρκ. Θ', 6.
(δ) Λουκ. Θ', 32.
(ε) Λουκ. Θ', 32.
(1) Τὰ παρεντεθειμένα ἀναγινώσκονται ἐν τῷ περισελιδίῳ παρὰ τῷ Β.

αὗται, πρὸς σύγκρισιν τῶν μελλουσῶν λήξεων, τῶν ἀσυγκρίτως κρειττόνων.]

5 Ἔτι αὐτοῦ λαλοῦντος, ἰδοὺ, νεφέλη φωτεινὴ ἐπεσκίασεν αὐτούς· καὶ ἰδοὺ, φωνὴ ἐκ τῆς νεφέλης,

Νεφέλη καὶ φωνὴ, ἵνα βεβαιωθῶσιν, ὅτι φωνὴ τοῦ θεοῦ ἐστι. Μεμαθηκότες γὰρ ἦσαν, ὅτι ὁ θεὸς ἐπὶ νεφέλης ὀχεῖται· *Ὁ τιθεὶς γάρ*, φησι, *νέφη τὴν ἐπίβασιν αὐτοῦ* (α)· καὶ πολλὰ τοιαῦτα πολλαχοῦ τῆς Γραφῆς. Σκόπει δὲ, πῶς, ὅτε μὲν ἀπειλεῖ, σκοτεινὴν δείκνυσι νεφέλην περὶ ἑαυτὸν, ὡς ἐπὶ τοῦ Σινᾶ (β)· νῦν δὲ διδάξαι θέλων, φωτεινὴν αὐτὴν ἔχει.

5 Λέγουσα· «Οὗτός ἐστιν ὁ υἱός μου ὁ ἀγαπητὸς, ἐν ᾧ εὐδόκησα·

Ταῦτα καὶ ἐν τῷ τρίτῳ Κεφαλαίῳ, βαπτιζομένου τοῦ Σωτῆρος, εἶπεν οὐρανόθεν ὁ πατήρ· ἀλλ' ἐκεῖ μὲν διὰ τὸν περιεστῶτα ὄχλον· ἐνταῦθα δὲ μάλιστα διὰ τὸν Πέτρον, ὡσανεὶ λεγούσης τῆς φωνῆς τοῦ πατρὸς· Τί δέδοικας, ὦ Πέτρε, περὶ τοῦ Ἰησοῦ; *Οὗτός ἐστιν ὁ υἱός μου*, καὶ οὐχ ἁπλῶς υἱὸς, ὡς οἱ δι' ἀρετῆς υἱοποιούμενοί μοι, ἀλλ' *ὁ ἀγαπητὸς*, ἤγουν, ὁ ἐξαίρετος, ὡς μονογενής· καὶ οὐ τοῦτο μόνον, ἀλλ' *ἐν ᾧ εὐδόκησα*, τουτέστιν, ᾧ ἐπαναπαύομαι, ἐφ' ᾧ ἀρέσκομαι, ὡς ὁμογνώμονι καὶ ἴσῳ ἐμοί. Μὴ τοίνυν φοβοῦ περὶ αὐτοῦ. Ὅσον γὰρ ἂν φιλῇς, οὐ τοσοῦτον φιλεῖς αὐτὸν, ὅσον ἐγώ. Τριπλοῦν γὰρ παρ' ἐμοῦ τὸ περὶ αὐτὸν φίλτρον· φιλῶ γὰρ ὡς υἱόν μου, καὶ ὡς ἀγαπητὸν, καὶ ὡς ἀναπαύοντα καὶ ἀρέσκοντά μοι. Λοιπὸν οὖν, εἰ μὴ τῇ δυνάμει τούτου θαῤῥεῖς· ἀλλά γε τῇ ἐμῇ θάῤῥησον. Οὐδεὶς γὰρ τὸν οὕτω φιλούμενον προΐεται ἀλογίστως.

(α) Ψαλμ· ΡΓ', 3.
(β) Ἐξοδ· ΙΘ', 16.

5 Αὐτοῦ ἀκούετε ».

Τούτῳ πείθεσθε, τούτῳ πιςεύετε, εἴ τι ἂν καὶ λέγῃ καὶ ποιῇ· καὶ εἰ ςαυρωθῆναι βουληθῇ, μηδεὶς ἀντιπέσῃ. Ὑμεῖς μὲν γὰρ οὐκ οἴδατε τὸ τῆς οἰκονομίας αὐτοῦ μυςήριον· αὐτὸς δὲ πᾶν, ὃ λέγει καὶ ποιεῖ, κατὰ γνώμην ἐμὴν καὶ λέγει καὶ ποιεῖ. Λοιπὸν οὖν *αὐτοῦ ἀκούετε*, τὸν μωσαϊκὸν νόμον καὶ τὰς προφητικὰς μυσταγωγίας ἀφέντες· πλήρωμα γὰρ νόμου καὶ προφητῶν, ὁ Χριςός· καὶ λοιπὸν ἐκεῖνα πάντα συνετελέσθησαν, ἄχρι τούτου μόνον ἐκτεινόμενα.

6 Καὶ ἀκούσαντες οἱ μαθηταί, ἔπεσον ἐπὶ πρόσωπον
αὐτῶν, καὶ ἐφοβήθησαν σφόδρα.

Καὶ μήν, καὶ πρότερον ἐπὶ τοῦ Ἰορδάνου φωνὴ γέγονε τοιαύτη· καὶ μετὰ ταῦτα πάλιν, ὅτε καὶ *βροντὴν ἔλεγον γεγονέναι* (α), καὶ οὐδεὶς οὐδὲν τοιοῦτον ἔπαθε. Πῶς οὖν οὗτοι νῦν *ἔπεσον ἐπὶ πρόσωπον αὐτῶν*; Διότι καὶ ὕψος ἦν μέγα, καὶ ἐρημία βαθεῖα, καὶ ἡσυχία πολλή, καὶ μεταμόρφωσις γέγονε φρίκης γέμουσα, καὶ φῶς ἐξέλαμψεν ἀκήρατον, καὶ λοιπόν, τῆς νεφέλης περιταθείσης ἄνωθεν, καὶ ἐπικαταῤῥαγείσης τῆς φωνῆς, εἰκότως περιετράπησάν τε καὶ ἐφοβήθησαν.

Ἔστι δὲ καὶ ἑτέρως εἰπεῖν τό, *ἔπεσον ἐπὶ πρόσωπον αὐτῶν*, ἀντὶ τοῦ, προσεκύνησαν (1).

7 Καὶ προσελθὼν ὁ Ἰησοῦς, ἥψατο αὐτῶν, καὶ εἶπεν·
Ἐγέρθητε, καὶ μὴ φοβεῖσθε.

Ηλέησε τὴν ἀσθένειαν αὐτῶν, καὶ ταχέως λύει τὸν φόβον.

8 Ἐπάραντες δὲ τοὺς ὀφθαλμοὺς αὐτῶν, οὐδένα εἶδον,
εἰ μὴ τὸν Ἰησοῦν μόνον.

Ἵνα πληροφορηθῶσιν, ὅτι περὶ αὐτοῦ γέγονεν ἡ φωνή, μόνος λοιπὸν ὁρᾶται αὐτοῖς.

(α) Ἰωαν. ΙΒʹ, 29.

(1) ἐφοβήθησαν, ἀντὶ τοῦ, προσεκύνησαν, παρὰ τῷ Β.

9 Καὶ καταβαινόντων αὐτῶν ἐκ τοῦ ὄρους, ἐνετείλατο αὐτοῖς ὁ Ἰησοῦς, λέγων· Μηδενὶ εἴπητε τὸ ὅραμα, ἕως οὗ ὁ υἱὸς τοῦ ἀνθρώπου ἐκ νεκρῶν ἀναστῇ.

Ὅσον γὰρ μείζονα ἐλέγοντο περὶ αὐτοῦ, τοσοῦτον δυσπαραδεκτότερα ἐδόκουν. Κελεύει οὖν κρύπτειν παρ᾽ ἑαυτοῖς τὸ θαῦμα τοῦτο· διότι αὐτοί τε οὐκ ἔμελλον πιστευθῆναι, καὶ οἱ Ἰουδαῖοι μᾶλλον ἂν ἠγριώθησαν.

10 Καὶ ἐπηρώτησαν αὐτὸν οἱ μαθηταὶ αὐτοῦ, λέγοντες·
Τί οὖν οἱ γραμματεῖς λέγουσιν, ὅτι Ἠλίαν δεῖ ἐλθεῖν πρῶτον;

Περὶ τῆς θεότητος αὐτοῦ μαθόντες ἀκριβέστερον ἀπό τε τῆς ὁμολογίας Πέτρου, ἀπό τε τῆς μεταμορφώσεως, καὶ ἀπὸ τῆς ἄνωθεν φωνῆς, ἐρωτῶσιν, ὅτι, Ἐπειδὴ σὺ εἶ ὁ Χριςός, διὰ τί οἱ γραμματεῖς λέγουσιν, *ὅτι Ἠλίαν χρὴ ἐλθεῖν πρὸ τοῦ Χριστοῦ*; πῶς οὖν οὐκ ἦλθεν οὗτος πρὸ σοῦ; Τοῦτο μὲν οὖν ἠρώτησαν οἱ μαθηταί.

Προσήκει δὲ γινώσκειν, ὅτι αἱ Γραφαὶ δύο παρουσίας τοῦ Χριστοῦ λέγουσι, τήν τε γεγενημένην καὶ τὴν μέλλουσαν· περὶ ὧν ἀμφοτέρων καὶ ὁ Παῦλος ἐδίδαξε λέγων· περὶ μὲν τῆς πρώτης· *Ἐπεφάνη* (α) *ἡ χάρις τοῦ θεοῦ ἡ σωτήριος*· περὶ δὲ τῆς δευτέρας· *Προσδεχόμενοι τὴν μακαρίαν ἐλπίδα καὶ ἐπιφάνειαν* (1) *τοῦ μεγάλου θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ* (β).

Καὶ τῆς μὲν πρώτης γέγονε πρόδρομος, ὁ Ἰωάννης· τῆς

(α) Τιτ. Βʹ, 11.

(1) Ὁ Εὐθύμιος παραλείπει ἐνταῦθα, τῆς δόξης, ὡς καὶ ὁ Χρυσόστομος Τομ. Ζʹ. Σελ. 575. D.

(β) Τιτ. Βʹ, 13.

δευτέρας δὲ γενήσεται πρόδρομος, ὁ Ἠλίας. Περὶ ἧς φησὶ Μαλαχίας ὁ προφήτης· *Ἀποστελῶ (α) ὑμῖν Ἠλίαν τὸν Θεσβίτην, ὃς ἀποκαταστήσει καρδίαν πατρὸς πρὸς υἱὸν*, τουτέστιν, ὃς ἐπιστρέψει (1) τὰς καρδίας τῶν τηνικαῦτα Ἰουδαίων πρὸς τοὺς ἀποστόλους, ὥστε πεισθῆναι ταῖς διδασκαλίαις αὐτῶν, καὶ πιστεῦσαι τῷ Χριστῷ. Πατέρες γὰρ τῶν ἀποστόλων οἱ Ἰουδαῖοι.

Ἀλλ' οἱ γραμματεῖς τὰς δύο τοῦ Χριστοῦ παρουσίας εἰς μίαν συγχέοντες, καὶ τὴν πρώτην εἰς τὴν δευτέραν συνάγοντες, περὶ τῆς δευτέρας μόνης ἐδίδασκον τὸν λαόν· καὶ διὰ τοῦτο τὸν Χριστὸν οὐκ ἐδέχοντο, λέγοντες· ὅτι τὸν Ἠλίαν χρὴ ἐλθεῖν πρῶτον, εἶτα τὸν Χριστόν. Ἀλλὰ νῦν ὁ Χριστὸς διδάσκει περὶ τῶν δύο σαφῶς. Πρόσχες γάρ·

11 Ὁ δὲ Ἰησοῦς ἀποκριθεὶς, εἶπεν αὐτοῖς· Ἠλίας μὲν ἔρ-
12 χεται πρῶτον, καὶ ἀποκαταστήσει πάντα· λέγω δὲ
ὑμῖν, ὅτι Ἠλίας ἤδη ἦλθε, καὶ οὐκ ἐπέγνωσαν αὐτόν.

Ἠλίας μὲν ὁ πρῶτος, ἤγουν ὁ Θεσβίτης, οὔπω ἦλθεν· ἔρχεται δὲ, κατὰ τὴν δευτέραν μου παρουσίαν, καὶ *ἀποκαταστήσει πάντα* τὸν πειθόμενον αὐτῷ, τουτέστιν, *ἐπιστρέψει* καρδίαν πατρὸς πρὸς υἱὸν, ὡς ὁ προφήτης Μαλαχίας φησί. Λέγω δὲ ὑμῖν, ὅτι Ἠλίας ὁ δεύτερος, εἴτουν ὁ Βαπτιστὴς, ἤδη ἦλθε κατὰ τὴν πρώτην μου ταύτην παρουσίαν, ὡς αἱ Γραφαί φασι· καὶ οὐκ ἐπέγνωσαν οἱ γραμματεῖς, ὅτι καὶ οὗτος Ἠλίας ἐστὶν, οἷα πρόδρομος· οὐκ ἐπέγνωσαν δὲ αὐτὸν, ὡς κακῶς νοοῦντες τὰς Γραφάς.

12 Ἀλλ' ἐποίησαν ἐν αὐτῷ ὅσα ἠθέλησαν.

Οἱ περὶ τὸν Ἡρώδην δηλονότι. Πολλὰ γὰρ εἰς αὐτὸν ἐποίησαν, ἐμβαλόντες εἰς φυλακὴν, ἀποκεφαλίσαντες, ἐνεγκόντες τὴν κεφαλὴν αὐτοῦ ἐπὶ πίνακος.

(α) Μαλαχ. Δ', 4. 5.

(1) Ὡς ἑρμηνεύει τὸ, ἀποκαταστήσει, ὁ Λουκᾶς Ά, 17.

12 Οὕτω καὶ ὁ υἱὸς τοῦ ἀνθρώπου μέλλει πάσχειν ὑπ'
αὐτῶν.

Οὕτω καὶ αὐτὸς, ἀγνοούμενος, ὅτι ὁ Χριστός ἐστιν· ἀγνοούμενος δὲ διὰ τὴν κακόνοιαν αὐτῶν. Ἀλλὰ πῶς, τῶν νῦν Ἑβραίων μὴ πιστευσάντων τῷ Χριστῷ, οἱ τότε τῷ Ἠλίᾳ πεισθήσονται; Διότι γνωρίζουσιν αὐτὸν, καὶ γινώσκουσιν, ὃ περὶ αὐτοῦ προεῖπεν ὁ Μαλαχίας· ἅμα δὲ καὶ ὁ τοσοῦτος ἐν τῷ μέσῳ χρόνος, καὶ ἡ τηλικαύτη τοῦ κηρύγματος δύναμις, μαλάξουσι τὴν σκληροκαρδίαν αὐτῶν.

13 Τότε συνῆκαν οἱ μαθηταὶ, ὅτι περὶ Ἰωάννου τοῦ
Βαπτιστοῦ εἶπεν αὐτοῖς.

Προεῖπε γὰρ αὐτοῖς καὶ ἐν τῷ εἰκοστῷ Κεφαλαίῳ, ὅτι *αὐτός ἐστιν Ἠλίας, ὁ μέλλων ἔρχεσθαι* (α).

ΚΕΦΑΛΑΙΟΝ ΛΕ'

Περὶ τοῦ σεληνιαζομένου.

14 Καὶ ἐλθόντων αὐτῶν πρὸς τὸν ὄχλον, προσῆλθεν
15 αὐτῷ ἄνθρωπος, γονυπετῶν αὐτὸν, καὶ λέγων·
Κύριε, ἐλέησόν μου τὸν υἱόν· ὅτι σεληνιάζεται, καὶ
κακῶς πάσχει.

Περὶ τοῦ σεληνιασμοῦ προείρηται μὲν καὶ ἐν τῷ τετάρτῳ Κεφαλαίῳ φυσιολογικώτερον· ῥηθήσεται δὲ καὶ νῦν ἀκριβέ-

(α) Ματθ. ΙΑ', 14.

στερον, ὅτι τῶν δαιμόνων τινὲς παραχωρούμενοι (1) κατά τινων ἀνθρώπων, ἐπετήρουν καιρόν τινα τῆς σελήνης, καὶ τότε τούτοις ἐπεπήδων, ἵνα, ὡς τῆς σελήνης αἰτίας δοκούσης, ὁ δημιουργὸς αὐτῆς διαβάλληται.

15 Πολλάκις γὰρ πίπτει εἰς τὸ πῦρ, καὶ πολλάκις εἰς τὸ ὕδωρ.

Ὥστε, εἰ μὴ καὶ τότε ἡ τοῦ θεοῦ δύναμις τὸν δαίμονα ἀνεχαίτιζε, πάλαι ἂν αὐτὸν διέφθειρε. Μάρκος δέ φησιν (α), ὅτι τὸ ἐν αὐτῷ δαιμόνιον ἄλαλον ἦν καὶ κωφὸν, οὐχ ὡς φύσει τοιοῦτον, ἀλλ' ὡς δεσμῆσαν τὴν τοῦ δαιμονιζομένου φωνὴν καὶ ἀκοήν.

16 Καὶ προσήνεγκα αὐτὸν τοῖς μαθηταῖς σου, καὶ οὐκ ἠδυνήθησαν αὐτὸν θεραπεῦσαι.

Οὐκ ἠδυνήθησαν, διὰ τὴν ἀπιστίαν τοῦ προσαγαγόντος· εἰ γὰρ καὶ προσήγαγεν αὐτὸν, ἀλλ' οὐκ ἐπίστευσεν (2) ἀδιστάκτως, ὅτι δύνανται τὸν δαίμονα φυγαδεῦσαι. Τοῦτο δὲ φανερὸν ἀπό τε τοῦ εἰπεῖν τὸν Χριστὸν, *ὦ γενεὰ ἄπιστος*· ἀπό τε τοῦ εἰπεῖν αὖθις τὸν προσαγαγόντα, *Εἴτι δύνασαι, βοήθησον ἡμῖν*· καὶ ἀπὸ τοῦ ἐρωτῆσαι τὸν Χριστὸν, *Εἰ δύνασαι πιστεῦσαι*, καὶ ἀπὸ τοῦ ἀποκριθῆναι αὐτόν· *Πιστεύω, Κύριε· βοήθει μου τῇ ἀπιστίᾳ*. Ταῦτα γὰρ πλατύτερον ὁ Μάρκος ἱστόρησεν.

17 Ἀποκριθεὶς δὲ ὁ Ἰησοῦς, εἶπεν· Ὦ γενεὰ ἄπιστος καὶ διεστραμμένη!

Καθολικώτερον ἐπιπλήττει, διὰ τὸ πολλοὺς τῶν Ἰουδαίων ὁμοίως ἀπιστεῖν, καίτοι μυρία τοιαῦτα θεασαμένους, οὐ δι

(1) Ἐπιτιθέμενοί τισι τῶν ἀνθρώπων. Ὁ Χρυσόστομος Τομ. Ζ'. Σελ. 579. Ε. «Ὁ δαίμων ἐπιτίθεται τοῖς ἀλοῦσιν·»

(α) Μαρκ. Θ', 17. 25.

(2) ἐπίστευεν, παρὰ τῷ Α.

αὐτοῦ μόνον, ἀλλὰ καὶ διὰ τῶν μαθητῶν θαυματουργηθέντα. *Διεστραμμένη* δὲ, ἀντὶ τοῦ, σκολιὰ, μὴ νοοῦσα τὸ εὐθές.

17 Ἕως πότε ἔσομαι μεθ' ὑμῶν; ἕως πότε ἀνέξομαι ὑμῶν;

Ἀγανακτεῖ, καὶ ζητεῖ τὸν θάνατον, διὰ τὸ εἶναι αὐτοὺς ἀνιάτους τὴν ἀπιστίαν.

17 Φέρετέ μοι αὐτὸν ὧδε.

Ἵνα μὴ δόξῃ καὶ αὐτὸς ἀσθενὴς, ἐκβάλλει τὸ δαιμόνιον· ἀγαγεῖν δὲ τὸν δαιμονῶντα κελεύει, ἵνα φανερὰ ἡ δύναμις αὐτοῦ γένηται τοῖς ἀσθενεῖν καὶ αὐτὸν οἰομένοις.

18 Καὶ ἐπετίμησεν αὐτῷ ὁ Ἰησοῦς.

Ἐπέταξε. Μάρκος δὲ καὶ Λουκᾶς φασὶν (α), ὅτι *ἐπετίμησε τῷ πνεύματι τῷ ἀκαθάρτῳ*. Καὶ ἀμφοτέροις γὰρ ἐπέταξε, τῷ δαιμονιζομένῳ μὲν, σωφρονεῖν· τῷ δαίμονι δὲ, φυγεῖν.

18 Καὶ ἐξῆλθεν ἀπ' αὐτοῦ τὸ δαιμόνιον· καὶ ἐθεραπεύθη ὁ παῖς ἀπὸ τῆς ὥρας ἐκείνης.

Ταῦτα μὲν σαφῆ. Δαίμονι δὲ ἀλάλῳ καὶ κωφῷ κατέχεται καὶ πᾶς ὁ μήτε λέγων, μήτε ἀκούων τὰ θεῖα λόγια. Ῥίπτει δὲ τοῦτον ὁ δαίμων, ποτὲ μὲν, εἰς τὸ πῦρ τοῦ θυμοῦ καὶ τῆς ἐπιθυμίας, ποτὲ δὲ, εἰς τὸ ὕδωρ τῆς ζάλης τῶν ἄλλων παθῶν.

19 Τότε προσελθόντες οἱ μαθηταὶ τῷ Ἰησοῦ κατ'
ἰδίαν, εἶπον· Διατὶ ἡμεῖς οὐκ ἠδυνήθημεν ἐκβαλεῖν
20 αὐτό; Ὁ δὲ Ἰησοῦς εἶπεν αὐτοῖς· Διὰ τὴν ἀπιστίαν
ὑμῶν.

Μάρκος δέ φησιν (α), ὅτι *εἰσελθόντα αὐτὸν εἰς οἶκον*, ἐπη-

(α) Μαρκ. Θ', 25. Λουκ. Θ', 42.

(β) Μάρκ. Θ', 28.

ρώτησαν. Ἐρωτῶσι δὲ, φοβούμενοι, μήποτε ἀπώλεσαν, ἣν ἔλαβον, ἐξουσίαν κατὰ πνευμάτων ἀκαθάρτων· ὁ δὲ Χριστὸς ἐνώπιον μὲν τοῦ πλήθους τῇ ἀπιστίᾳ τοῦ προσενεγκόντος τὴν αἰτίαν ἐλογίσατο· κατ᾽ ἰδίαν δὲ, τὴν τῶν μαθητῶν ἀπιστίαν αἰτιᾶται. Καὶ γὰρ καὶ οὗτοι, πρὸ τῆς ἐπιχειρήσεως ἀπιστήσαντες, ὅτι δύνανται τὸν κάμνοντα θεραπεῦσαι· καίτοι πολλοὺς ἄλλους θεραπεύσαντες· λοιπὸν οὐδὲ μετὰ τὴν ἐπιχείρησιν ἠδυνήθησαν. Ἄριστα τοίνυν ἐνώπιον μὲν πολλῶν, τὴν τῶν πολλῶν ἀπιστίαν διέσυρε· κατ᾽ ἰδίαν δὲ, τὴν τῶν ἰδίων. Οὐκ ἦν γὰρ εἰκὸς, ἐπὶ πολλῶν καταισχύνεσθαι τοὺς κοινοὺς διδασκάλους τῆς οἰκουμένης.

20 Ἀμὴν γὰρ λέγω ὑμῖν, ἐὰν ἔχητε πίστιν ὡς κόκκον σινάπεως, ἐρεῖτε τῷ ὄρει τούτῳ· Μετάβηθι ἐντεῦθεν ἐκεῖ, καὶ μεταβήσεται·

Π*ίστιν* λέγει νῦν, οὐ τὴν περὶ τοῦ εἶναι αὐτὸν θεόν· ἀλλὰ τὴν περὶ τοῦ ποιεῖν σημεῖα. Φησὶ γάρ· *Ἐὰν ἔχητε πίστιν* οὕτω δριμεῖαν καὶ σφοδρὰν καὶ θερμὴν, *ὡς κόκκον σινάπεως*· τοιαύτης γὰρ ποιότητος οὗτος· πιστεύοντες ἀνενδοιάστως, ὅτι ποιήσετε σημεῖα, τηλικαύτην ἕξετε δύναμιν, ὡς καὶ αὐτὰ τὰ ὄρη μεθιστᾷν, εἰ βούλεσθε.

Τὸ δὲ τοιαύτην πίστιν ἔχειν τινὰ, δοκεῖ μὲν εὐχερές· ἔστι δὲ καὶ λίαν ὑψηλόν· γεννᾶται μὲν γὰρ ἐκ παῤῥησίας τῆς πρὸς τὸν θεόν· ἡ δὲ τοιαύτη παῤῥησία πάλιν ἐξ εὐαρεστήσεως· μεγάλου δὲ ἀγῶνος τὸ δι᾽ εὐαρεστήσεως κτήσασθαι παῤῥησίαν πρὸς τὸν θεὸν τοιαύτην, ὥστε πιστεύειν βεβαίως, ὅτι δώσει πᾶν τὸ αἰτούμενον. *Αἰτεῖτε γάρ*, φησι, *καὶ δοθήσεται ὑμῖν* (α).

Εἰ δὲ μὴ μετέθηκαν ὄρη φανερῶς οἱ ἀπόστολοι, μὴ θαυμάσῃς· οὐ γὰρ ὡς μὴ δυνηθέντες, ἀλλ᾽ ὡς μὴ βουληθέντες, ἅτε

(α) Ματθ. Ζ΄, 7.

μὴ χρείας τοιαύτης γενομένης αὐτοῖς. Μετὰ τούτους γάρ τινες ἅγιοι, τούτων ἐλάττους πολλῷ, χρείας ἐπιτεθείσης, μετέστησαν ὄρη κατὰ τὴν δεσποτικὴν ἀπόφασιν. Εἴη δ᾽ ἂν ὄρος καὶ ὁ διάβολος, διὰ τὴν ἔπαρσιν τῆς οἰήσεως, ὃν εὐχερῶς οἱ ἅγιοι μετακινοῦσιν, ὅτε καὶ βούλονται.

20 Καὶ οὐδὲν ἀδυνατήσει ὑμῖν.

Οὐ μόνον ὄρη μεταστήσετέ, φησιν, ἀλλὰ καὶ οὐδὲν ἕτερον ἀδύνατον ἔσται ὑμῖν.

21 Τοῦτο δὲ τὸ γένος οὐκ ἐκπορεύεται, εἰ μὴ ἐν προσευχῇ καὶ νηστείᾳ.

Τὸ γένος τῶν δαιμόνων πάντων, οὐκ ἐκπορεύεται ἑτέρως, *εἰ μὴ ἐν προσευχῇ καὶ νηστείᾳ*, οὐ μόνον τοῦ θεραπεύοντος, ἀλλὰ καὶ τοῦ πάσχοντος, καὶ μᾶλλον τοῦ πάσχοντος. Ἡ μὲν γὰρ προσευχὴ, σφόδρα φοβερὰ τῷ δαίμονι· ταύτην δὲ κρατύνει καὶ δυναμοῖ λίαν ἡ νηστεία, μὴ ἐῶσα τὴν πλησμονὴν χαλᾷν τὸν τόνον τοῦ σώματος, μηδὲ τοὺς ἐκ ταύτης ἀτμοὺς ἐνοχλεῖν τῷ ἐγκεφάλῳ, καὶ συγχέειν τὸν νοῦν· καὶ λοιπὸν, τοῦ σώματος μὲν εὐτονοῦντος, τοῦ νοῦ δὲ ἀπερισπάστως ἐνεργοῦντος, σφοδροτέρα πυρὸς καὶ φοβερωτέρα παντὸς ἄνεισιν ἡ προσευχή· διὸ χρὴ συνεζεῦχθαι ταύτας ἀεί.

22 Ἀναστρεφομένων δὲ αὐτῶν ἐν τῇ Γαλιλαίᾳ, εἶπεν
αὐτοῖς ὁ Ἰησοῦς· Μέλλει ὁ υἱὸς τοῦ ἀνθρώπου πα-
23 ραδίδοσθαι εἰς χεῖρας ἀνθρώπων· καὶ ἀποκτενοῦσιν
αὐτὸν· καὶ τῇ τρίτῃ ἡμέρᾳ ἐγερθήσεται. Καὶ ἐλυ-
πήθησαν σφόδρα.

Συνεχῶς προλέγει περὶ τῆς ἀναιρέσεως αὐτοῦ τοῖς μαθηταῖς, ἵνα, προγυμνασθέντες τῇ συνεχείᾳ τῆς ὑπομνήσεως, εὐχερῶς αὐτὴν φέροιεν γενομένην. Καὶ ἁπλῶς εἰπεῖν, διὰ τὴν αἰτίαν, ἣν παραδεδώκαμεν ἐν τῷ τριακοστῷ τρίτῳ Κεφαλαίῳ. Ὅρα

γοῦν, πῶς, καὶ τοῦ Πέτρου ἐπιτιμηθέντος ἐκεῖ, καὶ τοῦ πατρὸς μετὰ τοῦτο κελεύσαντος, αὐτοῦ ἀκούειν, καὶ τῆς ἀναστάσεως μετὰ τρεῖς ἡμέρας ὑποσχεθείσης, οὐδ᾽ οὕτως ἤνεγκαν, ἀλλ᾽ ἐλυπήθησαν, καὶ οὐδὲ ἁπλῶς, ἀλλὰ σφόδρα.

Τοῦτο δ᾽ ἐγένετο, διὰ τὸ ἀγνοεῖν αὐτοὺς τῶν λεγομένων τὴν δύναμιν, ὡς Μάρκος καὶ Λουκᾶς εἶπον. Εἴρηκε γὰρ ὁ μὲν, ὅτι *ἠγνόουν τὸ ῥῆμα, καὶ ἐφοβοῦντο αὐτὸν ἐπερωτῆσαι* (α)· ὁ δὲ, ὅτι *καὶ ἦν παρακεκαλυμμένον ἀπ᾽ αὐτῶν, ἵνα μὴ αἴσθωνται αὐτό* (ϐ). Κατὰ θείαν γὰρ οἰκονομίαν ἀπεκρύπτετο ἡ γνῶσις τοῦ ῥήματος ἀπ᾽ αὐτῶν, ὡς ἀτελῶν ἔτι, καὶ μὴ δυναμένων ἐφικέσθαι τοῦ ὑπερφυοῦς τούτου μυστηρίου.

Καὶ ἐὰν ἠγνόουν αὐτὸ, πῶς ἐλυπήθησαν σφόδρα; Οὐ τὸ πᾶν ἠγνόουν, ἀλλὰ περὶ μὲν τοῦ θανάτου αὐτοῦ ἐγίνωσκον, διαφόρως ἀκούσαντες, ἐφ᾽ ᾧ καὶ ἐλυπήθησαν σφόδρα· περὶ δὲ τῆς ἀναστάσεως ἠγνόουν. Πολλάκις γὰρ καὶ περὶ ταύτης ἀκούσαντες, ὅμως οὐκ ἠδύναντο νοεῖν, τί ἐστιν αὕτη. Φησὶ γὰρ ὁ Μάρκος ἐν ἄλλοις, ὅτι *ἦσαν συζητοῦντες, Τί ἐστι τὸ ἐκ νεκρῶν ἀναστῆναι* (γ). Ὑπελάμϐανον γὰρ, ὅτι καὶ τοῦτο παραϐολή τίς ἐστι. Καὶ γὰρ μετὰ τὴν ἀνάστασιν διήνοιξεν αὐτῶν τὸν νοῦν τοῦ συνιέναι περὶ πάντων (δ).

ΚΕΦΑΛΑΙΟΝ ΛϚʹ.

Περὶ τῶν αἰτούντων τὰ δίδραχμα.

24 Ἐλθόντων δὲ αὐτῶν εἰς Καπερναοὺμ, προσῆλθον

(α) Μάρκ. Θʹ, 32.
(ϐ) Λουκ. Θʹ, 45.
(γ) Μάρκ. Θʹ, 10.
(δ) Λουκ. ΚΔʹ, 45.

οἱ τὰ δίδραχμα λαμϐάνοντες τῷ Πέτρῳ, καὶ εἶπον·
25 Ὁ διδάσκαλος ὑμῶν οὐ τελεῖ τὰ δίδραχμα; Λέγει·
Ναί.

Οἱ πρωτότοκοι τῶν Ἑϐραίων δίδραχμον ἕκαστος κατ᾽ ἐνιαυτὸν ἐτέλουν τῷ θεῷ πρὸς εὐχαριστίαν, ἀνθ᾽ ὧν ἐξωλόθρευσε πάλαι τὰ τῶν Αἰγυπτίων πρωτότοκα. Ἐπεὶ οὖν καὶ ὁ Χριστὸς πρωτότοκος ἦν, αὐτῷ μὲν, οἱ ἐπισυνάγοντες ταῦτα, προσελθεῖν ηὐλαϐήθησαν, τιμῶντες αὐτὸν, διὰ τὰ σημεῖα· τῷ Πέτρῳ δὲ λοιπὸν, ὡς κορυφαίῳ τῶν μαθητῶν, προσέρχονται, καὶ οὐκ ἀπαιτοῦσιν, ἀλλὰ μετὰ πρᾳότητος ἐρωτῶσιν. Ἔστι δὲ τὸ *δίδραχμον*, εἶδος ἀργυρίου.

25 Καὶ ὅτε εἰσῆλθεν εἰς τὴν οἰκίαν, προέφθασεν αὐτὸν
ὁ Ἰησοῦς, λέγων· Τί σοι δοκεῖ, Σίμων; Οἱ βασιλεῖς τῆς γῆς ἀπὸ τίνων λαμϐάνουσι τέλη ἢ κῆνσον; ἀπὸ τῶν υἱῶν αὐτῶν, ἢ ἀπὸ τῶν ἀλλοτρίων;

Πρὸ τοῦ εἰπεῖν τὸν Πέτρον περὶ τοῦ διδράχμου, προέλαϐεν αὐτὸν ὁ Χριστὸς, ἐμφαίνων, ὅτι οὐ δεῖται παρ᾽ ἑτέρου μαθεῖν, εἰδὼς, οὐ τὰ λαλούμενα μόνον, ἀλλὰ καὶ τὰ ἐννοούμενα. Διὰ παραδείγματος δὲ ἀποδείκνυσιν, ὅτι γνήσιος υἱὸς ὢν τοῦ θεοῦ, οὐκ ὀφείλει τελεῖν τῷ πατρὶ τὸ δίδραχμον· οἱ γὰρ βασιλεῖς οὐκ ἀπὸ τῶν γνησίων υἱῶν, ἀλλ᾽ ἀπὸ τῶν ἀλλοτρίων τέλη ἢ κῆνσον λαμϐάνουσι. Τὸ αὐτὸ δὲ λέγεται καὶ *τέλος* καὶ *κῆνσος*· τέλος μὲν, καθ᾽ Ἕλληνας· κῆνσος δὲ, κατὰ Ῥωμαίους.

26 Λέγει αὐτῷ ὁ Πέτρος· Ἀπὸ τῶν ἀλλοτρίων. Ἔφη
αὐτῷ ὁ Ἰησοῦς· Ἄραγε ἐλεύθεροί εἰσιν οἱ υἱοί.

Τὸ, *ἄρα*, ἀντὶ τοῦ, λοιπόν. *Ἐλεύθεροι* δὲ, τοῦ δοῦναι τέλη ἢ κῆνσον.

27 Ἵνα δὲ μὴ σκανδαλίσωμεν αὐτοὺς, πορευθεὶς εἰς τὴν
θάλασσαν, βάλε ἄγκιστρον, καὶ τὸν ἀναβάντα πρῶ-

τον ἰχθὺν ἆρον· καὶ ἀνοίξας τὸ στόμα αὐτοῦ, εὑρήσεις στατῆρα· ἐκεῖνον λαβὼν, δὸς αὐτοῖς ἀντὶ ἐμοῦ καὶ σοῦ.

Ἀποδείξας πρῶτον, ὅτι αὐτὸς οὐκ ὀφείλει τελέσαι, διὰ τὴν θεότητα, λοιπὸν κελεύει δοῦναι, διὰ τὴν ἀνθρωπότητα, ἵνα μὴ σκανδαλισθῶσιν, ὡς ἀτιμάζοντος αὐτοῦ τὸν θεὸν, ἐν τῷ μὴ τελεῖν καὶ αὐτὸν τῷ θεῷ τὸ δίδραχμον. Ἐκ τῆς θαλάσσης δὲ δίδωσι τὸ τέλος, δεικνύων κἀντεῦθεν, ὅτι θεὸς ὢν, τῶν ὅλων κυριεύει, καὶ τῆς θαλάσσης, ἥτις τῷ βουλήματι αὐτοῦ καθυπηρετοῦσα πέμπει τὸν ἰχθὺν, κομίζοντα τὸ τέλος ὑπὲρ τοῦ δεσπότου, καὶ οὐχ ὑπὲρ αὐτοῦ μόνον, ἀλλὰ καὶ ὑπὲρ τοῦ πρώτου τῶν μαθητῶν αὐτοῦ· πρωτότοκος γὰρ καὶ ὁ Πέτρος ἦν.

Καὶ πρότερον μὲν γὰρ τοῦτο (1) διαφόρως ἔδειξεν, ὅτε ἐπετίμησεν αὐτῇ μαινομένῃ, καὶ ὅτε διὰ ταύτης ἐπέζευσεν, ὡς διὰ ξηρᾶς· καὶ νῦν δὲ πάλιν τρόπον ἕτερον τοῦτο δείκνυσι, πολλαχόθεν δηλῶν τὴν ὑποταγὴν αὐτῆς. Ἀργυρίου δὲ εἶδος καὶ ὁ στατὴρ ἦν, δύο διδράχμων ἀντάξιος.

Σκόπει δὲ, πῶς νῦν μὲν, οὐκ ἠβουλήθη σκανδαλίσαι τοὺς Ἰουδαίους· ἀλλαχοῦ δὲ, κατεφρόνησε τοῦ σκανδάλου τῶν φαρισαίων, ὅτε περὶ τῶν βρωμάτων διελέγετο. Διδάσκει γὰρ, ὅτι ποτὲ μὲν χρὴ φροντίζειν τοῦ σκανδάλου, ποτὲ δὲ καταφρονεῖν αὐτοῦ, μετὰ διακρίσεως δὲ ποιεῖν καὶ τοῦτο κἀκεῖνο.

[Καθόλου (2) γὰρ, ἐπὶ μὲν τοῖς κατ' ἐντολὴν θεοῦ λεγομένοις ἢ πραττομένοις χρὴ καταφρονεῖν τοῦ σκανδάλου· ἐπὶ δὲ τοῖς κατὰ προαίρεσιν ἡμετέραν, προσήκει θεραπεύειν τὸ σκάνδαλον, ὡς ὁ μέγας Βασίλειος διέστειλεν].

(1) Ὅτι κυριεύει καὶ τῆς θαλάσσης.

(2) Τὰ παρεντεθειμένα παραλείπονται παρὰ τῷ Α.

ΚΕΦΑΛΑΙΟΝ ΛΖ'.

Περὶ τῶν λεγόντων, τίς μείζων.

ΚΕΦ. XVIII, 1 Ἐν ἐκείνῃ τῇ ὥρᾳ προσῆλθον οἱ μαθηταὶ τῷ Ἰησοῦ, λέγοντες· Τίς ἄρα μείζων ἐστὶν ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν;

Ἀνθρώπινόν τι τότε πεπόνθασιν οἱ μαθηταί. Θεασάμενοι γὰρ προτιμηθέντα τὸν Πέτρον· καὶ γὰρ καὶ Ἰάκωβος πρωτότοκος ἦν, καὶ ἕτεροι· ἀλλ' οὐδὲν τοιοῦτον ὑπὲρ τούτων εἶπεν· ἤλγησαν· καὶ αἰσχύνονται μὲν ὁμολογῆσαι τὸ πάθος, ἀδιορίστως δὲ τὸν διδάσκαλον ἐρωτῶσι, *Τίς ἄρα μείζων* ἐξ αὐτῶν.

Οὐ τοῦτο δὲ μόνον, ἀλλὰ καὶ ἕτερα πολλὰ τὸ πάθος ἀνῆψαν. Καὶ γὰρ καὶ πρότερον ἐμακάρισεν αὐτὸν, καὶ μεγάλα τούτῳ ἐπηγγείλατο, καὶ τὴν ἄλλην δὲ παῤῥησίαν αὐτοῦ βλέποντες παρεκνίζοντο.

Μάρκος δέ φησιν, ὅτι πρὸς ἑαυτοὺς διελογίζοντο, τίς μείζων (α). Τούτῳ δὲ συνᾴδει καὶ ὁ Λουκᾶς (β).

Πρὸ μὲν γὰρ τοῦ ἐντυχεῖν τῷ Πέτρῳ τοὺς τὰ δίδραχμα λαμβάνοντας, διελογίσαντο περὶ τούτου κατὰ τὴν ὁδὸν ἁπλῶς· ἐλθόντες δὲ εἰς Καπερναοὺμ, ἐν ᾗ καὶ τῷ Πέτρῳ προσῆλθον οἱ τὰ δίδραχμα λαμβάνοντες, καὶ ἰδόντες τοῦτον ἔτι προτιμηθέντα, μᾶλλον ἠρεθίσθησαν· καὶ τότε λοιπὸν ἠρώτησαν.

Καὶ δοκοῦσι μὲν ἐρωτῆσαι, περὶ οὗ ἐγίνωσκον· οὐκ ἔστι δὲ τοῦτο· καὶ γὰρ, ὅτι μὲν ἐπὶ τῆς γῆς ὁ Πέτρος προτετίμηται τούτων, ᾔδεσαν ἐξ ὧν ἔβλεπον· ἐβούλοντο δὲ μαθεῖν, εἰ καὶ

(α) Ὁ Μάρκος Θ', 34. λέγει «πρὸς ἀλλήλους διελέχθησαν». Τὸ δὲ, διελογίζοντο, ἐκ τοῦ Χρυσοστόμου. Τομ. Ζ'. Σελ. 587. Β.

(β) Λουκ. Θ', 46.

ἐν οὐρανῷ προτιμηθήσεται. Ἀλλὰ τότε μὲν ἤλγησαν· τέλειοι δὲ γενόμενοι, τῶν πρωτείων ἀλλήλοις παρεχώρουν.

2 Καὶ προσκαλεσάμενος ὁ Ἰησοῦς παιδίον, ἔστησεν
αὐτὸ ἐν μέσῳ αὐτῶν.

Μάρκος δέ φησιν (α), ὅτι *καὶ ἐναγκαλισάμενος αὐτὸ*, εἶπεν αὐτοῖς. Λουκᾶς δέ, ὅτι *ἔστησεν αὐτὸ παρ᾽ ἑαυτῷ* (β)· πάντα δὲ γεγόνασι· πρῶτον μὲν γάρ, ἔστησεν αὐτὸ ἐν μέσῳ αὐτῶν· εἶτα, παρ᾽ ἑαυτῷ· ἔπειτα, ἐνηγκαλίσατο αὐτό. Βούλεται δὲ διὰ τοῦ κατὰ τὸ παιδίον παραδείγματος καταστεῖλαι τὸ πάθος αὐτῶν.

3 Καὶ εἶπεν· Ἀμὴν λέγω ὑμῖν, ἐὰν μὴ στραφῆτε,
καὶ γένησθε ὡς τὰ παιδία, οὐ μὴ εἰσέλθητε εἰς τὴν
βασιλείαν τῶν οὐρανῶν.

Ὑμεῖς μὲν περὶ τοῦ ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν πρωτείου πυνθάνεσθε· ἐγὼ δὲ λέγω ὑμῖν, ὅτι, *ἐὰν μὴ στραφῆτε* ἀπὸ τῆς πονηρίας ἐπὶ τὸ ἀπόνηρον, καὶ γένησθε ἄκακοι, ὡς τὰ παιδία, οὐδὲ εἰσελεύσεσθε ὅλως εἰς αὐτήν.

Τὸ γὰρ παιδίον, ἔστι μὲν· ἁπλοῦν, ἀπερίεργον, ἀκενόδοξον, ἄτυφον· ἀπήλλακται δὲ βασκανίας καὶ ζηλοτυπίας καὶ φιλοπρωτείας καὶ ἔριδος, καὶ ἁπλῶς εἰπεῖν, ἐλεύθερόν ἐστι παντὸς προαιρετικοῦ πάθους, οὐκ ἐξ ἀσκήσεως, ἀλλ᾽ ἐξ ἀφελείας. Εἴ τις οὖν ἀπέχεται τῶν προαιρετικῶν παθῶν, γίνεται ὡς τὰ παιδία, κτώμενος δι᾽ ἀσκήσεως, ἅπερ ἔχουσι τὰ παιδία ἐξ ἀφελείας.

4 Ὅστις οὖν ταπεινώσῃ ἑαυτὸν ὡς τὸ παιδίον τοῦτο,
οὗτός ἐστιν ὁ μείζων ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν.

Ὅστις λίαν ταπεινώσῃ ἑαυτόν, ἑκουσίως, ὡς τὸ παιδίον τοῦ-

(α) Μαρκ. Θ', 36.
(β) Λουκ. Θ', 47.

το λίαν τεταπείνωται, ἀκουσίως. Χρὴ γὰρ μιμεῖσθαι τὸ παιδίον, ὃ πολλὰς ἔχον, ὡς εἴρηται, ἀρετάς, ἐπ᾽ οὐδεμιᾷ τούτων ἐπαίρεται.

5 Καὶ ὃς ἐὰν δέξηται παιδίον τοιοῦτον ἓν ἐπὶ τῷ ὀνό-
ματί μου, ἐμὲ δέχεται.

Καὶ ὅστις ἂν ξενοδοχήσῃ παιδίον τοιοῦτον ἕν, οἷον εἶπον, ἤγουν, ἕνα τινὰ γενόμενον, ὡς παιδίον τοιοῦτον, λέγω δή, ταπεινὸν καὶ εὐτελῆ καὶ ἀπεῤῥιμμένον. Τὸ δέ, *ἐπὶ τῷ ὀνόματί μου*, ἀντὶ τοῦ, δι᾽ ἐμέ, διὰ τὸ εἶναι τὸν τοιοῦτον ἐμόν.

Ὅρα δέ, πόσον φιλεῖ τὸν τοιοῦτον· ὁ τοῦτον γάρ, φησι, δεχόμενος, ἐμὲ δέχεται. Μάρκος δὲ προσέθηκεν, ὅτι *Καὶ ὃς ἐὰν ἐμὲ δέξηται, οὐκ ἐμὲ δέχεται, ἀλλὰ τὸν ἀποστείλαντά με* (α).

Ἔστι δὲ ὁ νοῦς τῶν ὅλων ῥητῶν τοιοῦτος, ὅτι Ὃς ἂν ὑποδέξηται τὸν γενόμενον, ὡς παιδίον, δι᾽ ἐκείνου μέν, ἐμὲ ὑποδέχεται, δι᾽ ἐμοῦ δέ, τὸν ἀποστείλαντά με πατέρα μου· ὁ μὲν γὰρ πατὴρ οἰκειοῦται τὴν εἰς ἐμὲ τιμήν· ἐγὼ δέ, τὴν εἰς τὸν γενόμενον, ὡς παιδίον.

Τί οὖν μακαριώτερον τοιαύτης ὑποδοχῆς, δι᾽ ἧς ὑποδέχεταί τις τὴν μακαρίαν Τριάδα; Εἰ γὰρ τὸν υἱὸν καὶ τὸν πατέρα, πάντως καὶ τὸ πνεῦμα τὸ ἅγιον (1)· ἀχώριστος γὰρ ἡ θεία Τριάς. Οὔπω δὲ καιρὸς ἦν τηνικαῦτα διδάξαι καὶ περὶ τοῦ ἁγίου πνεύματος.

Τὸ δέ, *οὐκ ἐμὲ δέχεται*, κατὰ συνήθειαν λόγου εἴρηται. Καὶ γὰρ πολλάκις εἰώθαμεν λέγειν, ὅτι Ὃ ποιεῖς ἐμοὶ οὐκ ἐμοὶ ποιεῖς, ἀλλὰ τῷ θεῷ. Διὸ καὶ ὁ Λουκᾶς (β) τἆλλα θείς, τοῦτο παραλέλοιπεν, ὡς ἰδίωμα.

(α) Μαρκ. Θ', 37.
(1) ὑποδέχεται.
(β) Λουκ. Θ', 48.

6 Ὃς δ' ἂν σκανδαλίσῃ ἕνα τῶν μικρῶν τούτων, τῶν πιστευόντων εἰς ἐμὲ, συμφέρει αὐτῷ, ἵνα κρεμασθῇ μύλος ὀνικὸς ἐπὶ τὸν τράχηλον αὐτοῦ, καὶ καταποντισθῇ ἐν τῷ πελάγει τῆς θαλάσσης.

Σ*κανδαλισμὸν* ἐνταῦθα, τὴν ἀτιμίαν λέγει. Φησὶ γὰρ, ὅτι, Ὥσπερ οἱ τοὺς τοιούτους τιμῶντες, ἐν τῷ ὑποδέχεσθαι αὐτοὺς, δι' ἐμὲ, τῆς ἄκρας ἀξιοῦνται μακαριότητος· οὕτω δὴ καὶ οἱ ἀτιμάζοντες αὐτοὺς, ἐν τῷ καταφρονεῖν αὐτῶν, τὴν ἐσχάτην δώσουσι δίκην.

Ἕνα δὲ τῶν μικρῶν τούτων, εἴτουν, τῶν μικρῶν κατὰ τὸ φαινόμενον, τῶν εὐτελῶν· λέγει δὲ περὶ τῶν γενομένων, ὡς τὰ παιδία. Εἰπὼν δὲ, ὅτι συμφέρει αὐτῷ, ἵνα πάθῃ τήνδε τὴν χαλεπὴν τιμωρίαν, ἐνέφηνεν, ὅτι χαλεπωτέραν μέλλει παθεῖν ἐν τῷ μέλλοντι αἰῶνι.

7 Οὐαὶ τῷ κόσμῳ ἀπὸ τῶν σκανδάλων.

Προαναφωνεῖ τὴν ἐσομένην βλάβην ἀπὸ τῶν σκανδάλων, ἵνα, προσδοκῶντες αὐτὰ, νήφωσι διὰ παντὸς, οὐχ οἱ ἀπόστολοι μόνον, ἀλλὰ καὶ πάντες.

Καὶ *κόσμον* μὲν λέγει, τοὺς ἐν τῷ κόσμῳ· *σκάνδαλα* δὲ, τὰ ἐμπόδια τῆς ὀρθῆς πολιτείας· ταλανίζει δὲ τὸν κόσμον διὰ τὰ σκάνδαλα, ὡς μέλλοντα πολλὰ παθεῖν ὑπ' αὐτῶν.

7 Ἀνάγκη γάρ ἐστιν ἐλθεῖν τὰ σκάνδαλα·

Πρὸς τοῦτο φασί τινες, ὅτι Ἐὰν ἀνάγκη ἐστίν, ἐλθεῖν τὰ σκάνδαλα, ἀνάγκη καὶ ἁμαρτάνειν· ἐὰν δὲ ἀνάγκη ἁμαρτάνειν, ἀδίκως ἀπαιτοῦνται δίκην οἱ ἁμαρτάνοντες· τὸ γὰρ ἐξ ἀνάγκης, ἀνεύθυνον. Πρὸς οὓς λέγομεν, ὅτι ἀνάγκη μέν ἐστιν, ἐλθεῖν τὰ σκάνδαλα, διὰ τὴν ἀνάγκην τῶν δαιμόνων· οὐκ ἀνάγκη δὲ σκανδαλισθῆναι τοὺς σπουδαίους, διὰ τὸ τῆς προαιρέσεως αὐτεξούσιον. Τὸ μὲν γὰρ ἐλθεῖν τὰ σκάνδαλα, οὐκ ἔστιν ἡμέ-

τερον· τὸ δὲ μὴ σκανδαλισθῆναι, πάντως ἡμέτερον. Εἰδὼς οὖν ὁ Χριστὸς, ὅτι πάντως ἐλεύσονται τὰ σκάνδαλα, προλέγει περὶ τούτων, ἵνα προσέχωμεν, ὡς εἴρηται· πλὴν οὐ διὰ τοῦτο ἔρχονται, διότι προεῖπεν, ἀλλὰ διὰ τοῦτο προεῖπε, διότι ἔρχονται.

7 Πλὴν οὐαὶ τῷ ἀνθρώπῳ ἐκείνῳ, δι' οὗ τὸ σκάνδαλον ἔρχεται.

Τὸ σκάνδαλον σπείρεται μὲν παρὰ τοῦ δαίμονος, ὑπ' ἀνθρώπου δὲ τρέφεται καὶ αὔξεται καὶ κομίζεται (1), προαίρεσιν ἔχοντος φαύλην καὶ διεφθαρμένην, ὃν καὶ ταλανίζει νῦν, ὡς ὑπηρέτην τοῦ δαίμονος. Εἶτα διδάσκει, καὶ πῶς τὰ σκάνδαλα διαφευξόμεθα.

8 Εἰ δὲ ἡ χείρ σου ἢ ὁ πούς σου σκανδαλίζει σε, ἔκκοψον αὐτὰ, καὶ βάλε ἀπὸ σοῦ· καλόν σοι ἐστὶν εἰσελθεῖν εἰς τὴν ζωὴν χωλὸν ἢ κυλλὸν, ἢ δύο χεῖρας ἢ δύο πόδας ἔχοντα βληθῆναι εἰς τὸ πῦρ τὸ αἰώνιον.

Οὐ περὶ μελῶν σώματος, ταῦτά φησιν, ἀλλὰ περὶ συγγενῶν καὶ φίλων καὶ ὑπηρετῶν, οὓς ἐν τάξει μελῶν τοιούτων ἔχομεν, ὡς ἐν τῷ πέμπτῳ Κεφαλαίῳ λεπτομερῶς ἐξηγησάμεθα. Καὶ ἐν ἐκείνῳ γὰρ ταῦτα εἴρηται, καὶ ζήτησον ἐκεῖ τὴν ἐξήγησιν. Ἀλλ' ἐκεῖ μὲν, περὶ ἐμπαθείας ἦν ὁ λόγος· ἐνταῦθα δὲ, περὶ παντοίας βλάβης. Ὅρα δὲ νῦν, ὅτι *κυλλὸν*, τὸν ἄχειρα λέγει.

9 Καὶ εἰ ὁ ὀφθαλμός σου σκανδαλίζει σε, ἔξελε αὐτὸν, καὶ βάλε ἀπὸ σοῦ· καλόν σοι ἐστὶ μονόφθαλ-

---

(1) Κομίζεται εἰς τὸ μέσον, προφέρεται καὶ ἄλλοις προσφέρεται.

μον εἰς τὴν ζωὴν εἰσελθεῖν, ἢ δύο ὀφθαλμοὺς ἔχοντα βληθῆναι εἰς τὴν γέενναν τοῦ πυρός.

Εἴρηται καὶ περὶ τούτων ἐν ἐκείνῳ τῷ Κεφαλαίῳ, καὶ περιττὸν παλιλλογεῖν. Ὄντως οὖν οὐδὲν οὕτω βλαβερὸν, ὡς ἡ τῶν πονηρῶν συνουσία. Καὶ, εἰ ἐπὶ τῶν ἡμετέρων μελῶν πολλάκις ἀποτέμνομέν τινα τούτων, ὅταν αὐτά τε ἀνίατα μένωσι, καὶ τοῖς ἄλλοις λυμαίνωνται· πολλῷ μᾶλλον ἐπὶ συγγενῶν καὶ φίλων καὶ ὑπηρετῶν τοῦτο χρὴ ποιεῖν, σκανδαλιζόντων, εἴτουν ἐμποδιζόντων ὑμῖν εἰς τὴν ὀρθὴν πολιτείαν. Κρεῖσσον γὰρ χωρὶς αὐτῶν σωθῆναι, ἢ σὺν αὐτοῖς ἀπολέσθαι. Παραινέσας οὖν φεύγειν τοὺς πονηροὺς, κελεύει τιμᾷν τοὺς ἀγαθούς. Λέγει γάρ·

10 Ὁρᾶτε, μὴ καταφρονήσητε ἑνὸς τῶν μικρῶν τούτων.

Τῶν δοκούντων μὲν μικρῶν τοῖς ἀνθρώποις, δι' εὐτέλειαν, ὄντων δὲ μεγάλων τῷ Θεῷ, δι' ἀρετήν. Εἰ δ' ἑνὸς τούτων οὐ χρὴ καταφρονεῖν, πρόδηλον, ὡς οὐδὲ δύο πάντως, οὐδὲ πλειόνων. Εἶτα καὶ ἑτέρωθεν αὐτοὺς αἰδεσίμους ποιεῖ.

10 Λέγω γὰρ ὑμῖν, ὅτι οἱ ἄγγελοι αὐτῶν ἐν οὐρανοῖς διαπαντὸς βλέπουσι τὸ πρόσωπον τοῦ πατρός μου, τοῦ ἐν οὐρανοῖς.

Ἐντεῦθεν φανερὸν, ὅτι ἀγγέλους ἔχουσιν οἱ δίκαιοι φύλακας. Φησὶ γὰρ ὁ Δαυΐδ· *ὅτι Παρεμβαλεῖ ἄγγελος Κυρίου κύκλῳ τῶν φοβουμένων αὐτὸν, καὶ ῥύσεται αὐτούς* (α). Οὓς δὲ φυλάττουσιν ἄγγελοι, τοσαύτην εἰς Θεὸν ἔχοντές παῤῥησίαν, ὡς διὰ παντὸς ἐν οὐρανοῖς ὁρᾷν τὸν Θεὸν, τούτων ὄντως οὐ χρὴ καταφρονεῖν, εἰ καὶ μὴ διὰ τὴν ἀρετὴν αὐτῶν, ἀλλά γε διὰ τοὺς φύλακας αὐτῶν. *Τὸ πρόσωπον* δὲ *τοῦ πατρός μου*, ἀντὶ τοῦ, τὸν πατέρα μου.

(α) Ψαλμ. ΛΓ', 8.

[Βλέπουσι (1) δὲ αὐτὸν, οὐχ ὥς ἐστι κατ' οὐσίαν· ἀλλ' ὡς ἐφικτὸν αὐτοῖς. *Θεὸν* (α) *γάρ*, φησιν, *οὐδεὶς ἑώρακε πώποτε*, οὐ μόνον ὑλικὸς, ἀλλ' οὐδ' ἄϋλος.]

Ἔπειτα καὶ ἑτέραν τίθησιν εὐλογωτέραν αἰτίαν, τοῦ μὴ καταφρονεῖν αὐτῶν.

11 Ἦλθε γὰρ ὁ υἱὸς τοῦ ἀνθρώπου σῶσαι τὸ ἀπολωλός.

Ἦλθον γάρ, φησιν, εἰς τὸν κόσμον, ἤγουν, ἐνηνθρώπησα, ἵνα σώσω αὐτοὺς ἀπολωλότας πρίν. Καὶ εἰ ἐγὼ τοσοῦτον αὐτῶν ἐφρόντισα, πῶς ὑμεῖς καταφρονήσετε τούτων; Μετέπειτα δὲ λέγει καὶ παραβολὴν ἐμφαίνουσαν τὸ ὑπερβάλλον τῆς φιλοστοργίας αὐτοῦ.

ΚΕΦΑΛΑΙΟΝ ΛΗ'.

Περὶ τῶν ἑκατὸν προβάτων.

12 Τί ὑμῖν δοκεῖ; ἐὰν γένηταί τινι ἀνθρώπῳ ἑκατὸν πρόβατα, καὶ πλανηθῇ ἓν ἐξ αὐτῶν· οὐχὶ ἀφεὶς τὰ ἐννενηκονταεννέα, ἐπὶ τὰ ὄρη πορευθεὶς, ζητεῖ τὸ πλανώμενον;

Ἀθρωπον μὲν ὑποδηλοῖ ἑαυτὸν, ὡς γενόμενον ἄνθρωπον· *ἑκατὸν δὲ πρόβατα*, πᾶσαν τὴν λογικὴν κτίσιν, ἀγγέλων καὶ ἀνθρώπων· πρόβατα μὲν, διά τε τὴν τούτων ὑποταγὴν, καὶ τὴν ἑαυτοῦ ποιμαντικήν· ἑκατὸν δὲ, διὰ τὴν τελειότητα τῶν ταγμάτων τῆς λογικῆς ταύτης κτίσεως· τοσαῦτα γάρ εἰσιν, ὅσα χρή· τὸν γὰρ ἑκατὸν ἀριθμὸν ἐπὶ τελειότητος εἴωθε τι-

(1) Τὰ παρεντεθειμένα ἀναγινώσκονται ἐν τῷ περισελιδίῳ παρὰ τῷ Α.
(α) Ἰωαν. Α', 18.

θέναι· καθάπερ καὶ ἐπὶ τῆς γῆς, τῆς καρποφορούσης ἐν ἑκατὸν, ὡς ἐν τῷ εἰκοστῷ τετάρτῳ Κεφαλαίῳ προείρηται.

Πρόβατον δὲ *πλανώμενον*, τὸ τάγμα τῶν ἀνθρώπων, ὡς ἀποῤῥαγὲν τῆς ποίμνης τοῦ θεοῦ, καὶ ἀκολουθῆσαν τοῖς ἀπατήσασι δαίμοσιν.

Ὄρη δὲ, κατὰ μέν τινας, ὁ οὐρανὸς, διὰ τὸ ὕψος, ἐφ᾿ οὗ τὰ ἄλλα τάγματα καταλέλοιπε· κατὰ δέ τινας, ἡ γῆ, διὰ τὸ τοὺς ἀγρίους δαίμονας ἐμφιλοχωρεῖν αὐτῇ, καθάπερ τὰ θηρία τοῖς ὄρεσι, καὶ διὰ τὸ μὴ φέρειν καρπὸν ἥμερον, εὐφραίνοντα τὸν ἥμερον δεσπότην ἡμῶν, ἀλλ᾿ ἄγριον, ἡδύνοντα τὸν ἄγριον σατανᾶν· ἐφ᾿ ἃ ἐπορεύθη, ζητῶν τὸ πλανώμενον. Εἰ δὲ ἄνθρωπος οὐ περιορᾷ πλανώμενον τὸ ἄλογον πρόβατον· καίτοι πολλὰ ἔχων ἀπλανῆ· πολλῷ μᾶλλον ὁ θεὸς, τὸ λογικὸν, οὗτινος ὁ ἔλεος πρὸς τὸν ἀνθρώπινον ἔλεον, ὡς ὅλη θάλασσα πρὸς μίαν σταγόνα ὕδατος.

13 Καὶ ἐὰν γένηται εὑρεῖν αὐτὸ, ἀμὴν λέγω ὑμῖν, ὅτι χαίρει ἐπ᾿ αὐτῷ μᾶλλον, ἢ ἐπὶ τοῖς ἐννενηκονταεννέα, τοῖς μὴ πεπλανημένοις.

Οὐ τοσοῦτον γὰρ χαίρομεν, ἐφ᾿ οἷς ἀσφαλῶς ἔχομεν, ὅσον ἐπὶ τῷ μετὰ τὴν ἀπώλειαν εὑρεθέντι· καὶ γὰρ ἐκεῖνα μὲν, ἀεὶ ἔχοντες, οὐ τοσοῦτον αἰσθανόμενα τῆς χαρᾶς· τοῦτο δὲ ἀπολέσαντες, καὶ σφόδρα λυπηθέντες, ὡς ζημιωθέντες, εἶτα εὑρόντες, σφόδρα καὶ χαίρομεν, ὡς κερδήσαντες.

14 Οὕτως οὐκ ἔστι θέλημα ἔμπροσθεν τοῦ πατρὸς ὑμῶν, τοῦ ἐν οὐρανοῖς, ἵνα ἀπόληται εἷς τῶν μικρῶν τούτων.

Οὕτως, ὡς ἐδίδαξεν ἡ παραβολή. Πατέρα δὲ τῶν μαθητῶν, ἑαυτὸν ὀνομάζει νῦν, οὐ μόνον ὡς διδάσκαλον, ἀλλὰ καὶ ὡς δημιουργόν. Χρὴ γὰρ γινώσκειν, ὅτι ποτὲ μὲν, τὸν ἑαυτοῦ πατέρα λέγει πατέρα τῶν μαθητῶν, ποτὲ δὲ, ἑαυτόν.

Ἔμπροσθεν δὲ *τοῦ πατρὸς ὑμῶν*, ἀντὶ τοῦ, ἐν τῷ πατρὶ ὑμῶν· ἰδίωμα γὰρ καὶ οὗτος ὁ λόγος. Ἀλλὰ πῶς οὐ παρέδωκε γνώρισμα, δι᾿ οὗ τοὺς τοιούτους μικροὺς ἐμέλλομεν ἐπιγινώσκειν; Ἵνα ἀγνοοῦντες τὸν ἄξιον, μηδενὸς καταφρονῶμεν, ἀλλὰ πάντων ἐπιμελώμεθα.

15 Ἐὰν δὲ ἁμαρτήσῃ εἰς σὲ ὁ ἀδελφός σου, ὕπαγε, καὶ ἔλεγξον αὐτὸν μεταξύ σου καὶ αὐτοῦ μόνου.

Ἐπειδὴ σφοδρὸν κατέτεινε λόγον κατὰ τῶν σκανδαλιζόντων, καὶ πανταχόθεν αὐτοὺς ἐφόβησε, λοιπὸν μεταβαίνει καὶ ἐπὶ τοὺς σκανδαλιζομένους, καὶ κελεύει, μὴ ἀμελεῖν τῶν σκανδαλισάντων. *Ἀδελφὸν* δὲ λέγει, τὸν ὁμόφυλον καὶ ὁμόπιστον· καὶ ἐπειδὴ ὁ σκανδαλίσας οὐκ ἂν εὐχερῶς ἔλθοι πρὸς ἀπολογίαν, ἐρυθριῶν τε καὶ αἰσχυνόμενος τὸν σκανδαλισθέντα, φέρει (1) πρὸς ἐκεῖνον. *Ὕπαγε* γάρ, φησι, *καὶ ἔλεγξον αὐτὸν*, τουτέστιν, ὑπόμνησον, ὅτι ἐσκανδάλισε, δίδαξον, ὅτι ἠδίκησε· πλὴν ἀδελφικῶς τε καὶ διορθωτικῶς, καὶ μὴ ἐχθρωδῶς τε καὶ ἐπιπληκτικῶς. Καὶ ἵνα εὐπαράδεκτος ὁ ἔλεγχος γένοιτο, προτρέπει, μεταξὺ τῶν δύο μόνον γίνεσθαι τοῦτον, μήποτε δημοσιευθεὶς, ἰταμώτερος γένηται καὶ δυσδιόρθωτος.

15 Ἐάν σου ἀκούσῃ, ἐκέρδησας τὸν ἀδελφόν σου.

Ἐάν σοι πεισθῇ διορθουμένῳ, καὶ μετανοήσῃ, καὶ καταγνῷ ἑαυτοῦ, ἐκέρδησας μέγα κέρδος, αὐτὸν τὸν ἀδελφόν σου, τὸ μέλος τὸ σόν· πρῶτον γὰρ ἐζημιοῦ τοῦτον, διὰ τοῦ σκανδάλου ῥηγνύμενον ἀπὸ τῆς ἀδελφικῆς σου συναφείας, ὅπερ μεγάλη ζημία τοῖς ἀληθῶς ἀδελφοῖς.

16 Ἐὰν δὲ μὴ ἀκούσῃ, παράλαβε μετὰ σοῦ ἔτι ἕνα ἢ

(1) Αὐτὸν, ἢ, τοῦτον, τ. ε. τὸν σκανδαλισθέντα.

δύο· ἵνα ἐπὶ στόματος δύο μαρτύρων ἢ τριῶν στα-
θῇ πᾶν ῥῆμα.

Ἐπειδὴ μόνος ἠτόνησας ἰατρεῦσαι, παράλαβε μετὰ σοῦ ἔτι, μὴ πολλοὺς, ἵνα μὴ πάλιν ἐκεῖνος, δόξας ἐκπομπεύεσθαι, σκληρότερος ἀποβῇ, ἀλλ᾽ ἕνα ἢ δύο βοηθοὺς, ἵνα, εἰ ἐπιμείνῃ, μὴ μαλασσόμενος, ὦσι καὶ μάρτυρες τῆς τε σῆς χρηστότητος, καὶ τῆς ἐκείνου σκληρότητος, καὶ ἵνα, κατὰ τὴν τῆς παλαιᾶς νομοθεσίας ἀπόφασιν, *ἐπὶ στόματος*, ἤγουν, διὰ στόματος, *δύο μαρτύρων ἢ τριῶν σταθῇ*, τουτέστι, βεβαιωθῇ, *πᾶν ῥῆμα*, ὅ ἐστιν, ὅτι σὺ τὸ σὸν ἐποίησας, καὶ οὐδὲν ἐνέλιπες, πρῶτα μὲν μόνος ἀπελθὼν, ἔπειτα δὲ καὶ ἄλλους συμπαραλαβών.

17 Ἐὰν δὲ παρακούσῃ αὐτῶν, εἰπὲ τῇ ἐκκλησίᾳ.

Ἐκκλησίαν λέγει νῦν, τοὺς προεστῶτας τῆς ἐκκλησίας τῶν πιστῶν. Ἀνάγγειλον αὐτοῖς τὰ περὶ αὐτοῦ, ἴσως αὐτοὶ τοῦτον μεταπείσουσιν, αἰδούμενον τὴν ὑπεροχὴν αὐτῶν.

17 Ἐὰν δὲ καὶ τῆς ἐκκλησίας παρακούσῃ, ἔστω σοι
ὥσπερ ὁ ἐθνικὸς καὶ ὁ τελώνης.

Ἔστω σοὶ λοιπὸν ἀκοινώνητος, ὡς ἀνίατος. Τοῖς ἐθνικοῖς δὲ, τοῖς ἀπίστοις, τοὺς τελώνας συνέζευξε, διὰ τὸ φιλοχρήματον καὶ πλεονεκτικὸν, καὶ ἀσυμπαθὲς, καὶ ἄδικον.

Ἀκούσωμεν οἱ τοῖς τοιούτοις πάθεσιν ἐνεχόμενοι. Ὅρα δὲ, πόσην σπουδὴν ἐπιδείξασθαι προσέταξεν ὑπὲρ τοῦ διορθοῦσθαι τοὺς σκανδαλίσαντας ἡμᾶς· ἡμεῖς δὲ λοιπὸν, οὐδὲ τοὺς ὑφ᾽ ἡμῶν σκανδαλισθέντας θεραπεύειν καταδεχόμεθα. Τί οὖν; τοῦτο μόνον ἔσται κόλασις τῷ ἀνιάτῳ; Οὐχί· ἀλλ᾽ ἄκουε καὶ τῶν ἑξῆς.

18 Ἀμὴν λέγω ὑμῖν, ὅσα ἐὰν δήσητε ἐπὶ τῆς γῆς,
ἔσται δεδεμένα ἐν τῷ οὐρανῷ· καὶ ὅσα ἐὰν λύσητε
ἐπὶ τῆς γῆς, ἔσται λελυμένα ἐν τῷ οὐρανῷ.

Κελεύσας, τελευταῖον εἰπεῖν τῇ ἐκκλησίᾳ, δηλαδὴ, τοῖς προε-

στῶσι τῆς ἐκκλησίας, λοιπὸν πρὸς αὐτοὺς ἀποτείνεται λέγων· *Ὅσα ἂν δήσητε ἐπὶ τῆς γῆς*, καὶ τὰ ἑξῆς. Τοῦτο δὲ καὶ πρὸς τὸν Πέτρον εἶπεν, ἐν τῷ τριακοστῷ τρίτῳ Κεφαλαίῳ, καὶ ζήτησον ἐκεῖ τὴν ἐξήγησιν.

Ἔστι δὲ νῦν ἡ διάνοια τοῦ ῥητοῦ τοιαύτη, ὅτι Ὃ ἂν ὑμεῖς ἐπὶ τῆς γῆς ἀποφήνησθε, τοῦτο καὶ ὁ θεὸς ἐν τῷ οὐρανῷ κυρώσει, κἄν τε ἀνιάτως ἔχοντας ἐκκόψητε τούτους τῆς ἐκκλησίας, κἄν τε μετανοοῦντας ὕστερον παραδέξησθε. Ταῦτα δὲ ἠπείλησεν, ἵνα μὴ ταῦτα γένωνται, ἀλλ᾽ ἵνα, φοβούμενός τις καὶ τὴν ἔκπτωσιν τῆς ἐκκλησίας, καὶ τὴν ψῆφον τοῦ θεοῦ, διαλλάττηται. Διὰ τοῦτο γὰρ καὶ πρῶτον, καὶ δεύτερον, καὶ τρίτον ἐπέστησε κριτήριον, καὶ τότε πεποίηκεν αὐτὸν ἀπόβλητον, ἵνα, ἐὰν τοῦ πρώτου παρακούσῃ, τῷ δευτέρῳ πεισθῇ, ἐὰν δὲ καὶ τοῦτο διαπτύσῃ, τὸ τρίτον φοβηθῇ, ἐὰν δὲ καὶ τούτου καταφρονήσῃ, τότε λοιπὸν τὴν ἀποβολὴν ὑποπτήξῃ, πικρὰν οὖσαν, εἶτα καὶ τὴν ἄνωθεν ψῆφον, φοβερωτέραν ταύτης τυγχάνουσαν, καὶ πάντως διορθωθῇ.

19 Πάλιν λέγω ὑμῖν, ὅτι ἐὰν δύο ὑμῶν συμφωνήσωσιν
ἐπὶ τῆς γῆς περὶ παντὸς πράγματος, οὗ ἐὰν αἰτή-
σωνται, γενήσεται αὐτοῖς παρὰ τοῦ πατρός μου,
τοῦ ἐν οὐρανοῖς.

Βαβαί! πόσην φροντίδα ποιεῖται τῆς ἀγάπης, πολλαχοῦ τοῦ εὐαγγελίου τὸν περὶ ταύτης λόγον ἀνακυκλῶν. Καὶ νῦν γὰρ, ἀπειλήσας μεγάλα τοῖς σκανδαλίζουσι, καὶ τοῖς μὴ διορθουμένοις ὑπὸ τῆς τῶν σκανδαλιζομένων σπουδῆς, ἐπαγγέλλεται μεγάλα πάλιν τοῖς ἀγαπῶσι, τοῦτο μὲν, διὰ τῆς ἀπειλῆς· τοῦτο δὲ, διὰ τῆς ἐπαγγελίας, εἰς ἀγάπην συνάγων τοὺς χριστιανούς.

Λέγει τοίνυν, ὅτι, *Ἐὰν δύο ὑμῶν*, ἐν ἀγάπῃ δηλονότι διάγοντες, συμφώνως αἰτήσωσι τὸν θεὸν περὶ οἱουδήτινος πράγ-

ματος, εἰσακουσθήσονται· εἰ δὲ οἱ δύο, πολλῷ μᾶλλον οἱ πλείους. Καὶ πῶς πολλάκις δύο τινὲς, ἐν ἀγάπῃ ὄντες, καὶ συμφώνως τὸν θεὸν αἰτοῦντες περί τινος, οὐκ εἰσακούονται; Διότι οὐκ εἰσὶ κατὰ τοὺς ἀποστόλους. Οὐ γὰρ ἁπλῶς εἶπεν, *Ἐὰν δύο συμφωνήσωσιν*, ἀλλ' *Ἐὰν δύο ὑμῶν*, τουτέστι, καθ' ὑμᾶς ἐνάρετοι.

Ἢ τοίνυν τὰ παρ' αὐτῶν οὐκ εἰσφέρουσιν, ἢ ἀσύμφορον αἰτοῦσιν, ἢ κατὰ τοῦ λελυπηκότος παρακαλοῦσιν, ἢ ὑπὲρ ἀναξίου δέονται, ἢ πάντως ἑτέρα τις αἰτία πρόσεστι, ποιοῦσα τὴν ἀποτυχίαν· ὡς οἵγε βίον ἔχοντες ἐνάρετον, καὶ ἐν ἀγάπῃ ζῶντες, καὶ συμφώνως αἰτοῦντες, αὐτίκα ἐπιτυγχάνουσιν· ἀψευδὴς γὰρ ὁ ἐπαγγειλάμενος. Καὶ μὴν καὶ εἷς ἐνάρετος αἰτῶν εἰσακούεται, ἀλλ' οὐ τοσοῦτον, ὅσον δύο συμφωνοῦντες. Ἐπεὶ δὲ εἶπεν, ὅτι Γενήσεται αὐτοῖς παρὰ τοῦ πατρός μου, διδάσκει λοιπὸν, ὅτι οὐ μόνος ὁ πατὴρ δίδωσιν, ἀλλὰ καὶ αὐτός. Διὸ καὶ λέγει·

20 Οὗ γάρ εἰσι δύο ἢ τρεῖς συνηγμένοι εἰς τὸ ἐμὸν ὄνομα, ἐκεῖ εἰμὶ ἐν μέσῳ αὐτῶν.

Οὗ, ἀντὶ τοῦ, ὅπου· *εἰς τὸ ἐμὸν δὲ ὄνομα*, ἀντὶ τοῦ, δι' ἐμὲ, διὰ τὰς ἐμὰς ἐντολὰς, καὶ μὴ δι' ἑτέραν αἰτίαν. Ὅπου τοίνυν οὕτω συναχθῶσιν, *ἐκεῖ εἰμὶ ἐν μέσῳ αὐτῶν*, συνδεσμῶν καὶ φυλάττων αὐτοὺς, καὶ πληρῶν τὰς τούτων αἰτήσεις. Οὐκ εἶπε δὲ, ὅτι *ἔσομαι*, ἀλλ' ὅτι *εἰμὶ* αὐτίκα.

Λέγεται δὲ ὁ θεὸς εἶναι μὲν ἐν τούτοις, μὴ εἶναι δ' ἐν ἐκείνοις, οὐχ ὡς περίγραπτος· ἀπερίγραπτος γάρ· ἀλλ' ὡς τῆς δυνάμεως αὐτοῦ τοῖς ἀξίοις ἐμφιλοχωρούσης.

21 Τότε προσελθὼν αὐτῷ ὁ Πέτρος, εἶπε· Κύριε, ποσάκις ἁμαρτήσει εἰς ἐμὲ ὁ ἀδελφός μου, καὶ ἀφήσω αὐτῷ;

Τοῦ Κυρίου περὶ ἀγάπης καὶ ἀμνησικακίας διδάξαντος, ἐρωτᾷ

πάλιν ὁ φιλομαθέστατος Πέτρος, ἀγνοῶν, ὅτι πάντοτε χρὴ συγχωρεῖν τοῖς ἁμαρτάνουσιν.

21 Ἕως ἑπτάκις;

Περὶ τούτου κατὰ προσθήκην ἐρωτᾷ, νομίζων φανῆναι μεγαλοψυχότατος. Τί οὖν ὁ Χριστός;

22 Λέγει αὐτῷ ὁ Ἰησοῦς· Οὐ λέγω σοι, ἕως ἑπτάκις, ἀλλ' ἕως ἑβδομηκοντάκις ἑπτά.

Τὸ, *ἑβδομηκοντάκις ἑπτὰ*, φησὶν ὁ Χρυσόστομος (1), ἐνταῦθα μὴ σημαίνειν ἀριθμὸν, ἀλλὰ τὸ ἄμετρον καὶ διηνεκὲς καὶ ἀεί. Καθάπερ γὰρ τὸ μυριάκις, τὸ πολλάκις δηλοῖ παρ' Ἕλλησιν· οὕτω δὴ καὶ τὸ ἑπτάκις παρ' Ἑβραίοις, καὶ πολλῷ μᾶλλον τὸ ἑβδομηκοντάκις· ἔτι δὲ πλεῖον, τὸ ἐξ ἀμφοῖν συγκείμενον, λέγω δὴ, τὸ ἑβδομηκοντάκις ἑπτά.

Ἐπεὶ τοίνυν ἄμετρα εἰς θεὸν ἁμαρτάνομεν ἡμεῖς, ἄμετρα καὶ συγχωρεῖν τοῖς εἰς ἡμᾶς ἁμαρτάνουσιν ἐκέλευσεν, ἀλλὰ τοῖς ἀεὶ μετανοοῦσιν. Ἐπεὶ, τὸν μὴ μετανοοῦντα μετὰ τρίτην παραίνεσιν, ἀπωθεῖσθαι προσέταξεν, ὡς τὸν ἐθνικὸν καὶ ὡς τὸν τελώνην. Πῶς γὰρ ἄν τις ἀφήσει τῷ μὴ ζητοῦντι ἄφεσιν;

ΚΕΦΑΛΑΙΟΝ ΛΘ'.

Περὶ τοῦ ὀφείλοντος τὰ μύρια τάλαντα.

23 Διὰ τοῦτο ὡμοιώθη ἡ βασιλεία τῶν οὐρανῶν ἀνθρώπῳ βασιλεῖ, ὃς ἠθέλησε συνᾶραι λόγον μετὰ τῶν δούλων αὐτοῦ.

Διὰ τοῦτο· ποῖον; Διὰ τὸ χρῆναι πάντοτε συγχωρεῖν τῷ πάντοτε μετανοοῦντι. *Βασιλείαν δὲ οὐρανῶν*, ἑαυτὸν λέγει νῦν,

(1) Τομ. Ζ'. Σελ. 611. Α.

ὡς βασιλέα οὐράνιον, καθὼς πολλάκις εἰρήκαμεν. *Συνᾶραι δὲ λόγον*, ἀντὶ τοῦ, κινῆσαι λογοθέσιον μέσον τῶν δούλων αὐτοῦ, οἵτινές εἰσιν οἱ ἄνθρωποι. Πλάττει δὲ τὴν παραβολὴν ταύτην, δεῖξαι βουλόμενος, ὅτι ὁ μὴ συγχωρῶν τῷ εἰς αὐτὸν ἁμαρτάνοντι, ἀποστερεῖ ἑαυτὸν τοῦ παρὰ θεοῦ ἐλέους.

24 Ἀρξαμένου δὲ αὐτοῦ συναίρειν, προσηνέχθη αὐτῷ
εἷς ὀφειλέτης μυρίων ταλάντων.

Εἷς δοῦλος, δηλονότι. Ὅπερ δέ ἐστι παρ' ἡμῖν ἡ λίτρα τοῦ χρυσοῦ, τοῦτο παρὰ τοῖς Ἑβραίοις τὸ τάλαντον. Σταθμὸς γὰρ ἦν νομισμάτων πολυτιμότατος, καὶ τῶν ἄλλων σταθμῶν ὑπερκείμενος.

25 Μὴ ἔχοντος δὲ αὐτοῦ ἀποδοῦναι, ἐκέλευσεν αὐτὸν
ὁ κύριος αὐτοῦ πραθῆναι, καὶ τὴν γυναῖκα αὐτοῦ,
καὶ τὰ τέκνα, καὶ πάντα ὅσα εἶχε, καὶ ἀποδοθῆναι.

Ἀποδοθῆναι, τὸ χρέος πάντως. Οὐκ ἐξ ὠμότητος δὲ τοῦτο ἐκέλευσεν, ἀλλ' ἐκ συμπαθείας, ἵνα φοβηθεὶς ἐκεῖνος τὴν τοιαύτην ἀπόφασιν, [ἱκετεύσῃ (1), καὶ τύχῃ τῆς ἀφέσεως. Εἰ γὰρ μὴ διὰ τοῦτο τοιαύτην ἐξήνεγκεν ἀπόφασιν,] οὐκ ἂν ἱκετεύσαντι τὸ χρέος ἀφῆκεν.

Καὶ διὰ τί μὴ πρὸ τῆς ἀποφάσεως ἀφῆκε; Διότι ῥᾳδίως οὕτω συγχωρηθεὶς, οὐκ ἔμελλεν ἐπιγινώσκειν τὸ τῆς χάριτος μέγεθος. Διὰ τοῦτο οὖν εἰς ἀνάγκην μεγάλην αὐτὸν κατέστησεν, ἵνα διαμνημονεύειν ὕστερον ἔχοι, ποίας ἀφείθη καταδίκης, καὶ συμπαθὴς γένηται καὶ αὐτὸς περὶ τὸν ἑαυτοῦ χρεώστην, παιδευθεὶς ἐν ταῖς οἰκείαις συμφοραῖς.

26 Πεσὼν οὖν ὁ δοῦλος προσεκύνει αὐτῷ, λέγων·
Κύριε, μακροθύμησον ἐπ' ἐμοὶ, καὶ πάντα σοι ἀπο-
27 δώσω. Σπλαγχνισθεὶς δὲ ὁ κύριος τοῦ δούλου ἐκεί-

(1) Τὰ παρενθεσιμένα παραλείπονται παρὰ τῷ Α.

νου, ἀπέλυσεν αὐτὸν, καὶ τὸ δάνειον ἀφῆκεν αὐτῷ.

Ὅρα φιλανθρωπίας ὑπερβολήν! Ὁ μὲν γὰρ προθεσμίαν ἐζήτησε μόνον· ὁ δὲ τὸ χρέος ἀφῆκεν αὐτῷ, μεῖζον, οὗ ᾔτησε, δεδωκώς.

† † Ἴδε (1) τὴν τῆς μετανοίας ἰσχὺν, καὶ τὴν φιλανθρωπίαν τοῦ Κυρίου! Ἡ μὲν γὰρ μετάνοια ἐποίησε τὸν δοῦλον πεσεῖν ἀπὸ τῆς κακίας· ὁ γὰρ ἱστάμενος βεβαίως ἐν τῇ κακίᾳ οὐ συγχωρητέος· ἡ δὲ φιλανθρωπία τοῦ θεοῦ συνεχώρησε παντελῶς τὸ δάνειον· καίτοιγε ὁ δοῦλος οὐ συγχώρησιν παντελῆ ἐζήτει, ἀλλὰ προθεσμίαν. Μάνθανε τοίνυν, ὅτι ὁ θεὸς καὶ πλείονα δίδωσιν, ὧν αἰτούμεθα· ἐπεὶ τοσαύτη ἐστὶν ἡ φιλανθρωπία αὐτοῦ, ὥστε καὶ ἐκεῖνο τὸ δοκοῦν σκληρὸν, τὸ προστάξαι πωληθῆναι αὐτὸν, οὐκ ἀπὸ σκληρότητος εἶπεν, ἀλλ' ἵνα καταπτοήσῃ τὸν δοῦλον, καὶ πείσῃ αὐτὸν πρὸς ἱκετείαν καὶ παράκλησιν ἀποβλέψαι.

28 Ἐξελθὼν δὲ ὁ δοῦλος ἐκεῖνος, εὗρεν ἕνα τῶν συν-
δούλων αὐτοῦ, ὃς ὤφειλεν αὐτῷ ἑκατὸν δηνάρια·
καὶ κρατήσας αὐτὸν ἔπνιγε, λέγων· Ἀπόδος μοι,
εἴ τι ὀφείλεις.

Εἶδες δεσπότου φιλανθρωπίαν, ὅρα καὶ δούλου πάλιν ἀπανθρωπίαν. Ἐξελθὼν γὰρ εὐθὺς, ἔδειξε τὴν οἰκείαν ἀπήνειαν, οὐδὲ καιροῦ τινὸς παρελθόντος.

29 Πεσὼν οὖν ὁ σύνδουλος αὐτοῦ εἰς τοὺς πόδας αὐ-
τοῦ, παρεκάλει αὐτὸν, λέγων· Μακροθύμησον ἐπ'
30 ἐμοὶ, καὶ πάντα ἀποδώσω σοι. Ὁ δὲ οὐκ ἤθελεν·
ἀλλ' ἀπελθὼν, ἔβαλεν αὐτὸν εἰς φυλακὴν, ἕως οὗ
ἀποδῷ τὸ ὀφειλόμενον.

Οὔτε τὸ σχῆμα τῆς ἱκετηρίας ᾐδέσθη, δι' οὗ καὶ αὐτὸς ἠλεή-

(1) Ταῦτα ἐκ τοῦ Θεοφυλάκτου Σελ. 108. Δὲν εὑρίσκονται δὲ παρ' οὐδετέρῳ τῶν δύο χειρογράφων.

θη, οὔτε τὸν λόγον ἐδυσωπήθη, δι᾽ οὗ καὶ αὐτὸς ἐσώθη, οὔτε τῆς ἰδίας ἀνεμνήσθη συμφορᾶς, ἀπὸ τῆς ὁμοίας· ἀλλ᾽ ἔμεινε θηρίου παντὸς ὠμότερος· καίτοιγε, οὐχ ὑπὲρ τῶν ἴσων ἦν ἡ ἱκετηρία· ὁ μὲν γὰρ ὑπὲρ ταλάντων· ὁ δὲ ὑπὲρ δηναρίων παρεκάλει· καὶ ὁ μὲν ὑπὲρ μυρίων· ὁ δὲ ὑπὲρ ἑκατόν· καὶ ὁ μὲν τὸν δεσπότην· ὁ δὲ τὸν ὁμόδουλον· καὶ ὁ μὲν δεσπότης ἅπαν αὐτῷ τὸ τοσοῦτον χρέος ἀφῆκεν· αὐτὸς δὲ οὐδὲ προθεσμίαν μόνην τῷ συνδούλῳ δέδωκεν.

31 Ἰδόντες δὲ οἱ σύνδουλοι αὐτοῦ τὰ γενόμενα, ἐλυπήθησαν σφόδρα· καὶ ἐλθόντες διεσάφησαν τῷ κυρίῳ αὐτῶν πάντα τὰ γενόμενα.

Τὸ ἀσυμπαθὲς γὰρ, οὐ μόνον τῷ θεῷ μισητὸν, ἀλλ᾽ οὐδὲ τοῖς ἐπιεικέσιν ἀνθρώποις ἀρεστόν.

32 Τότε προσκαλεσάμενος αὐτὸν ὁ κύριος αὐτοῦ, λέγει αὐτῷ· Δοῦλε πονηρὲ, πᾶσαν τὴν ὀφειλὴν ἐκεί-
33 νην ἀφῆκά σοι, ἐπεὶ παρεκάλεσάς με· οὐκ ἔδει καὶ σὲ ἐλεῆσαι τὸν σύνδουλόν σου, ὡς καὶ ἐγώ σε ἠλέησα;

Ω τῆς πολλῆς ἡμερότητος! Δικαιολογεῖται πρὸς τὸν ἀνάξιον λόγου παντὸς, καὶ μακροθύμως ἐλέγχει τὸν αὐτοκατάκριτον, καὶ δείκνυσιν, ὅτι αὐτὸς ἑαυτῷ καὶ τὴν προτέραν χάριν ἀνέτρεψε, καὶ τὴν μετὰ τοῦτο κόλασιν προὐξένησε.

Καὶ ὅτε μὲν οὐκ εἶχεν ἀποδοῦναι τὸ χρέος, οὐκ ὠνόμασεν αὐτὸν πονηρὸν, ἀλλὰ καὶ μᾶλλον ἠλέησεν· ὅτε δὲ περὶ τὸν σύνδουλον γέγονεν ἀσυμπαθὴς, τότε καὶ πονηρὸν ὠνόμασε, καὶ ἐκόλασεν.

Ἀκούσωμεν οἱ ἀσυμπαθεῖς καὶ φρίξωμεν, καὶ γνῶμεν, ὅτι αὐτοὶ πάντως ἑαυτοὺς καταδικάζομεν, τὸν εἰς ἡμᾶς προγεγενημένον ἔλεον τοῦ θεοῦ ἀνατρέποντες, καὶ τὴν αἰωνίαν κόλασιν ἐπισπώμενοι.

34 Καὶ ὀργισθεὶς ὁ κύριος αὐτοῦ παρέδωκεν αὐτὸν τοῖς βασανισταῖς, ἕως οὗ ἀποδῷ πᾶν τὸ ὀφειλόμενον αὐτῷ.

Τουτέστι, διηνεκῶς· οὐδέποτε γὰρ λοιπὸν ἀποδώσει. Σὺ δὲ, τἄλλα μὲν τῆς παραβολῆς μὴ περιεργάζου, χάριν πιθανότητος συμπαραληφθέντα· τοῦτο δὲ μόνον ἐκ ταύτης μάθε σαφῶς, ὅτι τὰ εἰς θεὸν ἁμαρτήματα ἡμῶν μυριοπλάσιά εἰσι τῶν εἰς ἡμᾶς ἁμαρτημάτων τῶν ἀδελφῶν. Καὶ ἕκαστος μὲν ἡμῶν χρεωφειλέτης ἐστὶ τῷ θεῷ μυρίων ταλάντων, τουτέστιν ὑπεύθυνος πολλοῦ καὶ μεγάλου χρέους· χρεωστοῦμεν γὰρ αὐτῷ πολλὰς καὶ μεγάλας τιμωρίας, ἐπὶ πολλοῖς καὶ μεγάλοις ἁμαρτήμασιν· ἕκαστος δὲ τῶν ἁμαρτανόντων εἰς ἡμᾶς, χρεωφειλέτης ἐστὶν ἡμῖν ἑκατὸν δηναρίων, ἤγουν, ὀλίγου καὶ εὐτελοῦς χρέους, πρὸς σύγκρισιν τῶν μυρίων ταλάντων. Καὶ ὅτι οἱ τηλικαῦτα τῷ θεῷ χρεωστοῦντες, ἐὰν φανῶμεν πρὸς τοὺς μικρὰ χρεωστοῦντας ἡμῖν ἀνελεήμονες, ἀνατρέπομεν καὶ ὅσα προσυνεχώρησεν ἡμῖν δεηθεῖσι, καὶ λοιπὸν ἀσυμπαθῶς πάντων ἀπαιτούμεθα τὰς εὐθύνας. Ὅρα γὰρ τὰ ἑξῆς.

35 Οὕτω καὶ ὁ πατήρ μου ὁ ἐπουράνιος ποιήσει ὑμῖν, ἐὰν μὴ ἀφῆτε ἕκαστος τῷ ἀδελφῷ αὐτοῦ ἀπὸ τῶν καρδιῶν ὑμῶν τὰ παραπτώματα αὐτῶν.

Διὰ τοῦτον τὸν λόγον συνέθηκε τὴν ὅλην παραβολὴν, βεβαιώσας τοῦτον διὰ παραδείγματος, ἵνα μᾶλλον εὐπαράδεκτος γένηται. Ἐν ἀρχῇ μὲν οὖν τῆς παραβολῆς, ἑαυτὸν εἶπε βασιλέα καὶ λογοθέτην· μετὰ (1) τὸ τέλος δὲ ταύτης, τῷ πατρὶ τὴν ἐξουσίαν τῆς κολάσεως ἀνέθηκεν, ἵνα τε μὴ δόξῃ κομπάζειν αὐτὸς, καὶ ἅμα δεικνύων, ὅτι μία ἀμφοτέροις ἡ ἐξουσία. Τὸ δὲ, *ἀπὸ τῶν καρδιῶν ὑμῶν*, ἀντὶ τοῦ, ἐκ καρδίας, καὶ μὴ ἀπὸ στόματος μόνον.

---

(1) Προτιμότερον τὸ, κατὰ τὸ τέλος, ἢ, ἐπὶ τὸ τέλος, ἢ, πρὸς τῷ τέλει.

ΚΕΦ. ΧΙΧ, 1 Καὶ ἐγένετο, ὅτε ἐτέλεσεν ὁ Ἰησοῦς τοὺς λόγους τούτους, μετῆρεν ἀπὸ τῆς Γαλιλαίας, καὶ ἦλθεν εἰς τὰ ὅρια τῆς Ἰουδαίας, πέραν τοῦ Ἰορδάνου.

Ἠλθεν εἰς τὰ μέρη τῆς Ἰουδαίας· διότι ἤγγιζεν ὁ καιρὸς τοῦ πάθους αὐτοῦ.

2 Καὶ ἠκολούθησαν αὐτῷ ὄχλοι πολλοί· καὶ ἐθεράπευσεν αὐτοὺς ἐκεῖ.

Πάλιν, ὡς πολλάκις ἔφημεν, ἀπὸ τῆς διδασκαλίας ἐπὶ τὰ θαύματα μέτεισι, ποτὲ μὲν ψυχὰς θεραπεύων, ποτὲ δὲ σώματα, καὶ οὐδέποτε (1) ἀμελῶν.

ΚΕΦΑΛΑΙΟΝ Μ΄.

Περὶ τῶν ἐπερωτησάντων, Εἰ ἔξεστιν ἀπολῦσαι τὴν γυναῖκα.

3 Καὶ προσῆλθον αὐτῷ οἱ Φαρισαῖοι, πειράζοντες αὐτὸν, καὶ λέγοντες αὐτῷ· Εἰ ἔξεστιν ἀνθρώπῳ ἀπολῦσαι τὴν γυναῖκα αὐτοῦ κατὰ πᾶσαν αἰτίαν;

Πάλιν, ἰδόντες τὰ θαύματα καὶ τὴν δύναμιν αὐτοῦ, ἐξεθηριώθησαν· καὶ ἐπεὶ μέμψασθαι τοῖς πράγμασιν οὐκ ἴσχυον, προσέρχονται πειράζοντες ἐν λόγοις, ἐὰν ἄρα δυνηθῶσιν ἐπιλαβέσθαι αὐτοῦ, καίτοι πολλάκις τοῦτο ποιήσαντες, καὶ πανταχοῦ θαυμασίως ἐπιστομισθέντες. Ἀλλ' ἀναίσχυντον ὄντως ὁ φθόνος, καὶ ἰταμόν! Ἐρωτῶσιν οὖν, *Εἰ ἔξεστιν ἀνθρώπῳ ἀπολῦσαι τὴν γυναῖκα αὐτοῦ κατὰ πᾶσαν αἰτίαν*. Καὶ ὅρα μοι τὴν πανουργίαν. Ἐπεὶ γὰρ περὶ τούτου τοῦ ζητήματος προλαβὼν ἐδί-

(1) Παρημελητέον φαίνεται ἐνταῦθα τὸ, οὐδετέρου.

δαξεν ἐν τῷ πέμπτῳ Κεφαλαίῳ, εἰπὼν, ὅτι *Ὃς (α) ἂν ἀπολύσῃ τὴν γυναῖκα αὐτοῦ, παρεκτὸς λόγου πορνείας, ποιεῖ αὐτὴν μοιχᾶσθαι*, καὶ τὰ ἑξῆς· ἐνόμισαν, ὅτι ἐπελάθετο τῆς τοιαύτης διδασκαλίας. Διὸ καὶ οὐ λέγουσι, Διὰ τί τόδε ἐδίδαξας; ἀλλ' ὡς μήπω περὶ τούτου διδάξαντα, κακοήθως ἐρωτῶσιν, ἵνα εἰ μὲν εἴπῃ, ὅτι ἔξεστιν, ἀντιθήσουσιν, ὅτι Καὶ πῶς προλαβὼν ἐδίδαξας, ὅτι οὐκ ἔξεστιν; Εἰ δὲ εἴπῃ, ὅτι οὐκ ἔξεστιν, ἀντιθήσουσιν αὐτῷ τὸν νόμον. Ζήτησον δὲ ἐν τῷ δηλωθέντι πέμπτῳ κεφαλαίῳ τὴν ἐξήγησιν τοῦ, *Ὃς ἂν ἀπολύσῃ τὴν γυναῖκα αὐτοῦ, παρεκτὸς λόγου πορνείας, ποιεῖ αὐτὴν μοιχᾶσθαι*, καὶ μαθήσῃ ῥᾳδίως ἐκεῖ καὶ τὸν νόμον, καὶ τὴν αἰτίαν, δι' ἣν ἐνομοθετήθη. Τί οὖν ὁ τὰς πανουργίας καὶ τὰ σοφίσματα τούτων ἀκριβῶς ἐπιστάμενος;

4 Ὁ δὲ ἀποκριθεὶς, εἶπεν αὐτοῖς· Οὐκ ἀνέγνωτε, ὅτι ὁ ποιήσας ἀπ' ἀρχῆς, ἄρσεν καὶ θῆλυ ἐποίησεν αὐτούς;

Αὐτοὺς, δηλαδὴ τοὺς ἀνθρώπους. Τουτὶ μὲν οὖν τὸ ῥητὸν ἐν τῇ βίβλῳ τῆς Γενέσεως (α) γέγραπται· σὺ δὲ θαύμασον τὴν ἡμερότητα τοῦ δεσπότου, πῶς, γνοὺς, ὅτι πειράζουσιν, οὐκ εἶπε, Τί με πειράζετε, ὅπερ ἐν ἄλλοις εἴρηκε πρὸς αὐτοὺς, οὐδὲ ἐτραχύνθη, καθὼς ἔστιν, ὅτε ποιεῖ. Οὔτε γὰρ πάντοτε ἐλέγχει, ἵνα δείξῃ τὴν ἑαυτοῦ μακροθυμίαν, καὶ ἵνα παιδεύσῃ τοὺς μαθητὰς, μακροθύμως φέρειν τὰς παροινίας· οὔτε ἀεὶ μακροθυμεῖ, ἵνα μὴ δόξωσιν οἱ πονηροὶ λανθάνειν αὐτὸν, καὶ ἵνα ἀναχαιτίσῃ τὴν πονηρίαν. Καὶ ὅρα σοφίαν! Ἐρωτηθεὶς γὰρ, *Εἰ ἔξεστιν*, οὐκ εὐθέως εἶπεν, ὅτι Οὐκ ἔξεστιν, ἵνα μὴ δῷ τούτοις ἀφορμὴν φιλονεικίας καὶ ταραχῆς, ἀλλ' ἑτέρῳ τρόπῳ τοῦτο κατασκευάζει, πιθανῶς πάνυ, ἀπ' αὐτῆς τῆς ἐν ἀρχῇ δημιουρ-

(ϐ) Ματθ. Ε΄, 32.

(α) Γενεσ. Β΄, 24.

γίας. Τί οὖν, φησιν; *Οὐκ ἀνέγνωτε, ὅτι ὁ ποιήσας ἀπ' ἀρχῆς, ἄρσεν καὶ θῆλυ ἐποίησεν αὐτούς;* τουτέστιν, ἕνα ἄρσενα καὶ μίαν θήλειαν, ὥστε τὸν ἕνα τὴν μίαν ἔχειν. Εἰ γὰρ ἐβούλετο, ἵνα ὁ ἄρσην ταύτην μὲν ἀφήσῃ, ἑτέραν δὲ πάλιν ἀγάγηται, πλείους ἂν ἔπλασε κατ' ἀρχὰς θηλείας· ἐπεὶ δὲ πλείους οὐκ ἔπλασε, λοιπὸν βούλεται, μὴ ἀπολύειν τὸν ἄνδρα τὴν γυναῖκα αὐτοῦ.

5 Καὶ εἶπεν· «Ἕνεκεν τούτου καταλείψει ἄνθρωπος
τὸν πατέρα καὶ τὴν μητέρα, καὶ προσκολληθήσεται
τῇ γυναικὶ αὐτοῦ· καὶ ἔσονται οἱ δύο εἰς σάρκα
μίαν.»

Δείξας ἀπὸ τῆς δημιουργίας, ὅτι οὐκ ἔξεστιν ἀπολύειν, δείκνυσι τοῦτο καὶ ἀπὸ προστάγματος τοῦ θεοῦ. Χρὴ δὲ γινώσκειν, ὅτι ἐν μὲν τῇ βίβλῳ τῆς Γενέσεως φαίνεται τοῦ Ἀδὰμ εἶναι τὸ παρὸν ῥητόν, προφητεύοντος περὶ τῆς γυναικός· ἀλλ' ὁ Χριστὸς διδάσκει νῦν, ὅτι τοῦ θεοῦ ἔστι τοῦτο τὸ πρόσταγμα, καὶ οὐ προφητεία τοῦ Ἀδάμ, ὡς δοκεῖ.

[Οὐδὲν (1) δὲ κωλύει, τὸ αὐτὸ ῥητὸν καὶ τοῦ Ἀδὰμ εἶναι προφητείαν, ἐνηχηθεῖσαν παρὰ τοῦ θεοῦ, καὶ αὖθις τοῦ θεοῦ πρόσταγμα, ῥηθὲν διὰ τοῦ Ἀδάμ· οἷον, Καὶ εἶπεν ὁ Ἀδάμ, ἐνηχηθεὶς παρὰ τοῦ θεοῦ, καὶ πάλιν, Καὶ εἶπεν ὁ θεός, λαλήσας διὰ τοῦ Ἀδάμ.]

Φησὶν οὖν, ὅτι Καὶ εἶπεν ὁ δημιουργός· *Ἕνεκεν τούτου*, δηλαδὴ τοῦ πλασθῆναι τὴν γυναῖκα ἐκ τῆς πλευρᾶς τοῦ ἀνδρὸς αὐτῆς, (περὶ τούτου γὰρ ἀνωτέρω τοῦ δηλωθέντος προστάγματος γέγραπται) *καταλείψει ἄνθρωπος τὸν πατέρα αὐτοῦ καὶ τὴν μητέρα*, καὶ τὰ ἑξῆς· *καὶ ἔσονται οἱ δύο* σύζυγοι *εἰς σάρκα μίαν*, ἤγουν, σῶμα ἕν, διὰ τὸν σύνδεσμον τῆς ἑνώσεως, εἴτουν, διὰ τὴν συναπτικὴν σχέσιν. Ἐπεὶ δὲ ἓν σῶμα τούτους εἶναι προσέταξεν, οὐκ ἔξεστιν ἀπολύειν.

(1) Τὰ παρεντεθειμένα παραλείπονται παρὰ τῷ Α.

6 Ὥστε οὐκ ἔτι εἰσὶ δύο, ἀλλὰ σὰρξ μία.

Ἀναγνοὺς τοῖς πειρασταῖς τὸ θεῖον πρόσταγμα, ἑρμηνεύει λοιπόν, ὅτι μετὰ τὴν συνάφειαν ἓν σῶμα οἱ δύο σύζυγοι γίνονται. Εἶτα ἐπιφέρει καὶ τὴν ἑαυτοῦ γνώμην. Λέγει γάρ·

6 Ὃ οὖν ὁ θεὸς συνέζευξεν, ἄνθρωπος μὴ χωριζέτω.

Ἰδού, τό, οὐκ ἔξεστι, συνεπέρανεν ὁμαλῶς τε καὶ πιθανῶς, ὡς εἰρήκαμεν, δεικνύων, ὅτι παρὰ φύσιν καὶ παρὰ νόμον τὸ διελεῖν· παρὰ φύσιν μέν, ὅτι μία διατέμνεται σάρξ· παρὰ νόμον δέ, ὅτι, τοῦ θεοῦ κελεύσαντος ἓν εἶναι, διασπῶνται.

7 Λέγουσιν αὐτῷ· Τί οὖν Μωσῆς ἐνετείλατο δοῦναι
βιβλίον ἀποστασίου, καὶ ἀπολῦσαι αὐτήν;

Τί, ἀντὶ τοῦ, διὰ τί, ἤ, ἀντὶ τοῦ, πῶς. *Βιβλίον* δὲ *ἀποστασίου* λέγουσι τὸ ἔγγραφον τῆς ἀπολύσεως, ὡς καὶ ἐν τῷ πέμπτῳ Κεφαλαίῳ προεδιδάξαμεν.

8 Λέγει αὐτοῖς· Ὅτι Μωσῆς πρὸς τὴν σκληροκαρδίαν
ὑμῶν ἐπέτρεψεν ὑμῖν ἀπολῦσαι τὰς γυναῖκας ὑμῶν·
ἀπ' ἀρχῆς δὲ οὐ γέγονεν οὕτω.

Τὴν αἰτίαν εἰς τὴν αὐτῶν περιτρέπει κεφαλήν, ὅπερ εἴωθε πολλάκις ποιεῖν. *Διὰ τὴν σκληροκαρδίαν* γάρ, φησιν, *ὑμῶν ἐπέτρεψε* τοῦτο, κατὰ διαφόρους αἰτίας μισούντων τὰς γαμετάς, καὶ μὴ καταλλαττομένων αὐταῖς. Ἐνομοθέτησε γὰρ ἀπολύειν ταύτας, ἵνα μὴ φονεύωνται. Διὰ τί δὲ βιβλίον ἀποστασίου ἐδίδοτο, προέφημεν σαφῶς ἐν τῷ δηλωθέντι πέμπτῳ Κεφαλαίῳ. *Ἀπ' ἀρχῆς δέ*, φησιν, *οὐ γέγονεν οὕτως*· εἰ γὰρ τοῦτο ἐξ ἀρχῆς ὁ θεὸς ἐβούλετο, οὐκ ἂν ἔπλασεν ἕνα μὲν ἄρσενα, μίαν δὲ θήλειαν, οὐδ' ἂν προσέταξεν εἶναι τοὺς δύο εἰς σάρκα μίαν.

9 Λέγω δὲ ὑμῖν, ὅτι ὃς ἂν ἀπολύσῃ τὴν γυναῖκα αὐ-
τοῦ, εἰ μὴ ἐπὶ πορνείᾳ, καὶ γαμήσῃ ἄλλην, μοι-

χᾶται· καὶ ὁ ἀπολελυμένην γαμήσας, μοιχᾶται.

Κἄντε μὴ ἀπολελυμένην ὑφ' ἑτέρου γαμήσῃ, κἄντε ἀπολελυμένην, μοιχεύει. Ταῦτα δὲ πρὸς τοὺς μαθητὰς ῥηθῆναί, φησιν ὁ Μάρκος (α). Ἐῤῥήθησαν γὰρ πρῶτον μὲν πρὸς τοὺς φαρισαίους, εἶτα καὶ πρὸς τοὺς μαθητὰς, ἐν τῇ οἰκίᾳ κατ' ἰδίαν. Εἴρηται δὲ περὶ τούτων καὶ ἐν τῷ πέμπτῳ Κεφαλαίῳ, καὶ ζήτησον ἐκεῖ τὴν ἐξήγησιν. Μόνην δὲ τὴν πορνευθεῖσαν, ἤτοι, μοιχευθεῖσαν, ἐκέλευσεν ἐκβάλλειν, διὰ τὴν σύγχυσιν τῆς γονῆς, καὶ διὰ τὴν ἀμφιβολίαν τοῦ τεχθησομένου, ὡς πάσης μὲν ἄλλης αἰτίας ἰαθῆναι δυναμένης, ταύτης δὲ μόνης οὐκ ἐπιδεχομένης ἴασιν.

[Νοηθείη (1) ἂν καὶ περὶ παρθένου ὁ λόγος.]

10 Λέγουσιν αὐτῷ οἱ μαθηταὶ αὐτοῦ· Εἰ οὕτως ἐστὶν ἡ αἰτία τοῦ ἀνθρώπου μετὰ τῆς γυναικὸς, οὐ συμφέρει γαμῆσαι.

Νῦν συνῆκαν ἢ πρότερον (2) τὸ βάρος τῆς ἐντολῆς, ἅτε πολυπραγμονηθέντος τοῦ πράγματος (1). Διὸ σφόδρα ἐπαχθὲς ἔδοξεν αὐτοῖς τὸ ἀνέχεσθαι πικρᾶς καὶ πονηρᾶς γυναικὸς, καὶ μὴ δύνασθαι ἀπολύειν τὴν θηρίου χαλεπωτέραν. Διὸ καὶ λέγουσιν, *Εἰ οὕτως ἐστὶν ἡ αἰτία τοῦ ἀνθρώπου μετὰ τῆς γυναικὸς*, τουτέστιν, Ἐὰν τοιαύτη ἐστὶν ἡ αἰτία τῆς συζυγίας, ὥστε μὴ χωρίζεσθαι, εἰ μὴ διὰ μόνην μοιχείαν, οὐ συμφέρει τῷ ἀνδρὶ γῆμαι. Πῶς γὰρ ἂν ὑπομείνοι τὰς ἄλλας κακίας τῆς ἀναισχύντου γυναικός;

Ἑρμηνεύεται δὲ καὶ ἑτέρως τὸ ῥητὸν, ὅτι Καὶ ἐὰν οὕτως, ὡς ἐκέλευσάς, ἐστιν ἡ αἰτία τοῦ ἀνδρὸς μετὰ τῆς γυναικὸς,

(α) Μαρκ. Ί, 11.
(1) Τὰ παρεντεθειμένα ἀναγινώσκονται ἐν τῷ περισελιδίῳ παρὰ τῷ Β.
(2) Μᾶλλον ἢ πρότερον. Τὸ, ἢ πρότερον, ἀναφέρεται εἰς Ματθ. Έ.
(1) Παρὰ τῶν φαρισαίων δηλονότι.

τουτέστιν, ἐὰν μία μόνη ἐστὶν ἡ αἰτία, ἡ μέσον τοῦ ἀνδρὸς καὶ τῆς γυναικὸς, ἡ διαζευγνύουσα, λέγω δὴ, ἡ μοιχεία, οὐ συμφέρει ἐλθεῖν εἰς γάμον.

11 Ὁ δὲ εἶπεν αὐτοῖς· Οὐ πάντες χωροῦσι τὸν λόγον τοῦτον.

Οὐ πάντες παραδέχονται τὸν λόγον τοῦτον, τὸν περὶ τοῦ μὴ γῆμαι, οὐ πάντες βαστάζουσι. Μέγα γὰρ ἡ ἀγαμία, καὶ ὀλίγοις φορτόν.

11 Ἀλλ' οἷς δέδοται.

Ἐκεῖνοι μόνοι τὸν λόγον τοῦτον παραδέχονται καὶ βαστάζουσιν, οἷς δέδοται τοῦτο τὸ δῶρον παρὰ θεοῦ· δέδοται δὲ, αἰτήσασιν· Αἰτεῖτε (α) γάρ, φησι, καὶ δοθήσεται ὑμῖν· αἰτήσασι δὲ, οὐχ ἁπλῶς, ἀλλὰ θερμῶς καὶ ἐπιμόνως, καὶ ἁπλῶς εἰπεῖν, ὡς χρή. Σημείωσαι δὲ, ὅτι θεοῦ δῶρον ἡ παρθενία, διδομένη τοῖς αἰτοῦσιν, ὡς χρή.

12 Εἰσὶ γὰρ εὐνοῦχοι, οἵτινες ἐκ κοιλίας μητρὸς ἐγεννήθησαν οὕτω· καὶ εἰσὶν εὐνοῦχοι, οἵτινες εὐνουχίσθησαν ὑπὸ τῶν ἀνθρώπων· καὶ εἰσὶν εὐνοῦχοι, οἵτινες εὐνούχισαν ἑαυτοὺς διὰ τὴν βασιλείαν τῶν οὐρανῶν.

Ἐπειδὴ περὶ ἀγαμίας ἐνέπεσε (1) λόγος, διδάσκει λοιπὸν περὶ τῶν ἀγάμων, καὶ ἀπαριθμεῖται τρία ἤδη τῶν εὐνούχων, ὧν τὸ πρῶτον μὲν, ἀδιάβλητόν ἐστι· τὸ δεύτερον δὲ, διαβεβλημένον· τὸ δὲ τρίτον, ἐπαινετὸν, οἵτινες εὐνούχισαν ἑαυτοὺς, ἵνα τύχωσι τῆς βασιλείας τῶν οὐρανῶν, οὐ ξυρῷ σιδήρου τὰ παιδογόνα μόρια ἐκτεμόντες, ἀλλὰ ξυρῷ σωφροσύνης τὸν οἶστρον

(α) Ματθ. Ζ', 7.
(1) ἐνέπεσεν ὁ λόγος, παρὰ τῷ Β.

τῆς ἐπιθυμίας ἀποκόψαντες, καὶ ἔρωτι παρθενίας τὸν ἔρωτα τῆς συνουσίας καταμαράναντες. Ὧν γὰρ τὴν φύσιν ἀνθρωπίνη μετέπλασε χεὶρ, καὶ σίδηρος παρεχάραξεν, οὐ τοσοῦτον ἀποδεκτοὶ παρθενεύοντες, ὅσον κατηγορητοὶ, λαγνεύοντες, ὡς τῆς ἀκολασίας νικησάσης καὶ τὴν ἀπὸ τοῦ σιδήρου βοήθειαν.

[Τοῦ Θεολόγου (1). Οἱ μὲν, ἐκ φύσεως νεύουσι πρὸς τὸ ἀγαθόν· φύσεως δὲ ὅταν εἴπω, οὐκ ἀτιμάζω τὴν προαίρεσιν, ἀλλ' ἀμφότερα τίθημι, τήν γε πρὸς τὸ καλὸν ἐπιτηδειότητα, καὶ τὴν εἰς ἔργον ἄγουσαν τὸ ἐκ φύσεως ἐπιτήδειον· οἱ δὲ, ὑπὸ διδασκάλων ἐκτέμνονται τὰ πάθη· οἱ δὲ, δι' ἑαυτῶν ἐκτέμνουσι ταῦτα, διδασκάλων μὲν οὐκ ἐπιτυχόντες, ἑαυτοὺς δὲ διδάξαντες τὰ προσήκοντα, καὶ τήν τε ῥίζαν τῆς κακίας ἐκτεμόντες, καὶ τὰ ὄργανα τῆς πονηρίας ἐξορίσαντες.]

12 Ὁ δυνάμενος χωρεῖν, χωρείτω.

Τελευταῖον, ὑποδείξας τοὺς ἀγάμους τοὺς ἐπαινουμένους, καὶ οὕτω τὴν τοιαύτην ἀγαμίαν ἐπαινέσας, καὶ λεληθότως μὲν τοὺς ἀκροατὰς εἰς τὸ παρθενεύειν οὕτως ἐκκαλεσάμενος· εἰδὼς δὲ, μέγα τοῦτο καὶ ὀλίγοις αἱρετὸν, καταλιμπάνει τὸ πρᾶγμα τῇ προαιρέσει τῶν ἀνθρώπων. *Ὁ δυνάμενος* γάρ, φησι, *χωρεῖν* τοῦτο, [ἢ χωρεῖν (2) εἰς τοῦτο,] *χωρείτω*.

13 Τότε προσηνέχθη αὐτῷ παιδία, ἵνα τὰς χεῖρας ἐπιθῇ αὐτοῖς, καὶ προσεύξηται· οἱ δὲ μαθηταὶ ἐπετίμησαν αὐτοῖς.

Βρέφη εἶπεν ὁ Λουκᾶς (α), ἅτινα προσηνέχθησαν μὲν ἐκ πίστεως τῶν γονέων· *οἱ δὲ μαθηταὶ ἐπετίμων τοῖς προσφέρουσιν*, ὡς ὁ Μάρκος ἔγραψε (β), τουτέστιν, ἐκώλυον. Εἰκὸς δὲ, καὶ

(1) Γρηγ. Ναζ. Σελ. 192. 193. Ἀναγινώσκονται δὲ ταῦτα ἐν τῷ περισελιδίῳ παρὰ τῷ Β.

(2) Παραλείπονται ταῦτα παρὰ τῷ Α.

(α) Λουκ. ΙΗ', 15.

(β) Μαρκ, Ι', 13.

τοῖς παισὶν ἐπιτιμᾷν· ἐκώλυον δὲ κἀκείνους καὶ ταῦτα, τιμῶντες τὸν διδάσκαλον.

14 Ὁ δὲ Ἰησοῦς εἶπεν· Ἄφετε τὰ παιδία, καὶ μὴ κωλύετε αὐτὰ ἐλθεῖν πρός με· τῶν γὰρ τοιούτων ἐστὶν ἡ βασιλεία τῶν οὐρανῶν.

Ὁ δὲ Μάρκος (α) εἶπεν, ὅτι καὶ ἠγανάκτησε κατὰ τῶν κωλυόντων. Προσίεται δὲ τὰ παιδία, δεικνύων μὲν, ὅτι τοὺς ἀκάκους προσίεται· διδάσκων δὲ καὶ, ὅτι προσήκει καταπατεῖν τὸν ἀπὸ τῆς ὑπεροχῆς τῦφον, καὶ προσίεσθαι καὶ τοὺς εὐκαταφρονήτους. Οὐκ εἶπε δὲ, ὅτι *Τούτων* ἐστὶν ἡ βασιλεία τῶν οὐρανῶν, ἀλλ' ὅτι *Τῶν τοιούτων*, τῶν μιμουμένων τὴν ἁπλότητα τούτων, περὶ ὧν εἴρηται πλατύτερον ἐν τῷ τριακοστῷ ἑβδόμῳ Κεφαλαίῳ.

15 Καὶ ἐπιθεὶς αὐτοῖς τὰς χεῖρας, ἐπορεύθη ἐκεῖθεν.

Μάρκος δὲ εἶπεν (β), ὅτι *Καὶ ἐναγκαλισάμενος αὐτὰ, τιθεὶς τὰς χεῖρας ἐπ' αὐτὰ, εὐλόγει αὐτά*· τοῦτο δὲ ἐποίει, πληρῶν τὴν αἴτησιν τῶν ταῦτα προσαγαγόντων. *Προσηνέχθησαν* γάρ, φησιν, *αὐτῷ παιδία, ἵνα τὰς χεῖρας ἐπιθῇ αὐτοῖς, καὶ προσεύξηται*. Ἅμα δὲ πάλιν ἔδειξεν, ὅτι καὶ ἐναγκαλίζεται, καὶ οἰκειοῦται τὸν ἀπόνηρον, καὶ τίθησιν ἐπ' αὐτὸν τὰς χεῖρας, ἤτοι τὴν φρουρητικὴν ἑαυτοῦ δύναμιν, καὶ εὐλογεῖ καὶ ἁγιάζει αὐτόν.

(α) Μαρκ. Ι', 14.

(β) Μαρκ. Ι', 16.

ΚΕΦΑΛΑΙΟΝ ΜΑ΄.

Περὶ τοῦ ἐπερωτήσαντος τὸν Ἰησοῦν πλουσίου.

16 Καὶ ἰδοὺ, εἷς προσελθὼν, εἶπεν αὐτῷ· Διδάσκαλε
ἀγαθὲ, τί ἀγαθὸν ποιήσω, ἵνα ἔχω ζωὴν αἰώνιον;

Ἄρχοντα τοῦτον εἶπεν ὁ Λουκᾶς (α), δηλαδὴ, τῶν Ἰουδαίων. Οὐκ ἦν δὲ ὕπουλος ὁ νεανίσκος οὗτος, ὥς φασί τινες· οὐ γὰρ ἂν ὁ Ἰησοῦς ἐμβλέψας αὐτῷ, ἠγάπησεν αὐτὸν, ὡς εἴρηκε Μάρκος (β). Ἀλλὰ τἄλλα μὲν καλὸς ἦν, καὶ ζωῆς ἐπεθύμει τῆς αἰωνίου· τῆς δὲ φιλαργυρίας ἡ ἄκανθα τὴν λιπαρὰν ἄρουραν τῆς ψυχῆς αὐτοῦ διελυμήνατο.

17 Ὁ δὲ εἶπεν αὐτῷ· Τί με λέγεις ἀγαθόν; οὐδεὶς
ἀγαθὸς, εἰ μὴ εἷς, ὁ θεός.

Οὐδεὶς, οὔτε ὑλικὸς, οὔτε ἄϋλος, ἀγαθός ἐστι κυρίως, εἰ μὴ μόνος ὁ θεός· διότι τῷ θεῷ μὲν, κατὰ φύσιν ἡ ἀγαθότης, καὶ διὰ τοῦτο ἀτρεπτοτάτη· τοῖς ἄλλοις δὲ πᾶσιν, ὁρατοῖς τε καὶ ἀοράτοις, κατὰ προαίρεσιν, καὶ διὰ τοῦτο τρεπτή. Ἐπεὶ τοίνυν οὗτος, ἄνθρωπον ἁπλῶς τὸν Χριστὸν ὑπέλαβεν εἶναι, καὶ ἀγαθὸν αὐτὸν ἐκάλεσεν, οὐχ ὡς θεὸν, ἀλλ᾽ ὡς ἄνθρωπον, (1) ἕνα τῶν παρ᾽ Ἑβραίοις διδασκάλων, πρὸς τὴν τοιαύτην ὑπόληψιν αὐτοῦ λοιπὸν καὶ αὐτὸς, ὡς ἄνθρωπος, αὐτῷ διαλέγεται, λέγων· *Διὰ τί με λέγεις ἀγαθὸν*, ἄνθρωπον ὄντα κατὰ τὴν σὴν ὑπόληψιν; Ὡς μὲν γὰρ ἄνθρωπος, οὐκ εἰμὶ ἀγαθός· ὡς δὲ θεὸς, καὶ μάλα. Μόνος γὰρ κυρίως ἀγαθὸς ὁ θεός. Τοῦτο δὲ εἰπὼν, οὐ τοὺς ἀνθρώπους ἀπεστέρησε τῆς ἀγαθότητος,

(α) Λουκ. ΙΗ΄, 18.
(β) Μαρκ. Ι΄, 21.
(1) Ἀναγκαία φαίνεται ἐνταῦθα ἡ προσθήκη τοῦ, καὶ

ἀλλὰ περὶ τῆς κυρίως ἀγαθότητος ἐδίδαξεν· ἅμα δὲ καὶ τὴν κολακείαν ἀπώσατο, καὶ ἐπαίδευσε, μὴ συγκατατίθεσθαι τοῖς ἐπαίνοις.

[Φύσει (1) μὲν ἀγαθὸς, μόνος ὁ θεός· γνώμῃ δὲ ἀγαθὸς, μόνος ὁ θεομίμητος.]

17 Εἰ δὲ θέλεις εἰσελθεῖν εἰς τὴν ζωὴν, τήρησον τὰς
18 ἐντολάς. Λέγει αὐτῷ· Ποίας;

Οὐχ, ὡς πειράζων, εἶπε, *Ποίας*· ἀλλ᾽ ἐνόμισε, παρὰ τὰς νομικὰς ἑτέρας εἶναί τινας, τὰς εἰσαγούσας εἰς τὴν τοιαύτην ζωήν.

18 Ὁ δὲ Ἰησοῦς εἶπε· Τό· «Οὐ φονεύσεις· Οὐ μοιχεύ-
19 σεις· Οὐ κλέψεις· Οὐ ψευδομαρτυρήσεις· Τίμα τὸν
πατέρα καὶ τὴν μητέρα·» καί· «Ἀγαπήσεις τὸν πλη-
20 σίον σου ὡς σεαυτόν.» Λέγει αὐτῷ ὁ νεανίσκος· Πάν-
τα ταῦτα ἐφυλαξάμην ἐκ νεότητός μου.

Τὰς κεφαλαιωδεστέρας αὐτῷ προτείνει τῶν ἐντολῶν οἰκονομικῶς, ἅμα μὲν τιμῶν αὐτὰς, ἅμα δὲ καὶ ἵνα, εἰπόντος αὐτοῦ, ὅτι κατώρθωσα ταύτας· [τοῦτο (2) γὰρ δηλοῖ τὸ, *ἐφυλαξάμην*· καὶ ὅτι *ἐκ νεότητος*· ἐγίνωσκε γὰρ, καὶ ὅτι οὕτω κατώρθωκε ταύτας,] καὶ ὅτι οὕτως ἀποκριθήσεται· γνωρισθῇ (3) μὲν τοῖς ἀκροωμένοις ἡ φιλάρετος αὐτοῦ πολιτεία· εἶτα λοιπὸν, μίαν αὐτῷ προτείνας τῶν εὐαγγελικῶν ἐντολῶν· φημὶ δὴ, τὴν ἀπόκτησιν τοῦ πλούτου· ῥᾷον (4) ἐλέγξῃ φιλάργυρον, καὶ οὕτως εὐαφόρμως καὶ ἐναργῶς ὑποδείξῃ τὴν φιλαργυρίαν πάσας λυμαινομένην τὰς ἀρετὰς, καὶ λοιπὸν, φανείσης τῆς ἐντεῦθεν ζημίας, φευκτὸν γένηται τὸ τοιοῦτον πάθος.

(1) Ταῦτα ἐν τῷ περισελιδίῳ παρὰ τῷ Β.
(2) Τὰ παρεντεθειμένα λείπουσι παρὰ τῷ Α.
(3) Τὸ, γνωρισθῇ, ἐξαρτᾶται ἀπὸ τοῦ ἀνωτέρω, ἵνα.
(4) Ἀπὸ κοινοῦ τὸ, ἵνα.

Καὶ διὰ τί μὴ προέτεινεν αὐτῷ καὶ τὴν πρώτην καὶ μεγάλην ἐντολὴν, τό· *Ἀγαπήσεις Κύριον τὸν θεόν σου;* Διότι τὰ μὲν ἄλλα τούτου κατορθώματα κεκρυμμένα ἦσαν· ἡ θεοσέβεια δὲ αὐτοῦ τοῖς πᾶσι γνώριμος ἐτύγχανεν.

Ἀπορήσειε δ' ἄν τις, εἰ αἱ προταθεῖσαι νομικαὶ ἐντολαὶ προξένουν ζωὴν αἰώνιον; Πρὸς ὃν εἴποιμι ἂν, ὅτι προξένουν μὲν, ἀλλ' οὐ τοιαύτην, οἵαν αἱ εὐαγγελικαί. Ζωὴν γὰρ αἰώνιον, τὴν ἐν οὐρανοῖς ἀπόλαυσιν ὑποληπτέον, ἥτις ποικίλη καὶ πολυειδής ἐστι. Πολλαὶ γὰρ μοναὶ παρὰ τῷ θεῷ (α).

Ἐπαπορήσει δέ τις, εἰ ἀληθῶς ἔλεγεν ὁ νεανίσκος; Ἔχων γὰρ κτήματα πολλὰ, καθὼς δηλωθήσεται, πῶς ἠγάπα τὸν πλησίον, ὡς ἑαυτόν; ἦ γὰρ ἂν ἐμερίσατο ταῦτα πρὸς τοὺς ὀλίγα ἢ οὐδόλως ἔχοντας; Τί οὖν ἔστιν εἰπεῖν; Ὅτι κατώρθωσε καὶ ταύτην τὴν ἐντολὴν, ὡς ἐνεχώρει τότε κατορθοῦν αὐτήν. Ἠγάπα μὲν γὰρ τὸν πλησίον, ὡς ἑαυτὸν, ἀλλ' ὥστε μηδὲν βλαβερὸν αὐτῷ ἐνδείξασθαι, οὐ μὴν ὥστε καὶ συμμερίσασθαι αὐτῷ τὸν ἴδιον πλοῦτον. Τοῦτο γὰρ ὑψηλὸν, καὶ τῆς Ἰουδαϊκῆς χαμαιζηλίας ἀνώτερον.

[Ὧν (1) εἶχε χρείαν μᾶλλον ὁ τότε καιρός. Αἱ μὲν οὖν ἄλλαι καθ' ἓν μέρος ἐν τῇ Ἐξόδῳ (β) νενομοθέτηνται· τὸ δὲ, Ἀγαπήσεις τὸν πλησίον σου ὡς σεαυτὸν, καθ' ἕτερον, καὶ φανερῶς οὕτως ἐν τῷ Λευϊτικῷ (γ)· παρέλαβε δὲ καὶ τοῦτο νῦν, ὡς χρειωδέστατον.]

20 Τί ἔτι ὑστερῶ;

Τί λείπομαι; Τοῦτο δὲ εἰπὼν, ἐνέφηνεν, ὅτι μείζονος ἐφίεται ἀρετῆς. Διὸ καὶ, ὥς φησι Μάρκος (δ), *ὁ Ἰησοῦς ἐμβλέψας*

(α) Ἰωαν. ΙΔ΄, 2.

(1) Ταῦτα ἀναγινώσκονται ἐν τῷ περισελιδίῳ τοῦ χειρογράφου Β· ἀναφέρονται δὲ εἰς τὸ ἐν ἀρχῇ τῆς ἑρμηνείας τοῦ προκειμένου εἰρημένον, Κεφαλαιωδεστέρας.

(β) Ἐξοδ. Κ΄, 12 καὶ ἑξῆς.

(γ) Λευϊτ. ΙΘ΄, 18.

(δ) Μαρκ. Ι΄, 21.

αὐτῷ, ἠγάπησεν αὐτὸν, καὶ εἶπεν αὐτῷ· Ἕν σοι ὑστερεῖ. Λουκᾶς δὲ εἶπεν (δ), ὅτι *Ἔτι ἕν σοι λείπει.* Ἐνέβλεψε μὲν γὰρ αὐτῷ ἥμερον· ἠγάπησε δὲ αὐτὸν, ὡς σφόδρα σωτηρίας ὀρεγόμενον, εἰ καὶ τῇ τυραννίδι τῆς φιλαργυρίας ἐπεπέδητο. Τί δέ ἐστι τὸ λεῖπον; Τὸ ἀκολουθῆσαι αὐτῷ. Καὶ ἄκουε.

21 Ἔφη αὐτῷ ὁ Ἰησοῦς· Εἰ θέλεις τέλειος εἶναι,
ὕπαγε, πώλησόν σου τὰ ὑπάρχοντα, καὶ δὸς πτωχοῖς· καὶ ἕξεις θησαυρὸν ἐν οὐρανῷ· καὶ δεῦρο, ἀκολούθει μοι.

Ἐπεὶ τὰ ὑπάρχοντα, τουτέστιν, ὁ πλοῦτος, ἐμπόδιον ἦσαν τοῦ ἀκολουθῆσαι, κελεύει ταῦτα πωλῆσαι, καὶ δοῦναι πτωχοῖς. Φησὶν οὖν, *Εἰ θέλεις τέλειος εἶναι·* καὶ γὰρ ἀτελεῖς οἱ τὰς νομικὰς κατορθοῦντες ἐντολὰς, ἐπεὶ καὶ αὗται ἀτελεῖς διὰ τὴν ἀσθένειαν τῶν Ἰουδαίων. *Ἕξεις δὲ θησαυρὸν* εἶπε, παραμυθούμενος τὴν φιλοχρηματίαν αὐτοῦ, καὶ ἐπαγγελλόμενος, ὅτι θησαυρίσει πάλιν· καὶ οὐ τοῦτο μόνον, ἀλλὰ καὶ κρεῖττον· ἐν οὐρανῷ γάρ· *θησαυρὸν δὲ ἐν οὐρανῷ* λέγει τὴν ἀποκειμένην ἐκεῖ τοῖς ἀξίοις ἀμοιβὴν τῶν κατορθωμάτων. Τὸ δὲ, *Δεῦρο ἀκολούθει μοι,* ἀντὶ τοῦ, Βάδιζε κατ' ἴχνος τῆς ἐμῆς πολιτείας, ἀκολούθει ταῖς ἐμαῖς ἐντολαῖς. Τοῦτο γάρ σοι λείπει, τὰ νομικὰ κατορθώσαντι.

22 Ἀκούσας δὲ ὁ νεανίσκος τὸν λόγον, ἀπῆλθε λυπούμενος· ἦν γὰρ ἔχων κτήματα πολλά.

Ὅσον εἶχε πολλὰ, τοσοῦτον αὐτοῖς ἐδεδούλωτο· καὶ γὰρ ἡ προσθήκη τοῦ πλούτου προσθήκην ποιεῖ τῆς φιλαργυρίας. Γέγονεν οὖν αἰτία τῆς λύπης καὶ τῆς ἀπειθείας ἡ πολυκτημοσύνη.

23 Ὁ δὲ Ἰησοῦς εἶπε τοῖς μαθηταῖς αὐτοῦ· Ἀμὴν

(δ) Λουκ. ΙΗ΄, 22.

λέγω ὑμῖν, ὅτι δυσκόλως πλούσιος εἰσελεύσεται εἰς τὴν βασιλείαν τῶν οὐρανῶν.

Εἰ δὲ πλούσιος δυσκόλως, πλεονέκτης οὐδ' ὅλως· εἰ γὰρ ὁ μὴ διδοὺς τὰ ἑαυτοῦ, κατακρίνεται· πολλῷ μᾶλλον, ὁ καὶ τὰ ἑτέρων ἁρπάζων.

24 Πάλιν δὲ λέγω ὑμῖν· εὐκοπώτερόν ἐστι κάμηλον διὰ τρυπήματος ῥαφίδος διελθεῖν, ἢ πλούσιον εἰς τὴν βασιλείαν τοῦ θεοῦ εἰσελθεῖν·

Εἰπὼν τὸ πρᾶγμα δύσκολον, ἔπειτα λέγει τοῦτο καὶ ἀδύνατον· καὶ οὐχ ἁπλῶς ἀδύνατον, ἀλλὰ καὶ τοῦ ἀδυνάτου ἀδυνατώτερον. Ἀδύνατον μὲν γὰρ τὴν κάμηλον, τὸ ζῶον, διὰ τρυπήματος βελόνης διελθεῖν· ἀδυνατώτερον δὲ τούτου ἐκεῖνο. Κατ' ἐπίτασιν δὲ ὁ λόγος, εἰς φόβον τῶν φιλαργύρων.

Τινὲς δὲ *κάμηλον* φασι, σχοινίον παχύτατον πλοίου. Ταῦτα δὲ λέγων ὁ Χριστὸς, οὐ διαβάλλει τὸν πλοῦτον, ἀλλὰ τὸ δουλοῦσθαι τῷ πλούτῳ. Κάλλιστον δὲ τὸ παράδειγμα· καθάπερ γὰρ τὸ τρύπημα τῆς ῥαφίδος οὐ χωρεῖ τὴν κάμηλον, διά τε τὴν ἄγαν ἑαυτοῦ στενότητα, καὶ διὰ τὸν ἄγαν ἐκείνης ὄγκον· οὕτω καὶ ἡ ὁδὸς, ἡ ἀπάγουσα εἰς τὴν ζωὴν, οὐ χωρεῖ τὸν πλούσιον, διά τε τὴν ἑαυτῆς στενότητα, καὶ διὰ τὸν τούτου ὄγκον. Προσήκει οὖν ὄγκον ἀποθέσθαι πάντα (α), κατὰ τὸν Ἀπόστολον, καὶ λεπτυνθῆναι δι' ἑκουσίου πενίας.

25 Ἀκούσαντες δὲ οἱ μαθηταὶ αὐτοῦ, ἐξεπλήσσοντο σφόδρα, λέγοντες· Τίς ἄρα δύναται σωθῆναι;

Ἐξεπλήσσοντο, ἀντὶ τοῦ, ἐθορυβοῦντο· πλὴν οὐχ ὑπὲρ ἑαυτῶν· πένητες γὰρ ἦσαν· ἀλλ' ὑπὲρ τῶν πλουσίων. Ἤρξαντο γὰρ σπλάγχνα διδασκάλων ἀναλαβεῖν, καὶ ὑπεραλγεῖν τῆς ἀπωλείας τῶν ἀνθρώπων, λέγοντες, Τίς ἄρα τῶν πλουσίων δύναται σωθῆναι;

(α) Ἑβρ. ΙΒ', 1.

26 Ἐμβλέψας δὲ ὁ Ἰησοῦς εἶπεν αὐτοῖς· Παρὰ ἀνθρώποις τοῦτο ἀδύνατόν ἐστι, παρὰ δὲ θεῷ πάντα δυνατά ἐστι.

Πρῶτον ἡμέρῳ βλέμματι φρίττουσαν αὐτῶν τὴν διάνοιαν παρηγόρησεν· εἶτα εἶπεν, ὅτι *Παρὰ ἀνθρώποις* πλουσίοις *τοῦτο*, δηλαδὴ τὸ σωθῆναι, *ἀδύνατόν ἐστι*· δεδεσμημένοι γὰρ ἰσχυρῶς ταῖς σειραῖς τῆς φιλαργυρίας, ἀδυνατοῦσιν ἀφ' ἑαυτῶν μόνων ἐλευθερωθῆναι τῆς τοιαύτης τυραννίδος· ὁ δὲ θεὸς οὐ μόνον σῶσαι τούτους δύναται, ἀλλὰ καὶ πᾶν ἕτερον δύναται· σώσει δὲ τούτους, ἐὰν τὴν παρ' ἑαυτῶν σπουδὴν εἰσφέροντες, καὶ κενοῦντες τὸν πλοῦτον εἰς πένητας, καὶ σβεννύοντες τὸ πῦρ τῆς ἐπιθυμίας τῶν χρημάτων, ἐπικαλέσωνται καὶ τοῦτον ἐπίκουρον καὶ συλλήπτορα τῆς ἐλευθερίας.

Ἐδίδαξε τοίνυν ὁ σύμπας λόγος, ὅτι ἀδύνατον σωθῆναι φιλάργυρον, ἐὰν μὴ τὴν παρ' ἑαυτοῦ σπουδὴν εἰσφέρων, ὡς εἴρηται, σχοίη καὶ τὸν θεὸν βοηθὸν τῆς ἀπαλλαγῆς τοῦ τοιούτου χαλεπωτάτου πάθους. Φασὶ δέ τινες, ὅτι ἐὰν πάντα δυνατὰ τῷ θεῷ, δυνατὸν ἄρα τῷ θεῷ καὶ τὸ κακόν. Πρὸς οὓς λέγομεν, ὅτι τὸ κακὸν οὐκ ἔστι δυνάμεως, ἀλλ' ἀδυναμίας. Διὸ καὶ ὁ Δαυῒδ τὰς ἁμαρτίας, ἀσθενείας ὠνόμασεν, εἰπών· Ἐπληθύνθησαν *αἱ* ἀσθένειαι αὐτῶν (α)· καὶ ὁ Παῦλος δέ φησιν· Ὄντων ἡμῶν ἀσθενῶν (β)· ἤγουν, ἁμαρτωλῶν. Καὶ ἑτέρως δὲ, κατὰ τὸν θεολόγον Γρηγόριον, ἀρχὴ τοῦ κακοῦ, τὸ ἀμελῆσαι τοῦ ἀγαθοῦ· πῶς δ' ἂν ἀμελήσῃ τοῦ ἀγαθοῦ ἡ αὐτοαγαθότης;

27 Τότε ἀποκριθεὶς ὁ Πέτρος, εἶπεν αὐτῷ· Ἰδοὺ, ἡμεῖς

(α) Ψαλμ. ΙΕ', 4.
(β) Ῥωμ. Ε', 6.

ἀφήκαμεν πάντα, καὶ ἠκολουθήσαμέν σοι· τί ἄρα ἔσται ὑμῖν;

Ποῖα πάντα, ὦ μακάριε Πέτρε; Τὸν κάλαμον, τὸ δίκτυον, τὸ πλοῖον, τὴν ἁλιευτικήν; Ναί, φησιν, ἃ εἶχον, καὶ ὅσα εἶχον· ἡ προαίρεσίς μου γὰρ ἐντελής. Εἰπόντος οὖν τοῦ Σωτῆρος πρὸς τὸν νεανίσκον· Εἰ θέλεις τέλειος εἶναι, ὕπαγε, πώλησόν σου τὰ ὑπάρχοντα, καὶ δὸς πτωχοῖς, καὶ ἕξεις θησαυρὸν ἐν οὐρανῷ· ἐδειλίασεν ὁ Πέτρος περί τε ἑαυτοῦ καὶ περὶ τῶν μαθητῶν, ὡς ἠλαττωμένων, διὰ τὸ μὴ πωλῆσαι τὰ ὑπάρχοντα, καὶ δοῦναι πτωχοῖς· διὸ καί φησιν· Ἰδοὺ ἡμεῖς οὐκ ἐπωλήσαμεν, οὔτε μὴν ἐδώκαμεν πτωχοῖς, ἀλλ' ἀφήκαμεν ἁπλῶς πάντα, ὅσα εἴχομεν, καὶ ἠκολουθήσαμέν σοι· τί ἄρα ἔσται ἡμῖν εἰς ἀμοιβήν;

28 Ὁ δὲ Ἰησοῦς εἶπεν αὐτοῖς· Ἀμὴν λέγω ὑμῖν, ὅτι ὑμεῖς οἱ ἀκολουθήσαντές μοι, ἐν τῇ παλιγγενεσίᾳ, ὅταν καθίσῃ ὁ υἱὸς τοῦ ἀνθρώπου ἐπὶ θρόνου δόξης αὐτοῦ, καθίσεσθε καὶ ὑμεῖς ἐπὶ δώδεκα θρόνους, κρίνοντες τὰς δώδεκα φυλὰς τοῦ Ἰσραήλ.

Π*αλιγγενεσίαν* λέγει νῦν, τὴν ἐκ νεκρῶν ἀνάστασιν, ὡς παλινζωΐαν. Τί οὖν; καθεδοῦνται καὶ οἱ ἀπόστολοι τότε, καὶ κρινοῦσιν; Οὐδαμῶς· μόνος γὰρ ὁ Χριστὸς καθίσει, καὶ μόνος αὐτὸς κρινεῖ. Ἀλλὰ διὰ μὲν τῶν δώδεκα θρόνων παρεδήλωσε τὴν τότε ἀνάπαυσιν, καὶ προτίμησιν τῶν δώδεκα μαθητῶν, καὶ τὴν κοινωνίαν τῆς βασιλείας αὐτοῦ. *Κρίνοντες* δέ, φησιν, ἀντὶ τοῦ, κατακρίνοντες. Εἶπεν οὖν, ὅτι Ἀναπαυθήσεσθε τότε, καὶ προτιμηθήσεσθε, καὶ συμβασιλεύσετέ μοι, κατακρίνοντες τοὺς Ἰσραηλίτας, οὐχ ὡς αὐτοὶ δικάζοντες, ἀλλ' ὥσπερ ἐν τῷ οἰκοστῷ τρίτῳ Κεφαλαίῳ τοὺς Νινευΐτας ἔφησε καὶ τὴν βασίλισσαν τοῦ Νότου κατακρίνειν τὴν γενεὰν ἐκείνην, οὕτω καὶ νῦν τούτους τὰς δώδεκα φυλὰς τοῦ Ἰσραήλ. Διὰ τοῦτο γὰρ οὐκ εἶπε τὰ ἔθνη, οὐδὲ τὴν οἰκουμένην, ἀλλὰ μόνους τοὺς Ἰσραηλίτας, τοὺς ὁμοφύλους, τοὺς συγγενεῖς. Κατακρινοῦσι γὰρ αὐτούς, οὐχ ὡς δικάζοντες, ὡς εἰρήκαμεν, ἀλλ' ὡς τοῦ δικάζοντος ἀπὸ τῆς τούτων πίστεως καταδικάζοντος αὐτούς· ὅτι τοῖς αὐτοῖς ἐνετράφησαν οὗτοί τε κἀκεῖνοι νόμοις καὶ ἤθεσι, καὶ ὅμως οὗτοι μὲν ἐπίστευσαν· ἐκεῖνοι δὲ ἠπίστησαν.

Τί δέ, καὶ ὁ Ἰούδας θρόνον ἕξει, καὶ κατακρινεῖ; Οὐχί· κοινὴ μὲν γὰρ ἡ ἐπαγγελία πρὸς τοὺς δώδεκα μαθητάς, ἵνα μηδ' ἐν ταύτῃ τῶν ἄλλων ὁ Ἰούδας ἐλαττωθείη· φαυλότητι δὲ ψυχῆς αὐτὸς ἑαυτὸν ταύτης ἀπεστέρησεν. Ἔστι γὰρ νόμος τοῦ θεοῦ παρὰ Ἱερεμίου πρὸς Ἰουδαίους ἐκφωνηθείς, καὶ λέγων· « Ἐὰν (α) ἐπιστρέψῃ τὸ ἔθνος ἐκεῖνο ἀπὸ τῶν κακιῶν αὐτῶν, μετανοήσω κἀγὼ ἀπὸ τῶν κακῶν, ὧν ἐλογισάμην τοῦ ποιῆσαι αὐτοῖς »· εἶτα· « Καὶ ἐὰν ποιήσωσι τὸ πονηρὸν ἐνώπιόν μου, τοῦ μὴ ἀκούειν τῆς φωνῆς μου, μετανοήσω κἀγὼ περὶ τῶν ἀγαθῶν, ὧν ἐλάλησα τοῦ ποιῆσαι αὐτοῖς. » Τί οὖν φησιν οὗτος ὁ νόμος; Ὅτι Ἐὰν ἀπειλήσω κακῶσαί σε, καὶ διορθωθῇς, λύσεις μου τὴν ψῆφον· καὶ ἐὰν ὑπόσχωμαί σοι ἀγαθά, καὶ ῥαθυμήσῃς, λύσεις μου τὴν ἐπαγγελίαν· σὺ γὰρ αἴτιος, ἀνάξιος ταύτης γενόμενος. Μετάνοιαν γὰρ ἐπὶ τοῦ θεοῦ τὴν ἐναλλαγὴν τοῦ σκοποῦ νοοῦμεν, ἧς αἴτιοι πάντως ἡμεῖς. Χρὴ δὲ γινώσκειν, ὅτι τοῖς δώδεκα μαθηταῖς συναριθμεῖ καὶ τοὺς ὕστερον ἀντεισαχθέντας εἰς τὸν χορὸν τῶν δώδεκα μαθητῶν, ὡς τὴν αὐτὴν καὶ πίστιν καὶ διακονίαν ἀναδέξασθαι μέλλοντας.

29 Καὶ πᾶς ὅς ἀφῆκεν οἰκίας, ἢ ἀδελφούς, ἢ ἀδελφάς, ἢ πατέρα, ἢ μητέρα, ἢ γυναῖκα, ἢ τέκνα, ἢ ἀγρούς, ἕνεκεν τοῦ ὀνόματός μου, ἑκατονταπλασίονα λήψεται, καὶ ζωὴν αἰώνιον κληρονομήσει.

Υμῖν μὲν τοῖς δώδεκα γενήσεται, καθὼς εἴρηκα, καὶ τοῖς

(α) Ἱερεμ. ΙΗ', 8. 10.

ἄλλοις δὲ πᾶσι, τοῖς πιστεύουσιν, ἔσται τάδε καὶ τάδε. Ματθαῖος μὲν οὖν εἶπεν, *ἕνεκεν τοῦ ὀνόματός μου*, ἀντὶ τοῦ, δι' ἐμέ· Μάρκος δὲ προσέθηκεν, ὅτι *καὶ τοῦ εὐαγγελίου* (α), τουτέστι, καὶ διὰ τὸ κήρυγμα. Λουκᾶς δέ φησιν, ὅτι *ἕνεκεν τῆς βασιλείας τοῦ θεοῦ* (β), ἤγουν, διὰ τὴν βασιλείαν τοῦ θεοῦ, ἵνα τύχῃ ταύτης. Ὥσπερ δὲ, ὅταν ἔλεγεν, Ὁ *ἀπολέσας* τὴν ψυχὴν αὐτοῦ ἕνεκεν ἐμοῦ, εὑρήσει αὐτὴν, οὐ τοῦτο ἔλεγεν, ἵνα ἀναιρῶμεν ἑαυτοὺς, ἀλλ' ἵνα καὶ αὐτῆς τῆς ψυχῆς ἡμῶν προτιμῶμεν τὴν εἰς αὐτὸν πίστιν· οὕτω καὶ νῦν λέγων, *Ὃς ἀφῆκε γυναῖκα*, οὐχ ἵνα διασπῶμεν ἁπλῶς τοὺς γάμους, τοῦτό φησιν, ἀλλ' ἵνα καὶ αὐτῆς τῆς συζύγου προτιμῶμεν καὶ αὐτὸν, καὶ τὸ εὐαγγέλιον, καὶ τὴν βασιλείαν τοῦ θεοῦ. Τοῦτο δὲ καὶ ἐπὶ πάσης ἄλλης συγγενείας καὶ οἰκειότητος.

Μάρκος δὲ καὶ Λουκᾶς (γ) φανερώτερον περὶ τούτων ἐκθέμενοι, τὴν ἑκατονταπλασίονα ἀμοιβὴν τῷ καιρῷ τούτῳ ἀποκεκληρῶσθαί φασιν, ἤγουν, τῷ νῦν αἰῶνι· τὴν δὲ αἰώνιον ζωὴν, τῷ ἐρχομένῳ, εἴτουν, τῷ μέλλοντι. *Ἑκατονταπλασίονα* δὲ, ἀντὶ τοῦ, πολλαπλασίονα. Οὕτω γὰρ εἶπεν ὁ Λουκᾶς. Ἀλλὰ πῶς ἄν τις λάβοι τὴν πολλαπλασίονα ταύτην ἀμοιβὴν ἐν τῷ νῦν αἰῶνι; Πῶς; Ὡς ἔλαβον οἱ ἀπόστολοι καὶ οἱ μάρτυρες καὶ οἱ δίκαιοι ἅπαντες. Ὅρα γὰρ, ὅτι πάσας τὰς πάντων τῶν πιστῶν οἰκίας ἔσχον ἀναπεπταμένας αὐτοῖς, καὶ ἀδελφοὺς μὲν καὶ ἀδελφὰς ἐκτήσαντο πάντας τοὺς ἁγίους καὶ πάσας τὰς ἁγίας, πατέρας δὲ, πάντας τοὺς στέργοντας καὶ φροντίζοντας καὶ σπλαγχνιζομένους ἐπ' αὐτοῖς· ταῦτα γὰρ ἴδια πατρός· μητέρας δὲ, πάσας τὰς ὁμοίως ἐχούσας· γυναῖκας δὲ, πάσας τὰς διακονούσας καὶ ὑπηρετούσας καὶ ἐπιμελομένας αὐτῶν· ταῦτα γὰρ ἔργα γυναικός· τέκνα δὲ, πάντας τοὺς μαθητάς. Ἀλλὰ καὶ

(α) Μαρκ. Ι', 29.
(β) Λουκ. ΙΗ', 29.
(γ) Μαρκ. Ι', 30. Λουκ. ΙΗ', 30.

πάντας τοὺς ἀγροὺς τῶν πιστῶν εἶχον εἰς ἐξουσίαν· καὶ, τὸ παραδοξότατον, πάντα ταῦτα ἔσχον *μετὰ διωγμῶν*, ὡς ὁ Μάρκος (α) προσέθηκεν· ὅ ἐστι, διωκόμενοι παρὰ τῶν ἐχθρῶν τῆς πίστεως. Εἴη δ' ἂν πολλαπλασίων ἀμοιβὴ, καὶ ἡ χάρις τῶν ἰαμάτων, ἢ τοῦ προβλέπειν τὸ μέλλον, ἢ τοιούτου τινός.

30 Πολλοὶ δὲ ἔσονται πρῶτοι, ἔσχατοι· καὶ ἔσχατοι, πρῶτοι.

Πολλοὶ πρῶτοι δοκοῦντες ἐν τῷ παρόντι βίῳ, ἔσονται ἔσχατοι κατὰ τὸν μέλλοντα, καὶ τοὐναντίον, ἔσχατοι δοκοῦντες ἐνταῦθα, ἔσονται πρῶτοι ἐκεῖ. Τοῦτο δὲ εἴρηται μὲν καὶ περὶ πάντων ἁπλῶς, ἵνα μήτε οἱ κατὰ τὸν παρόντα βίον προτιμώμενοι ἐπαίρωνται, μήτε οἱ ἐνταῦθα καταφρονούμενοι ἀθυμῶσι· μάλιστα δὲ πρὸς τοὺς φαρισαίους, καὶ τοὺς τοιούτους, ὁ λόγος ἀποτέταται, (1) τῶν πρωτείων ἰσχυρῶς ἀντιποιουμένους. Ἐπεὶ δὲ οὐ πάντες κατὰ τὸν αὐτὸν χρόνον πιστεύουσιν, ἀλλ' οἱ μὲν, πρῶτον, οἱ δὲ, ὕστερον, τίθησι παραβολὴν παραμυθουμένην τοὺς ὑστεροῦντας, καὶ προθυμίαν αὐτοῖς ἐμβάλλουσαν, ἣν ὁμοῦ πᾶσαν ἀναγκαῖον ἐκθέσθαι πρῶτον, οὕτως ἀπαιτούσης τῆς ἐξηγήσεως αὐτῆς· εἶτα λοιπὸν ὁμοῦ καὶ τὰ δοκοῦντα περὶ ταύτης εἰπεῖν· εἰ γὰρ καὶ μακρά τίς ἐστιν, ἀλλ' εὔληπτος πέφυκεν.

ΚΕΦΑΛΑΙΟΝ ΜΒ'.

Περὶ τῶν μισθουμένων ἐργατῶν,

ΚΕΦ. ΧΧ, 1 Ὁμοία γάρ ἐστιν ἡ βασιλεία τῶν οὐρα-

(α) Μαρκ. Ι', 30,
(1) Ισως γραπτέον, τοὺς τῶν—

νῶν ἀνθρώπῳ οἰκοδεσπότῃ, ὅστις ἐξῆλθεν ἅμα
πρωῒ μισθώσασθαι ἐργάτας εἰς τὸν ἀμπελῶνα αὐ-
2 τοῦ. Συμφωνήσας δὲ μετὰ τῶν ἐργατῶν ἐκ δηνα-
ρίου τὴν ἡμέραν, ἀπέστειλεν αὐτοὺς εἰς τὸν
3 ἀμπελῶνα αὐτοῦ. Καὶ ἐξελθὼν περὶ τὴν τρίτην
ὥραν, εἶδεν ἄλλους ἑστῶτας ἐν τῇ ἀγορᾷ ἀργούς·
4 κἀκείνοις εἶπεν· Ὑπάγετε καὶ ὑμεῖς εἰς τὸν ἀμπε-
5 λῶνα· καὶ ὃ ἐὰν ᾖ δίκαιον δώσω ὑμῖν. Οἱ δὲ ἀπῆλ-
θον. Πάλιν ἐξελθὼν περὶ ἕκτην καὶ ἐννάτην ὥραν,
6 ἐποίησεν ὡσαύτως. Περὶ δὲ τὴν ἑνδεκάτην ὥραν
ἐξελθὼν, εὗρεν ἄλλους ἑστῶτας ἀργοὺς, καὶ λέγει
αὐτοῖς· Τί ὧδε ἑστήκατε ὅλην τὴν ἡμέραν ἀργοί;
7 Λέγουσιν αὐτῷ· Ὅτι οὐδεὶς ἡμᾶς ἐμισθώσατο.
Λέγει αὐτοῖς· Ὑπάγετε καὶ ὑμεῖς εἰς τὸν ἀμπελῶ-
8 να· καὶ ὃ ἐὰν ᾖ δίκαιον, λήψεσθε. Ὀψίας δὲ γε-
νομένης, λέγει ὁ κύριος τοῦ ἀμπελῶνος τῷ ἐπιτρό-
πῳ αὐτοῦ· Κάλεσον τοὺς ἐργάτας, καὶ ἀπόδος
αὐτοῖς τὸν μισθὸν, ἀρξάμενος ἀπὸ τῶν ἐσχάτων,
9 ἕως τῶν πρώτων. Καὶ ἐλθόντες οἱ περὶ τὴν ἑνδε-
10 κάτην ὥραν, ἔλαβον ἀνὰ δηνάριον. Ἐλθόντες δὲ
οἱ πρῶτοι, ἐνόμισαν, ὅτι πλείονα λήψονται· καὶ
11 ἔλαβον καὶ αὐτοὶ ἀνὰ δηνάριον. Λαβόντες δὲ
12 ἐγόγγυζον κατὰ τοῦ οἰκοδεσπότου, λέγοντες· Ὅτι
οὗτοι οἱ ἔσχατοι μίαν ὥραν ἐποίησαν, καὶ ἴσους
ἡμῖν αὐτοὺς ἐποίησας, τοῖς βαστάσασι τὸ βάρος
13 τῆς ἡμέρας, καὶ τὸν καύσωνα. Ὁ δὲ ἀποκριθεὶς,
εἶπεν ἑνὶ αὐτῶν· Ἑταῖρε, οὐκ ἀδικῶ σε· οὐχὶ δη-
14 ναρίου συνεφώνησάς μοι; Ἆρον τὸ σὸν, καὶ ὕπα-
γε· θέλω δὲ τούτῳ τῷ ἐσχάτῳ δοῦναι ὡς καὶ σοί.

15 Ἢ οὐκ ἔξεστί μοι ποιῆσαι ὃ θέλω ἐν τοῖς ἐμοῖς;

Τῆς ὅλης ταύτης παραβολῆς τὰ καίρια μόνον ἑρμηνευτέον, ὡς ὁ Χρυσόστομος (1) ἐπιτρέπει, τἄλλα δ' οὐ περιεργαστέον, ὡς καὶ ἐν τῷ εἰκοστῷ τετάρτῳ Κεφαλαίῳ προδιελάβομεν. Νοεῖται γὰρ ἐν ταύτῃ *βασιλεία* μὲν *τῶν οὐρανῶν*, αὐτὸς ὁ Χριστὸς, καθὼς πολλαχοῦ τῶν παραβολῶν εἰρήκαμεν· *ἀμπελὼν* δὲ αὐτοῦ, αἱ εὐαγγελικαὶ ἐντολαὶ αὐτοῦ· *ἐργάται* δὲ τοῦ τοιούτου ἀμπελῶνος, οἱ ἐργάται τῶν τοιούτων ἐντολῶν ἄνθρωποι· *καιρὸς δὲ τῆς ἐργασίας*, ὁ παρὼν βίος· *πρωῒ* δὲ καὶ *τρίτη ὥρα καὶ ἕκτη καὶ ἐννάτη καὶ ἑνδεκάτη*, αἱ διάφοροι τῶν ἀνθρώπων ἡλικίαι, καθ' ἃς τῇ πίστει προσέρχονται, καὶ εὐδοκιμοῦσι. Πρωῒ μὲν γὰρ, ἤτοι, πρώτη ὥρα, ἡ ἡλικία τῶν νηπιόθεν κληθέντων εἰς τὰς ῥηθείσας ἐντολάς· τρίτη δὲ ὥρα, ἡ ἡλικία τῶν ἐφήβων· ἕκτη δὲ, ἡ τῶν ἀνδρῶν· ἐννάτη δὲ, ἡ τῶν γερόντων· ἑνδεκάτη δὲ, ἡ τῶν βαθυγερόντων, εἴτουν, τῶν ἐχόντων βραχὺ λείψανον χρόνου ζωῆς ὑπολελειμμένον.

Ἐξῆλθεν οὖν ὁ Χριστὸς εἰς τὴν οἰκουμένην, τοῦτο μὲν, δι' ἑαυτοῦ, τοῦτο δὲ, διὰ τῶν ἀποστόλων, καὶ διὰ τῶν μετ' αὐτοὺς διδασκάλων, μισθώσασθαι ἐργάτας εἰς τὸν ἀμπελῶνα αὐτοῦ, τὸν καρποφοροῦντα βότρυας ἀρετῶν, εὐφραίνοντας τὸν οἰκοδεσπότην, τὸν τῆς οἰκουμένης δεσπότην. Εἰκότως δὲ εἶπε, *μισθώσασθαι*· μισθὸς γὰρ ἀπόκειται τοῖς ἐργάταις τῶν ἐντολῶν, ἡ ἑκάστου σωτηρία· ταύτην γὰρ νοοῦμεν, *δηνάριον*. Πλάττει δὲ τοὺς πρώτους ἡ παραβολὴ γογγύζοντας, καὶ ἐπιςομιζομένους, οὐχ ὅτι ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν ἔςαι φθόνος· εἰ γὰρ καὶ ἐνταῦθα ὄντες οἱ δίκαιοι τὰς ἑαυτῶν ψυχὰς ὑπὲρ τῶν ἀνθρώπων τιθέα-

(1) Τὸ, ἐπιτρέπει, ἐνταῦθα ἀντὶ τοῦ, κελεύει. Ἡ δὲ ἑρμηνεία τοῦ Χρυσοστόμου ἐν Τομ. Ζ'. Σελ. 638. Α. κ. ἑξ. Ἀναφέρεται δὲ μάλιστα ὁ Εὐθύμιος εἰς τὸ αὐτόθι Ε εἰρημένον « Οὐ χρὴ πάντα τὰ ἐν ταῖς παραβολαῖς κατὰ λέξιν περιεργάζεσθαι· ἀλλὰ τὸν σκοπὸν μαθόντας, δι' ὃν συνετέθη, τοῦτον δρέπεσθαι, καὶ μηδὲν πολυπραγμονεῖν περαιτέρω. »

σι, πολλῷ μᾶλλον ἐκεῖ τούτους βλέποντες σωζομένους χαίρουσιν· ἀλλ᾽ ὁ τοιοῦτος ἐσχημάτισται γογγυσμὸς, καὶ ἡ ἐπιστόμισις, εἰς ἔμφασιν μόνον τῆς τοῦ θεοῦ περὶ τοὺς ἔσχατον προσερχομένους φιλανθρωπίας, ἵνα θαῤῥῶσιν, ὡς οὐδὲν ἐμποδιζούσης τῆς ὑστερήσεως, ἐὰν εἰς τὸ ἑξῆς ἐργάζωνται.

Καὶ ἡμεῖς γὰρ, ὅταν τινὰ πολλῆς ἀξιώσωμεν τιμῆς, εἶτα βουληθῶμεν ἐμφῆναι τὴν ταύτης ὑπερβολὴν, εἰώθαμεν λέγειν, ὅτι ὁ δεῖνα ἐγόγγυσε διὰ τὴν τοσαύτην τιμήν· τοῦτο δὲ λέγομεν, οὐκ ἐκεῖνον διαβάλλοντες, ἀλλὰ τοῦτον διεγείροντες εἰς εὐχαριστίαν.

Διὰ τί δὲ οὐχ ὁμοῦ πάντας ἐκάλεσεν εἰς τὸν ἀμπελῶνα; Διότι οὐχ ὁμοῦ πάντας εὗρεν· ἀδύνατον γὰρ κατὰ τὸν αὐτὸν χρόνον, ὡς προειρήκαμεν, καὶ κατὰ τὴν αὐτὴν ἡλικίαν πάντας προσελθεῖν. Τότε δὲ εὑρίσκει ἕκαστον, ὅταν οὗτος ὑπακοῦσαι μέλλῃ· φησὶ γὰρ ὁ Παῦλος· «Ὅτε δὲ εὐδόκησεν ὁ ἀφορίσας με ἐκ κοιλίας μητρός μου (α)·» τότε δὲ εὐδόκησεν, ὅτε οὗτος ἔμελλεν ὑπακούειν. Ἡ μὲν οὖν παραβολὴ διδάσκει, τοὺς ἐν ἐσχάτῳ γήρᾳ προσερχομένους μὴ ἀπογινώσκειν, ἀλλὰ γινώσκειν, ὅτι δυνατὸν καὶ ἐν βραχείᾳ σπουδῇ σωθῆναι· τοῦτο γὰρ ὁ ταύτης σκοπός. Χρὴ δὲ ἡμᾶς τὸν σκοπὸν μόνον αὐτῆς δρεψαμένους, τἆλλα μὴ πολυπραγμονεῖν· τἆλλα γὰρ πάντα διὰ τὸν σκοπὸν συνετέθησαν, ἵνα πιθανὸς γένηται, καὶ οὐκ ἀκίνδυνον τὸ καὶ περὶ τούτων ζητεῖν, ὡς ὁ Χρυσόστομος ἐν τῷ περὶ παραβολῶν Κεφαλαίῳ παραδέδωκεν (1).

[Νοοῖτο (2) δ᾽ ἂν *βάρος καὶ καύσων τῆς ἡμέρας*, τὸ βάρος τῶν πειρασμῶν καὶ τὸ πῦρ τῶν ἀτιθάσσων ἡδονῶν καὶ ἀγρίων

(α) Γαλατ. Α΄, 15.

(1) Πολλάκις ὁμιλεῖ περὶ τούτων ὁ Χρυσόστομος· ἀλλ᾽ ὁ Εὐθύμιος εἶχεν, ὡς φαίνεται, εἰς τὸν νοῦν ὅ,τι λέγει ὁ Χρυσόστομος Τόμ. Ζ΄. Σελ· 487. Ε.

(2) Τὰ παρεντεθειμένα ἀναγινώσκονται παρ᾽ ἀμφοτέροις τοῖς χειρογράφοις ἐν τῷ περισελιδίῳ.

παθῶν, ἅπερ ἐβάστασαν, εἴτουν, ὑπέμειναν, μὴ ἐνδόντες αὐτοῖς.]

15 Ἢ ὁ ὀφθαλμός σου πονηρός ἐστιν, ὅτι ἐγὼ ἀγα-
θός εἰμι;

Τὸ, *ὅτι*, ἀντὶ τοῦ, *ἀλλά* (1)· λέγει γὰρ, ὅτι Ἐὰν ὁ ὀφθαλμός σου βάσκανός ἐστιν, ἀλλ᾽ οὖν ἐγὼ ἀγαθός εἰμι, σώζων μὲν καὶ σέ, σώζων δὲ καὶ τοῦτον. Σὺ δὲ μὴ θορυβηθῇς ἐντεῦθεν, ὡς ἴσων βραβείων παρεχομένων καὶ τοῖς ἐκ πρώτης ἡλικίας ἄχρι τέλους ἐργασαμένοις τὰς εὐαγγελικὰς ἐντολὰς, καὶ τοῖς ἐν ἐσχάτῳ γήρᾳ εὐαρεστήσασιν. Ἡ παραβολὴ γὰρ μόνον ἐδίδαξεν, ὅτι ἐπίσης σώζονται, οὐ μὴν ὅτι καὶ ἐπίσης δοξάζονται. Σωτηρία μὲν γὰρ, τὸ μὴ ἀπολέσθαι· δόξα δὲ, τὸ τυχεῖν βραβείων, ἃ διάφορά εἰσι κατὰ ἀναλογίαν διδόμενα τοῖς σωζομένοις.

16 Οὕτως ἔσονται οἱ ἔσχατοι, πρῶτοι· καὶ οἱ πρῶτοι,
ἔσχατοι.

Οὐκ ἐκ τῆς παραβολῆς τοῦτο συνεπέρανεν· ἀνοίκειον γάρ· διότι ἐκεῖ μὲν ἴσοι τοῖς πρώτοις οἱ ἔσχατοι· ἐνταῦθα δὲ οἱ ἔσχατοι πρῶτοι· ἀλλ᾽ ἕτερος οὗτος ὁ λόγος, διδάσκων, ὅτι, ὥσπερ ἐκεῖνο γίνεται, τὸ τοῖς ἐκ πρώτης ἡλικίας ἐργασαμέναις ἶσον μισθὸν λαβεῖν τοὺς ἐν ἐσχάτῳ γήρᾳ εὐαρεστήσαντας· οὕτως ἄρα καὶ τοῦτο γίνεται, τὸ τοὺς ἐσχάτους πρώτους φανῆναι, καὶ τοὺς πρώτους ἐσχάτους. Εἶεν δ᾽ ἂν οἵ τε χριστιανοὶ καὶ οἱ Ἰουδαῖοι, καὶ τῶν πιστῶν οἱ ἐξ ἀρχῆς μὲν ἀμελήσαντες, ὕστερον δὲ σπουδάσαντες, καὶ οἱ ἐν ἀρχῇ μὲν σπουδάσαντες, ὕστερον δὲ ἀμελήσαντες. Οὐ γὰρ ἐπὶ πίστεως μόνον, ἀλλὰ καὶ ἐπὶ βίου αἱ τοιαῦται μεταβολαί.

(1) Τὴν ἐξήγησιν ταύτην ἐγέννησεν ἡ ἀνάγνωσις, Εἰ ὁ ὀφθαλμός σου, ἀντὶ τῆς, Ἢ ὁ—. Παραδεχθεὶς λοιπὸν τὴν πρώτην ὁ Εὐθύμιος ἐξηγεῖ τὸ, ὅτι, διὰ τοῦ, ἀλλά. Εἰ ἀναγινώσκει και ὁ Χρυσόστομος· ἀλλὰ παρατρέχει ἀνεξήγητον τὸ, Εἰ... ὅτι. Πλὴν ἡ ἀνάγνωσις, Ἢ, εἶναι ὀρθοτέρα.

16 Πολλοὶ γὰρ εἰσὶ κλητοὶ, ὀλίγοι δὲ ἐκλεκτοί.

Πολλοὶ μὲν, οἱ καλούμενοι εἰς τὴν πίστιν· ὀλίγοι δὲ, οἱ εὐαρεστοῦντες.

17 Καὶ ἀναβαίνων ὁ Ἰησοῦς εἰς Ἱεροσόλυμα, παρέ-
λαβε τοὺς δώδεκα μαθητὰς κατ' ἰδίαν ἐν τῇ ὁδῷ,
18 καὶ εἶπεν αὐτοῖς· Ἰδοὺ, ἀναβαίνομεν εἰς Ἱεροσό-
λυμα, καὶ ὁ υἱὸς τοῦ ἀνθρώπου παραδοθήσεται τοῖς
ἀρχιερεῦσι καὶ γραμματεῦσι· καὶ κατακρινοῦσιν αὐ-
19 τὸν θανάτῳ· καὶ παραδώσουσιν αὐτὸν τοῖς ἔθνε-
σιν εἰς τὸ ἐμπαῖξαι, καὶ μαστιγῶσαι, καὶ σταυρῶσαι·

Ἀνερχόμενος ἐπὶ τὸ πάθος ἤδη, πάλιν προλέγει τοῖς μαθηταῖς τὰ μέλλοντα αὐτῷ συμβαίνειν, ἐν τῷ πυκνῶς ταῦτα προλέγειν τὸ πολὺ τῆς λύπης αὐτῶν ὑποτεμνόμενος. Κατ' ἰδίαν δὲ αὐτοῖς περὶ τούτων διαλέγεται· διότι οὐκ ἔδει ταῦτα μαθεῖν τοὺς πολλοὺς, ἵνα μὴ σκανδαλισθῶσιν. Εἰ γὰρ οἱ μαθηταὶ ταῦτα ἀκούοντες ἐθορυβοῦντο, πολλῷ μᾶλλον οἱ ὄχλοι.

Τί οὖν οὐκ ἐλέχθη περὶ τούτων καὶ πρὸς τοὺς πολλούς; Ἐλέχθη μὲν, ἀλλ' οὐχ οὕτω σαφῶς· « οὕτω γάρ, φησιν, ἔσται καὶ ὁ υἱὸς τοῦ ἀνθρώπου ἐν τῇ καρδίᾳ τῆς γῆς τρεῖς ἡμέρας καὶ τρεῖς νύκτας (α). » Καὶ ἀλλαχοῦ δὲ τοιαῦτα πρὸς αὐτοὺς εἶπεν ἀσαφῶς, ὡς προϊόντες εὑρήσομεν. Καὶ ἐπεὶ οὐ συνίεσαν αὐτὰ, διὰ τί ὅλως ταῦτα πρὸς αὐτοὺς ἔλεγεν; Ἵνα μετὰ ταῦτα μαθόντες αὐτὰ γνῶσιν, ὅτι προγινώσκων, ἃ παθεῖν ἔμελλεν, ἑκὼν ἦλθεν εἰς τὸ παθεῖν.

Ἀλλὰ καὶ τοῖς μαθηταῖς οὐκ ἐξ ἀρχῆς λεπτομερῶς εἶπε περὶ τούτων· ἀλλὰ πρῶτον μὲν ἀμυδρότερον, εἶτα φανερώτερον· νῦν δὲ, ὅτε λοιπὸν ἐνεγυμνάσθησαν τῇ προσδοκίᾳ τοῦ πάθους·

(α) Ματθ. ΙΒ'. 40.

λεπτομερέστερον καὶ τὰ ἄλλα προστίθησιν, ὅτι καὶ παραδώσουσιν αὐτὸν *τοῖς ἔθνεσιν*, ἤγουν, τοῖς ἐκ Ῥώμης στρατιώταις τοῦ ἡγεμονεύοντος ἐν Ἱεροσολύμοις Πιλάτου, καὶ ὅτι ἐμπαίξουσιν οὗτοι αὐτῷ, καὶ μαστιγώσουσι, καὶ σταυρώσουσιν.

19 Καὶ τῇ τρίτῃ ἡμέρᾳ ἀναστήσεται.

Εἰπὼν τὰ λυποῦντα, λέγει καὶ τὸ παραμυθούμενον, ἵνα, ὅταν ἴδωσιν ἐκεῖνα, προσδοκήσωσι καὶ τοῦτο. Λουκᾶς δέ φησιν (α), εἰπεῖν πρὸς αὐτοὺς τὸν Χριστὸν, ὅτι *Καὶ τελεσθήσεται πάντα τὰ γεγραμμένα διὰ τῶν προφητῶν τῷ υἱῷ τοῦ ἀνθρώπου*· καὶ ὅτι (β) *Αὐτοὶ οὐδὲν τούτων συνῆκαν*. Οἱ μὲν γὰρ προφῆται λεπτομερῶς περὶ πάντων αὐτοῦ τῶν παθημάτων προεῖπον· καὶ εἰ μὴ πολὺν ἔμελλον ἀποτείνειν λόγον, πάσας ἂν παρεθέμην τὰς περὶ τούτων προφητείας· οἱ δὲ μαθηταὶ οὐδὲν τούτων, τῶν γεγραμμένων δηλονότι διὰ τῶν προφητῶν, συνῆκαν τότε· ἀλλὰ *καὶ ἦν*, ὡς ὁ αὐτὸς ἔφη Λουκᾶς, *τὸ ῥῆμα τοῦτο κεκρυμμένον ἀπ' αὐτῶν*, ἤγουν, ἀγνοούμενον, λέγω δὴ, τὸ, Καὶ τῇ τρίτῃ ἡμέρᾳ ἀναστήσεται· *καὶ οὐκ ἐγίνωσκον τὰ λεγόμενα* (γ) περὶ αὐτοῦ, καθὼς εἰρήκαμεν καὶ ἐν τῷ τέλει τοῦ τριακοστοῦ πέμπτου Κεφαλαίου.

Προστίθησι δὲ καὶ ἑτέραν αἰτίαν τῆς τοιαύτης ἀγνοίας ὁ Χρυσόστομος (1), ὅτι περὶ ἄλλου μὲν ὑφ' ἑτέρου ἀναστάντος καὶ ἤκουσαν, καὶ εἶδον· περὶ νεκροῦ δὲ ἀναστήσαντος ἑαυτὸν οὔτε ἤκουσαν, οὔτε εἶδον. Ἀλλὰ καὶ περὶ τοῦ μέλλειν ἀναιρεῖσθαι τὸν Χριστὸν, ὅτε μὲν ἀπέβλεπον εἰς τὰς ἀνθρωποπρεπεῖς αὐτοῦ ἐνεργείας, ἐπίστευον τοῦτο, καὶ ἐλυποῦντο· ὅτε δὲ τὰς θεοπρεπεῖς αὐτοῦ πράξεις ἐλάμβανον εἰς νοῦν, ἠπίστουν,

(α) Λουκ. ΙΗ', 31.
(β) Λουκ. ΙΗ', 34.
(γ) Λουκ. ΙΗ', 34,
(1) Τομ. Ζ. Σελ. 644. Ε.

καὶ οὐκ ἐγίνωσκον τὰ λεγόμενα περὶ αὐτοῦ, τουτέστιν, οὐ παρεδέχοντο τοὺς τοιούτους περὶ αὐτοῦ λόγους, παραβολήν τινα καὶ τούτους νομίζοντες.

ΚΕΦΑΛΑΙΟΝ ΜΓ΄.

Περὶ τῶν υἱῶν Ζεβεδαίου.

20 Τότε προσῆλθεν αὐτῷ ἡ μήτηρ τῶν υἱῶν Ζεβεδαίου,
μετὰ τῶν υἱῶν αὐτῆς, προσκυνοῦσα, καὶ αἰτοῦσά
21 τι παρ' αὐτοῦ. Ὁ δὲ εἶπεν αὐτῇ· Τί θέλεις; Λέγει
αὐτῷ· Εἰπὲ, ἵνα καθίσωσιν οὗτοι οἱ δύο υἱοί μου,
εἷς ἐκ δεξιῶν σου, καὶ εἷς ἐξ εὐωνύμων σου, ἐν τῇ
βασιλείᾳ σου.

Ἐν τῷ τεσσαρακοστῷ πρώτῳ Κεφαλαίῳ τοῦ Σωτῆρος εἰπόντος πρὸς τοὺς μαθητὰς, ὅτι *Ὅταν καθίσῃ ὁ υἱὸς τοῦ ἀνθρώπου ἐπὶ θρόνου δόξης αὐτοῦ, καθίσεσθε καὶ ὑμεῖς ἐπὶ δώδεκα θρόνων* (α)· ἀκούσαντες οἱ υἱοὶ τοῦ Ζεβεδαίου, Ἰάκωβος καὶ Ἰωάννης, προσεδόκησαν θρόνον δόξης λέγειν, τὸν θρόνον τῆς ἐν Ἱεροσολύμοις βασιλείας· καὶ λοιπὸν ἄρτι πάλιν εἰπόντος, ὅτι *Ἰδοὺ, ἀναβαίνομεν εἰς Ἱεροσόλυμα*, καὶ τὰ ἑξῆς· ὅσα μὲν ἐῤῥήθησαν περὶ τῶν παθημάτων, οὐ παρεδέξαντο, καθὼς ἀνωτέρω δεδηλώκαμεν· ἤλπισαν δὲ πλησιάζειν ἤδη τὴν βασιλείαν αὐτοῦ· καὶ γὰρ καὶ τῶν προφητῶν ἤκουον, βασιλέα τοῦ Ἰσραὴλ τὸν Χριστὸν κατεπαγγελλόντων· αὐτίκα οὖν ἑάλωσαν ἔρωτι προεδρίας· καὶ ὅτι μὲν προτετίμηνται τῶν ἄλλων, ἐγίνωσκον· ὑφωρῶντο δὲ τὸν Πέτρον. Διὸ καὶ πρῶτα μὲν, ὡς ὁ Μάρκος (β) φησὶν, αὐτοὶ μόνοι *προσπορεύονται αὐτῷ*, ἤγουν,

(α) Ματθ. ΙΘ΄, 28.
(β) Μαρκ. Ι΄, 35—37.

προσέρχονται, *λέγοντες· Διδάσκαλε, θέλομεν, ἵνα, ὃ ἐὰν αἰτήσωμεν, ποιήσῃς ὑμῖν. Ὁ δὲ εἶπεν αὐτοῖς· Τί θέλετέ ποιῆσαί με ὑμῖν; Οἱ δὲ εἶπον αὐτῷ· Δὸς ἡμῖν, ἵνα εἷς ἐκ δεξιῶν σου, καὶ εἷς ἐξ εὐωνύμων σου καθίσωμεν ἐν τῇ δόξῃ σου.* Μὴ τυχόντες δὲ ἀποκρίσεως, διὰ τὸ αἰτεῖν ἀνάξια, παραλαμβάνουσι καὶ τὴν ἑαυτῶν μητέρα πρὸς ἱκετηρίαν. Ἐρωτᾷ δὲ ὁ Χριστὸς πρῶτον μὲν ἐκείνους, εἶτα τὴν μητέρα αὐτῶν ἀνθρωποπρεπῶς· ἅμα δὲ καὶ, ἵνα ἡ ἀπόκρισις αὐτῶν ἐξομολόγησις τρόπον τινὰ γένηται τοῦ πάθους.

22 Ἀποκριθεὶς δὲ ὁ Ἰησοῦς εἶπεν· Οὐκ οἴδατε, τί
αἰτεῖσθε.

Πρὸς αὐτοὺς ἀποκρίνεται λοιπὸν, ὡς αὐτῶν τὴν μητέρα προβαλλομένων εἰς τὴν ὑπὲρ αὐτῶν αἴτησιν, καί φησιν· *Οὐκ οἴδατε, τί αἰτεῖσθε.* Τὸ γὰρ καθίσαι τινὰ ἐκ δεξιῶν, ἢ ἐξ εὐωνύμων, ἐν τῇ βασιλείᾳ μου, μέγα καὶ ὑπὲρ τὴν ἀξίαν, οὐ μόνον τῶν ἀνθρώπων, ἀλλὰ καὶ τῶν ἄνω δυνάμεων. Ἡ γὰρ βασιλεία ἡ ἐμὴ, οὐκ ἔστιν ἐκ τοῦ κόσμου τούτου, καθὼς ὑμεῖς οἴεσθε. Ἐπεὶ δὲ προσεδόκησαν, οὐ μόνον βασιλείας εἶναι τὸν καιρὸν ἐκεῖνον, ἀλλὰ καὶ ἀναπαύσεως, καὶ τοῦτο διορθοῦται τὸ μέρος, ἐμφαίνων θλίψεως μᾶλλον εἶναι τὸν καιρὸν τοῦτον καὶ σφαγῆς. Φησὶ γάρ·

22 Δύνασθε ποιεῖν τὸ ποτήριον, ὃ ἐγὼ μέλλω πίνειν,
ἢ τὸ βάπτισμα, ὃ ἐγὼ βαπτίζομαι, βαπτισθῆναι;

Π*οτήριον*, τὸ τοῦ θανάτου λέγει, καὶ *βάπτισμα*, τὸ δι' αἵματος· τὴν σφαγὴν γὰρ ὀνομάζει καὶ ποτήριον, καὶ βάπτισμα· ποτήριον μὲν, ὡς ἡδέως προσδεχθεῖσαν ὑπὲρ τῶν ἀνθρώπων· βάπτισμα δὲ, ὡς καθάρσιον αὐτῶν. Εἰπὼν δὲ, ὅτι *ὃ ἐγὼ πίνω, καὶ ὃ ἐγὼ βαπτίζομαι*, παρεδήλωσεν, ὡς ὁ μὴ κοινωνῶν τοῦ πάθους αὐτοῦ, οὐδὲ τῆς βασιλείας αὐτοῦ κοινωνήσει.

22 Λέγουσιν αὐτῷ· Δυνάμεθα.

Πάντα ἐπαγγέλλονται, ποθοῦντες τυχεῖν τῆς αἰτήσεως. Ὁ δὲ Χρυσόστομός (1) φησιν, ὅτι οὐδὲ τὸ ποτήριον καὶ τὸ βάπτισμα νοήσαντες, ἀπὸ τῆς προθυμίας μόνης κατέθεντο. Τί οὖν ὁ Χριστός;

23 Καὶ λέγει αὐτοῖς· Τὸ μὲν ποτήριόν μου πίεσθε, καὶ τὸ βάπτισμα, ὃ ἐγὼ βαπτίζομαι, βαπτισθήσεσθε·

Προεφήτευσεν αὐτοῖς, ὅτι καὶ αὐτοὶ σφαγήσονται, καὶ μαρτυρικοῦ θανάτου καταξιωθήσονται. Καὶ περὶ μὲν Ἰακώβου πάντες οἴδασιν, ὅτι ἀνῃρέθη παρὰ Ἡρώδου τοῦ τετράρχου· περὶ δὲ τοῦ Ἰωάννου, ζήτησίς ἐστι παρὰ πολλοῖς· φασὶ γὰρ, ὡς, ἐπεὶ ἀψευδὴς ἡ τοῦ Χριστοῦ πρόῤῥησις, καὶ οὔπω μαρτυρικὸν οὗτος ὑπέστη θάνατον, οὔπω τέθνηκεν, ἀλλ' ἔτι ζῇ, καὶ μέλλει μετὰ Ἐνὼχ καὶ Ἠλιοῦ σφαγῆναι κατὰ τὸν τῆς συντελείας καιρόν. Ὁ δὲ Χρυσόστομος διδάσκει φανερῶς, ὅτι ἀπέθανε, καὶ ὅτι ἐσφάγη· τὸ γὰρ κατ' αὐτὸν εὐαγγέλιον ἑρμηνεύων, ἐν μὲν τῷ δευτέρῳ λόγῳ (2) περὶ αὐτοῦ φησὶν, ὅτι « Τῷ μὲν εὐαγγελίῳ τὴν οἰκουμένην κατέλαβεν ἅπασαν· τῷ δὲ σώματι μέσην κατέσχε τὴν Ἀσίαν, φημὶ δὴ, τὴν Ἔφεσον· τῇ δὲ ψυχῇ πρὸς τὸν τόπον ἀνέδραμεν ἐκεῖνον, τὸν τοῖς ἁγίοις ἁρμόζοντα.» Ἐν δὲ τῷ πρώτῳ (3) λέγει, ὅτι καὶ τὸ ποτήριον τοῦ Χριστοῦ ἔπιε, καὶ τὸ βάπτισμα αὐτοῦ ἐβαπτίσατο· τῇ προαιρέσει γὰρ ἐσφάγη καὶ οὗτος, τὰς μαρτυρικὰς πληγὰς ὑποστὰς, καὶ μυρία δεινὰ παθὼν διὰ τὸν Χριστόν. Ἀθλητὴς γὰρ καὶ μάρτυς, οὐ μόνον ὁ βιαίως ἀποθανὼν διὰ τὸν Χριστὸν, ἀλλὰ καὶ ὁ μαστιγωθεὶς καὶ κακοπαθήσας δι' αὐτόν. Εὑρίσκομεν γὰρ καὶ μετὰ τοῦτον πολλοὺς ἀθλήσαντας μὲν, τὴν δὲ ψυχὴν ἐν εἰρήνῃ παραθεμένους θεῷ, καὶ διὰ τοῦτο φήσει τὶς (1) αὐτοὺς ἐκβεβλῆσθαι τοῦ μαρτυρικοῦ ἀξιώματος. Ὅτι δὲ τέθνηκεν, αὐτὸς οὗτός φησιν, ἐν τῷ εὐαγγελίῳ μὲν λέγων, ὅτι *Οὐκ εἶπεν αὐτῷ ὁ Ἰησοῦς, ὅτι οὐκ ἀποθνήσκει* (α)· ἐν δὲ τῇ βίβλῳ τῆς ἀποκαλύψεως, προσώπῳ τοῦ Σωτῆρος, ὅτι *Καὶ δώσω τοῖς δυσὶ μάρτυσί μου, καὶ προφητεύσουσιν ἡμέρας τόσας* (2) *περιβεβλημένοι σάκκους* (β). Οὗτοι δέ εἰσιν Ἐνὼχ καὶ Ἠλίας.

(1) Τομ. Ζ'. Σελ. 646. C.
(2) Τομ. Η'. Σελ. 9. C. D.
(3) Τομ. Η'. Σελ. 2. C.

23 Τὸ δὲ καθίσαι ἐκ δεξιῶν μου καὶ ἐξ εὐωνύμων μου,
οὐκ ἔστιν ἐμὸν δοῦναι, ἀλλ' οἷς ἡτοίμασται ὑπὸ
τοῦ πατρός μου.

Προλαβόντες εἰρήκαμεν, ὅτι τὸ καθίσαι ἐκ δεξιῶν, ἢ ἐξ εὐωνύμων αὐτοῦ, ὑπὲρ τὴν ἀξίαν ἐστιν, οὐ μόνον τῶν ἀνθρώπων, ἀλλὰ καὶ τῶν ἄνω δυνάμεων· λοιπὸν οὖν οὐδεὶς καθεδεῖται. Καὶ πῶς ἐνταῦθά φησιν, ὅτι *Οὐκ ἔστιν ἐμὸν δοῦναι*, ἀλλ' ἐκείνων ἐστὶν, οἷς ἡτοίμασται ὑπὸ τοῦ πατρός μου; δεικνύει γὰρ, ὅτι καθεδοῦνταί τινες. Λέγομεν οὖν, ὡς, ἐπεὶ προεδρίαν ἐν τοῖς μαθηταῖς ἠτοῦντο, λοιπὸν ὁ Χριστὸς καθέδραν ἐκ δεξιῶν καὶ ἐξ εὐωνύμων λέγει τὴν πρώτην τάξιν ἐν αὐτοῖς, ἧς ἀξιωθήσονται Πέτρος καὶ Παῦλος, οἱ κορυφαῖοι τῶν μαθητῶν, ὡς πλεῖον τῶν ἄλλων πάντων ἀγωνισάμενοι.

Καὶ πῶς ὁ παντοδύναμος ἀδυνατεῖ δοῦναι ταύτην; Οὐκ ἔστιν, ὅπερ εἶπεν, ἀδυναμίας, ἀλλὰ δικαιοσύνης. Ἐπεὶ γὰρ χαρίσασθαι αὐτοῖς τὴν προεδρίαν ἠτοῦντο, φησὶν, ὅτι Οὐκ ἔστιν ἐμὸν τὸ τὴν πρώτην τάξιν χαρίσασθαι· τοῦτο γὰρ νῦν τὸ *δοῦναι* σημαίνει· δίκαιος γάρ εἰμι καὶ ἀπροσωπόληπτος· ἀλλ' ἐκείνων ἐστὶν αὕτη, φησὶν, οἷς ἡτοίμασται ὑπὸ τοῦ πατρός

(1) Ἴσως, οὐδεὶς, ὡς φαίνεται ὅτι ἀνέγνωσε καὶ ὁ Ἑντένιος.
(α) Ἰωαν. ΚΑ', 23.
(2) Γράφει, τόσας, ὁ Εὐθύμιος, μὴ θέλων ν' ἀναφέρῃ τὸν ἀριθμόν.
(β) Ἀποκαλ. ΙΑ', 3.

μου· ἡτοίμασται δὲ, τοῖς δικαιουμένοις ταύτης τυχεῖν. Οὐ γὰρ μόνον τὸ κοινωνεῖν μοι τῆς σφαγῆς προξενεῖ τὴν πρώτην τάξιν, ἀλλὰ τὸ πρωτεῦσαι πάντων καὶ ἐν ταῖς λοιπαῖς ἀρεταῖς. Ἐντεῦθεν δὲ μάλιστα παρέθηξεν αὐτούς. *Ὑπὸ τοῦ πατρός μου* δὲ εἶπεν, ἅμα μὲν τὸν πατέρα τιμῶν, ἅμα δὲ καὶ ἑαυτὸν συνεμφαίνων, ὡς ταὐτὸν τῷ πατρὶ δυνάμενον. Ἐγὼ γάρ, φησι, καὶ ὁ πατὴρ ἕν ἐσμεν (α).

24 Καὶ ἀκούσαντες οἱ δέκα, ἠγανάκτησαν περὶ τῶν
δύο ἀδελφῶν.

Οἱ δύο μὲν τῶν δέκα μαθητῶν κατεπήρθησαν· οἱ δέκα δὲ, τοῖς δυσὶ μαθηταῖς ἐφθόνησαν, τῶν πρωτείων ἐφιεμένοις. Οὔπω πάντες ἦσαν ἀτελεῖς, μήπω τοῦ θείου πνεύματος ἐπιφοιτήσαντος αὐτοῖς. Ἀλλ' ὕστερον αὐτοὺς κατάμαθε, καὶ ὄψει παντὸς πάθους ἀπηλλαγμένους, καὶ ἀλλήλους ἐπαινοῦντας, καὶ ἀλλήλοις τῶν πρωτείων παραχωροῦντας. Τότε δ' οὖν *ἠγανάκτησαν*, ἤγουν, ἐδυσφόρησαν. Ὅτε μὲν γὰρ προετίμα τούτους πολλάκις ὁ Χριστὸς, οὐκ ἐδυσφόρησαν, αἰδούμενοι τοῦτον· ὅτε δὲ (1) οἴκοθεν ᾐτήσαντο τὴν προεδρίαν, ἠγανάκτησαν, καὶ μάλιστα γνόντες, ὅτι οὐκ εἰσηκούσθησαν. Ἐκ τῆς ἀποκρίσεως γὰρ τοῦ διδασκάλου συνῆκαν καὶ ὃ ᾐτήσαντο.

25 Ὁ δὲ Ἰησοῦς, προσκαλεσάμενος αὐτοὺς, εἶπεν·

Ἐπεὶ μόνοι, τῶν ἄλλων ἀποῤῥαγέντες, οἱ δύο προσήγγισαν αὐτῷ, καὶ παρεστῶτες ὡμίλουν, προσκαλεῖται καὶ τοὺς ἄλλους· καὶ πρῶτα μὲν, ταρασσομένους αὐτοὺς καταπραΰνει, διὰ τοῦ πρὸς ἑαυτὸν καὶ τούτους ἐπισπάσασθαι· εἶτα δὲ φησί·

25 Οἴδατε, ὅτι οἱ ἄρχοντες τῶν ἐθνῶν κατακυριεύου-

(α) Ἰωαν Ι', 30.

(1) Ἴσως, ὅτε δὲ καί.

σιν αὐτῶν, καὶ οἱ μεγάλοι κατεξουσιάζουσιν αὐ-
26 τῶν. Οὐχ οὕτως δὲ ἔσται ἐν ὑμῖν·

Γνοὺς τοὺς δύο διὰ τοῦτο τὴν προεδρίαν αἰτοῦντας, ἵνα κατάρχωσι τῶν ἄλλων, διασύρει τὸν τοιοῦτον σκοπὸν, ὡς ἐθνικόν. *Οἱ ἄρχοντές γάρ, φησι, τῶν ἐθνῶν, καὶ οἱ μεγάλοι αὐτῶν, κατακυριεύουσι καὶ κατεξουσιάζουσι τῶν ἄλλων.* [*Οὐχ οὕτω* (1) *δὲ ἔσται ἐν ὑμῖν*, τοῖς ἐμοῖς. Εἶτα διδάσκει, καὶ πῶς χρὴ κτᾶσθαι τὸ πρωτεῖον καὶ ἄκουε.

26 Ἀλλ' ὃς ἐὰν θέλῃ ἐν ὑμῖν μέγας γενέσθαι, ἔστω
27 ὑμῶν διάκονος· καὶ ὃς ἐὰν θέλῃ ἐν ὑμῖν εἶναι
πρῶτος, ἔστω ὑμῶν δοῦλος.

Ὥσπερ ἀνωτέρω, ἄρχοντας καὶ μεγάλους τοὺς αὐτοὺς ἔλεγεν· οὕτω καὶ νῦν, *μέγαν καὶ πρῶτον*, τὸν αὐτόν. Εἰς ἐπήκοον δὲ πάντων ταῦτά φησιν, ὡς κοινωφελῆ. Λέγει τοίνυν, ὅτι τὸ μὲν κατεξουσιάζειν τῶν ἄλλων,] ἐθνικόν ἐστιν· ἐγὼ δὲ νομοθετῶ ὑμῖν, κτᾶσθαι τὸ πρωτεῖον, ἀπὸ τοῦ διακονεῖν τοῖς ἄλλοις, καὶ δουλεύειν αὐτοῖς· τὸν γὰρ τοῦτο ποιοῦντα, τοῦτον ἐγὼ μέγαν καὶ πρῶτον ἀναγορεύω, καὶ οὗτος παρ' ἐμοὶ τὸ πρωτεῖον ἕξει. Ἔπειτα καὶ παράδειγμα τίθησιν ἑαυτὸν, οὐ μόνον διακονοῦντα πᾶσιν, ἀλλὰ καὶ ὑπεραποθνήσκοντα πάντων.

28 Ὥσπερ ὁ υἱὸς τοῦ ἀνθρώπου οὐκ ἦλθε διακονηθῆ-
ναι, ἀλλὰ διακονῆσαι, καὶ δοῦναι τὴν ψυχὴν αὐτοῦ
λύτρον ἀντὶ πολλῶν.

Ἔστω, φησὶν, οὗτος τῶν ἄλλων διάκονος καὶ δοῦλος, ὃν τρόπον ἐγὼ οὐκ ἦλθον εἰς τὸν κόσμον, ἵνα διακονήσωσί μοί τινες. Εἰ γὰρ καὶ ἡ πενθερὰ τοῦ Πέτρου, καὶ Μάρθα ἡ ἀδελφὴ τοῦ Λαζάρου, καὶ ἄλλαι γυναῖκες διηκόνουν αὐτῷ, ἀλλ' οὐχ ὡς

(1) Τὰ ἐνταῦθα παρεντεθειμένα λείπουσιν ἀπὸ τοῦ Α, ἐξ ἀμελείας τοῦ ἀντιγραφέως.

χρῄζοντι τῆς τούτων διακονίας. Οὐκ ἦλθον οὖν, φησὶν, ἵνα διακονηθῶ παρά τινων, ἀλλ' ἵνα μᾶλλον αὐτὸς διακονήσω τοῖς ἄλλοις, ἐπιμελόμενος καὶ θεραπεύων, τῶν μὲν τὰς ψυχὰς, τῶν δὲ τὰ σώματα, τῶν δὲ καὶ τὰς ψυχὰς καὶ τὰ σώματα· καὶ, τὸ μεῖζον τῆς διακονίας καὶ δουλείας, ἵνα δώσω τὴν ψυχήν μου λύτρον ἀντὶ πολλῶν, δεδουλωμένων τῷ διαβόλῳ.

Πολλοὺς δὲ νῦν, τοὺς πάντας λέγει. Πολλάκις γὰρ ἡ Γραφὴ πολλοὺς, τοὺς πάντας φησίν. Ὑπὲρ πάντων γὰρ ἔδωκε τὴν ψυχὴν αὐτοῦ, καὶ πάντας ἐλυτρώσατο, εἰ καὶ πολλοὶ θέλοντες ἐνέμειναν τῇ δουλείᾳ.

Τίνι δὲ τὴν ψυχὴν αὐτοῦ ἔδωκε; Τῷ πατρί. Ἐφώνησε γὰρ ἀποθνήσκων· *Πάτερ, εἰς χεῖράς σου παρατίθημι τὸ πνεῦμά μου* (α). Καὶ μὴν, οὐχ ὑπὸ τοῦ πατρὸς, ἀλλ' ὑπὸ τοῦ διαβόλου κατειχόμεθα. Καὶ προσεκτέον τῇ λύσει τῆς ἀπορίας· πᾶν λύτρον, αὐτὸ μὲν, ὑπὸ τὴν ἐξουσίαν πίπτει τοῦ κατέχοντός τινας· τοὺς κατεχομένους δὲ λυτροῦται τῆς ἐκείνου χειρός· τὸ δὲ παρὰ τοῦ Χριστοῦ δοθὲν λύτρον, ὡς παντὸς λύτρου διαφερόντως ὑπερφυέστερον, ἐλυτρώσατο μὲν τοὺς κατεχομένους· αὐτὸ δὲ ὑπὸ τὴν ἐξουσίαν τοῦ κατέχοντος αὐτοὺς οὐκ ἔπεσε, μὴ δυνηθέντος λαβεῖν αὐτό. Δέδωκε δὲ τῷ πατρὶ ταύτην, ὡς ψυχὴν τοῦ υἱοῦ αὐτοῦ. Διὸ καὶ, ὡς ἤδη τοῦ λύτρου δοθέντος, εἰ καὶ μὴ τοῦτο λαβεῖν ἴσχυσεν ὁ τύραννος, ἐλυτρώθησαν οἱ κατεχόμενοι. Καὶ πῶς ἔδωκε τὴν ψυχὴν αὐτοῦ λύτρον ἀντὶ πολλῶν; Ὡς ἑκουσίως ἐπιδοὺς ἑαυτὸν εἰς θάνατον ὑπὲρ τῆς ἐλευθερίας τῶν ἀνθρώπων. Ἀποθανὼν γὰρ καθεῖλεν εὐαφόρμως τὸν τύραννον, ὡς ἀνελόντα τὸν ἀναμάρτητον. Ἁμαρτίας γάρ ἐστιν ἐπιτίμιον ὁ θάνατος· μόνος δὲ ὁ Χριστὸς ἁμαρτίαν οὐκ ἐποίησε.

Χρὴ δὲ γινώσκειν, ὅτι οὐχ ἡ ψυχὴ μόνον τοῦ Χριστοῦ

(α) Λουκ. ΚΓ', 46.

καλεῖται λύτρον ἡμῶν, ἀλλὰ καὶ τὸ αἷμα αὐτοῦ. Καὶ λοιπὸν, ἃ νῦν περὶ τῆς ψυχῆς αὐτοῦ εἴρηνται, ταῦτα καὶ περὶ τοῦ αἵματος αὐτοῦ λέγονται.

ΚΕΦΑΛΑΙΟΝ ΜΔ'.

Περὶ τῶν δύο τυφλῶν.

29 Καὶ ἐκπορευομένων αὐτῶν ἀπὸ Ἱεριχὼ, ἠκολού-
30 θησεν αὐτῷ ὄχλος πολύς. Καὶ ἰδοὺ, δύο τυφλοὶ,
καθήμενοι παρὰ τὴν ὁδὸν, ἀκούσαντες ὅτι Ἰησοῦς
παράγει, ἔκραξαν, λέγοντες· Ἐλέησον ἡμᾶς, Κύριε,
υἱὸς Δαυΐδ.

Τὰ παραπλήσια γέγραπται καὶ περὶ τῶν ἐν τῷ ἑπτακαιδεκάτῳ Κεφαλαίῳ δύο τυφλῶν, καὶ ζήτησον ἐν ἐκείνῳ τὴν ἐξήγησιν ἀκριβῶς ἀναγεγραμμένην.

31 Ὁ δὲ ὄχλος ἐπετίμησεν αὐτοῖς, ἵνα σιωπήσωσιν.

Ἐπεστόμισεν αὐτοὺς, εἰς τιμὴν τοῦ Ἰησοῦ, ὡς ἐνοχλοῦντας αὐτόν.

31 Οἱ δὲ μεῖζον ἔκραζον, λέγοντες· Ἐλέησον ἡμᾶς, Κύριε, υἱὸς Δαυΐδ.

Ὅρα καρτερίαν! Τούτους μιμησώμεθα καὶ ἡμεῖς, οἱ πεπηρωμένοι τοὺς ὀφθαλμοὺς τῆς ψυχῆς, καὶ κράζωμεν πρὸς αὐτὸν ἐξ ὅλης καρδίας· κἂν ὑπό τινων ἐμποδισθῶμεν, ἐπιτείνωμεν τὴν δέησιν, καὶ μὴ ἀποστῶμεν, καὶ πάντως κάμψομεν αὐτὸν, ὡς καὶ οὗτοι.

32 Καὶ στὰς ὁ Ἰησοῦς ἐφώνησεν αὐτοὺς, καὶ εἶπε·
33 Τί θέλετε ποιήσω ὑμῖν; Λέγουσιν αὐτῷ· Κύριε,
ἵνα ἀνοιχθῶσιν ἡμῶν οἱ ὀφθαλμοί.

Ἐφώνησεν, ἀντὶ τοῦ, ἐκάλεσεν. Καὶ τίνο, ἕνεκεν ἐρωτᾷ τού-

τους; Ἵνα μὴ νομίσῃ τις, ὅτι ἄλλα βουλομένοις λαβεῖν, ἄλλα δίδωσι. Καὶ πῶς οὐκ ἀπήτησεν αὐτοὺς πίστιν; Διότι πίστεως ἀπόδειξις ἦν ἡ κραυγὴ, καὶ τὸ μὴ ἀποστῆναι ἐπιστομισθέντας.

34 Σπλαγχνισθεὶς δὲ ὁ Ἰησοῦς, ἥψατο τῶν ὀφθαλμῶν
αὐτῶν· καὶ εὐθέως ἀνέβλεψαν αὐτῶν οἱ ὀφθαλμοί·
καὶ ἠκολούθησαν αὐτῷ.

Οὐ καρτερικοὶ μόνον ἦσαν, ἀλλὰ καὶ εὐγνώμονες. Ἠκολούθησαν γὰρ αὐτῷ, τὴν εὐεργεσίαν ἀμειβόμενοι.

Φασὶ δέ τινες, ἕνα τῶν δύο τούτων τυφλῶν, τὸν ἐπισημότερον, μνημονευθῆναι παρὰ Μάρκῳ (α) μὲν, ἐν τῷ τριακοστῷ πρώτῳ Κεφαλαίῳ τοῦ εὐαγγελίου αὐτοῦ, Βαρτιμαῖον καλούμενον· παρὰ Λουκᾷ (β) δὲ, ἐν τῷ ἑξηκοστῷ τετάρτῳ Κεφαλαίῳ τοῦ κατ᾽ αὐτὸν εὐαγγελίου· τὸν ἄλλον δὲ παρασιωπηθῆναι τούτοις, ὡς ὑπηρέτην ἐκείνου· καθὰ δὴ καὶ περὶ τῶν δύο δαιμονιζομένων ἐν τῷ δωδεκάτῳ Κεφαλαίῳ προείρηται· καὶ τεκμηριοῦνται τὸν λόγον ἀπὸ τοῦ τὰ αὐτὰ καὶ εἰπεῖν, καὶ αἰτοῦσαι, καὶ ὁμοίως ἀκολουθῆσαι· ἐγὼ δὲ στοχαζόμενος, ἕτερον εἶναι λέγω, παρὰ τοὺς δύο τούτους, τὸν τοῦ Μάρκου, καὶ ἕτερον πάλιν, παρὰ τὸν τοῦ Μάρκου, τὸν τοῦ Λουκᾶ· καὶ γὰρ ὁ μὲν τοῦ Μάρκου καὶ τὸ ἱμάτιον ἔῤῥιψεν ὑπὸ τῆς ἄγαν σπουδῆς, καὶ χωρὶς ἐπαφῆς τὴν ἴασιν ἔλαβεν· ὁ δὲ τοῦ Λουκᾶ, ἐρχομένου μᾶλλον εἰς Ἱεριχὼ τοῦ Χριστοῦ, καὶ οὐκ ἐκπορευομένου, τῆς ἰάσεως ἔτυχε. Βεβαιοῖ δέ μοι μάλιστα τὴν τοιαύτην ὑπόληψιν ὁ Χρυσόστομος (1), οὐδέν τι περὶ ἐκείνων ἐπισημηνάμενος, ὡς ἑτέρων ὄντων.

(α) Μαρκ. Ι', 46.
(β) Λουκ. ΙΗ', 35. καὶ ἑξῆς.
(1) Ὁ Χρυσόστομος, ἑρμηνεύων μόνον ἐν συντόμῳ τὸν Ματθαῖον Τομ. Ζ'. Σ. 653. 654. δὲν λέγει τι ἐνταῦθα περὶ τοῦ Μάρκου καὶ τοῦ Λουκᾶ.

ΚΕΦΑΛΑΙΟΝ ΜΕ'.

Περὶ τῆς ὄνου καὶ τοῦ πώλου

ΚΕΦ. ΧΧΙ, 1 Καὶ ὅτε ἤγγισαν εἰς Ἱεροσόλυμα, καὶ
ἦλθον εἰς Βηθφαγῆ πρὸς τὸ ὄρος τῶν ἐλαιῶν, τότε
ὁ Ἰησοῦς ἀπέστειλε δύο μαθητὰς, λέγων αὐτοῖς·
2 Πορεύθητε εἰς τὴν κώμην, τὴν ἀπέναντι ὑμῶν· καὶ
εὐθέως εὑρήσετε ὄνον δεδεμένην, καὶ πῶλον μετ᾽
3 αὐτῆς· λύσαντες ἀγάγετέ μοι. Καὶ ἐάν τις ὑμῖν
εἴπῃ τι, ἐρεῖτε· Ὅτι ὁ Κύριος αὐτῶν χρείαν ἔχει·
εὐθέως δὲ ἀποστέλλει αὐτούς.

Ἤδη τῆς τελευτῆς αὐτοῦ προσεγγιζούσης, ἐξουσιαστικώτερον ἅπτεται τῶν πραγμάτων· καὶ ἐπεὶ προεφήτευσε τὰ κατὰ τὴν ὄνον καὶ τὸν πῶλον, λοιπὸν, ὡς κύριος πάντων, κελεύει τοῖς ἀποστελλομένοις εἰπεῖν· Ὅτι *ὁ κύριος χρείαν αὐτῶν ἔχει*, καὶ μετὰ τὴν χρείαν ἀντιστρέφει αὐτοὺς πρὸς τοὺς κυρίους αὐτῶν. Ἀλλὰ Ματθαῖος μὲν ὄνον καὶ πῶλον λέγει· Μάρκος δὲ πῶλον μόνον. *Εὑρήσετε* γὰρ, φησι, *πῶλον δεδεμένον, ἐφ᾽ ὃν οὐδεὶς ἀνθρώπων ἐκάθισεν* (α). Ὁμοίως δὲ γράφει καὶ Λουκᾶς (β). Καὶ ὁ Ἰωάννης δὲ τὸν πῶλον τοῦτον, *ὀνάριον* (γ) ὠνόμασεν, ὡς ὄνον νέον· ἐπεὶ καὶ πῶλος, τὸ τῆς ὄνου πωλάριον. Τί οὖν ἐροῦμεν; Ὅτι καὶ ἀμφοτέρων μὲν ἔσχε χρείαν ὁ Χριστός· ἀλλὰ τοῦ πώλου μὲν εἰς τὸ ἐποχηθῆναι αὐτῷ· τῆς ὄνου δὲ, εἰς τὸ ἀκολουθεῖν τῷ πώλῳ. Μυστήριον γὰρ ἐτέλει προτυποῦν τὰ μέλλοντα· καὶ ἦν ὁ πῶλος μὲν, εἰς τύπον τοῦ ἐξ ἐθνῶν νέου λαοῦ, τοῦ πρὸ τῆς εἰς Χριστὸν πίστεως ἀγυμνάστου πρὸς τὸν ζυγὸν

(α) Μαρκ. ΙΑ', 2.
(β) Λουκ. ΙΘ', 30.
(γ) Ἰωαν. ΙΒ', 14.

τοῦ θείου νόμου τυγχάνοντος, *ἐφ' ὃν οὐδεὶς ἀνθρώπων ἐκάθισε*, δηλαδὴ, προφήτης ἢ ἀπόστολος· ἡ ὄνος δὲ, εἰς τύπον τοῦ ἐξ Ἰουδαίων παλαιοῦ λαοῦ, τοῦ ὑπὸ τὸν ζυγὸν τοῦ νόμου τελοῦντος. Καὶ ὁ πῶλος μὲν φέρει τὸν Χριστὸν ἔποχον· ἕπεται δὲ ἡ ὄνος· τοῦ πράγματος διδάσκοντος, ὅτι μετὰ τὸ καθίσαι τὸν Χριστὸν ἐπὶ τὰ ἔθνη, καὶ ἐπαναπαύσασθαι αὐτοῖς πιστεύσασιν εἰς αὐτὸν, ἀκολουθήσουσι τούτοις καὶ οἱ Ἰουδαῖοι. Λέγει γὰρ καὶ Παῦλος (α), Ὅτι *πώρωσις τῷ Ἰσραὴλ ἀπὸ μέρους γέγονεν, ἄχρις οὗ τὸ πλήρωμα τῶν ἐθνῶν εἰσέλθῃ· καὶ τότε πᾶς Ἰσραὴλ σωθήσεται*. Διὰ τοῦτο τοίνυν Ματθαῖος μὲν, δι' ἀκρίβειαν, καὶ ἀμφοτέρων ἐμνημόνευσε τῶν ὑποζυγίων· οἱ δ' ἄλλοι, διὰ συντομίαν, τὸν πῶλον μὲν ἀνέγραψαν, ὡς ἐποχηθέντος αὐτῷ τοῦ Σωτῆρος· τὴν ὄνον δὲ παρεσιώπησαν, ὡς ἑπομένην μόνον. Ἐποχήθη μὲν οὖν τῷ πώλῳ ὁ Χριστὸς, ἅμα μὲν, ὡς εἴρηται, προτυπῶν τὸ μέλλον, ἅμα δὲ καὶ, ἐπειδὴ συνέβαινεν, ἀσθενεστέρους ὄντας τινὰς, ὑποζυγίων δεῖσθαι, κἀνταῦθα μέτρον ἔθηκε, δεικνὺς, ὅτι οὐ χρὴ τὸν αὐτοῦ μαθητὴν ἵππῳ ἢ ἡμιόνῳ κεχρῆσθαι, ἀλλ' ὄνῳ, καὶ πανταχοῦ μόνης τῆς χρείας γίνεσθαι.

4 Τοῦτο δὲ ὅλον γέγονεν, ἵνα πληρωθῇ τὸ ῥηθὲν
5 διὰ τοῦ προφήτου, λέγοντος· «Εἴπατε τῇ θυγατρὶ
Σιών· Ἰδοὺ, ὁ βασιλεύς σου ἔρχεταί σοι πραῢς,
καὶ ἐπιβεβηκὼς ἐπὶ ὄνον, καὶ πῶλον υἱὸν ὑποζυγίου.»

Τοῦτο· ποῖον; Τὸ ἀποστεῖλαι τοὺς μαθητὰς εἰς τὸ ἀγαγεῖν τὴν ὄνον καὶ τὸν πῶλον. Προφήτην δὲ νῦν λέγει, τὸν Ζαχαρίαν (1). Πεπλήρωται μὲν οὖν ἡ τοιαύτη προφητεία· γέγονε δὲ ταύτης ἡ πλήρωσις, προφητεία πάλιν ἑτέρου πράγματος, φημὶ δὴ, τῆς πίστεως τῶν ἐθνῶν, ὡς εἰρήκαμεν. *Θυγάτηρ*

(α) Ῥωμ. ΙΑ', 25.

(1) Ζαχαρ. Θ', 9.

δὲ *Σιὼν*, αὐτὴ ἡ Σιὼν, ὡς υἱὸς ἀνθρώπου, αὐτὸς ὁ ἄνθρωπος· ἰδίωμα γὰρ καὶ τοῦτο τῆς ἑβραΐδος διαλέκτου. Καὶ Σιὼν μὲν ἡ Ἱερουσαλήμ· βασιλεὺς δὲ τῆς Σιὼν, ὁ Χριστός· τοῦτο μὲν, ὡς θεός· τοῦτο δὲ, καὶ ὡς ἐκ βασιλικῆς ῥίζης ἀναβλαστήσας τῆς τοῦ Δαυΐδ· ἔτι δὲ καὶ ὡς εὐεργέτης αὐτῆς. *Ἔρχεται δὲ πρὸς αὐτὴν πραῢς*, μήτε δορυφόρους ἔχων, μήτε ξιφηφόρους, μήτε ῥαβδούχους, ἀλλὰ πολλὴν τὴν ἡμερότητα καὶ ἐπιείκειαν ἐπιδεικνύμενος. *Ἐπιβεβηκὼς* δὲ *ἐπὶ ὄνον καὶ πῶλον*, οὐκ ἰδίᾳ καὶ ἰδίᾳ, οὐδ' ὡς ἐν συνωρίδι· ἀλλ' ὄνον καὶ πῶλον, τὸν πῶλον νόησον· ὄνον μὲν, τῇ φύσει· πῶλον δὲ, τῇ ἡλικίᾳ. Σὺ δ' ἐρώτησον τὸν Ἰουδαῖον· Ποῖος βασιλεὺς ἦλθεν εἰς Ἱερουσαλὴμ ὄνῳ καὶ πώλῳ ἐποχούμενος; Οὐδένα γὰρ ἕτερον εἰπεῖν ἂν ἔχοι παρὰ τὸν Χριστόν.

[Καὶ (1) ἄλλως δὲ, *θυγάτηρ τῆς Σιὼν*, Ἱερουσαλὴμ, διὰ τὸ ταύτην ὑποκεῖσθαι τῷ ὄρει τῷ καλουμένῳ Σιών· λέγεται δὲ καὶ ἡ Ἱερουσαλὴμ Σιὼν, ἀπὸ τοῦ ἐπικειμένου ὄρους μεταλαχοῦσα τῆς τοιαύτης κλήσεως.]

6 Πορευθέντες δὲ οἱ μαθηταὶ, καὶ ποιήσαντες καθὼς
7 προσέταξεν αὐτοῖς ὁ Ἰησοῦς, ἤγαγον τὴν ὄνον
καὶ τὸν πῶλον.

Μάρκος δὲ λεπτομερῶς ἀπαγγέλλει, τί ἐποίησαν. Λέγει γὰρ, ὅτι (α) « Ἀπῆλθον, καὶ εὗρον τὸν πῶλον δεδεμένον πρὸς τὴν θύραν ἔξω ἐπὶ τοῦ ἀμφόδου· καὶ λύουσιν αὐτόν. Καί τινες τῶν ἐκεῖ ἑστηκότων ἔλεγον αὐτοῖς· Τί ποιεῖτε λύοντες τὸν πῶλον; Οἱ δὲ εἶπον αὐτοῖς, καθὼς ἐνετείλατο ὁ Ἰησοῦς· καὶ ἀφῆκαν αὐτούς. » Ταῦτα μὲν οὖν ὁ Μάρκος, θύραν λέγων τὴν τοῦ οἴκου τῶν κυρίων τοῦ πώλου· *ἄμφοδον* δέ ἐστιν, ἡ δίοδος.

Σκόπει δὲ πάντα κατὰ προτύπωσιν. Ὥσπερ γὰρ ἡ ὄνος καὶ

(1) Τὰ παρεντεθειμένα ἀναγινώσκονται ἐν τῷ περισελιδίῳ παρὰ τῷ Β.

(α) Μαρκ. ΙΑ', 4—6.

ὁ πῶλος ἐδέδοντο σχοίνοις ἔξω, ἐπὶ τοῦ ἀμφόδου· οὕτω καὶ ὁ παλαιὸς λαὸς, ὁ ἐξ Ἰουδαίων, καὶ ὁ νέος, ὁ ἐξ ἐθνῶν, δέδενται ταῖς ἁμαρτίαις, ἔξω τῆς ἐκκλησίας, ἐπὶ τοῦ βίου. Τοῦτον γὰρ ἄμφοδον νοοῦμεν. Καὶ ὥσπερ ἐκεῖνα τὰ ζῶα λύσαντες οἱ ἀπόστολοι προσάγουσι τῷ Χριστῷ· οὕτω δὴ καὶ τούτους· καὶ ὥσπερ ἐπ' ἐκείνων ἐπεχείρησαν μέν τινες κωλῦσαι, ἤγουν, οἱ κύριοι αὐτῶν, ὡς εἶπε Λουκᾶς (α), ἀκούσαντες δὲ, ὅτι ὁ κύριος αὐτῶν χρείαν ἔχει, παρεχώρησαν· οὕτω δὴ καὶ ἐπὶ τούτων, ἐπιχειροῦσι μὲν οἱ κυριεύοντες αὐτῶν δαίμονες κωλῦσαι, ἀκούσαντες δὲ, ὅτι ὁ θεὸς αὐτῶν χρείαν ἔχει, παραχωροῦσι.

7 Καὶ ἐπέθηκαν ἐπάνω αὐτῶν τὰ ἱμάτια αὐτῶν·

Ἐπέθηκαν καὶ ἐπὶ τῆς ὄνου καὶ ἐπὶ τοῦ πώλου, μὴ γινώσκοντες, ἐπὶ τίνος αὐτῶν ὀχηθῆναι βούλεται.

7 Καὶ ἐπεκάθισεν ἐπάνω αὐτῶν.

Ἐ*πάνω αὐτῶν*, δηλαδὴ τῶν ἱματίων, τῶν ἐπιτεθέντων τῷ πώλῳ. Εἶεν δ' ἂν ἱμάτια τῶν ἀποστόλων ἀναγωγικῶς, αἱ ἀρεταὶ, τὰ νοητὰ περιβόλαια τῆς ψυχῆς, αἷς περιστέλλουσι τοὺς προσαγομένους τῷ Χριστῷ. Λουκᾶς δὲ εἴρηκεν, ὅτι οἱ μαθηταὶ ἐπεβίβασαν τὸν Ἰησοῦν ἐπὶ τὸν πῶλον (β)· οἱ μαθηταὶ γὰρ ἐπιβιβάζουσι τὸν λόγον ἐπὶ τὰ ἔθνη.

8 Ὁ δὲ πλεῖστος ὄχλος ἔστρωσαν ἑαυτῶν τὰ ἱμάτια ἐν τῇ ὁδῷ·

Ἔδειξαν, ὅτι ὑπὲρ προφήτην αὐτὸν εἶχον· διὸ καὶ ὑπερβαλλόντως αὐτὸν ἐτίμησαν. Πρὸ ὀλίγου γὰρ τὸν Λάζαρον ἀναστήσας, ὡς ὁ Ἰωάννης φησὶ, πολὺ σέβας τούτοις ἐνέβαλε. Ῥίψωμεν οὖν καὶ ἡμεῖς τὸν κόσμον τοῦ σώματος διὰ Χριστὸν, καὶ κοσμήσωμεν τὴν ὁδὸν αὐτοῦ, ῥίπτοντες, ἃ περιβεβλήμεθα, χρήματα καὶ πάθη.

(α) Λουκ. ΙΘ', 33. 34.
(β) Λουκ. ΙΘ', 35.

8 Ἄλλοι δὲ ἔκοπτον κλάδους ἀπὸ τῶν δένδρων, καὶ ἐστρώννυον ἐν τῇ ὁδῷ.

Μάρκος (α) δὲ, στοιβάδας εἶπε. Στοιβὰς δὲ, ἡ σωρεία τῶν κλάδων. Ἐλαιῶν δὲ ἦσαν οἱ κλάδοι· τὸ γὰρ ὄρος τῶν ἐλαιῶν τηνικαῦτα παρήμειβεν.

9 Οἱ δὲ ὄχλοι οἱ προάγοντες καὶ οἱ ἀκολουθοῦντες, ἔκραζον, λέγοντες· Ὡσαννὰ τῷ υἱῷ Δαυΐδ·

Τὸ, *ὡσαννὰ*, ἑβραϊκὸν μέν ἐστι· σημαίνει δὲ, ποτὲ μὲν, *ὕμνον*, ποτὲ δὲ, *σῶσον δή*. Νῦν οὖν φησὶν, *Ὕμνος τῷ υἱῷ Δαυΐδ*.

9 Εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου·

Τὸ, *ἐν ὀνόματι Κυρίου*, ἀντὶ τοῦ, παρὰ Κυρίου. Εὐλογημένος ὁ ἐρχόμενος ἀπὸ θεοῦ, εὐλογημένος ὁ πεμφθεὶς ἐκ θεοῦ. Μάρκος δὲ προσέθηκε (β), καὶ *Εὐλογημένη ἡ ἐρχομένη βασιλεία ἐν ὀνόματι Κυρίου, τοῦ πατρὸς ἡμῶν Δαυΐδ*. Ὑπέλαβον γὰρ, ὅτι ἀνωρθώθη ὁ καταβεβλημένος θρόνος τῆς βασιλείας τοῦ Δαυΐδ. Ὅθεν χαίροντες ἔλεγον, καὶ Εὐλογημένη ἡ ἐρχομένη πάλιν βασιλεία τοῦ προπάτορος ἡμῶν Δαυΐδ. *Ἐρχομένη δὲ ἐν ὀνόματι Κυρίου*, τουτέστιν, ἀπὸ θεοῦ. Ὁ δὲ Ἰωάννης φησίν· *Εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου, ὁ βασιλεὺς τοῦ Ἰσραὴλ* (γ). Πάντα γὰρ εἰκὸς ὑπὸ τῶν ὄχλων τότε ῥηθῆναι, τῶν τε προαγόντων, καὶ τῶν ἀκολουθούντων, καὶ τῶν ἐξελθόντων εἰς ὑπάντησιν αὐτοῦ. Νοεῖται δὲ τὸ, *ἐν ὀνόματι Κυρίου*, καὶ ἀντὶ τοῦ, ἐν δόξῃ Κυρίου, ἐν τάξει βασιλέως.

9 Ὡσαννὰ ἐν τοῖς ὑψίστοις.

Ὕμνος ἐν ὑψίστοις, ὑμνούντων καὶ τῶν ὑψίστων δυνάμεων, ἤτοι, τῶν ἀγγέλων, τὸν θεὸν, τὸν πέμψαντα ἡμῖν βασιλέα,

(α) Μάρκ. ΙΑ', 8.
(β) Μαρκ. ΙΑ', 10.
(γ) Ἰωαν. ΙΒ', 13.

καὶ ἀνορθώσαντα τὴν βασιλείαν Δαυΐδ. Ὁ δὲ Λουκᾶς, ἀντὶ τοῦ, *Ὡσαννὰ ἐν τοῖς ὑψίστοις*, *Δόξα ἐν ὑψίστοις* εἶπεν (α). Οὗτος δὲ ἱστορεῖ καὶ περὶ τῶν μαθητῶν, ὅτι ἔλεγον, *Εὐλογημένος ὁ ἐρχόμενος βασιλεὺς ἐν ὀνόματι Κυρίου· εἰρήνη ἐν οὐρανῷ, καὶ δόξα ἐν ὑψίστοις* (β)· *εἰρήνην*, τὴν χαρὰν ὀνομάσας. Σκόπει δὲ, πῶς ἐν τοιούτῳ κρότῳ, καὶ τοσαύταις κραυγαῖς, ὁ πῶλος, καίτοι παντελῶς ἀδάμαστος ὢν, ὅμως εὐτάκτως ἐφέρετο, προτυπῶν πάντως τὸ καταπειθὲς τῶν ἐθνῶν, καὶ τὴν ἀθρόαν αὐτῶν μεταβολὴν εἰς εὐταξίαν.

10 Καὶ εἰσελθόντος αὐτοῦ εἰς Ἱεροσόλυμα, ἐσείσθη πᾶσα ἡ πόλις, λέγουσα· Τίς ἐστιν οὗτος;

Ἐσείσθη, ἀντὶ τοῦ, ἐταράχθη, θορυβηθεῖσα ἐπὶ τῷ κρότῳ καὶ ταῖς εὐφημίαις.

11 Οἱ δὲ ὄχλοι ἔλεγον· Οὗτός ἐστιν Ἰησοῦς ὁ προφήτης, ὁ ἀπὸ Ναζαρὲτ τῆς Γαλιλαίας.

Εἰ καὶ ὑπὲρ προφήτην αὐτὸν εἶχον, ὅμως προφήτην αὐτὸν ὠνόμαζον, οὐδὲν ὑψηλότερον ἐννοεῖν δυνάμενοι, διὰ τὰ ἀνθρωποπρεπῆ τούτου. Λουκᾶς δὲ φησιν (γ), ὅτι *Καί τινες τῶν φαρισαίων ἀπὸ τοῦ ὄχλου εἶπον πρὸς αὐτόν· Διδάσκαλε, ἐπιτίμησον τοῖς μαθηταῖς σου. Καὶ ἀποκριθεὶς εἶπεν αὐτοῖς· Λέγω ὑμῖν, ὅτι ἐὰν οὗτοι σιωπήσωσιν, οἱ λίθοι κεκράξονται.* Φθονήσαντες γὰρ ἔλεγον, ὅτι Κώλυσον τοὺς μαθητάς σου τοιαῦτα κροτεῖν καὶ εὐφημεῖν σε. Εἰπὼν δὲ, ὅτι Ἐὰν οὗτοι σιωπήσωσιν, οἱ λίθοι κεκράξονται, ἐνέφηνεν, ὅτι ἀδύνατον σιωπηθῆναι τὴν δόξαν αὐτοῦ. Λέγοιντο δ' ἂν *λίθοι* καὶ οἱ πιστεύσαντες ἐξ ἐθνῶν, ὡς ὄντες πρότερον πεπωρωμένοι τὸν νοῦν, καὶ ἀναίσθη-

(α) Λουκ. ΙΘ', 38.
(β) Λουκ. ΙΘ', 38.
(γ) Λουκ. ΙΘ', 39.

τοι θεογνωσίας ἀληθινῆς, οἵτινες, σιωπησάντων τῶν ἀποστόλων τῇ τελευτῇ, λοιπὸν αὐτοὶ κράζουσι κηρύττοντες.

12 Καὶ εἰσῆλθεν ὁ Ἰησοῦς εἰς τὸ ἱερὸν τοῦ θεοῦ, καὶ ἐξέβαλε πάντας τοὺς πωλοῦντας καὶ ἀγοράζοντας ἐν τῷ ἱερῷ, καὶ τὰς τραπέζας τῶν κολλυβιστῶν κατέστρεψε, καὶ τὰς καθέδρας τῶν πωλούντων τὰς περιστεράς.

Τὰ παραπλήσια καὶ ὁ Ἰωάννης φησίν· ἀλλ' ἐκεῖνος μὲν κατ' ἀρχὰς τοῦ εὐαγγελίου, Ματθαῖος δὲ καὶ οἱ λοιποὶ πρὸς τῷ τέλει. Δῆλον οὖν, ὅτι δὶς ταυτα πεποίηκεν ὁ Χριστὸς, καὶ κατὰ διαφόρους καιρούς. Καὶ τότε μὲν λέγουσιν Ἰουδαῖοι πρὸς αὐτόν· *Τί σημεῖον δεικνύεις ἡμῖν* (α)· ἄρτι δὲ σιγῶσιν. Ὅρα δὲ τὴν καταφρόνησιν αὐτῶν· ἐν τῷ ναῷ γὰρ ἐκαπήλευον· καὶ οἱ μὲν, ἐπώλουν τὰ πρὸς θυσίαν ἐπιτήδεια τοῖς χρῄζουσι, πρόβατα, λέγω, καὶ βόας καὶ περιστερὰς, ὡς ὁ Ἰωάννης ἐδήλωσε, καὶ εἴ τι τοιοῦτον· οἱ δὲ, ἠγόραζον. *Κολλυβισταὶ* δέ εἰσιν οἱ τραπεζῖται. Καταλλάκτας δὲ τούτους ὀνομάζουσιν οἱ πολλοί. *Κόλλυβος* γὰρ, ὁ ὀβολὸς, καὶ *κολλυβίζω* λέγεται τὸ καταλλάσσω. Εἰσῆλθεν οὖν ὁ Χριστὸς εἰς τὸ ἱερὸν μετὰ παῤῥησίας, ὡς οἰκοδεσπότης. Ἐξέβαλε δὲ καὶ τοὺς ῥηθέντας, καὶ τὰ ῥηθέντα, τήν τε κατὰ πάντων ἐξουσίαν, ἣν ὡς θεὸς εἶχε, παραγυμνῶν, καὶ τῇ ἀναμαρτησίᾳ τεθαῤῥηκώς· καὶ τοῦτο μὲν, τῆς εὐκοσμίας τοῦ οἰκείου ναοῦ φροντίζων· τοῦτο δὲ, προδηλῶν τὴν ἐκβολὴν τῶν δι' αἵματος θυσιῶν· τοῦτο δὲ, καὶ παιδεύων ἡμᾶς, ὑπὲρ τῆς ἐκκλησίας παῤῥησιάζεσθαι.

13 Καὶ λέγει αὐτοῖς· Γέγραπται· «Ὁ οἶκός μου, οἶκος προσευχῆς κληθήσεται·

Γέγραπται ἐν τῷ προφήτῃ Ἡσαΐᾳ (β).

(α) Ἰωαν. Β', 18.
(β) Ἡσ. Νς', 7.

13 Ὑμεῖς δὲ αὐτὸν ἐποιήσατε σπήλαιον λῃστῶν.»

Λῃστὰς ὠνόμασε, τοὺς ἐν αὐτῷ καπηλεύοντας, διὰ τὸ ὁμοίως τοῖς λῃσταῖς φιλοκερδεῖν· οἱ λῃσταὶ γὰρ φιλοκερδεῖς· ἢ διότι τὰ πωλούμενα, ἐξ ἁρπαγῆς καὶ πλεονεξίας ἦσαν. Ἐν τῷ Ἱερεμίᾳ δὲ γέγραπται· *Μὴ σπήλαιον λῃστῶν ὁ οἶκός μου ἐστί* (α);

ΚΕΦΑΛΑΙΟΝ ΜϚʹ.

Περὶ τῶν τυφλῶν καὶ χωλῶν.

14 Καὶ προσῆλθον αὐτῷ τυφλοὶ καὶ χωλοὶ ἐν τῷ ἱερῷ, καὶ ἐθεράπευσεν αὐτούς.

Χωλός ἐστι, καὶ πᾶς ὁ μὴ βαίνων ὀρθὰ πρὸς ἀρετήν· *τυφλός* ἐστι, καὶ πᾶς ὁ μὴ νοῶν τὸ καλόν.

15 Ἰδόντες δὲ οἱ ἀρχιερεῖς καὶ οἱ γραμματεῖς τὰ θαυμάσια, ἃ ἐποίησε, καὶ τοὺς παῖδας κράζοντας ἐν τῷ ἱερῷ, καὶ λέγοντας· Ὡσαννὰ τῷ υἱῷ Δαυΐδ· ἠγανάκτησαν·

Ὠικονόμησεν ὁ Θεὸς, καὶ τοὺς παῖδας ὑμνῆσαι αὐτὸν, ἵνα πάσης ἀντιλογίας ἀποκλεισθῶσιν Ἰουδαῖοι, βλέποντες τὰ ἔκγονα αὐτῶν, τὰ παρ' αὐτοῖς τρεφόμενα καὶ παιδευόμενα, κινούμενα πρὸς ὕμνον τοῦ Χριστοῦ παραδόξως καὶ ὑπερφυῶς· οἱ δὲ σφοδρότερον μᾶλλον ἀναισχυντοῦσι, καὶ τῷ φθόνῳ διαῤῥηγνύμενοι μαίνονται.

16 Καὶ εἶπον αὐτῷ· Ἀκούεις, τί οὗτοι λέγουσιν;

Ὢ τῆς ἀναιδείας! Τὸν Χριστὸν εἰκὸς ἦν εἰπεῖν πρὸς αὐτούς·

(α) Ἱερεμ. Ζʹ, 11.

Ἀκούετε, τί οὗτοι λέγουσιν, οἱ παῖδες ὑμῶν, οἱ μηδέποτέ με θεασάμενοι;

16 Ὁ δὲ Ἰησοῦς λέγει αὐτοῖς· Ναί·

Ναί, φησιν, ἀκούω. Καὶ ἐπεὶ, ὡς ἔφημεν, σφόδρα ἠναισχύντουν, ἐπιπληκτικώτερον κέχρηται τῇ ἀπολογίᾳ λέγων·

16 Οὐδέποτε ἀνέγνωτε· «Ὅτι ἐκ στόματος νηπίων καὶ θηλαζόντων κατηρτίσω αἶνον;»

Τοῦ Δαυῒδ μὲν τὸ ῥητὸν (α), προεφήτευσε δὲ τὰ τηνικαῦτα γινόμενα. Ἐκπληκτικώτατον οὖν τὸ τοιοῦτον θαῦμα· τότε γὰρ πρῶτον χορὸς παίδων ὑπομαζίων τρανῶς ἐφθέγξατο. Οὐδὲ γὰρ ἁπλῶς ἦσαν παῖδες, ἀλλὰ παῖδες νήπιοι, καὶ θηλάζοντες. *Κατηρτίσω* δὲ, ἀντὶ τοῦ, τέλειον ἐποίησας ἐξ ἀτελοῦς στόματος. Καλῶς δὲ εἶπεν, *ἐκ στόματος νηπίων*· τὸ στόμα γὰρ ἦν, τῶν νηπίων· τὸ δὲ λεγόμενον, τῆς δυνάμεως αὐτοῦ, τρανούσης τὴν ἄωρον γλῶσσαν τῶν θηλαζόντων. Ἐθαυματουργήθη δὲ τοῦτο καὶ πρὸς παράκλησιν τῶν μαθητῶν, ἵνα θαῤῥήσωσιν ὑπὲρ ἑαυτῶν, ὡς, ὁ τὴν ψελλίζουσαν γλῶσσαν τρανώσας, σοφίσει καὶ τὴν ἰδιωτείαν αὐτῶν. Ἦν δὲ τοῦτο καὶ τύπος τῶν ἐθνῶν, ἃ ψελλίζοντα πρὸς θεολογίαν, αἰφνίδιον ἤχησαν τέλειον καὶ ἐξάκουστον.

17 Καὶ καταλιπὼν αὐτοὺς, ἐξῆλθεν ἔξω τῆς πόλεως εἰς Βηθανίαν· καὶ ηὐλίσθη ἐκεῖ.

Ἐξῆλθε, χαλῶν αὐτοῖς τὸν ὄγκον τοῦ πάθους, καὶ σβεννύων τὴν πυρκαϊὰν τοῦ φθόνου αὐτῶν.

(α) Ψαλμ. Ηʹ. 3.

ΚΕΦΑΛΑΙΟΝ ΜΖʹ.

Περὶ τῆς ξηρανθείσης συκῆς.

18 Πρωΐας δὲ, ἐπανάγων εἰς τὴν πόλιν, ἐπείνασε. Καὶ
19 ἰδὼν συκῆν μίαν ἐπὶ τῆς ὁδοῦ, ἦλθεν ἐπ' αὐτὴν,
καὶ οὐδὲν εὗρεν ἐν αὐτῇ, εἰ μὴ φύλλα μόνον· καὶ
λέγει αὐτῇ· Μηκέτι ἐκ σοῦ καρπὸς γένηται εἰς τὸν
αἰῶνα. Καὶ ἐξηράνθη παραχρῆμα ἡ συκῆ.

Ἐπεὶ τὴν μὲν εὐεργετικὴν αὐτοῦ δύναμιν πολλάκις ἐπεδείξατο· τὴν δὲ τιμωρητικὴν οὐδ' ἅπαξ, δεῖξαι λοιπὸν καὶ ταύτην βουληθεὶς, ἵνα θαῤῥήσωσιν οἱ μαθηταὶ κἀντεῦθεν, ὅτι δυνατός ἐστιν ἀμύνασθαι τοὺς ἐπιβουλεύοντας Ἰουδαίους, καί ὅτι οὐκ ἄν ποτε πάθοι, μὴ θέλων, εἰς ἄνθρωπον μὲν οὐκ ἐπιδείκνυται ταύτην, ὡς φιλάνθρωπος· εἰς τὸ φυτὸν δὲ. Διὸ καὶ σχηματίζεται (1) πεινᾷν, καὶ ἔρχεται πρὸς τὴν συκῆν, *εἰ ἄρα εὑρήσει τι ἐν αὐτῇ*, καθὼς εἶπε Μάρκος (α), καίτοι γινώσκων, ὡς οὐχ εὑρήσει. Καὶ τοῦτο γὰρ αὐτὸς οὗτος ὁ Μάρκος εἴρηκε, προσθείς· ὅτι (β) *Οὐκ ἦν καιρὸς σύκων*. Καὶ ταῦτα πλάττεται κατ' οἰκονομίαν, ἵνα εὐαφόρμως ἐπὶ τὴν θαυματουργίαν ἔλθῃ· καὶ λόγῳ μόνῳ ξηραίνει τὴν συκῆν, καὶ δείκνυσι τὴν τιμωρητικὴν αὐτοῦ δύναμιν, ὡς ἦν αὐτῷ σκοπός. Ξηραίνει δὲ τὸ ὑγρότερον τῶν ἄλλων φυτῶν, ἵνα καὶ μεῖζον τὸ θαῦμα γένηται. Μὴ τοίνυν ἀκριβολογοῦ, διὰ τί τετιμώρηται τὸ φυτὸν, ἀναίτιον ὄν· ἀλλὰ μόνον ὅρα τὸ θαῦμα, καὶ θαύμαζε τὸν θαυματουργόν. Τετιμώρηται γὰρ, οὐχ ὡς ἁμαρτῆσαν, ἀλλ' ἵνα μάθωσιν οἱ ἀκολουθοῦντες, ὅτι καὶ κολάζειν ὁ Χριστὸς δύναται.

(1) Ἰδ. καὶ εἰς Ἰωαν. Δʹ, 7. παρὰ τῷ αὐτῷ Εὐθυμίῳ.
(α) Μαρκ. ΙΑʹ, 12. 13.
(β) Μαρκ. ΙΑʹ, 13.

[Συκῆ, (1) φύλλοις κομῶσα μόνοις, ἡ τῶν Ἰουδαίων συναγωγὴ, καρπὸν μὲν δικαιοσύνης οὐκ ἔχουσα, μόνην δὲ τὴν τῶν πεπλανημένων ἠθῶν ἐπίδειξιν, ὡς φύλλα, προβαλλομένη. Ἢ καὶ ἄλλως· ἡ ἐν σκιαῖς καὶ τύποις σωματικοῖς τοῦ νόμου λατρεία, καὶ τὰ Ἰουδαϊκὰ παρατηρήματα.]

20 Καὶ ἰδόντες οἱ μαθηταὶ, ἐθαύμασαν, λέγοντες· Πῶς
παραχρῆμα ἐξηράνθη ἡ συκῆ;

Ἰδόντες, οὐκ αὐτίκα, ἀλλὰ τῇ ἐπαύριον. Λέγει γὰρ ὁ Μάρκος, ὅτι *Καὶ ὅτε ὀψὲ ἐγένετο, ἐξεπορεύετο ἔξω τῆς πόλεως. Καὶ πρωῒ παραπορευόμενοι, εἶδον τὴν συκῆν ἐξηραμμένην ἐκ ῥιζῶν. Καὶ ἀναμνησθεὶς ὁ Πέτρος λέγει αὐτῷ· Ῥαββὶ*, ὅ ἐστι, Διδάσκαλε, *ἴδε, ἡ συκῆ, ἣν κατηράσω, ἐξήρανται* (α). Ἀναμνησθεὶς γὰρ τῆς κατάρας, ἔδειξεν αὐτῷ τὴν συκῆν.

21 Ἀποκριθεὶς δὲ ὁ Ἰησοῦς, εἶπεν αὐτοῖς· Ἀμὴν λέ-
γω ὑμῖν, ἐὰν ἔχητε πίστιν, καὶ μὴ διακριθῆτε, οὐ
μόνον τὸ τῆς συκῆς ποιήσετε, ἀλλὰ κἂν τῷ ὄρει
τούτῳ εἴπητε· Ἄρθητι, καὶ βλήθητι εἰς τὴν θά-
λασσαν· γενήσεται.

Τὰ παραπλήσια τούτοις εἶπε καὶ ἐν τῷ τριακοστῷ πέμπτῳ Κεφαλαίῳ, καὶ ζήτησον ἐκεῖ τὴν ἐξήγησιν, δι' ἧς γνοίης ἂν καὶ ταῦτα σαφῶς. Μάρκος δέ φησιν, εἰρηκέναι τὸν Ἰησοῦν, ὅτι (β) *Ὃς ἂν εἴπῃ τῷ ὄρει τούτῳ· Ἄρθητι, καὶ βλήθητι εἰς τὴν θάλασσαν· καὶ μὴ διακριθῇ ἐν τῇ καρδίᾳ αὐτοῦ, ἀλλὰ πιστεύσῃ, ὅτι, ἃ λέγει, γίνεται, ἔσται αὐτῷ, ὃ ἐὰν εἴπῃ*. Διάκρισιν γὰρ ἀμφότεροι, τὸν δισταγμὸν ὀνομάζουσιν. *Ὅρος*

(1) Τὰ παρεντεθειμένα ἀναγινώσκονται παρ' ἀμφοτέροις τοῖς χειρογράφοις ἐν τῷ περισελιδίῳ.
(α) Μαρκ. ΙΑʹ, 19—21.
(β) Μαρκ. ΙΑʹ, 23.

δὲ νοεῖται καὶ ὁ διάβολος, διὰ τὴν ἔπαρσιν· θάλασσα δὲ, ἡ ἄβυσσος καὶ τὸ χάος.

22 Καὶ πάντα, ὅσα ἂν αἰτήσητε ἐν τῇ προσευχῇ, πι-
στεύοντες, λήψεσθε.

Ο δὲ Μάρκος εἶπεν, ὅτι καὶ *Πάντα ὅσα ἂν προσευχόμενοι αἰτῆσθε, πιστεύετε, ὅτι λαμβάνετε· καὶ ἔσται ὑμῖν* (α). *Πάντα* δὲ νόει, μὴ ἁπλῶς, ἀλλὰ τὰ ἄξια.

ΚΕΦΑΛΑΙΟΝ ΜΗ'.

Περὶ τῶν ἐπερωτησάντων τὸν Κύριον ἀρχιερέων καὶ πρεσβυτέρων.

23 Καὶ ἐλθόντι αὐτῷ εἰς τὸ ἱερὸν, προσῆλθον αὐτῷ
διδάσκοντι οἱ ἀρχιερεῖς καὶ οἱ πρεσβύτεροι τοῦ
λαοῦ, λέγοντες· Ἐν ποίᾳ ἐξουσίᾳ ταῦτα ποιεῖς;
καὶ τίς σοι ἔδωκε τὴν ἐξουσίαν ταύτην;

Ἐπεὶ τοῖς θαύμασιν οὐκ ἠδύναντο μέμψασθαι, περὶ τῆς ἐκβολῆς ἐγκαλοῦσι τῶν πωλούντων καὶ ἀγοραζόντων ἐν τῷ ἱερῷ, λέγοντες· *Ἐν ποίᾳ ἐξουσίᾳ ταῦτα ποιεῖς*, κωλύων, ἅπερ ἡμεῖς οὐκ ἐκωλύσαμεν; καὶ τίς σοι ἔδωκε τὴν ἐξουσίαν ταύτην τοῦ ἐξωθεῖν, μηδεμίαν ἀρχὴν τοῦ ναοῦ ἐμπεπιστευμένῳ; Καὶ μὴν καλὸν ἐποίησεν, ἀνακαθάρας τὸ ἱερόν· ἀλλ' ἡ βασκανία καὶ τοῖς καλοῖς εἴωθεν ἐπηρεάζειν.

24 Ἀποκριθεὶς δὲ ὁ Ἰησοῦς, εἶπεν αὐτοῖς· Ἐρωτήσω
ὑμᾶς κἀγὼ λόγον ἕνα· ὃν ἐὰν εἴπητέ μοι, κἀγὼ
25 ὑμῖν ἐρῶ, ἐν ποίᾳ ἐξουσίᾳ ταῦτα ποιῶ· Τὸ βάπτι-

(α) Μαρκ. ΙΑ'. 24.

σμα Ἰωάννου πόθεν ἦν; ἐξ οὐρανοῦ ἢ ἐξ ἀνθρώπων;

Ἐξ *οὐρανοῦ* μὲν, ἀντὶ τοῦ, ἄνωθεν, ἐκ τοῦ θεοῦ· *ἐξ ἀνθρώπων* δὲ, ἀντὶ τοῦ, ἐξ ἐντολῆς ἀνθρώπων. Ὅρα δὲ, πῶς ἐξ εὐθείας μὲν οὐκ ἀπεκρίθη τούτοις, ἵνα μὴ δόξῃ μεγαλύνειν ἑαυτὸν, καὶ ἵνα μὴ διασύρωσιν αὐτὸν, ὡς ἀντίθεον. Ἐπεὶ δὲ ὁ βαπτιστὴς Ἰωάννης πολλὰ περὶ τῆς μεγαλειότητος αὐτοῦ μεμαρτύρηκεν, ἐκεῖθεν αὐτοὺς ἀντεπερωτᾷ, καὶ συνελαύνει πρὸς ἀπορίαν, ὃ καὶ αὐτοὶ γνόντες ἐθορυβήθησαν.

25 Οἱ δὲ διελογίζοντο παρ' ἑαυτοῖς, λέγοντες· Ἐὰν
εἴπωμεν, Ἐξ οὐρανοῦ· ἐρεῖ ἡμῖν· Διατί οὖν οὐκ
ἐπιστεύσατε αὐτῷ;

Τοῦτό ἐστιν, ἡ ἀπορία. Εἶπε γὰρ ἂν αὐτοῖς· Διὰ τί οὐκ ἐπιστεύσατε αὐτῷ, λέγοντι πολλὰ καὶ μεγάλα περὶ ἐμοῦ; Εἰ γὰρ ἐπιστεύσατε, οἷς ἔλεγεν, ἐγινώσκετε ἂν, ἐν ποίᾳ ἐξουσίᾳ ταῦτα ποιῶ. Λοιπὸν οὖν ἐλέγχεσθε, μάτην ἔχοντες προφήτην τὸν Ἰωάννην, ἀπιστοῦντες αὐτῷ.

26 Ἐὰν δὲ εἴπωμεν, Ἐξ ἀνθρώπων· φοβούμεθα τὸν
ὄχλον· πάντες γὰρ ἔχουσι τὸν Ἰωάννην ὡς προ-
φήτην.

Ὢ τῆς ἀνελευθέρου τῶν ἀθλίων ἀνθρωπαρεσκείας! Τοῦ μὲν θεοῦ καταφρονοῦσι· τοὺς ἀνθρώπους δὲ φοβοῦνται, καὶ πρὸς χάριν αὐτῶν ἅπαντα πράττουσιν.

27 Καὶ ἀποκριθέντες τῷ Ἰησοῦ, εἶπον· Οὐκ οἴδαμεν.
Ἔφη αὐτοῖς καὶ αὐτός· Οὐδὲ ἐγὼ λέγω ὑμῖν, ἐν
ποίᾳ ἐξουσίᾳ ταῦτα ποιῶ.

Ἔδει μὲν αὐτοὺς εἰπεῖν, ὅτι καὶ τὸ βάπτισμα ἐκ θεοῦ ἦν, καὶ ὁ Ἰωάννης ἐκ θεοῦ ἔσταλται· ἐπεὶ δὲ φεύγοντες τὸν ἔλεγχον, ἵνα μὴ ἀπιστοῦντες αὐτῷ φανῶσιν, ἔκρυπτον τὴν ἀλήθειαν, φησίν· *Οὐδὲ ἐγὼ λέγω ὑμῖν*, ὃ βούλεσθε μαθεῖν, οὐ κρύπτων,

ὡς ὑμεῖς, τὴν ἀλήθειαν, ἀλλ᾽ ἀναξίους τῆς ἀποκρίσεως ὑμᾶς λογιζόμενος, οὕτω κακουργοῦντας.

ΚΕΦΑΛΑΙΟΝ ΜΘ΄.

Περὶ τῶν δύο υἱῶν παραβολή.

28 Τί δὲ ὑμῖν δοκεῖ;

Περὶ ὧν ἐρῶ, δηλονότι. Μὴ θελησάντων γὰρ εἰπεῖν, πόθεν ἦν τὸ βάπτισμα Ἰωάννου, ἵνα μὴ ἐλεγχθῶσιν ἀπιστήσαντες ἐκείνῳ, βούλεται διὰ παραβολῆς αὐτοὺς ἐμβαλεῖν εἰς τὸ αὐτοὺς καταψηφίσασθαι ἑαυτῶν, ὡς ἀπειθῶν, καὶ λέγει·

28 Ἄνθρωπος εἶχε τέκνα δύο· καὶ προσελθὼν τῷ πρώ-
τῳ, εἶπε· Τέκνον, ὕπαγε, σήμερον ἐργάζου ἐν τῷ
29 ἀμπελῶνί μου. Ὁ δὲ ἀποκριθεὶς, εἶπεν· Οὐ θέλω·
30 ὕστερον δὲ μεταμεληθεὶς, ἀπῆλθε. Καὶ προσελθὼν
τῷ δευτέρῳ, εἶπεν ὡσαύτως. Ὁ δὲ ἀποκριθεὶς, εἶ-
πεν· Ἐγὼ, κύριε, καὶ οὐκ ἀπῆλθε.

Ἄνθρωπον μὲν ὑποδηλοῖ τὸν θεὸν, ὡς φιλάνθρωπον· *τέκνα* δὲ *αὐτοῦ δύο*, τόν τε λαὸν τῶν ἐθνῶν, καὶ τὸν τῶν Ἰουδαίων, ὡς ποιήματα αὐτοῦ. Καὶ ἔστιν ὁ μὴ ὑποσχόμενος μὲν, ἀπελθὼν δὲ, ὁ λαὸς τῶν ἐθνῶν· ὁ δὲ ὑποσχόμενος μὲν, μὴ ἀπελθὼν δὲ, ὁ λαὸς τῶν Ἰουδαίων. Τὰ ἔθνη μὲν γὰρ οὐχ ὑπέσχοντο ἀκούσεσθαι τοῦ θεοῦ, καὶ ὅμως ὕστερον ὑπήκουσαν πιστεύσαντα τῷ θεῷ καὶ Χριστῷ· οἱ δὲ Ἰουδαῖοι ὑπέσχοντο, εἰπόντες ἐν τῇ βίβλῳ τοῦ Δευτερονομίου· *Πάντα, ὅσα ἂν εἴπῃ ὁ θεὸς, ποιήσομεν, καὶ ἀκουσόμεθα* (α)· καὶ ὕστερον παρήκουσαν, ἀπιστήσαντες τῷ Χριστῷ καὶ θεῷ. Ταῦτα μόνα τῆς παραβο-

(α) Ἐξοδ. ΙΘ΄, 8.

λῆς ἐκλέγου, καὶ ἐπιγίνωσκε· τἄλλα δὲ πάρες, ὡς καὶ ἐπὶ τῶν ἄλλων παραβολῶν παρηγγείλαμεν. Ἐπὶ τὸ ἀσαφέστερον γάρ τινα ταύτης οἰκονομικῶς συνετέθησαν, διὰ τὸ ἀνύποπτον, ἵνα μηδὲν περὶ ἑαυτῶν οἱ Ἰουδαῖοι γνόντες, ὀρθὴν ἐξενέγκωσι τὴν ψῆφον.

31 Τίς ἐκ τῶν δύο ἐποίησε τὸ θέλημα τοῦ πατρός;
Λέγουσιν αὐτῷ· Ὁ πρῶτος.

Αὐτοὺς ἠνάγκασεν, ὡς εἴρηται, τὴν ψῆφον ἐξαγαγεῖν, ἵνα αὐτοκατάκριτοι γένωνται. Εἶτα μεταβαίνει πρὸς τοὺς τελώνας καὶ τὰς πόρνας, ἐπὶ πλέον ἐλέγχων αὐτούς.

31 Λέγει αὐτοῖς ὁ Ἰησοῦς· Ἀμὴν λέγω ὑμῖν, ὅτι οἱ
τελῶναι καὶ αἱ πόρναι προάγουσιν ὑμᾶς εἰς τὴν
βασιλείαν τοῦ θεοῦ.

Τελώνας λέγει, τοὺς μετανοήσαντας καὶ βαπτισθέντας, ὅτε ὁ Ἰωάννης ἐκήρυσσε· καὶ *πόρνας* ὁμοίως. *Προάγουσι* δὲ, ἀντὶ τοῦ, προλαμβάνουσιν. Εἶτα σαφηνίζει τὸν λόγον, καὶ διδάσκει, πῶς προλαμβάνουσι, λέγων·

32 Ἦλθε γὰρ πρὸς ὑμᾶς Ἰωάννης ἐν ὁδῷ δικαιοσύ-
νης, καὶ οὐκ ἐπιστεύσατε αὐτῷ· οἱ δὲ τελῶναι καὶ
αἱ πόρναι ἐπίστευσαν αὐτῷ.

Ἦλθε πρὸς ὑμᾶς, οὐκ ἐν ἠμελημένῳ βίῳ, ἀλλ᾽ ἐν ὁδῷ ἀρετῆς, ἵνα καὶ ἀξιόπιστος φανῇ, καὶ οὐκ ἐπιστεύσατε αὐτῷ, παραινοῦντι μετανοεῖν καὶ εὐτρεπίζεσθαι πρὸς ὑποδοχὴν τῆς βασιλείας τοῦ θεοῦ.

32 Ὑμεῖς δὲ ἰδόντες οὐ μετεμελήθητε ὕστερον, τοῦ
πιστεῦσαι αὐτῷ.

Ὑμεῖς δὲ, ἰδόντες τοὺς τελώνας καὶ τὰς πόρνας, πῶς μετεβλήθησαν, ὅτε ὁ Ἰωάννης ἐκήρυσσε, καὶ προέλαβον ὑμᾶς, οὐ μετεβλήθητε, ὥστε πιστεῦσαι αὐτῷ.

ΚΕΦΑΛΑΙΟΝ Ν΄.

Περὶ τοῦ ἀμπελῶνος παραβολή.

33 Ἄλλην παραβολὴν ἀκούσατε· Ἄνθρωπός τις ἦν
οἰκοδεσπότης, ὅστις ἐφύτευσεν ἀμπελῶνα, καὶ
φραγμὸν αὐτῷ περιέθηκε, καὶ ὤρυξεν ἐν αὐτῷ λη-
νὸν, καὶ ᾠκοδόμησε πύργον· καὶ ἐξέδοτο αὐτὸν
γεωργοῖς, καὶ ἀπεδήμησεν.

Ἄνθρωπον μὲν ὁμοίως ὑπαινίττεται τὸν θεὸν καὶ πατέρα, διὰ τὸ φιλάνθρωπον, καὶ διὰ τὸ τῆς παραβολῆς ἔθος· *ἀμπελὼν* δὲ φυτευθεὶς ὑπ᾽ αὐτοῦ, ὁ Ἰσραηλίτης λαὸς, ὃν ἐφύτευσεν ἐν τῇ γῇ τῆς ἐπαγγελίας. Φησὶ γὰρ ὁ Δαυΐδ (α)· *Ἄμπελον ἐξ Αἰγύπτου μετῆρας· ἐξέβαλες ἔθνη, καὶ κατεφύτευσας αὐτήν. Φραγμὸς* δὲ, ὁ νόμος, οὐκ ἐῶν αὐτὸν ἐπιμιγῆναι τοῖς ἔθνεσι. Λέγοιτο δ᾽ ἂν φραγμὸς, καὶ ἡ παρὰ τοῦ θεοῦ φυλακὴ, φρουροῦσα τοῦτον ἀπὸ πάσης ἐπιβουλῆς τῶν πέριξ ἐθνῶν· *καθεῖλες γὰρ*, φησὶ (β), *τὸν φραγμὸν αὐτῆς, καὶ τρυγῶσιν αὐτὴν πάντες οἱ παραπορευόμενοι τὴν ὁδόν. Ληνὸς* δὲ, τὸ θυσιαστήριον, ἐν ᾧ τὸ αἷμα ἐξεχεῖτο. *Πύργος* δὲ, ὁ ναὸς, διὰ τὸ τῆς οἰκοδομῆς ὀχυρὸν καὶ ὑψηλόν. *Γεωργοὶ* δὲ, οἱ ἀρχιερεῖς καὶ οἱ γραμματεῖς καὶ οἱ πρεσβύτεροι τοῦ λαοῦ· τούτοις γὰρ ἐνεπίστευσεν ὁ θεὸς, ὡς διδασκάλοις, τὸν ἀμπελῶνα τοῦτον. *Ἀποδημίαν* δὲ τοῦ οἰκοδεσπότου φησὶν ὁ Χρυσόστομος (1), τὴν μακροθυμίαν, ἐφ᾽ οἷς ἡμάρτανον.

34 Ὅτε δὲ ἤγγισεν ὁ καιρὸς τῶν καρπῶν, ἀπέστειλε
τοὺς δούλους αὐτοῦ πρὸς τοὺς γεωργοὺς, λαβεῖν

(α) Ψαλμ. ΟΘ΄, 9.
(β) Ψαλμ. ΟΘ΄, 13.
(1) Τομ. Ζ΄. Σελ. 670. Α.

35 τοὺς καρποὺς αὐτοῦ. Καὶ λαβόντες οἱ γεωργοὶ τοὺς
δούλους αὐτοῦ, ὃν μὲν ἔδειραν, ὃν δὲ ἀπέκτειναν,
36 ὃν δὲ ἐλιθοβόλησαν. Πάλιν ἀπέστειλεν ἄλλους δού-
λους, πλείονας τῶν πρώτων· καὶ ἐποίησαν αὐτοῖς
ὡσαύτως.

Καρποὶ μὲν τοῦ ῥηθέντος ἀμπελῶνος, ἡ φυλακὴ τῶν νομικῶν ἐντολῶν καὶ αἱ ἀρεταί· *δοῦλοι* δὲ, οἱ προφῆται, οὓς ἄλλοτε ἄλλους ἀποσταλέντας εἰς ἀπαίτησιν τῆς τοιαύτης, ὡς εἴρηται, φυλακῆς καὶ τῶν ἀρετῶν, διαφόρως ἐτιμωρήσαντο. Μάρκος δὲ καὶ Λουκᾶς (α) τρεῖς ἀποστολὰς τῶν προφητῶν ἀνέγραψαν, λέγοντες ἀπεστάλθαι πρῶτον, ἕνα δοῦλον, εἶτα ἕτερον, ἔπειτα τρίτον. Οὐκ ἔστι δὲ τοῦτο ἐναντιολογία πρὸς τὸν Ματθαῖον. Κἀκεῖνος γὰρ διὰ τῶν δύο ἀποστολῶν πάντας συμπεριέλαβε, καὶ οὗτοι διὰ τῶν τριῶν ὁμοίως· πλὴν ἐκεῖνος μὲν παχύτερον, οὗτοι δὲ λεπτομερέστερον, οἳ καὶ διὰ τοῦ ἑνὸς δούλου πάντας δηλοῦσι τοὺς τῆς μιᾶς ἀποστολῆς καὶ τοῦ αὐτοῦ καιροῦ. Τί δέ ἐστιν, ὅ φησι Μάρκος περὶ ἑνὸς, ὅτι *Κἀκεῖνον λιθοβολήσαντες ἐκεφαλαίωσαν* (β); Τινὲς μὲν εἶπον, ὅτι *ἐκεφαλαίωσαν* τὴν ὕβριν, ἤγουν, ἐκορύφωσαν· ἐγὼ δὲ οἶμαι τὸ, ἐκεφαλαίωσαν, ἀντὶ τοῦ, τὴν κεφαλὴν αὐτοῦ συνέτριψαν.

37 Ὕστερον δὲ ἀπέστειλε πρὸς αὐτοὺς τὸν υἱὸν αὐτοῦ,
λέγων· Ἐντραπήσονται τὸν υἱόν μου.

Τοῦτο εἶπεν, οὐχ ὡς ἀποβησόμενον· ἐγίνωσκε γὰρ, ὅτι οὐκ ἐντραπήσονται τοῦτον· ἀλλ᾽ ὡς ὀφειλόμενον, ὡσανεὶ λέγων· ὅτι χρὴ αὐτοὺς ἐντραπῆναι τὸν υἱόν μου. Λουκᾶς δέ φησιν, ὅτι *Εἶπεν* (γ) *ὁ κύριος τοῦ ἀμπελῶνος· Τί ποιήσω; πέμψω τὸν υἱόν μου τὸν ἀγαπητόν· ἴσως τοῦτον ἰδόντες ἐντραπήσονται.*

(α) Μαρκ. ΙΒ΄, 2. καὶ ἑξῆς. Λουκ. Κ΄, 10. καὶ ἑξῆς.
(β) Μαρκ. ΙΒ΄, 4.
(γ) Λουκ. Κ΄, 13.

Εἶπε δὲ, τί ποιήσω, οὐκ ἐξ ἀπορίας, ἀλλ' ἐκ φιλανθρωπίας, δεικνύων, πόσον κήδεται τῶν ἀχαρίστων, μήπω θέλων κακῶσαι τούτους, ἀλλὰ ζητῶν τρόπον, δι' οὗ τούτους ἀγριωθέντας ἡμερώσει. Καὶ τὸ, ἴσως, δὲ, τὸ εἰκὸς δηλοῖ.

38 Οἱ δὲ γεωργοὶ, ἰδόντες τὸν υἱὸν, εἶπον ἐν ἑαυτοῖς· Οὗτός ἐστιν ὁ κληρονόμος· δεῦτε, ἀποκτείνωμεν αὐτὸν, καὶ κατάσχωμεν τὴν κληρονομίαν αὐτοῦ.

Σκόπει, πῶς ἀκριβῶς προλέγει τὰ μέλλοντα! Καὶ μὴν, οὐχ ὡς υἱὸν θεοῦ τοῦτον ἀνεῖλον. Οὐκ ἀνεῖλον αὐτὸν, ὡς υἱὸν θεοῦ, ἀλλ' ὡς κληρονόμον τοῦ ἀμπελῶνος, ἤγουν, ὡς βασιλέα τοῦ Ἰσραήλ. Βλέποντες γὰρ, ἃ ἐτερατούργει, καὶ ἀκούοντες, ἃ ἐφιλοσόφει, συνῄσθοντο μὲν ἐν ἑαυτοῖς, ὅτι αὐτός ἐστιν, ὃν οἱ προφῆται καταγγέλλουσι βασιλέα τοῦ Ἰσραήλ· ἐκνικηθέντες δὲ τῷ φθόνῳ, καὶ σκοτισθέντες ὑπὸ τῆς βασκανίας, τοῦτο μὲν συνεκάλυψαν, συμβούλιον δὲ ἔλαβον, ἵνα αὐτὸν ἀποκτείνωσι, καὶ λοιπὸν κυριαρχήσωσι τῆς κληρονομίας αὐτοῦ, τουτέστι, τοῦ λαοῦ, μηδὲν εἰς τὸ ἑξῆς ὑποπτεύοντες. Καὶ γὰρ ζῶν, ἤλεγχεν αὐτοὺς, καὶ ὠνείδιζε, καὶ ἠπείλει.

39 Καὶ λαβόντες αὐτὸν, ἐξέβαλον ἔξω τοῦ ἀμπελῶνος, καὶ ἀπέκτειναν.

Ἔξω *τῶν ὁρίων τοῦ ἀμπελῶνος*, ἤγουν, ἔξω τῆς πόλεως. Ἔξω γὰρ αὐτῆς τοῦτον ἐσταύρωσαν. Μάρκος δέ φησιν, ὅτι πρῶτον ἀπέκτειναν αὐτὸν, εἶτα ἐξέβαλον ἔξω τοῦ ἀμπελῶνος (α). Τί οὖν ἐροῦμεν; Ὅτι τὸ, *ἐξέβαλον ἔξω*, καθ' ἕτερον ἐκεῖνος εἶπε σημαινόμενον, ἀντὶ τοῦ, ἀπεστέρησαν (1), ὡς αὐτοῖς ἐδόκει.

(α) Μαρκ. ΙΒ', 8.

(1) τοῦ ἀμπελῶνος δηλαδή.

40 Ὅταν οὖν ἔλθῃ ὁ κύριος τοῦ ἀμπελῶνος, τί ποιήσει τοῖς γεωργοῖς ἐκείνοις;

Αὐτοὺς ἐρωτᾷ πάλιν, ἵνα αὐτοὶ καθ' ἑαυτῶν ἐξαγαγόντες κἀνταῦθα τὴν ἀπόφασιν αὐτοκατάκριτοι γένωνται.

41 Λέγουσιν αὐτῷ· Κακοὺς κακῶς ἀπολέσει αὐτούς·

Κακοὺς ὄντας πικρῶς κολάσει αὐτούς.

41 Καὶ τὸν ἀμπελῶνα ἐκδώσεται ἄλλοις γεωργοῖς, οἵτινες ἀποδώσουσιν αὐτῷ τοὺς καρποὺς ἐν τοῖς καιροῖς αὐτῶν.

Ἄκοντες προφητεύουσι καὶ αὐτοὶ τὸ μέλλον. Ἐλθὼν γὰρ ὁ κύριος τοῦ τοιούτου ἀμπελῶνος, ἤγουν, ἀναστὰς ἐκ νεκρῶν ὁ Χριστὸς, ὁ κληρονόμος, καὶ ἐπανελθὼν εἰς τὴν ἰδίαν ἐξουσίαν, παρέδωκεν αὐτοὺς τοῖς Ῥωμαίοις εἰς ὄλεθρον καὶ ἀφανισμόν· τὸν δὲ τόπον τοῦ ἀμπελῶνος ἐξέδωκε τοῖς τῶν χριστιανῶν ἐπισκόποις, οἳ καὶ κατὰ τοὺς καιροὺς αὐτῶν, ὅτε δηλαδὴ τὰ χριστιανῶν ἤνθει, διαφερόντως ἐκαρποφόρουν τὰς ἀρετάς. Ἀλλὰ Ματθαῖος μὲν αὐτοὺς λέγει, καθ' ἑαυτῶν τὴν ψῆφον ἐξενεγκεῖν· Μάρκος δὲ καὶ Λουκᾶς (α) φασὶν, ὅτι αὐτὸς ἀπεφήνατο κατ' αὐτῶν. Εἰκὸς δὲ, πρῶτον ἐκείνους ἀποφήνασθαι, εἶτα τὸν Χριστὸν εἰπεῖν, ὅπερ ἐκεῖνοι εἶπον, ἐπιβεβαιοῦντα τὸν λόγον αὐτῶν. Ἰδιαίτατα δὲ Λουκᾶς εἴρηκεν, ὅτι *Ἀκούσαντες εἶπον· Μὴ γένοιτο* (β). Πρὸ τούτου γὰρ ἀγνοοῦντες, ὅτι περὶ αὐτῶν ἦν ἡ παραβολὴ, κατεψηφίσαντο ἑαυτῶν· ὕστερον δὲ, ἐπιψηφισαμένου τοῦ Χριστοῦ, συνῆκαν καὶ εἶπον· *Μὴ γένοιτο!*

42 Λέγει αὐτοῖς ὁ Ἰησοῦς· Οὐδέποτε ἀνέγνωτε ἐν ταῖς γραφαῖς· «Λίθον ὃν ἀπεδοκίμασαν οἱ οἰκο-

(α) Μαρκ. ΙΒ', 9, Λουκ. Κ', 16.

(β) Λουκ. Κ', 16.

δομοῦντες, οὗτος ἐγενήθη εἰς κεφαλὴν γωνίας·

Δαυϊτικὴ μὲν ἡ προφητεία (α), δείκνυσι δὲ διὰ ταύτης ὁ Χριστὸς, ὅτι πάντως ἔσται, ἃ εἶπεν, προαγγελθέντα πάλαι παρὰ τοῦ ἁγίου πνεύματος. Καὶ ἀναιρεθήσεται μὲν ἀπ' αὐτῶν· ἀναστὰς δὲ ἐκ νεκρῶν, γενήσεται εἰς κεφαλὴν γωνίας. Τί δὲ τοῦτό ἐστιν; Ἐροῦμεν· Τροπικῶς ἡ προφητεία *λίθον* μὲν ὠνόμασε τὸν Χριστόν· *οἰκοδομοῦντας* δὲ, τοὺς διδασκάλους τῶν Ἰουδαίων, οὓς καὶ γεωργοὺς ἡ παραβολὴ προσηγόρευσεν· *ἀπεδοκίμασαν* δὲ τὸν τοιοῦτον οὗτοι λίθον, ἤγουν, ἀπώσαντο· πρῶτον μὲν λέγοντες· *Οὗτος* (β) *οὐκ ἔστιν ἐκ τοῦ θεοῦ*· καὶ πάλιν· *Οὗτος* (γ) *πλανᾷ τὸν κόσμον* (1), καὶ τὰ τοιαῦτα· τελευταῖον δὲ σταυρώσαντες· *κεφαλὴ* δὲ *γωνίας* ἐστὶν, ὁ ἀκρογωνιαῖος λίθος. *Ἐγένετο* οὖν *εἰς κεφαλὴν γωνίας* ὁ Χριστὸς, ἤγουν, ὑπῆρξεν ἀκρογωνιαῖος λίθος, ἐν τῷ παρεικάζεσθαι τοιούτῳ λίθῳ. Καθάπερ γὰρ ἐκεῖνος ἐφ' ἑαυτῷ συνδεῖ τοίχους δύο· τὸν αὐτὸν τρόπον καὶ ὁ Χριστὸς, ἐφ' ἑαυτῷ συνδεσμεῖ τοὺς δύο λαοὺς, τόν τε ἐξ ἐθνῶν καὶ τὸν ἐξ Ἰουδαίων, καὶ συνενοῖ διὰ τῆς εἰς αὐτὸν πίστεως. Τινὲς δὲ *γωνίαν* ἐνόησαν τὴν ἐκκλησίαν, ὡς συνδεσμοῦσαν τοὺς πιστοὺς, ἧς τινος εἰς κεφαλὴν γέγονεν ὁ Χριστὸς, εἴτουν, κεφαλὴ καὶ ἄρχων.

42 Παρὰ Κυρίου ἐγένετο αὕτη, καὶ ἔστι θαυμαστὴ ἐν ὀφθαλμοῖς ἡμῶν;»

Καὶ τοῦτο μέρος τῆς εἰρημένης προφητείας ἐστὶ, διδάσκον, ὅτι καὶ κατὰ βούλησιν θεοῦ γενήσεται αὕτη ἡ γωνία, τουτέστιν, ἡ συνάφεια τῶν λαῶν, καὶ θαυμασθήσεται παρὰ πάντων,

(α) Ψαλμ. ΡΙΖ΄, 22.
(β) Ἰωαν. Θ΄, 16.
(γ) Ἰωαν. Ζ΄, 12.
(1) ὄχλον, ὁ Χρυσόστομος Τομ. Ζ΄. Σελ. 672. Α. Ὁ δὲ Εὐθύμιος καὶ ἐν τῷ κειμένῳ τοῦ κατὰ Ἰωάννην εὐαγγελίου γράφει, κόσμον.

οὐ μόνον, ὡς κεκαλλωπισμένη ταῖς ποικιλίαις τῶν ἀρετῶν, ἀλλὰ καὶ, ὡς ἰσχυροτέρα πάσης ἐπιβουλῆς.

43 Διὰ τοῦτο λέγω ὑμῖν, ὅτι ἀρθήσεται ἀφ' ὑμῶν ἡ βασιλεία τοῦ θεοῦ, καὶ δοθήσεται ἔθνει ποιοῦντι τοὺς καρποὺς αὐτῆς.

Βασιλείαν τοῦ θεοῦ λέγει, τὴν ἐπισκοπὴν τοῦ θεοῦ, ὑφ' ἧς ἐφρουροῦντο· *ἔθνος* δὲ *ποιοῦν τοὺς ἀξίους αὐτῆς καρποὺς*, τὸ γένος τῶν χριστιανῶν.

44 Καὶ ὁ πεσὼν ἐπὶ τὸν λίθον τοῦτον, συνθλασθήσεται·

Ὁ προσκόψας αὐτῷ, ἑαυτὸν βλάψει, καὶ οὐκ ἐκεῖνον, ὃ πεπόνθασιν οἱ ἀρχιερεῖς καὶ οἱ γραμματεῖς καὶ οἱ πρεσβύτεροι τοῦ λαοῦ.

44 Ἐφ' ὃν δ' ἂν πέσῃ, λικμήσει αὐτόν.

Ἐφ' ὃν δ' ἂν βαρήσῃ (1), τουτέστιν, ᾧ ἂν ὀργισθῇ, λεπτυνεῖ καὶ διασκορπίσει καὶ ἐξολοθρεύσει αὐτὸν, ὃ γέγονεν εἰς ὅλον τὸ γένος τῶν Ἰουδαίων, παραδοθὲν εἰς πολιορκίαν τοῖς ῥωμαϊκοῖς στρατεύμασι.

45 Καὶ ἀκούσαντες οἱ ἀρχιερεῖς καὶ οἱ Φαρισαῖοι
τὰς παραβολὰς αὐτοῦ, ἔγνωσαν, ὅτι περὶ αὐτῶν
46 λέγει. Καὶ ζητοῦντες αὐτὸν κρατῆσαι, ἐφοβήθησαν
τοὺς ὄχλους· ἐπειδὴ ὡς προφήτην αὐτὸν εἶχον.

Πανταχοῦ τοὺς ἀνθρώπους φοβοῦνται, καὶ οὐ τὸν θεόν· ἀλλ' ὁ μὲν Χριστὸς καὶ τὰς παραβολὰς εἶπε, καὶ τὴν προφητείαν ἐπήγαγεν, ἵνα δειλιάσαντες ἀποσχῶνται τῆς πονηρίας· αὐτοὶ δὲ μᾶλλον ἐζήτησαν ἀνελεῖν αὐτόν. Καὶ μὴν ἐγίνωσκεν, ὡς οὐ μεταβληθήσονται· ἀλλὰ πανταχοῦ τὸ ἑαυτοῦ ποιεῖ, μηδὲν ἐλλείπων τῶν καθηκόντων.

(1) ἐπιβαρήσῃ, βαρέως πέσῃ.

ΚΕΦΑΛΑΙΟΝ ΝΑ'.

Περὶ τῶν καλουμένων εἰς τὸν γάμον.

ΚΕΦ. XXII, 1 Καὶ ἀποκριθεὶς ὁ Ἰησοῦς, πάλιν εἶπεν
2 αὐτοῖς ἐν παραβολαῖς, λέγων· Ὡμοιώθη ἡ βασι-
λεία τῶν οὐρανῶν ἀνθρώπῳ βασιλεῖ, ὅστις ἐποίη-
3 σε γάμους τῷ υἱῷ αὐτοῦ· καὶ ἀπέστειλε τοὺς
δούλους αὐτοῦ, καλέσαι τοὺς κεκλημένους εἰς τοὺς
γάμους· καὶ οὐκ ἤθελον ἐλθεῖν.

Η μὲν πρὸ ταύτης παραβολὴ, τὰ μέχρι τοῦ σταυροῦ διέγραψεν, οἷον τὴν τοῦ θεοῦ πρόνοιαν, ᾗ πρὸς Ἰουδαίους ἐκέχρητο, τὴν τούτων προφητοκτονίαν, καὶ τελευταῖον, τὴν ἀναίρεσιν τοῦ Σωτῆρος· αὕτη δὲ, ἡ νῦν προκειμένη, τὰ μετὰ τὸν σταυρὸν προσημαίνει· *βασιλείαν μὲν οὐρανῶν* ὀνομάζουσα τὸν θεὸν καὶ πατέρα· *γάμους* δὲ, τὴν μυστικὴν συνάφειαν τοῦ υἱοῦ πρὸς τὴν ἐκκλησίαν τῶν πιστῶν. Διττὴν δὲ νοοῦμεν τὴν τοιαύτην συνάφειαν, τὴν μὲν ἐνταῦθα γινομένην, διὰ πίστεως καὶ ἀρετῶν, τὴν δὲ ἐκεῖ τελεσθησομένην ὑπερφυέστερον. *Γάμους* δὲ τὸ πρᾶγμα καλεῖ, διά τε τὸν αὐτοῦ πόθον, ὃν ἔχει πρὸς αὐτὴν, καὶ διὰ τὴν αὐτῆς χαράν· καὶ γὰρ καὶ ὁ Βαπτιστὴς νυμφίον αὐτὸν προσηγόρευσε· *δούλους* δὲ λέγει, τοὺς ἀποστόλους, οἵτινες πρῶτον ἐν Ἱεροσολύμοις ἐδίδαξαν· *κεκλημένους* δὲ, τοὺς Ἰουδαίους, οἳ προεκλήθησαν εἰς τοὺς τοιούτους γάμους, πάλαι μὲν ὑπὸ τῶν προφητῶν, ὕστερον δὲ ὑπὸ τοῦ Βαπτιστοῦ· πρὸς αὐτὸν (1) γὰρ αὐτοὺς παρέπεμπον· ἔτι δὲ καὶ ὑπ' αὐτοῦ τοῦ νυμφίου. Καὶ ὅρα τὴν κακίαν μὲν τῶν Ἰουδαίων, ἀγαθότητα δὲ τοῦ Σωτῆρος! Ἀνεῖλον αὐτὸν ἐκεῖνοι·

(1) τὸν Χριστὸν, παρέπεμπον αὐτοὺς, τοὺς Ἰουδαίους, οἱ προφῆται καὶ ὁ Βαπτιστής.

ὁ δὲ, καὶ φονεῖς ὄντας αὐτοῦ, πάλιν καλεῖ πρὸς εὐφροσύνην αἰώνιον, οἱ δὲ ἀποπηδῶσι.

4 Πάλιν ἀπέστειλεν ἄλλους δούλους, λέγων· Εἴπατε
τοῖς κεκλημένοις· Ἰδοὺ, τὸ ἄριστόν μου ἡτοίμασα,
οἱ ταῦροί μου καὶ τὰ σιτιστὰ τεθυμένα, καὶ πάντα
ἕτοιμα· δεῦτε εἰς τοὺς γάμους.

Προτέρους μὲν δούλους νόει, τοὺς περὶ Πέτρον· ὑστέρους δὲ, τοὺς περὶ Παῦλον· ἄριστον δὲ καὶ ταύρους καὶ σιτιστὰ τεθυμένα, εἴτουν, ηὐτρεπισμένα, εἴρηκε, κατὰ τὸ ἐν τοῖς γάμοις ἔθος. Εἶεν δ' ἂν ταῦτα ἐνταῦθα μὲν, ἡ τρυφὴ τῶν θείων δογμάτων· ἐκεῖ δὲ, ἡ οὐράνιος τρυφὴ καὶ ἀπόλαυσις. Διὰ δὲ τῶν ταύρων καὶ τῶν σιτιστῶν τὸ φιλότιμον καὶ πολυτελὲς τῆς εὐωχίας ἐμφαίνεται.

5 Οἱ δὲ, ἀμελήσαντες, ἀπῆλθον· ὁ μὲν, εἰς τὸν ἴδιον
ἀγρὸν, ὁ δὲ, εἰς τὴν ἐμπορίαν αὐτοῦ.

Καταφρονήσαντες τῆς κλήσεως, ἀπῆλθον εἰς τὰ οἰκεῖα ἔργα, τουτέστιν, εἴχοντο τῶν προτέρων.

6 Οἱ δὲ λοιποὶ, κρατήσαντες τοὺς δούλους αὐτοῦ,
ὕβρισαν καὶ ἀπέκτειναν.

Ω τῆς ἀναισχυντίας! Οὐ μόνον οὐκ ἦλθον, ἀλλὰ καὶ τοὺς ἀπεσταλμένους πρὸς αὐτοὺς ὕβρισαν καὶ ἀπέκτειναν. Καὶ ἐν μὲν τῇ προλαβούσῃ παραβολῇ, οἱ ἀπαιτοῦντες τοὺς καρποὺς ἐσφάγησαν· ἐν ταύτῃ δὲ, οἱ καλοῦντες εἰς τοὺς γάμους. Τὶ ταύτης ἶσον τῆς μανίας; ὅσον ὁ βασιλεὺς ἐμακροθύμει καὶ ἐφιλανθρωπεύετο, τοσοῦτον οὗτοι ἐσκληρύνοντο καὶ ἠγρίαινον.

7 Ἀκούσας δὲ ὁ βασιλεὺς, ὠργίσθη· καὶ πέμψας τὰ
στρατεύματα αὐτοῦ, ἀπώλεσε τοὺς φονεῖς ἐκείνους,
καὶ τὴν πόλιν αὐτῶν ἐνέπρησε.

Ιδε κηδεμονίαν καὶ μακροθυμίαν ἄφατον! Ἐφύτευσεν ἀμπελῶ-

να καὶ ἀπήρτισεν· ἐξέδοτο αὐτὸν γεωργοῖς καὶ ἀπεδήμησεν· ἀπέστειλεν ἐν καιρῷ δούλους ἀπαιτῶν τοὺς καρπούς· τούτων ἀναιρεθέντων, ἀπέστειλεν ἄλλους· καὶ τούτων σφαγέντων, ἔπεμψεν αὐτὸν τὸν υἱὸν αὐτοῦ τὸν ἀγαπητόν· καὶ τούτου φονευθέντος, ἠνέσχετο, καὶ μᾶλλον ἀποστείλας δούλους, ἐκάλεσε τοὺς φονεῖς εἰς εὐωχίαν ἀτελεύτητον· οὐκ ἠθέλησαν ἐλθεῖν· πάλιν ἑτέρους ἀπέστειλεν· οἱ δὲ καὶ τούτους ἀνεῖλον. Τότε λοιπὸν, ὡς ἀνίατα νοσοῦντας, ἀναιρεῖ, τοὺς παμπονήρους καὶ μιαρούς. Στρατεύματα δὲ αὐτοῦ νόει, τὰ στρατεύματα τῶν Ῥωμαίων· πάντες γὰρ τοῦ Θεοῦ εἰσὶ κατὰ τὸν λόγον τῆς δημιουργίας· ἃ, ἐπὶ Οὐεσπασιανοῦ καὶ Τίτου, καὶ τοὺς φονεῖς κατέσφαξαν, καὶ τὴν πόλιν αὐτῶν, τὰ Ἱεροσόλυμα, ἐνέπρησαν.

8 Τότε λέγει τοῖς δούλοις αὐτοῦ· Ὁ μὲν γάμος
ἕτοιμός ἐστιν, οἱ δὲ κεκλημένοι οὐκ ἦσαν ἄξιοι.
9 Πορεύεσθε οὖν ἐπὶ τὰς διεξόδους τῶν ὁδῶν, καὶ
ὅσους ἂν εὕρητε, καλέσατε εἰς τοὺς γάμους.

Διεξόδους τῶν ὁδῶν λέγει, τὰς πόλεις καὶ κώμας τῶν ἐθνῶν· διεξόδους δὲ τῶν ὁδῶν ταύτας ὠνόμασε, δηλῶν τὸ ἀπεῤῥιμμένον τῶν ἐθνῶν· ἐν ταῖς διεξόδοις γὰρ οἱ ἀπεῤῥιμμένοι κατοικοῦσι. Πρῶτον μὲν γὰρ οἱ ἀπόστολοι τοῖς Ἰουδαίοις ἐκήρυσσον, ἔτι παρ᾽ αὐτοῖς ὄντες· ἐπεὶ δὲ ἀπηλαύνοντο, φησὶ πρὸς αὐτοὺς ὁ Παῦλος· *Ὑμῖν ἦν ἀναγκαῖον πρῶτον λαληθῆναι τὸν λόγον τοῦ θεοῦ· ἐπειδὴ δὲ ἀναξίους ἑαυτοὺς ἐκρίνατε, ἰδοὺ, στρεφόμεθα εἰς τὰ ἔθνη* (α).

Καὶ μὴν ἀναστὰς ὁ Χριστὸς ἐκ νεκρῶν, εὐθὺς εἰς τὰ ἔθνη τούτους ἐξαπέστειλεν, εἰπών· *Πορευθέντες μαθητεύσατε πάντα τὰ ἔθνη* (β). Πῶς οὖν πρῶτον τοῖς Ἰουδαίοις ἐκήρυξαν, γρά-

(α) Πραξ. ΙΓ', 46.—Οὕτως ἀναφέρει τὸ κείμενον τῶν Πράξεων καὶ ὁ Χρυσόστομος Τομ. Ζ'. Σελ. 681. Β.

(β) Ματθ. ΚΗ', 19.

φει Λουκᾶς ἐν τῇ βίβλῳ τῶν Πράξεων· ὅτι μέλλων ὁ Χριστὸς ἀναβαίνειν εἰς τὸν οὐρανὸν, εἶπε τοῖς ἀποστόλοις (α)· *Λήψεσθε δύναμιν ἐπελθόντος τοῦ ἁγίου πνεύματος ἐφ᾽ ὑμᾶς· καὶ ἔσεσθέ μοι μάρτυρες, ἔν τε Ἱερουσαλὴμ, καὶ ἐν πάσῃ τῇ Ἰουδαίᾳ, καὶ Σαμαρείᾳ, καὶ ἕως ἐσχάτου τῆς γῆς.* Ἰδοὺ, δεδήλωκεν, ὅτι ἄρξονται ἀπὸ Ἱερουσαλήμ.

10 Καὶ ἐξελθόντες οἱ δοῦλοι ἐκεῖνοι εἰς τὰς ὁδοὺς,
συνήγαγον πάντας, ὅσους εὗρον, πονηρούς τε καὶ
ἀγαθούς·

Πονηροὺς ὀνομάζει, τοὺς κακοήθεις, ἢ τοὺς ἀκρατεῖς ἐν τοῖς πάθεσιν· *ἀγαθοὺς* δὲ, τοὺς ἁπλοῦς, ἢ τοὺς ἐγκρατεῖς ἐν ταῖς ἀλόγοις ὁρμαῖς, οἷς ὁμοῦ πᾶσιν ἐκήρυξαν οἱ ἀπόστολοι, πάντας ἐπίσης καλοῦντες εἰς τὴν συνάφειαν τοῦ Χριστοῦ, τήν τε ἐν τῷ νῦν αἰῶνι, καὶ τὴν ἐν τῷ μέλλοντι.

11 Καὶ ἐπλήσθη ὁ γάμος ἀνακειμένων. Εἰσελθὼν δὲ
ὁ βασιλεὺς θεάσασθαι τοὺς ἀνακειμένους, εἶδεν ἐκεῖ
12 ἄνθρωπον οὐκ ἐνδεδυμένον ἔνδυμα γάμου· καὶ λέγει
αὐτῷ· Ἑταῖρε, πῶς εἰσῆλθες ὧδε, μὴ ἔχων ἔνδυμα
γάμου;

Εἰπὼν, ὅτι *ἐπλήσθη ὁ γάμος*, ἤγουν, ὁ νυμφὼν, ἐσήμανεν, ὅτι πολλοὶ εἰσελεύσονται μέχρι τῆς τοῦ κόσμου συντελείας. Ἐν δὲ τῷ ἐφεξῆς τῆς παραβολῆς διδάσκει περὶ τῆς μελλούσης κρίσεως. Σὺ δὲ μηδὲν πολυπραγμόνει βαθύτερον, οἷον, τίς ὁ νυμφὼν, καὶ πῶς συνεισῆλθε τοῖς κεκαλλωπισμένοις ὁ ἀκαλλώπιστος, καὶ εἴ τι τοιοῦτον· ἐπικίνδυνος γὰρ ἡ τούτων ἐξέτασις, διά τε τὴν ἄβυσσον τῆς θεωρίας αὐτῶν, καὶ διὰ τὴν αὐτονομίαν τῆς παραβολῆς· μόνον δὲ ἐντεῦθεν ἀρύου τὸ γινώσκειν, ὅτι οὐ χρή τινα θαῤῥεῖν μόνῳ τῷ ἐλθεῖν εἰς τοὺς γάμους, εἴτουν,

(α) Πραξ. Α', 8.

μόνῃ τῇ εἰς Χριστὸν πίστει· ἀλλ', ἐπεὶ διὰ τοῦ βαπτίσματος ἀπελούσατο (1), δεῖ περιβληθῆναι καὶ ἔνδυμα γαμικὸν, ἤτοι, κεκαλλωπισμένον καὶ ἄξιον τῶν μελλόντων γάμων· ἔστι δὲ τοῦτο βίος καθαρὸς καὶ λαμπρὸς, τρόπον χιτῶνος ὑφηφασμένος ἐξ ἀρετῶν.

Ἄνθρωπον μὲν οὖν, *οὐκ ἐνδεδυμένον ἔνδυμα γάμου*, προσηγόρευσε πάντα ἄνθρωπον ἀναξίως τοῦ γάμου ἐστολισμένον· *οὐκ ἔνδυμα δὲ γάμου*, βίος ῥυπαρὸς καὶ ἀκάθαρτος. *Ἑταῖρον* δὲ αὐτὸν εἶπεν, ὡς τέως χριστιανὸν, εἰ καὶ ἀναξίως τῆς προσηγορίας ταύτης ἐπολιτεύσατο. Καὶ μὴν χάριτι πάντας ἐκάλεσε· πῶς οὖν ἀκριβολογεῖται; Διότι προσήκει τὸν εἰς γάμον κληθέντα, καὶ μάλιστα βασιλικὸν, κεκοσμημένον εἰσελθεῖν, καὶ ἀμείψασθαι τὴν χάριν τῆς κλήσεως τῷ καλλωπισμῷ τῆς στολῆς. Ἐπὶ μὲν γὰρ τῶν φθαρτῶν γάμων, ἔχοι τίς ἂν ἀπολογίαν καὶ συγγνώμην, διὰ τὸ δυσπόριστον εἶναι τὴν ἀξίαν στολήν· ἐπὶ δὲ τοῦ ἀφθάρτου τούτου γάμου, πᾶσα περιῄρηται πρόφασις· ὁ γὰρ καλλωπισμὸς ἐγγὺς καὶ εὐπόριστος, εἰ μόνον ἀληθῶς αὐτὸν ζητήσομεν (2). Ὥστε δικαίως ἐκβάλλει τὸν ἀκαλλώπιστον, ὡς ῥάθυμον καὶ καταφρονητήν. Καθάπερ γὰρ οἱ μὴ ἐλθόντες ὕβρισαν, οὕτω καὶ οἱ εἰσελθόντες ἐῤῥυπωμένοι.

† † Ῥυπαρὰ (3) γὰρ ἱμάτια φορεῖ, ὁ μὴ ἐνδυσάμενος σπλάγχνα οἰκτειρμῶν, χρηστότητα, φιλαδελφίαν καὶ τὰ ὅμοια.

12 Ὁ δὲ ἐφιμώθη.

Ὡς μηδὲν ἔχων ἀπολογίσασθαι. Δείκνυσι δὲ ὁ λόγος, ὅτι, καίτοι προδήλου τῆς ἁμαρτίας οὔσης, ὅμως οὐ πρότερον ὁ Θεὸς κολάσει, μέχρις ἂν αὐτὸς ὁ ἡμαρτηκὼς ἑαυτὸν καταδικάσῃ. Τὸ γὰρ σιωπᾷν, καὶ μὴ δύνασθαί πως ἀποκριθῆναι, καταδίκης ἐςί.

(1) τὸν τῶν ἁμαρτιῶν ῥύπον δηλαδή.

(2) Ἴσως, ζητήσωμεν.

(3) Ταῦτα δὲν εὑρίσκονται παρ' οὐδετέρῳ τῶν δύο χειρογράφων· καὶ μετηνέχθησαν ἐνταῦθα ἐκ τοῦ Θεοφυλάκτου Σελ. 180. Ε.

13 Τότε εἶπεν ὁ βασιλεὺς τοῖς διακόνοις·

Τοῖς ἀγγέλοις, τοῖς εἰς τὸ κολάζειν ὑπηρετοῦσιν. Ὡς γεγενημένα δὲ λέγει τὰ μέλλοντα, νόμῳ προφητείας.

13 Δήσαντες αὐτοῦ πόδας καὶ χεῖρας, ἄρατε αὐτὸν,
καὶ ἐκβάλετε εἰς τὸ σκότος τὸ ἐξώτερον·

Δέσιν λέγει τὴν ἐποχὴν τῆς ἐνεργείας τῆς τε διὰ ποδῶν καὶ τῆς διὰ χειρῶν τελουμένης. Τότε γὰρ καταργεῖται πᾶσα τῶν ἁμαρτωλῶν ἐνέργεια, καὶ οὐκέτι λοιπὸν οὐδεμία πρᾶξις εἰς ἐξιλασμόν· ἐργασίας γὰρ, φησιν, ὁ παρὼν καιρός· ὁ δὲ μέλλων ἀνταποδόσεως. Δεσμοῦνται δὲ πόδες μὲν, οἱ πρὸς ἁμαρτίαν βαδίσαντες· χεῖρες δὲ πάλιν, αἱ παράνομα διαπραξάμεναι.

13 Ἐκεῖ ἔσται ὁ κλαυθμὸς καὶ ὁ βρυγμὸς τῶν ὀδόντων.

Ἵνα μὴ νομίσῃ τις, ὅτι σκότος ἁπλῶς ἐστιν ἡ τοιαύτη κόλασις, εἴτουν, στέρησις φωτὸς μόνον, προσέθηκεν, ὅτι *Ἐκεῖ ἔσται ὁ κλαυθμὸς καὶ ὁ βρυγμὸς τῶν ὀδόντων*, τὰς ἐν ἐκείνῳ πικρὰς τε καὶ ἀλγεινὰς ὀδύνας ὑποφαίνων. Ἀκούσωμεν καὶ φρίζωμεν, ὅσοι μετὰ τὸ ἀπολούσασθαι διὰ τοῦ θείου βαπτίσματος, ἐν διεφθαρμένῳ βίῳ καταῤῥυποῦμεν τὴν ψυχὴν, ὅτι οὐ μόνον ἐκβληθησόμεθα τοῦ νυμφῶνος, ἀλλὰ καὶ εἰς τὴν χαλεπωτάτην κόλασιν ἀποπεμφθησόμεθα. Τοιγαροῦν ἐπιμελητέον τῆς ἐντὸς στολῆς, καὶ μὴ τῆς ἐκτός· ἕως γὰρ ἂν τῆς ἔξω φροντίζωμεν, τῆς ἔνδον οὐ δυνησόμεθα φροντίζειν. Ζητήσει δ' ἄν τις, πῶς οὐ τῷ πατρὶ μᾶλλον, ἀλλὰ τῷ υἱῷ ἡ ἐκκλησία συνάπτεται; Καὶ ἀκούσει πάντως, ὅτι ὁ υἱὸς ἐνανθρωπήσας συνανεστράφη αὐτῇ, καὶ ὅτι τῷ υἱῷ συναπτομένη, καὶ τῷ πατρὶ συνάπτεται· λέγει γὰρ ὁ υἱός· *Ἐγὼ καὶ ὁ πατὴρ ἕν ἐσμεν* (α)· καί· *Ὁ ἑωρακὼς ἐμὲ, ἑώρακε τὸν πατέρα* (β).

(α) Ἰωαν. Ι', 30.

(β) Ἰωαν. ΙΔ', 9.

14 Πολλοὶ γάρ εἰσι κλητοὶ, ὀλίγοι δὲ ἐκλεκτοί.

Τοῦτο εἶπε καὶ ἐν τῷ τέλει τῆς παραβολῆς τῶν μισθουμένων ἐργατῶν.

ΚΕΦΑΛΑΙΟΝ ΝΒ΄.

Περὶ τοῦ κήνσου.

15 Τότε πορευθέντες οἱ Φαρισαῖοι, συμβούλιον ἔλαβον, ὅπως αὐτὸν παγιδεύσωσιν ἐν λόγῳ.

Ὢ τῆς βαθείας πωρώσεως! Οὐδὲν τῶν εἰρημένων ἥψατο τῆς ψυχῆς αὐτῶν· μεθύοντες δὲ τῷ φθόνῳ, τρέπονται πρὸς ἐπιβουλήν· καὶ ἐπεὶ συλλαβεῖν αὐτὸν οὐκ ἠδύναντο διὰ τὸν ὄχλον, ὡς προδεδήλωται, συσκέπτονται θηρεῦσαι τοῦτον δι᾽ ἐρωτήσεως.

16 Καὶ ἀποστέλλουσιν αὐτῷ τοὺς μαθητὰς αὐτῶν μετὰ τῶν Ἡρωδιανῶν, λέγοντες·

Εἴρηται περὶ τῶν Ἡρωδιανῶν ἐν τῷ εἰκοστῷ πρώτῳ Κεφαλαίῳ. Νῦν δέ φησιν ὁ Χρυσόστομος (1), Ἡρωδιανοὺς νοεῖσθαι, τοὺς Ἡρώδου στρατιώτας, ἐπιδημοῦντας ἐκεῖ τότε, καὶ συνεξαποσταλέντας ὑπὸ τῶν φαρισαίων ὡς μάρτυρας, εἴ τι κατὰ τοῦ Καίσαρος ἀποκριθείη· φίλος γὰρ ἦν ὁ Ἡρώδης τοῦ Καίσαρος. Ὁ δὲ Λουκᾶς φανερώτερον περὶ τῶν ἀποσταλέντων μαθητῶν αὐτῶν ἔγραψεν (α), *ἐγκαθέτους* αὐτοὺς ὀνομάσας, ἤγουν, ἐνεδρεούντας, ἔτι δὲ καὶ *ὑποκρινομένους δικαιοσύνην*, ἧς ἕνεκεν δῆθεν ἠρώτων, καὶ ὅτι ἀπεστάλησαν, *ἵνα ἐπιλάβωνται λόγου αὐτοῦ, εἰς τὸ παραδοῦναι αὐτὸν τῇ ἀρχῇ καὶ τῇ ἐξουσίᾳ τοῦ ἡγεμόνος*· ἤλπιζον γὰρ, ὅτι κατὰ τοῦ Καίσαρος ἀποκριθήσεται.

(1) Τομ. Ζ΄. Σελ. 687. Α.
(α) Λουκ. Κ΄, 20.

16 Διδάσκαλε, οἴδαμεν ὅτι ἀληθὴς εἶ·

Ὅρα κολακείαν ἀναίσχυντον, ᾗ κέχρηνται, χαυνῶσαι τοῦτον βουλόμενοι πρὸς τὸ πάντως ἀποκριθῆναι. Καὶ εἰ *ἀληθὴς* ἐστι, πῶς ἀλλαχοῦ λέγετε, ὅτι πλανᾷ τὸν κόσμον; (α)

16 Καὶ τὴν ὁδὸν τοῦ θεοῦ ἐν ἀληθείᾳ διδάσκεις·

Καὶ πῶς πάλιν λέγετε, ὅτι *Οὐκ ἔστιν ἐκ τοῦ θεοῦ* (β); *Ὁδὸν* δὲ *τοῦ θεοῦ* φασὶ, τὴν ἀρετὴν, δι᾽ ἧς ὁδεύει τις πρὸς θεόν.

16 Καὶ οὐ μέλλει σοι περὶ οὐδενός· οὐ γὰρ βλέπεις εἰς πρόσωπον ἀνθρώπων.

Καὶ τοῦτο λέγουσιν, ὑποκνίζοντες αὐτὸν εἰς τὸ μὴ αἰδεσθῆναι τὸν Καίσαρα, μηδὲ διὰ φόβον αὐτοῦ σιγῆσαι πρὸς τὸ ἐπερωτώμενον. Ἀληθῆ μὲν οὖν ἦσαν πάντα, ὅσα προσεμαρτύρησαν αὐτῷ, πλὴν ἄκοντες ὡμολόγησαν ταῦτα, πρὸς κατασκευὴν τῆς ἐπιβουλῆς.

17 Εἰπὲ οὖν ἡμῖν, τί σοι δοκεῖ;

Περὶ οὗ δηλονότι μέλλομεν ἐρωτᾶν.

17 Ἔξεστι δοῦναι κῆνσον Καίσαρι, ἢ οὔ;

Κῆνσος, ῥωμαϊκὴ μέν ἐστι λέξις, ἑρμηνεύεται δὲ φόρος, ἤτοι, τέλος· τὸ δὲ, *ἔξεστιν*, ἀντὶ τοῦ, δυνατόν ἐστιν, εἴτουν, δίκαιόν ἐστι. Πάλαι μὲν γὰρ Ἰουδαῖοι, φυλάττοντες τοὺς νόμους, πάσης ἀπήλαυον ἐλευθερίας· ὕστερον δὲ παραβαίνοντες αὐτοὺς, κατεδουλώθησαν Ῥωμαίοις, ὧν ἦρχε Καῖσαρ, καὶ φόρους αὐτοῖς ἐτέλουν. Ἐρωτῶσι δὲ πάνυ κακοήθως καὶ δολερῶς, ἵνα, ἐὰν μὲν εἴπῃ, ὅτι ἔξεστι, κινήσωσι κατ᾽ αὐτοῦ τοὺς ὄχλους, ὡς συμβουλεύοντος δουλεύειν Καίσαρι, καὶ ὑποτάσσοντος ἀνθρώπῳ τὸν λαὸν τοῦ θεοῦ· ἐὰν δὲ εἴπῃ, ὅτι οὐκ ἔξεστι, παραδώσουσιν αὐτὸν

(α) Ἰωαν. Ζ΄, 12.—Καὶ ἐνταῦθα ὁ Χρυσόστομος ἔχει, τὸν ὄχλον. Τομ. Ζ΄, Σελ. 687. C.
(β) Ἰωαν. Θ΄, 16.

τῷ ἡγεμόνι, ὡς ἀποστασίαν ἀπὸ Καίσαρος καὶ πόλεμον συμβουλεύοντα. Τί οὖν ἡ πηγὴ τῆς γνώσεως;

18 Γνοὺς δὲ ὁ Ἰησοῦς τὴν πονηρίαν αὐτῶν, εἶπε·

Ὁ μὲν Μάρκος (α) *τὴν ὑπόκρισίν* φησιν· ὁ δὲ Λουκᾶς, *τὴν πανουργίαν* (6).

18 Τί με πειράζετε, ὑποκριταί;

Ὑποκρινόμενοι μὲν ἐρωτᾷν, ἵνα γνῶτε τὸ δίκαιον· ὀρύσσοντες δὲ βόθρους διὰ τῆς ἐρωτήσεως, ἵνα με κατακρημνίσητε. Δείξας οὖν, ὅτι οὐκ ἔλαθον αὐτὸν, ὅμως ἀποκρίνεται καὶ πρὸς τὴν ἐρώτησιν. Καὶ σκόπει πῶς;

19 Ἐπιδείξατέ μοι τὸ νόμισμα τοῦ κήνσου.

Παρὰ δὲ τῷ Μάρκῳ φησὶ, *Φέρετέ μοι δηνάριον, ἵνα ἴδω* (γ). Καὶ παρὰ τῷ Λουκᾷ δὲ ὁμοίως. Νόμισμα γὰρ ἐλέγετο καὶ τὸ *δηνάριον*. Ἐζήτησε δὲ ἰδεῖν τὸ νόμισμα, ἵνα θαυμασίως ἀπ' αὐτοῦ τὴν ἀπόκρισιν ἐργάσηται.

20 Οἱ δὲ προσήνεγκαν αὐτῷ δηνάριον. Καὶ λέγει αὐ-
21 τοῖς· Τίνος ἡ εἰκὼν αὕτη καὶ ἡ ἐπιγραφή; Λέγουσιν αὐτῷ· Καίσαρος.

Οὐκ ἀγνοῶν ἠρώτησεν· ἀλλ' ἵνα τὴν ἀπόκρισιν αὐτῶν ἀπόφασιν οἰκείαν ποιήσῃ.

21 Τότε λέγει αὐτοῖς· Ἀπόδοτε οὖν τὰ Καίσαρος, Καίσαρι·

Ἐπεὶ Καίσαρός ἐςιν, ἀπόδοτε λοιπὸν Καίσαρι τὰ ἴδια. Διὰ τοῦτο γὰρ οὐκ εἶπε, Δότε, ἀλλ', Ἀπόδοτε, ὡς ἐκείνου ὄντα. Ἵνα δὲ μὴ εἴπωσιν, ὅτι Ἀνθρώπῳ ἡμᾶς ὑποτάττεις καὶ οὐ θεῷ, ἐπήγαγε·

(α) Μαρκ. ΙΒ', 15.
(6) Λουκ. Κ', 23.
(γ) Μαρκ. ΙΒ', 15. Λουκ. Κ', 24.

21 Καὶ τὰ τοῦ θεοῦ, τῷ θεῷ.

Ἔξεστι γὰρ καὶ ἀνθρώποις ἀπονέμειν τὰ προσήκοντα, καὶ θεῷ τὰ ὀφειλόμενα· τοῖς μὲν, τοὺς φόρους, καὶ εἴ τι τοιοῦτον· τῷ δὲ, τὴν εὐσέβειαν καὶ τὴν φυλακὴν τῶν ἐντολῶν. Λέγοιτο δ' ἂν Καῖσαρ, καὶ ὁ κοσμοκράτωρ διάβολος, ᾧτινι δέον ἀποδιδόναι τὰ αὐτοῦ, φημὶ δὴ, πᾶσαν ἐμπάθειαν καὶ κακίαν.

22 Καὶ ἀκούσαντες ἐθαύμασαν· καὶ ἀφέντες αὐτὸν ἀπῆλθον.

Ἐθαύμασαν μὲν, οὐκ ἐπίστευσαν δὲ, ὃ καὶ αὐτὸ μεγάλη τούτων κατηγορία.

ΚΕΦΑΛΑΙΟΝ ΝΓ'.

Περὶ τῶν Σαδδουκαίων.

23 Ἐν ἐκείνῃ τῇ ἡμέρᾳ προσῆλθον αὐτῷ Σαδδουκαῖοι, οἱ λέγοντες, μὴ εἶναι ἀνάστασιν·

Εἴρηται περὶ τῆς αἱρέσεως τῶν Σαδδουκαίων ἐν τῷ τρίτῳ Κεφαλαίῳ. Οὗτοι δὲ τὴν ἐκ νεκρῶν ἀνάστασιν ἠθέτουν, διὰ τὸ μὴ μνημονεύεσθαι ταύτην φανερῶς ἐν ταῖς μωσαϊκαῖς γραφαῖς, ἃς δὴ μόνας ἐγίνωσκον, τὰς ἄλλας οὐ παραδεχόμενοι βίβλους. Ἀλλ' ὢ τῆς ἀνοίας! Ἐπιστομισθέντων γὰρ τῶν φαρισαίων, τῶν ἀκριβεστέρων ἐν Ἰουδαίοις, οἱ καταδεέστεροι τούτων Σαδδουκαῖοι, καθάπερ ἐκ διαδοχῆς, προσβάλλουσι, δέον μάλιστα συσταλῆναι. Ἀλλ' ὄντως ἡ θρασύτης ἀναίσχυντον καὶ ἰταμὸν καὶ ἀδυνάτοις ἐπιχειροῦν! Καὶ ἐπεὶ ταῖς προφητικαῖς γραφαῖς φανερώτερον ἐνέκειτο τὸ δόγμα τῆς ἀναστάσεως, ὑπελάμβανον, ἐκεῖνο (1) δογματίζειν τοιούτους ἀνίςασθαι τοὺς ἀνθρώπους, οἷοι πρὸ τοῦ ἀποθανεῖν ἦσαν, μετὰ τῶν αὐ-

(1) τ. ε. τὸ δόγμα. Ἄρα, δογματίζει τὸ δόγμα.

τῶν σχέσεων καὶ παθῶν. Διὸ καὶ πρὸς ἀνατροπὴν τοῦ τοιούτου δόγματος πλάσαντες οἴκοθεν ὑπόθεσιν προσίασι.

24 Καὶ ἐπηρώτησαν αὐτὸν, λέγοντες· Διδάσκαλε, Μωσῆς εἶπεν· «Ἐάν τις ἀποθάνῃ μὴ ἔχων τέκνα, ἐπιγαμβρεύσει ὁ ἀδελφὸς αὐτοῦ τὴν γυναῖκα αὐτοῦ, καὶ ἀναστήσει σπέρμα τῷ ἀδελφῷ αὐτοῦ.»

Ἐκ μωσαϊκοῦ νόμου τὴν ἀφορμὴν τοῦ πλάσματος λαμβάνουσιν, ὅπως ἀξιόλογον φανείη τὸ ζήτημα. Καὶ γὰρ ἐν τῇ γραφῇ τοῦ Δευτερονομίου (α) παρήγγειλε Μωϋσῆς, ἵνα τὴν γυναῖκα τοῦ τετελευτηκότος ἄπαιδος γαμήσῃ πάλιν ὁ ἀδελφὸς αὐτοῦ· τοῦτο γὰρ δηλοῖ τὸ, *ἐπιγαμβρεύσει*· καὶ ὃ ἂν γεννήσῃ πρῶτον, ὀνομάσῃ τοῦτο τέκνον τοῦ θανόντος ἀδελφοῦ, πρὸς μνημόσυνον ἐκείνου. Ταῦτα μὲν οὖν τοῦ νόμου. Σκόπει δὲ, τί οὗτοι κατασκευάζουσιν;

25 Ἦσαν δὲ παρ' ἡμῖν ἑπτὰ ἀδελφοί· καὶ ὁ πρῶτος,
γαμήσας, ἐτελεύτησε· καὶ μὴ ἔχων σπέρμα, ἀφῆκε
26 τὴν γυναῖκα αὐτοῦ τῷ ἀδελφῷ αὐτοῦ. Ὁμοίως καὶ
27 ὁ δεύτερος, καὶ ὁ τρίτος, ἕως τῶν ἑπτά. Ὕστερον
δέ πάντων ἀπέθανε καὶ ἡ γυνή. Ἐν τῇ οὖν ἀνα-
28 στάσει, τίνος τῶν ἑπτὰ ἔσται γυνή; πάντες γὰρ
ἔσχον αὐτήν.

Ἑπτὰ δὲ τούτους ὑποτιθέασιν, ὥστε δοκεῖν ἀπορώτερον τὸ πρόβλημα. Σκοπὸς δὲ τοῖς Σαδδουκαίοις, ἵνα εἴτε ἑνὸς, εἴτε πάντων ἀποκριθείη, ταχέως ἀντιθήσουσιν, ὡς ἐπεὶ γάμοι πάλιν, ἄρα καὶ τεκνογονίαι καὶ παιδοτροφίαι, καὶ πορισμοὶ χρημάτων, καὶ δίκαι, καὶ πόλεμοι, καὶ νόσοι, καὶ θάνατοι πάλιν, καὶ πάντα τὰ τοῦ παρόντος βίου, καὶ οὐκ ἔσται λοιπὸν ὁ βίος ἐκεῖνος ἕτερος παρὰ τοῦτον· εἰ δ' ὁ αὐτὸς ἔσται, τίνος χάριν ἔσται

(α) Δευτερονομ. ΚΕ', 5.

ἀνάστασις; Ὥστε οὐκ ἔσται ἀνάστασις. Τί οὖν ὁ Χριστός;

[*Γυνὴ* (1) μὲν εἴη ἂν, ἡ ἀνθρωπίνη φύσις· ἑπτὰ δὲ *ἀδελφοί*, οἱ κατὰ καιροὺς παρὰ θεοῦ δοθέντες αὐτῇ πρὸς παιδαγωγίαν καὶ γένεσιν καρπῶν δικαιοσύνης νόμοι, οἷς, ὡς ἀνδράσι, κατὰ διαδοχὴν ὁμιλήσασα, παρ' οὐδενὸς ἔσχε καρπὸν ἀληθινόν. Ὧν πρῶτος μὲν, ὁ ἐν τῷ παραδείσῳ δοθεὶς τῷ Ἀδάμ· δεύτερος δὲ, ὁ τῷ αὐτῷ δοθεὶς αὖθις ἔξω τοῦ παραδείσου, ἐν τάξει ἐπιτιμίων· τρίτος, ὁ κατὰ τὴν κιβωτὸν τῷ Νῶε δοθείς· τέταρτος ὁ τῷ Ἀβραὰμ δοθεὶς, περὶ τῆς περιτομῆς· πέμπτος, ὁ τῷ αὐτῷ πάλιν περὶ τῆς κατὰ τὸν Ἰσαὰκ θυσίας· ἕκτος, ὁ κατὰ Μωϋσέα, καί ἕβδομος, ὁ διὰ τῶν προφητῶν. Οἱ τοίνυν τὴν ἀνάστασιν ἀθετεῖν διδάσκοντες δαίμονες, ἐρωτῶσι κακοήθως διὰ τῶν λογισμῶν, ὡς εἴπερ νεκρῶν ἀνάστασις ἔσται, κατὰ τίνα τῶν εἰρημένων ἑπτὰ νόμων ἡ ἀνθρωπίνη φύσις τότε πολιτευθήσεται; Ἵνα, εἴγε κατά τινα τούτων φῶμεν, ἐπαγάγωσιν, Οὐκοῦν ἄκαρπος ἔσται πάλιν καὶ ματαία ἡ ἀνθρωπίνη ζωὴ, τοῖς προτέροις αὖθις ἐνσχεθεῖσα κακοῖς. Ἀλλ' ὁ ἀληθὴς καὶ σωτήριος τῆς εὐσεβείας λόγος ἐπιστομίζει τούτους, ἑτέραν εἶναι ζωὴν μετὰ τὴν ἀνάστασιν διδάσκων. Εἰ δὲ καὶ τὰς ἑπτὰ χιλιάδας τῶν ἐτῶν τοῦ παρόντος κόσμου λάβοι τις, ἤτοι τοὺς ἑπτὰ αἰῶνας, οἷς ὡμίλησε τῶν ἀνθρώπων ἡ φύσις, οὐχ ἁμαρτήσει τοῦ εἰκότος, ὧν οὐδενὸς ἔσται γυνὴ μετὰ τὴν ἀνάστασιν, τούτων μὲν πέρας λαβόντων, ἑτέρου δὲ ἀτελευτήτου τοῦ ὀγδόου αἰῶνος παραλαμβάνοντος αὐτήν.]

29 Ἀποκριθεὶς δὲ ὁ Ἰησοῦς, εἶπεν αὐτοῖς· Πλανᾶσθε, μὴ εἰδότες τὰς γραφὰς, μηδὲ τὴν δύναμιν τοῦ θεοῦ.

Πλανᾶσθε, ὡς μὴ νοοῦντες τὰς γραφὰς τὰς προφητικὰς, αἵτινες οὐ τοιαύτην, οἵαν ὑπολαμβάνετε, δογματίζουσιν ἀνά-

(1) Τὰ ἐνταῦθα παρεντεθειμένα ἀναγινώσκονται ἐν τῷ περισελιδίῳ παρὰ τῷ Λ, καὶ ἀποδίδονται εἰς τὸν ἅγιον Μάξιμον·

στασιν. Πλανᾶσθε δὲ καὶ, ὡς μὴ εἰδότες τὴν δύναμιν τοῦ θεοῦ, τὴν ἰσχύουσαν ἀναστῆσαι τοὺς νεκροὺς χωρὶς τῶν προτέρων σχέσεων καὶ παθῶν.

30 Ἐν γὰρ τῇ ἀναστάσει οὔτε γαμοῦσιν, οὔτε ἐκγαμίζονται.

Οὔτε *γαμοῦσιν* οἱ ἄνδρες, οὔτε *ἐγκαμίζονται* αἱ γυναῖκες, τουτέστιν, οὐ συνάπτονται ἀνδράσιν, ὡς μὴ οὔσης ἐκεῖ σχέσεως γαμικῆς. Παρὰ δὲ τῷ Λουκᾷ προσέθηκεν (α), ὅτι *οὔτε ἀποθανεῖν ἔτι δύνανται·* δεικνύων, ὡς ὁ γάμος διὰ τὸν θάνατον γέγονεν, ἀντὶ τῶν τελευτώντων ἑτέρους ὑποβλαστάνων· ὅπου δὲ θάνατος οὐκ ἔστιν, οὐδὲ γάμος λοιπόν.

30 Ἀλλ' ὡς ἄγγελοι τοῦ θεοῦ ἐν οὐρανῷ εἰσι.

Περὶ μόνων τῶν δικαίων ἐνταῦθα λέγει, ὅτι τοῦ λοιποῦ ὡς ἄγγελοί εἰσι, κατὰ τὸ ἀπαθὲς καὶ ἀφιλήδονον, ἔτι δὲ καὶ κατὰ τὸ ἀκήρατον καὶ φωτοειδές. Τὸ δὲ, *ὡς ἄγγελοι τοῦ θεοῦ ἐν οὐρανῷ*, ἀντὶ τοῦ, ὡς ἄγγελοι τοῦ θεοῦ, οἱ ἐν οὐρανῷ. Οὕτω γὰρ εἶπεν ὁ Μάρκος (β)· Λουκᾶς δὲ τὸ μεῖζόν φησιν, ὅτι *Καὶ υἱοὶ εἰσι τοῦ θεοῦ, τῆς ἀναστάσεως υἱοὶ ὄντες* (γ), τουτέστιν, ἀναγεννηθέντες διὰ τῆς ἀναστάσεως, ἥτις ἐστὶ παλιγγενεσία. Περὶ τῶν δικαίων γὰρ εἴρηται παρ' αὐτῷ καὶ τὸ, *Οἱ δὲ καταξιωθέντες τοῦ αἰῶνος ἐκείνου τυχεῖν, καὶ τῆς ἀναστάσεως τῆς ἐκ νεκρῶν*, καὶ τὰ ἑξῆς (δ).

[Ἡ (1) τῶν ἀγγέλων φύσις, τὴν εἰς ἄῤῥεν καὶ θῆλυ διαίρεσιν οὐκ ἐπιδέχεται· διότι τῆς θνητῆς φύσεως ἡ τοιαύτη

(α) Λουκ, Κ', 36.
(β) Μαρκ. ΙΒ', 25.
(γ) Λουκ. Κ', 36.
(δ) Λουκ. Κ', 35.
(1) Τὰ παρενθεθειμένα ἀναγινώσκονται παρ' ἀμφοτέροις τοῖς χειρογράφοις ἐν τῷ περισελιδίῳ.

διαίρεσις, οἷα διὰ τῆς τοῦ γάμου παιδοποιΐας τὸ διὰ τοῦ θανάτου κενούμενον ἀναπληρούσης.]

31 Περὶ δὲ τῆς ἀναστάσεως τῶν νεκρῶν οὐκ ἀνέγνωτε
32 τὸ ῥηθὲν ὑμῖν ὑπὸ τοῦ θεοῦ, λέγοντος· « Ἐγώ εἰμι ὁ θεὸς Ἀβραὰμ, καὶ ὁ θεὸς Ἰσαὰκ, καὶ ὁ θεὸς Ἰακώβ; »

Ἐπειδήπερ ἐκεῖνοι τὸν Μωϋσέα προεβάλοντο, λοιπὸν καὶ αὐτὸς ἀπὸ τῆς μωσαϊκῆς γραφῆς τούτους ἐπιστομίζει. Ἐν τῇ βίβλῳ γὰρ τῆς Ἐξόδου (α) τὰ ῥηθέντα γέγραπται. Καὶ σκόπει τὸν λόγον. *Ἐγώ εἰμι ὁ θεὸς Ἀβραὰμ, καὶ ὁ θεὸς Ἰσαὰκ, καὶ ὁ θεὸς Ἰακὼβ*, οὐ τῶν πάντῃ νεκρῶν· εἰ γὰρ πάντῃ νεκροὶ ἦσαν, εἶπεν ἂν ὅτι Ἐγὼ ἤμην ὁ θεός· ἐπεὶ δὲ εἶπεν, ὅτι *Ἐγώ εἰμι ὁ θεὸς*, ἔδειξεν, ὅτι τῶν ἀναστῆναι μελλόντων. Ὥσπερ γὰρ ὁ Ἀδὰμ, εἰ καὶ ἔζη μετὰ τὴν ἀπὸ τοῦ ξύλου ἐκείνου βρῶσιν, ἀλλ' οὖν ἐν ᾗ ἡμέρᾳ ἔφαγε, τέθνηκε τῇ ἀποφάσει τῆς τελευτῆς· οὕτω καὶ οὗτοι, εἰ καὶ ἀπέθανον, ἀλλ' οὖν ἔζων, τῇ ὑποσχέσει τῆς ἀναστάσεως.

32 Οὐκ ἔστιν ὁ θεὸς, θεὸς νεκρῶν, ἀλλὰ ζώντων.

Ὁ μὲν γὰρ θεὸς, ὢν καὶ ζῶν· ὁ δὲ νεκρὸς, οὐκ ὢν καὶ οὐ ζῶν. Καὶ μὴν ἀλλαχοῦ γέγραπται· *Ἵνα καὶ νεκρῶν καὶ ζώντων κυριεύσῃ* (β). Ἀλλὰ κἀκεῖ νεκροὺς νόει, τοὺς ἀναστῆναι μέλλοντας. Ὁ δὲ Λουκᾶς προσέθηκεν, ὅτι *πάντες αὐτῷ ζῶσιν* (γ), ἤγουν παρ' αὐτῷ.

33 Καὶ ἀκούσαντες οἱ ὄχλοι, ἐξεπλήσσοντο ἐπὶ τῇ διδαχῇ αὐτοῦ.

Οἱ ἀπόνηροι καὶ ἀδέκαστοι ὄχλοι· ὡς δὲ εἶπεν ὁ Λουκᾶς, *καί τινες* (δ) *τῶν γραμματέων εἶπον· Διδάσκαλε, καλῶς εἶπας.*

(α) Ἐξοδ. Γ', 6.
(β) Ῥωμ. ΙΔ', 9.
(γ) Λουκ. Κ', 38.
(δ) Λουκ. Κ', 39.

Οὗτοι γὰρ ὡμολόγουν μὲν τὴν ἀνάστασιν, ἀλλ' ὅμως ἐθαύμασαν καὶ αὐτοὶ τὴν ἐπιχείρησιν καὶ ἑρμηνείαν τοῦ, *ἐγώ εἰμι ὁ θεός· οὐκέτι δὲ ἐτόλμων ἐπερωτᾷν αὐτὸν οὐδέν* (α). Καὶ τοῦτο Λουκᾶς φησίν.

ΚΕΦΑΛΑΙΟΝ ΝΔ΄.

Περὶ τοῦ ἐπερωτήσαντος νομικοῦ.

34 Οἱ δὲ Φαρισαῖοι, ἀκούσαντες ὅτι ἐφίμωσε τοὺς
35 Σαδδουκαίους, συνήχθησαν ἐπὶ τὸ αὐτό· καὶ ἐπη-
ρώτησεν εἷς ἐξ αὐτῶν νομικὸς, πειράζων αὐτὸν,
36 καὶ λέγων· Διδάσκαλε, ποία ἐντολὴ μεγάλη ἐν τῷ
νόμῳ;

Ἐπιστομισθέντων ἐκείνων, οὗτοι πάλιν ἐπιτίθενται, καὶ προβάλλονται τὸν νομικὸν, οὐ βουλόμενοι μαθεῖν, ἀλλὰ κακουργοῦντες. Ἐπεὶ γὰρ πρώτη ἐντολὴ αὕτη ἦν, *Ἀγαπήσεις Κύριον τὸν θεόν σου*, καὶ τὰ ἑξῆς, προσεδόκησαν, ὅτι προσθήσει τι καὶ περὶ ἑαυτοῦ, διὰ τὸ λέγειν καὶ ἑαυτὸν θεὸν, καὶ παρέξει τούτοις ἀφορμὴν, ὡς βλάσφημος.

37 Ὁ δὲ Ἰησοῦς ἔφη αὐτῷ· « Ἀγαπήσεις Κύριον τὸν
θεόν σου ἐν ὅλῃ τῇ καρδίᾳ σου, καὶ ἐν ὅλῃ τῇ
38 ψυχῇ σου, καὶ ἐν ὅλῃ τῇ διανοίᾳ σου. » Αὕτη ἐστὶ
39 πρώτη καὶ μεγάλη ἐντολή. Δευτέρα δὲ ὁμοία αὐτῇ·
« Ἀγαπήσεις τὸν πλησίον σου ὡς σεαυτόν. »

Γνοὺς τὴν πονηρίαν αὐτῶν, ἀπεκρίθη μὲν ἀνεπιλήπτως ὃ ἐρωτήθη· προσέθηκε δὲ καὶ τὴν δευτέραν ἐντολὴν, καθαπτόμενος αὐτῶν διὰ ταύτης, ὡς οὐκ ἀγαπώντων αὐτὸν, ἀλλὰ φθονούν-

(α) Λουκ. Κ', 40.

των καὶ ἐπιβουλευόντων, καὶ διὰ τοῦτο καὶ νῦν ἐρωτώντων· εἰ γὰρ ἠγάπων, οὐκ ἂν ἐπείραζον. Ὁμοίαν δὲ τῇ πρώτῃ τὴν δευτέραν εἶπε, κατὰ τὴν μεγαλειότητα· μεγάλη γὰρ καὶ αὕτη, καὶ ἀλληλουχοῦνται καὶ φεράλληλοί εἰσιν αἱ δύο· καὶ γὰρ ὁ μὲν ἀγαπῶν τὸν θεὸν, ἀγαπᾷ καὶ τὸν πλησίον, φυλάττων τὴν ἐντολὴν αὐτοῦ· ὁ δὲ μὴ ἀγαπῶν τὸν πλησίον, οὐδὲ τὸν θεὸν ἀγαπᾷ, παραβαίνων τὴν ἐντολὴν αὐτοῦ.

[Δευτέρα (1) δὲ, οὐ τῇ τάξει τῆς νομοθεσίας, ἀλλὰ τῇ δυνάμει. Ἐν ἑτέρῳ γὰρ μέρει κεῖται αὕτη ἡ ἐντολή.]

40 Ἐν ταύταις ταῖς δυσὶν ἐντολαῖς ὅλος ὁ νόμος καὶ
οἱ προφῆται κρέμανται.

Εἴρηται περὶ τούτου σαφῶς ἐν τῷ πέμπτῳ Κεφαλαίῳ, καὶ ζήτησον ἐκεῖ τὸ, *Οὕτως γάρ ἐστιν ὁ νόμος καὶ οἱ προφῆται* (α). Ἀλλὰ παρὰ μὲν τῷ Ματθαίῳ πειραστής ἐστιν ὁ νομικὸς οὗτος, παρὰ δὲ τῷ Μάρκῳ, μᾶλλον ἐπαίνου τετύχηκε. Διὰ τί; Διότι πρῶτον μὲν ἐπείραζεν, ὡς εἴρηται, παρὰ τῶν φαρισαίων ἀποσταλείς· ἐνωτισθεὶς δὲ τὴν ἀπόκρισιν, ἀπεδέξατο ταύτην, καὶ μεταβληθεὶς συνωμολόγησεν, οὕτως ἔχειν, καὶ λοιπὸν ὁ Ἰησοῦς (β), *ἰδὼν αὐτὸν, ὅτι νουνεχῶς ἀπεκρίθη, εἶπεν αὐτῷ· Οὐ μακρὰν εἶ ἀπὸ τῆς βασιλείας τοῦ θεοῦ*· τουτέστιν, ἐγγίζεις τῇ πίστει, τὸν φθόνον ἀποβαλὼν, καὶ τὴν ἀλήθειαν συνομολογῶν· τοῦτο δὲ εἶπε προτρεπόμενος αὐτὸν ἐπὶ τὴν τελείαν πίστιν. Ταῦτα δὲ εὑρήσεις παρὰ τῷ Μάρκῳ.

(1) Ταῦτα ἐν τῷ περισελιδίῳ παρ' ἀμφοτέροις τοῖς χειρογράφοις.

(α) Ματθ. Ζ', 12.

(β) Μαρκ. ΙΒ', 34.

ΚΕΦΑΛΑΙΟΝ ΝΕ'.

Περὶ τῆς τοῦ Κυρίου ἐπερωτήσεως πρὸς τοὺς Φαρισαίους.

41 Συνηγμένων δὲ τῶν Φαρισαίων, ἐπηρώτησεν αὐτοὺς
42 ὁ Ἰησοῦς, λέγων· Τί ὑμῖν δοκεῖ περὶ τοῦ Χριστοῦ;
τίνος υἱός ἐστι;

Περὶ τοῦ Χριστοῦ φησὶ, τοῦ καταγγελλομένου μὲν ὑπὸ τῶν προφητῶν, μήπω δὲ παραγεγονότος, ὡς ὑμεῖς λέγετε, προσδοκωμένου δὲ παρ' ὑμῖν. Καὶ ὅρα σοφίαν! Αὐτοὶ μὲν γὰρ ᾤοντο, προσθήσειν αὐτὸν εἰς τὴν πρώτην ἐντολὴν, ὡς εἴρηται, καὶ περὶ ἑαυτοῦ τι, πρὸς ἔμφασιν τοῦ καὶ αὐτὸν εἶναι θεόν· αὐτὸς δὲ τοῦτο μὲν οὐκ ἐποίησεν, ἐκκλίνων τὴν πανουργίαν αὐτῶν, ἰδίᾳ δὲ περὶ τῆς ἑαυτοῦ θεότητος διαλέγεται, καὶ οὐκ ἐκ τοῦ προφανοῦς, ἀλλὰ πλαγίως, διὰ τὸ ἀνύποπτον· καὶ τῷ δοκεῖν μὲν, περὶ τοῦ προσδοκωμένου Χριςοῦ καὶ ἐρωτᾷ καὶ ἀποφαίνεται, δεικνύων, ὅτι Κύριος καὶ θεός ἐστι· τῇ δ' ἀληθείᾳ περὶ ἑαυτοῦ ταῦτα λέγει.

42 Λέγουσιν αὐτῷ· Τοῦ Δαυΐδ.

Ἀπὸ τῶν προφητικῶν λόγων τοῦτο ἐγίνωσκον. Ἁπλῶς δὲ υἱὸν τοῦ Δαυΐδ, εἴτουν, ψιλὸν ἄνθρωπον, τὸν Χριστὸν ὑπελάμβανον, καίτοι τῶν προφητῶν οὐχ ἁπλῶς υἱὸν τοῦ Δαυΐδ, ἀλλὰ καὶ θεὸν τοῦτον ἀνακηρυττόντων.

43 Λέγει αὐτοῖς· Πῶς οὖν Δαυῒδ ἐν πνεύματι Κύριον
44 αὐτὸν καλεῖ, λέγων· «Εἶπεν ὁ Κύριος τῷ Κυρίῳ μου·
Κάθου ἐκ δεξιῶν μου, ἕως ἂν θῶ τοὺς ἐχθρούς σου
ὑποπόδιον τῶν ποδῶν σου;»

Ἐν *πνεύματι*, δηλαδὴ, τῷ ἁγίῳ, καθὼς εἶπε Μάρκος (α), καὶ οὐκ ἀφ' ἑαυτοῦ.

(α) Μαρκ. ΙΒ', 36.

45 Εἰ οὖν Δαυῒδ καλεῖ αὐτὸν Κύριον, πῶς υἱὸς αὐτοῦ
ἐστι;

Τοῦτο εἴρηκεν, οὐκ ἀναιρῶν τὸ εἶναι υἱὸν αὐτοῦ τὸν Χριστὸν, ἀλλὰ διελέγχων τὴν ἐσφαλμένην αὐτῶν ὑπόληψιν, ὅτι οὐκ ἔστιν υἱὸς αὐτοῦ τοιοῦτος, οἷον ὑπολαμβάνουσι, τουτέστι, ψιλὸς ἄνθρωπος, ἀλλὰ καὶ κύριος αὐτοῦ. Λέγεται γὰρ υἱὸς μὲν αὐτοῦ, ὡς ἐκ τῆς ῥίζης αὐτοῦ βλαστήσας, κατὰ τὴν ἐνανθρώπησιν· κύριος δὲ αὐτοῦ, ὡς θεὸς αὐτοῦ. Τούτῳ μὲν οὖν ἐχρήσατο τῷ δαυϊτικῷ ῥητῷ πρὸς ἔλεγχον τῶν φαρισαίων, δεικνύων, ὅτι οὐ μόνον υἱός ἐστι τοῦ Δαυΐδ, ἀλλὰ καὶ Κύριος αὐτοῦ. Χρὴ δὲ ἡμᾶς ἑρμηνεῦσαι καὶ τοῦτο. Φησὶ γὰρ ὁ Δαυΐδ· ὅτι (α) *Εἶπεν ὁ Κύριος* καὶ πατὴρ *τῷ Κυρίῳ μου* καὶ υἱῷ αὐτοῦ, τῷ Χριστῷ, μετὰ τὴν εἰς οὐρανὸν ἀνάληψιν, ὅτι *Κάθου ἐκ δεξιῶν μου*, ἤγουν, ἀπόλαυε τῆς ἐμῆς βασιλείας, ὁμόθρονος καὶ ὁμότιμος ἐμοὶ διάγων. Ἐχθροὶ δὲ τοῦ Χριστοῦ, ἐν μὲν αἰσθητοῖς προηγουμένως Ἰουδαῖοι, εἶτα Ἕλληνες καὶ αἱρετικοί· ἐν δὲ νοητοῖς, οἱ δαίμονες. Ὁ δὲ Μάρκος φησὶν, ὅτι τοῦτο *ἔλεγε* (β), *διδάσκων ἐν τῷ ἱερῷ*· καὶ ὅτι ὁ *πολὺς ὄχλος ἤκουεν αὐτοῦ ἡδέως* (γ). Εἰκὸς γὰρ, αὐτὸν πρῶτον μὲν ἐπερωτῆσαι περὶ τούτου τοὺς φαρισαίους, εἶτα διδάξαι περὶ τούτου καὶ ἐν τῷ ἱερῷ τὸν ὄχλον.

46 Καὶ οὐδεὶς ἐδύνατο αὐτῷ ἀποκριθῆναι λόγον· οὐδὲ
ἐτόλμησέ τις ἀπ' ἐκείνης τῆς ἡμέρας ἐπερωτῆσαι
αὐτὸν οὐκέτι.

Μέλλων γὰρ ἐπὶ τὸν θάνατον ἐλθεῖν, τὰ τελευταῖα τούτοις διελέχθη, καὶ οὐ μόνον ἐφίμωσεν αὐτοὺς, ἀλλὰ καὶ εἰς τὸ ἑξῆς φόβον αὐτοῖς ἐνέβαλε.

(α) Ψαλμ. ΡΘ', 1.
(β) Μαρκ. ΙΒ, 35.
(γ) Μαρκ. ΙΒ', 37.

ΚΕΦ. XXIII, 1 Τότε ὁ Ἰησοῦς ἐλάλησε τοῖς ὄχλοις
καὶ τοῖς μαθηταῖς αὐτοῦ,

Τότε· πότε; ὅτε ἐχαλίνωσε τοὺς πειράζοντας, ὅτε ἔστησεν, ὥστε (1) μηκέτι τολμᾶν ἐπερωτῆσαι αὐτὸν, ὅτε ἀπέδειξεν αὐτοὺς ἀνίατα νοσοῦντας.

2 Λέγων· Ἐπὶ τῆς Μωσέως καθέδρας ἐκάθισαν οἱ
3 γραμματεῖς καὶ οἱ Φαρισαῖοι. Πάντα οὖν ὅσα ἂν
εἴπωσιν ὑμῖν τηρεῖν, τηρεῖτε καὶ ποιεῖτε· κατὰ δὲ
τὰ ἔργα αὐτῶν μὴ ποιεῖτε·

Τοῦ μωσαϊκοῦ, φησὶ, θρόνου, τοῦ διδασκαλικοῦ, διάδοχοι γεγόνασι. Διὰ τοῦτο *πάντα, ὅσα ἂν εἴπωσιν ὑμῖν τηρεῖν, τηρεῖτε καὶ ποιεῖτε.* Οὐ γὰρ τὰ ἑαυτῶν λέγουσιν, ὅτε διδάσκουσιν, ἀλλὰ τὰ τοῦ θεοῦ, καὶ ὅσα διὰ Μωϋσέως ἐνομοθέτησε. *Πάντα* δὲ εἰπὼν, οὐ πᾶσαν λέγει τὴν νομοθεσίαν, οἷον καὶ τὰ περὶ θυσιῶν καὶ τὰ περὶ βρωμάτων, καὶ τὰ τοιαῦτα· πῶς γὰρ, ἃ προλαβὼν ἔπαυσεν; ἀλλὰ πάντα πάντως τὰ διορθοῦντα ἦθος καὶ βελτιοῦντα τρόπον, καὶ μὴ ἀντιπίπτοντα τοῖς εὐαγγελικοῖς διατάγμασι. *Κατὰ δὲ τὰ ἔργα αὐτῶν μὴ ποιεῖτε·* ἀνοίκεια γάρ εἰσι ταῖς διδασκαλίαις αὐτῶν, καὶ διεφθαρμένα. Ἐδίδαξε τοίνυν, ὅτι οὐ χρὴ κατεξανίστασθαι τῶν διδασκάλων, εἰ καὶ φαύλην ἔχουσι πολιτείαν, ἀλλὰ πείθεσθαι μὲν τῇ διδασκαλίᾳ τούτων, μὴ μιμεῖσθαι δὲ τὸν ἀνάξιον βίον αὐτῶν. Ἀξιόπιστοι μὲν γάρ εἰσι διδάσκοντες, οὐκ ἀξιοζήλωτοι δὲ πολιτευόμενοι.

Ἔστι δὲ καὶ ἕτερον εἰπεῖν, ὡς, ἐπεὶ ἔμελλε διὰ φυλακὴν τοῦ ὄχλου τὰ τελευταῖα προδήλως ἀπελέγχειν τὰς πονηρὰς πράξεις αὐτῶν, ἵνα μὲν μή τινες οἰηθῶσιν, ὅτι ἔρωτι τῆς ἀρχῆς αὐτῶν διαβάλλει τούτους, προεθεράπευσε τὴν τοιαύτην ὑπόληψιν, εἰπὼν, *Πάντα, ὅσα ἐὰν εἴπωσιν ὑμῖν τηρεῖν, τηρεῖτε καὶ ποιεῖτε,* εἰ καὶ μὴ διὰ τὸν βίον αὐτῶν, ἀλλάγε διὰ τὸν ἀρχικὸν καὶ διδασκαλικὸν θρόνον. Ἵνα δὲ μή τινες, πειθόμενοι ταῖς τούτων διδασκαλίαις, ζηλώσωσι καὶ τὸν βίον αὐτῶν, προσέθηκε· *Κατὰ δὲ τὰ ἔργα αὐτῶν μὴ ποιεῖτε.* Καὶ οὕτως ἀνύποπτον καταστήσας ἑαυτὸν, ἄρχεται τῆς κατηγορίας.

(1) Ἀντὶ τοῦ, ὥστε, ἀναγινώσκεται παρὰ τῷ Χρυσοστόμῳ Τομ. Ζ΄. Σελ. 700. Ε΄, εἰς τό.

3 Λέγουσι γὰρ, καὶ οὐ ποιοῦσι.

Ἴδε, πόθεν ἄρχεται. Πᾶς μὲν γὰρ παραβαίνων τὸν νόμον, καταδίκης ἐστὶν ἄξιος· ὁ δὲ διδάσκαλος, τριπλῆς, ὅτι τε παραβαίνει, καὶ ὅτι ὁ καὶ τοὺς ἄλλους ὀφείλων διορθοῦν, καὶ ὅτι βλάπτει τοὺς μαθητάς.

4 Δεσμεύουσι γὰρ φορτία βαρέα καὶ δυσβάστακτα,
καὶ ἐπιτιθέασιν ἐπὶ τοὺς ὤμους τῶν ἀνθρώπων·

Φορτία μὲν *βαρέα καὶ δυσβάστακτα* λέγει, τὰ ἀκρότατα καὶ ἀκριβῆ ἐπιτάγματα τῆς πολιτείας· *ὤμους* δὲ, τὴν ἐνέργειαν τῶν ἀνθρώπων. Φαίνεται δὲ, ὅτι καὶ τὰ ὑπὲρ τὸν νόμον ἐπέταττον.

4 Τῷ δὲ δακτύλῳ αὐτῶν οὐ θέλουσι κινῆσαι αὐτά.

Οὐ μόνον τοῖς ἑαυτῶν ὤμοις οὐ βούλονται βαστάσαι, ἃ τοῖς ἑτέρων ὤμοις ἐπιφορτίζουσιν, ἵνα καὶ τῷ παραδείγματι προθυμοτέρους αὐτοὺς ποιήσωσιν· ἀλλ' *οὐδὲ τῷ δακτύλῳ αὐτῶν θέλουσι κινῆσαι αὐτὰ*, τουτέστιν, οὐδὲ μερικῶς καὶ ἀκροθιγῶς ἅψασθαι. Φησὶ γὰρ καὶ ὁ Λουκᾶς (α), ὅτι *Ἑνὶ τῶν δακτύλων ὑμῶν* (1) *οὐ προσψαύετε τοῖς φορτίοις.* Καὶ τοῖς μὲν ὑπηκόοις ἐπιτάττουσιν ἀκρότητα βίου, ἑαυτοῖς δὲ πᾶσαν ἄδειαν ἐπιτρέπουσι, δέον τοὐναντίον ποιεῖν· καὶ ἑαυτοὺς μὲν μᾶλλον κατατείνειν, ἐκείνοις δὲ τὰ πολλὰ συγγνωμονεῖν.

(α) Λουκ. ΙΑ', 46.

(1) αὐτῶν, ἀντὶ τοῦ, ὑμῶν, παρὰ τῷ Α.

5 **Πάντα δὲ τὰ ἔργα αὐτῶν ποιοῦσι πρὸς τὸ θεαθῆ-
ναι τοῖς ἀνθρώποις.**

Π*άντα*· ποῖα; Τὰ δοκοῦντα αὐτοῖς καλά. Παρατήρησον δὲ, ὅτι
τὰ προῤῥηθέντα μὲν ὠμότητος ἦσαν καὶ ῥᾳθυμίας ἐγκλήματα·
τοῦτο δὲ δοξομανίας διαβολή. Εἶτα δείκνυσιν, ὅτι οὐδ' ἐπὶ μεγά-
λοις φιλοδοξοῦσιν, ἔρημοι κατορθωμάτων ὄντες· ἀλλ' ἐπὶ μικροῖς
τισὶ καὶ εὐτελέσιν, ὃ καὶ αὐτὸ προσθήκη γίνεται τῆς διαβολῆς.

5 **Πλατύνουσι δὲ τὰ φυλακτήρια αὐτῶν, καὶ μεγαλύ-
νουσι τὰ κράσπεδα τῶν ἱματίων αὐτῶν.**

Ταῦτα μὲν ἦσαν, ἐφ' οἷς ἐκενοδόξουν, ὡς ἐπὶ κατορθώμασι.
Χρὴ δὲ καὶ περὶ τούτων εἰπεῖν. Ἐπεὶ γὰρ συνεχῶς ἐπελανθά-
νοντο τῶν εὐεργεσιῶν τοῦ θεοῦ, προσέταξεν ὁ θεὸς ἐγγραφῆναι
ταύτας βιβλιδίοις, καὶ ἐξαρτηθῆναι τῆς χειρὸς τῶν *διδασκά-*
λων, ὥστε διὰ παντὸς ὁρᾶσθαι καὶ μνημονεύεσθαι. Καὶ τὰ
τοιαῦτα βιβλίδια ὠνόμαζον *φυλακτήρια*, διὰ τὸ φυλάττειν
καὶ ῥύεσθαι. Καὶ πάλιν, ἵνα μὴ ἐπιλανθάνωνται τῶν ἐντολῶν
καὶ ῥύεσθαι. Καὶ πάλιν, ἵνα μὴ ἐπιλανθάνωνται τῶν ἐντολῶν
τοῦ θεοῦ, ἐκέλευσε κλῶσμα ὑακίνθινον προσράπτεσθαι τῇ κα-
τὰ τοὺς πόδας ὤᾳ τοῦ ἱματίου αὐτῶν, ἵνα, πάντοτε φαινό-
μενον, ὑπομιμνήσκῃ τούτους τῶν ἐντολῶν. Καὶ τὰ τοιαῦτα
ἐκάλουν *κράσπεδα*. Οἱ γοῦν γραμματεῖς καὶ φαρισαῖοι, τῶν
μὲν ἐντολῶν ἠμέλουν, τὰ δὲ τοιαῦτα φυλακτήρια πλατέα κα-
τεσκεύαζον ἑαυτοῖς, καὶ τὰ ῥηθέντα κράσπεδα τῶν ἱματίων
αὐτῶν μεγάλα ἀπῃώρουν, ἐναβρυνόμενοι τούτοις καὶ ἀνοήτως
ἐνσεμνυνόμενοι. Ταῦτα δὲ *στολὰς* ὁ Μάρκος ἐκάλεσεν, εἰπών·
Βλέπετε ἀπὸ τῶν γραμματέων, ἤγουν φυλάττεσθε, *τῶν θελόν-
των ἐν στολαῖς περιπατεῖν* (α). Ὁμοίως δὲ εἶπε καὶ ὁ Λου-
κᾶς (β)· Καὶ οὐκ ἐν τούτοις μόνον, ἀλλὰ καὶ ἐν ἑτέροις μικροῖς
ἐνόσουν τὴν φιλοδοξίαν. Καὶ ἄκουε.

(α) Μαρκ. ΙΒ', 38.
(β) Λουκ. Κ', 46.

6 Φιλοῦσί τε τὴν πρωτοκλισίαν ἐν τοῖς δείπνοις, καὶ
τὰς πρωτοκαθεδρίας ἐν ταῖς συναγωγαῖς.

Π*ρωτοκλισίαν* εἶπε καὶ *πρωτοκαθεδρίαν*· διότι ἐν μὲν τοῖς
δείπνοις ἀνεκλίνοντο· ἐν δὲ ταῖς συναγωγαῖς ἐκάθηντο.

7 **Καὶ** τοὺς ἀσπασμοὺς ἐν ταῖς ἀγοραῖς, καὶ καλεῖ-
σθαι ὑπὸ τῶν ἀνθρώπων, ῥαββὶ, ῥαββί.

Φ*ιλοῦσι καὶ τοὺς ἀσπασμοὺς*, εἴτε τοὺς σωματικοὺς, εἴτε
καὶ τοὺς διὰ προσφωνήσεως. *Φιλοῦσι καὶ καλεῖσθαι ὑπὸ τῶν
ἀνθρώπων* διδάσκαλοι. *Ῥαββὶ* γὰρ ἑβραϊστὶ, ὁ διδάσκαλος.

8 Ὑμεῖς δὲ μὴ κληθῆτε ῥαββί· εἷς γάρ ἐστιν ὑμῶν ὁ
καθηγητὴς, ὁ Χριστός· πάντες δὲ ὑμεῖς, ἀδελφοί
ἐστε.

Τὰ μὲν *ἄλλα* μέχρι τῆς ἐκείνων κατηγορίας ἔστησεν, ὡς εὐ-
τελῆ καὶ μὴ δεόμενα λόγου πλείονος εἰς διόρθωσιν· τὴν δὲ
φιλαρχίαν, ὡς πολλῶν αἰτίαν κακῶν, εἰς μέσον ἄγει, καὶ διορ-
θοῦται σπουδαιότερον. *Μὴ κληθῆτε* δὲ, ἀντὶ τοῦ, μὴ ζητή-
σητε κληθῆναι. Εἰ γὰρ ἕτεροι τοῦτο καλοῦσιν ὑμᾶς, οὐχ ὑμε-
τέρα τοῦτο κατάγνωσις.

9 **Καὶ** πατέρα μὴ καλέσητε ὑμῶν ἐπὶ τῆς γῆς· εἷς
γάρ ἐστιν ὁ πατὴρ ὑμῶν, ὁ ἐν τοῖς οὐρανοῖς.

Τοῦτο εἶπεν, οὐ κωλύων τὸ καλεῖν πατέρας τοὺς κατὰ σάρ-
κα γεννήτορας, ἢ καὶ κατὰ πνεῦμα· ἀλλ' ἵνα γνῶμεν, τίς ἐστιν
ὁ προηγουμένως καὶ πρωταιτίως πατὴρ ἡμῶν. Μόνος γὰρ
τοῦτο ἡμῖν ἐστὶν ὁ ἐν τοῖς οὐρανοῖς θεός· οἱ δὲ κατὰ σάρκα
καὶ κατὰ πνεῦμα, συναίτιοί εἰσι· μᾶλλον δὲ διάκονοι τῆς
γεννήσεως ἡμῶν. Λέγει τοίνυν, ὅτι *πατέρα* ὑμῶν προηγου-
μένως καὶ πρωταιτίως *μὴ καλέσητε ἐπὶ τῆς γῆς· εἷς γὰρ*
τοῦτό *ἐστιν, ὁ ἐν τοῖς οὐρανοῖς*, ὁ ἐν τριάδι προσώπων εἷς θεός.

10 Μηδὲ κληθῆτε καθηγηταί· εἷς γὰρ ὑμῶν ἐστιν ὁ καθηγητὴς, ὁ Χριστός.

Ραββὶ καὶ καθηγητὴς, τὸ αὐτό εἰσιν. Ἐπαναλαμβάνει τοίνυν τὸν πρῶτον λόγον, εἰς ἐπίτασιν τῆς ἀποτροπῆς τοῦ τοιούτου κακοῦ. Ὥσπερ οὖν εἷς καθηγητὴς λεγόμενος, ὁ Χριστὸς, οὐκ ἐκβάλλει τὸν πατέρα τοῦ λέγεσθαι καθηγητήν· οὕτω καὶ εἷς πατὴρ ἡμῶν λεγόμενος, ὁ πατὴρ, οὐκ ἐκβάλλει τὸν υἱὸν τοῦ λέγεσθαι πατέρα ἡμῶν. Τὸ γὰρ *εἷς* καὶ *εἷς* πρὸς ἀντιδιαστολὴν εἴρηται τῶν ἀνθρώπων καὶ τῶν ἀγγέλων.

11 Ὁ δὲ μείζων ὑμῶν, ἔσται ὑμῶν διάκονος.

Ἀπαγορεύσας τὸ χαλεπὸν νόσημα τῆς φιλαρχίας, λοιπὸν διδάσκει, καὶ πῶς ἂν αὐτὸ φύγοιεν, ὅτι *διὰ τοῦ διακονεῖν*, εἴτουν, ταπεινοῦσθαι. Εἶτα λέγει καὶ τῆς ἐπάρσεως τὸ ἔπαθλον, καὶ τῆς ταπεινώσεως, ἵνα τὴν μὲν ῥίπτωσι, τὴν δὲ λαμβάνωσιν.

12 Ὅστις δὲ ὑψώσει ἑαυτὸν, ταπεινωθήσεται· καὶ ὅστις ταπεινώσει ἑαυτὸν, ὑψωθήσεται.

Μέγιστον χρῆμα ἡ ταπεινοφροσύνη· διὸ καὶ πολλάκις περὶ αὐτῆς διαλέγεται, τῇ συνεχείᾳ τῆς ὑπομνήσεως ἐγκαθιδρύων ταύτην ταῖς τῶν μαθητῶν ψυχαῖς. Κελεύει δὲ μὴ μόνον μὴ ἐρᾷν τῶν πρωτείων, ἀλλὰ καὶ μάλιστα μεταδιώκειν τὰ ἔσχατα· τὸ μὲν γὰρ ταπεινοῖ τὸν ἐρῶντα, τὸ δὲ ὑψοῖ τὸν μεταδιώκοντα.

ΚΕΦΑΛΑΙΟΝ Νϛʹ.

Περὶ τοῦ ταλανισμοῦ τῶν γραμματέων καὶ φαρισαίων.

13 Οὐαὶ δὲ ὑμῖν, γραμματεῖς καὶ Φαρισαῖοι ὑποκριταί·

Καθολικώτερον εἰπεῖν, *ὑποκριτὰς* ὀνομάζει τούτους, ὡς ὑποκρινομένους εὐλάβειαν καὶ ἀρετήν.

13 Ὅτι κατεσθίετε τὰς οἰκίας τῶν χηρῶν.

Αἷς βοηθεῖν ἔδει. Παραβάλλοντες γὰρ αὐταῖς ἐπὶ προστασίᾳ, μᾶλλον ἐπέτριβον, τὰς οὐσίας αὐτῶν προσαναλίσκοντες.

13 Καὶ προφάσει μακρὰ προσευχόμενοι·

Καὶ προφάσει τοῦ κατεσθίειν τὰς οἰκίας τῶν χηρῶν, ἤτοι, τὰ ἐν ταῖς οἰκίαις αὐτῶν, μακρὰ καὶ ἐπιτεταμένα προσευχόμενοι παρ᾽ αὐταῖς, ὥστε δοκεῖν ἁγίους καὶ θεραπείας ἀξίους.

13 Διὰ τοῦτο λήψεσθε περισσότερον κρίμα.

Διότι προστάται τούτων εἰσερχόμενοι, λυμεῶνες αὐτῶν ἐξέρχεσθε, καὶ διότι πρόφασιν γαστριμαργίας ποιεῖτε τὴν μακρὰν προσευχὴν, διὰ τοῦτο περισσότερον καταδικασθήσεσθε. *Κρίμα* γὰρ, τὴν καταδίκην φησί. Πᾶς μὲν γὰρ ἁμαρτάνων, τιμωρίας ἄξιος· ὁ δὲ καὶ πρόφασιν ἁμαρτίας τὴν ἀρετὴν ποιῶν, χαλεπώτερον κολασθήσεται. Ταλανίζει δὲ αὐτοὺς καὶ ἀπελέγχει, κατασκευάζων τῷ λαῷ τὸ ἀνεξαπάτητον, ἵνα μὴ διὰ τὴν ἀξίαν αὐτῶν ἕλκωνται πρὸς ζῆλον.

14 Οὐαὶ ὑμῖν, γραμματεῖς καὶ Φαρισαῖοι ὑποκριταί· ὅτι κλείετε τὴν βασιλείαν τῶν οὐρανῶν ἔμπροσθεν τῶν ἀνθρώπων· ὑμεῖς γὰρ οὐκ εἰσέρχεσθε, οὐδὲ τοὺς εἰσερχομένους ἀφίετε εἰσελθεῖν.

Κλείετέ, φησι, *ταύτην ἔμπροσθεν τῶν ἀνθρώπων*, ὅσον πρὸς ὑμᾶς καὶ τοὺς ὑφ᾽ ὑμᾶς, ὡς μήτε αὐτοὶ εἰσερχόμενοι εἰς αὐτὴν, διὰ τῆς εἰς ἐμὲ πίστεως, μήτε ἄλλους ἐῶντες. *Εἰσερχομένους* δὲ λέγει, τοὺς ἐπιτηδείους, τοὺς δυναμένους εἰσέρχεσθαι. Βαρεῖα δὲ τοῦτο κατηγορία· εἰ γὰρ τὸ μηδένα ὠφελεῖν, καταδίκη, τὸ καὶ βλάπτειν, ἀσύγγνωστον, καὶ ἀνδρὸς λοιμοῦ. Παρὰ δὲ τῷ Λουκᾷ φησιν, ὅτι *ἤρατε τὴν κλεῖδα τῆς γνώσεως* (α)· οὕτω καλέσας τὴν εἰς αὐτὸν πίστιν, ὡς εἰσάγου-

(α) Λουκ. ΙΑʹ, 52.

σαν εἰς τὴν γνῶσιν τῶν ὀρθῶν δογμάτων καὶ τῆς ἀποῤῥήτου σοφίας, ἥν τινα κλεῖδα ἦραν, ἤγουν, ἀφεῖλον ἀπὸ τοῦ λαοῦ.

15 Οὐαὶ ὑμῖν, γραμματεῖς καὶ Φαρισαῖοι ὑποκριταί·
ὅτι περιάγετε τὴν θάλασσαν καὶ τὴν ξηρὰν, ποιῆ-
σαι ἕνα προσήλυτον· καὶ ὅταν γένηται, ποιεῖτε αὐ-
τὸν υἱὸν γεέννης διπλότερον ὑμῶν.

Π*εριάγετε*, ἀντὶ τοῦ, περιέρχεσθε, διατρέχετε. *Προσήλυτον* δὲ ὠνόμασεν ὁ νόμος, τὸν ἐξ εἰδωλολατρείας προσεληλυθότα τῇ θρησκείᾳ τῶν Ἰουδαίων. Λέγει τοίνυν ὁ Χριστὸς, ὅτι μόγις καὶ μετὰ μυρίων πόνων ποιεῖτε ἕνα προσήλυτον, καὶ οὐδ' οὕτως αὐτοῦ φείδεσθε. Τοσοῦτόν ἐστε καὶ πρὸς σωτηρίαν τῶν εἰδωλολατρούντων ἄχρηστοι, καὶ πρὸς φυλακὴν τοῦ προσεληλυθότος ῥᾴθυμοι· μᾶλλον δὲ προδόται, διαφθείροντες αὐτὸν τῇ κατὰ τὸν βίον ὑμῶν πονηρίᾳ, καὶ *ποιοῦντες αὐτὸν υἱὸν γεέννης*, τουτέστιν, οἰκεῖον γεέννης καὶ ἄξιον αὐτῆς. *Διπλότερον* δὲ εἶπε· διότι πᾶς ἔχων διδάσκαλον πονηρὸν, οὐ μέχρι τῆς τούτου κακίας ἵσταται· παραδείγματι δὲ τούτῳ χρώμενος ἐπὶ τὸ χεῖρον προβαίνειν εἴωθεν.

16 Οὐαὶ ὑμῖν, ὁδηγοὶ τυφλοί.

Ζ*ήτει* ἐν τῷ εἰκοστῷ ὀγδόῳ Κεφαλαίῳ τὴν ἐξήγησιν τοῦ, *Ὁδηγοί εἰσι τυφλοὶ τυφλῶν.*

16 Οἱ λέγοντες· Ὃς ἂν ὀμόσῃ ἐν τῷ ναῷ, οὐδέν ἐστιν·
ὃς δ' ἂν ὀμόσῃ ἐν τῷ χρυσῷ τοῦ ναοῦ, ὀφείλει·

Ο*ὐδὲν ἐστι*, δηλονότι, τοῦτο· *ὀφείλει* δὲ, ἀντὶ τοῦ, χρεωστεῖ. Εἰ γάρ τις ὤμοσε δοῦναί τι, εἰ μὲν κατὰ τοῦ ναοῦ ὤμοσεν, ἔλεγον, ὅτι οὐδέν ἐστι τοῦτο· εἰ δὲ κατά τινος χρυσοῦ σκεύους, ἔλεγον, ὅτι χρεωστεῖ. Ταῦτα δὲ ἐδογμάτιζον ἐξ ἀνοίας· διὸ καὶ σκώπτει τούτους εἰς μωρίαν.

17 Μωροὶ καὶ τυφλοί· τίς γὰρ μείζων ἐστίν; ὁ χρυ-
σὸς, ἢ ὁ ναὸς, ὁ ἁγιάζων τὸν χρυσόν;

Τυφλότητα τούτοις ὀνειδίζει, τὴν τῆς ψυχῆς.

18 Καί· Ὃς ἐὰν ὀμόσῃ ἐν τῷ θυσιαστηρίῳ, οὐδέν ἐστιν·
ὅς δ' ἂν ὀμόσῃ ἐν τῷ δώρῳ τῷ ἐπάνω αὐτοῦ, ὀφεί-
19 λει. Μωροὶ καὶ τυφλοί· τί γὰρ μεῖζον; τὸ δῶρον, ἢ
τὸ θυσιαστήριον, τὸ ἁγιάζον τὸ δῶρον;

Θ*υσιαστήριόν* φησιν, ἐφ' οὗ ἔσφαζον τὰ προσαγόμενα θύματα.

20 Ὁ οὖν ὀμόσας ἐν τῷ θυσιαστηρίῳ, ὀμνύει ἐν αὐτῷ,
21 καὶ ἐν πᾶσι τοῖς ἐπάνω αὐτοῦ· καὶ ὁ ὀμόσας ἐν
τῷ ναῷ, ὀμνύει ἐν αὐτῷ, καὶ ἐν τῷ κατοικοῦντι
22 αὐτόν· καὶ ὁ ὀμόσας ἐν τῷ οὐρανῷ, ὀμνύει ἐν τῷ
θρόνῳ τοῦ θεοῦ, καὶ ἐν τῷ καθημένῳ ἐπάνω αὐτοῦ.

Ταῦτά φησιν, οὐχ ὡς ἐπιτρέπων ὀμνύειν· ἐν γὰρ τῷ πέμπτῳ Κεφαλαίῳ παντελῶς τὸν ὅρκον ἐκώλυσεν· ἀλλ' ὡς τῶν Ἰουδαίων ὀμνυόντων κατὰ τῶν τοιούτων.

23 Οὐαὶ ὑμῖν, γραμματεῖς καὶ Φαρισαῖοι ὑποκριταί·
ὅτι ἀποδεκατοῦτε τὸ ἡδύοσμον, καὶ τὸ ἄνηθον, καὶ
τὸ κύμινον· καὶ ἀφήκατε τὰ βαρύτερα τοῦ νόμου,
τὴν κρίσιν, καὶ τὸν ἔλεον, καὶ τὴν πίστιν·

Τοῦ νόμου τῷ λαῷ κελεύοντος, *δεκάτας* παρέχειν πάντων τῶν καρπῶν, αὐτοὶ καὶ περὶ τὰς δεκάτας τοῦ ἡδυόσμου καὶ τοῦ ἀνήθου καὶ τοῦ κυμίνου, τῶν εὐτελεστάτων, ἠκριβολογοῦντο, προβαλλόμενοι τὸν νόμον. Διασύρει τοίνυν αὐτοὺς, ὡς περὶ τὰ ἐλάχιστα μὲν τοῦ νόμου παραγγέλματα λίαν ἀκριβολογουμένους, τῶν δὲ μεγάλων ἀμελοῦντας. *Κρίσιν* δὲ λέγει, τὴν ὑπὲρ τῶν ἀδικουμένων, καὶ *ἔλεον*, τὸν εἰς τοὺς δεομένους, καὶ *πίστιν*, τὴν εἰς τὸν θεόν. Ὁ δὲ Λουκᾶς, *καὶ τὴν ἀγάπην τοῦ θεοῦ*, φησι (α).

(α) Λουκ. ΙΑ', 42.

†† Δεῖ (1) ἕκαστον τῶν διδασκάλων ἀποδεκατοῦν ἀπὸ τοῦ λαοῦ αὐτοῦ, τουτέστιν, ἀπαιτεῖν ἀπὸ τῶν δέκα αἰσθήσεων, τῶν πέντε σωματικῶν καὶ τῶν πέντε ψυχικῶν, τὴν κρίσιν καὶ τὸν ἔλεον καὶ τὴν πίστιν.

23 Ταῦτα ἔδει ποιῆσαι, κἀκεῖνα μὴ ἀφιέναι.

Ταῦτα προηγουμένως ἔδει κατορθῶσαι, τὰ βαρύτερα, κἀκεῖνα πάλιν, τὰ ἐλαφρὰ, μὴ παραδραμεῖν, εἴγε τὴν ἀκρίβειαν τοῦ νόμου τηρεῖν ἐβούλεσθε.

24 Ὁδηγοὶ τυφλοί· οἱ διϋλίζοντες τὸν κώνωπα, τὴν δὲ κάμηλον καταπίνοντες.

Οἱ τὰ μικρὰ μὲν πολυπραγμονοῦντες, τὰ μέγιστα δὲ ἀπαρατηρήτως ἁμαρτάνοντες.

25 Οὐαὶ ὑμῖν, γραμματεῖς καὶ Φαρισαῖοι ὑποκριταί· ὅτι καθαρίζετε τὸ ἔξωθεν τοῦ πατηρίου καὶ τῆς παροψίδος, ἔσωθεν δὲ γέμουσιν ἐξ ἁρπαγῆς καὶ ἀδικίας.

Τὴν *παροψίδα*, πίνακος εἶδος εἶναί φασι. *Πίνακα* γὰρ ταύτην εἶπε καὶ ὁ Λουκᾶς (α) ἐν τῷ τεσσαρακοστῷ τρίτῳ Κεφαλαίῳ. Αἰνιγματώδης καὶ οὗτος ὁ λόγος, σημαίνων, ὅτι τὰ μὲν σώματα ὑμῶν καθαρίζετε· ταῦτα γὰρ νοεῖται *τὸ ἔξω τοῦ ποτηρίου καὶ τῆς παροψίδος*· ἔσω δὲ αἱ ψυχαὶ γέμουσιν ἐξ ἁρπαγῆς καὶ ἀδικίας παθῶν· τουτέστι, τῶν μὲν τοῦ σώματος καθαρσίων φροντίζετε· τῶν δὲ τῆς ψυχῆς ἀμελεῖτε. *Ἀδικίαν* δὲ νῦν λέγομεν, καὶ πᾶσαν ἁμαρτίαν, ὥσπερ καὶ *δικαιοσύνην*, ἔστιν ὅτε πᾶσαν ἀρετήν. Λουκᾶς δὲ φανερώτερον εἶπεν, ὅτι *τὸ ἔσωθεν ὑμῶν γέμει ἁρπαγῆς καὶ πονηρίας* (β).

(1) Ταῦτα παρ' οὐδετέρῳ τῶν δύω χειρογράφων· μετηνέχθησαν δ' ἐνταῦθα ἐκ τοῦ Θεοφυλάκτου Σελ. 139. Β.

(α) Λουκ. ΙΑ', 39.

(β) Λουκ. ΙΑ', 39.

26 Φαρισαῖε τυφλὲ, καθάρισον πρῶτον τὸ ἐντὸς τοῦ ποτηρίου καὶ τῆς παροψίδος, ἵνα γένηται καὶ τὸ ἐκτὸς αὐτῶν καθαρόν.

Τῆς μὲν γὰρ ψυχῆς καθαριζομένης, συγκαθαρίζεται καὶ τὸ σῶμα· τοῦ σώματος δὲ καθαριζομένου, οὐ συγκαθαρίζεται καὶ ἡ ψυχή. Διὸ προσήκει τὴν ψυχὴν καθαρίζειν, ἵνα γένηται καὶ τὸ σῶμα καθαρόν.

27 Οὐαὶ ὑμῖν, γραμματεῖς καὶ Φαρισαῖοι ὑποκριταί· ὅτι παρομοιάζετε τάφοις κεκονιαμένοις, οἵτινες ἔξωθεν μὲν φαίνονται ὡραῖοι, ἔσωθεν δὲ γέμουσιν ὀστέων νεκρῶν, καὶ πάσης ἀκαθαρσίας.

Κονίαμα (1) μέν ἐστιν, ἡ τίτανος, ᾗ χρίουσι καὶ χρώζουσι τοὺς τοίχους· *ἀκαθαρσίαν* δὲ λέγει, τὴν σαπρίαν.

28 Οὕτω καὶ ὑμεῖς ἔξωθεν μὲν φαίνεσθε τοῖς ἀνθρώποις δίκαιοι, ἔσωθεν δὲ μεστοί ἐστε ὑποκρίσεως καὶ ἀνομίας.

Ο δὲ Λουκᾶς εἶπεν (α), ὅτι *Ἐστὲ ὡς τὰ μνημεῖα τὰ ἄδηλα, καὶ οἱ ἄνθρωποι, οἱ περιπατοῦντες ἐπάνω, οὐκ οἴδασι.* Τὰ γὰρ ἀφανῆ μνημεῖα, ἔνδον μὲν γέμουσι σαπρίας, ἄνω δὲ φαίνονται γῆ καθαρὰ καὶ λεωφόρος.

29 Οὐαὶ ὑμῖν, γραμματεῖς καὶ Φαρισαῖοι ὑποκριταί·
ὅτι οἰκοδομεῖτε τοὺς τάφους τῶν προφητῶν, καὶ
30 κοσμεῖτε τὰ μνημεῖα τῶν δικαίων· καὶ λέγετε· Εἰ
ἦμεν ἐν ταῖς ἡμέραις τῶν πατέρων ἡμῶν, οὐκ ἂν

(1) Γραπτέον ἴσως, κονία. Ἡ συλλαβὴ, μα, ἐγεννήθη, ὡς φαίνεται, ἐκ τοῦ ἑπομένου, μέν. Ἄλλο, κονία, καὶ ἄλλο, κονίαμα.

(α) Λουκ. ΙΑ', 44.

ἦμεν κοινωνοὶ αὐτῶν ἐν τῷ αἵματι τῶν προφητῶν.

Ο*ὐαί*, φησιν, *ὑμῖν*, οὐχ ὅτι ταῦτα ποιεῖτε, καὶ ταῦτα λέγετε· [καλὰ (1) γάρ εἰσιν·] ἀλλ᾽ ὅτι ταῦτα ποιοῦντες, καὶ ταῦτα λέγοντες, καὶ ἀμφοτέρωθεν κατηγοροῦντες τῆς μιαιφονίας τῶν πατέρων ὑμῶν, ἐπὶ ταύτην καὶ αὐτοὶ τρέχετε, σπεύδοντες ἀνελεῖν κἀμὲ καὶ τοὺς μαθητάς μου· καὶ ὅτι μάτην καὶ ἐν ὑποκρίσει ταῦτα ποιεῖτε καὶ ταῦτα λέγετε. Καὶ γὰρ καὶ αὐτοὶ μιμεῖσθε τὴν μιαιφονίαν τῶν κατηγορουμένων.

31 Ὥστε μαρτυρεῖτε ἑαυτοῖς, ὅτι υἱοί ἐστε τῶν φονευσάντων τοὺς προφήτας.

Ωστε, ἀφ᾽ ὧν ὁμολογεῖτε τὴν μιαιφονίαν τῶν πατέρων ὑμῶν, ἔτι δὲ καὶ, ἀφ᾽ ὧν μιμεῖσθε ταύτην, ἀποδεικνύετε ἑαυτοὺς υἱοὺς τῶν προφητοκτόνων. Λουκᾶς δὲ προσέθηκεν (β), ὅτι *Καὶ συνευδοκεῖτε τοῖς ἔργοις τῶν πατέρων ὑμῶν*, τουτέστιν, ἀποδέχεσθε ταῦτα τρόπον τινὰ, ἅτε διὰ τοῦ κατασκευάζειν τάφους λαμπροὺς τοῖς φονευθεῖσι κηρύττοντες τὴν τόλμαν τῶν φονέων, ὅπέρ ἐστιν ἐγκαλλωπιζομένων, καὶ οἷον ἀποδεχομένων αὐτήν. Ἐδοκεῖτε γὰρ ἂν εἰς τιμὴν τῶν φονευθέντων κοσμεῖν τὰ μνημεῖα τούτων, καὶ εἰς κατηγορίαν τῶν πατέρων ὑμῶν τὰ ῥηθέντα λέγειν, εἰ μὴ ἐμιμεῖσθε τὴν μιαιφονίαν αὐτῶν.

32 Καὶ ὑμεῖς πληρώσατε τὸ μέτρον τῶν πατέρων ὑμῶν.

Τὸ μέτρον τῆς κακίας. Οὐκ ἐπιτάττων δὲ τοῦτο εἶπεν, ἀλλὰ προαναφωνῶν τὸ ἐσόμενον.

33 Ὄφεις! γεννήματα ἐχιδνῶν! πῶς φύγητε ἀπὸ τῆς κρίσεως τῆς γεέννης;

Ο*φεις* μὲν αὐτοὺς ὠνόμασεν, ὡς πονηροὺς καὶ ἐπιβούλους καὶ λυμαντικούς· *γεννήματα* δὲ *ἐχιδνῶν*, ὡς ἐοικότας τοῖς πα-

(1) Αἱ τρεῖς αὗται λέξεις παραλείπονται παρὰ τῷ Α.

(α) Λουκ· ΙΑ΄. 48.

τράσιν αὐτῶν κατὰ τὸν ἰὸν τῆς κακίας καὶ κατὰ τὸ φονικόν. *Γεννήματα* δὲ *ἐχιδνῶν*, καὶ ὁ Βαπτιστὴς Ἰωάννης αὐτοὺς προσηγόρευσεν ἐν τῷ τρίτῳ Κεφαλαίῳ, εἰ καὶ καθ᾽ ἑτέραν ἔννοιαν. *Κρίσιν* δὲ *γεέννης* λέγει, τὴν κατάκρισιν καὶ τιμωρίαν τῆς γεέννης, ἤτοι τὴν παραπέμπουσαν εἰς τὴν γέενναν.

34 Διὰ τοῦτο, ἰδοὺ, ἐγὼ ἀποστέλλω πρὸς ὑμᾶς προφήτας, καὶ σοφοὺς, καὶ γραμματεῖς· καὶ ἐξ αὐτῶν ἀποκτενεῖτε καὶ σταυρώσετε, καὶ ἐξ αὐτῶν μαστιγώσετε ἐν ταῖς συναγωγαῖς ὑμῶν, καὶ διώξετε ἀπὸ πόλεως εἰς πόλιν.

Δ*ιὰ τοῦτο*· ποῖον; Διότι μέλλετε πληρῶσαι τὸ μέτρον τῆς κακίας τῶν πατέρων ὑμῶν. *Ἀποστέλλω* δὲ εἶπε, παραδεικνύων τὸ ἀξίωμα τῆς θεότητος. *Προφήτας* δὲ, *καὶ σοφοὺς, καὶ γραμματεῖς*, τοὺς ἀποστόλους φησὶ καὶ τοὺς μετ᾽ ἐκείνους ποιμένας καὶ διδασκάλους τῶν ἐκκλησιῶν, ὡς ἠξιωμένους προφητικοῦ χαρίσματος, καὶ ὡς [σεσοφισμένους (1) ὑπ᾽ αὐτοῦ, καὶ ὡς] τὴν Γραφὴν εἰδότας. Τὸ δὲ, *ἐξ αὐτῶν*, δηλοῖ, ὅτι οὐ πάντας ἀποκτενοῦσιν, οὐδὲ πάντας μαστιγώσουσιν.

35 Ὅπως ἔλθῃ ἐφ᾽ ὑμᾶς πᾶν αἷμα δίκαιον, ἐκχυνόμενον ἐπὶ τῆς γῆς.

Α*ἷμα* νόει, τὴν καταδίκην τοῦ αἵματος, ἤτοι τοῦ φόνου. *Ὅπως ἔλθῃ*, φησὶν, *ἐφ᾽ ὑμᾶς* καταδίκη παντὸς αἵματος δικαίου, ἐκχυνομένου ἐπὶ τῆς γῆς. Ὁ δὲ Λουκᾶς εἶπεν (α), ὅτι *Ἵνα ἐκζητηθῇ τὸ αἷμα πάντων τῶν προφητῶν, τὸ ἐκχυνόμενον ἀπὸ καταβολῆς κόσμου, ἀπὸ τῆς γενεᾶς ταύτης*. Διδάσκει δέ τι φοβερὸν ὁ λόγος, ὅτι ὁ γινώσκων τὰς τῶν πεπλημμεληκότων τιμωρίας, [καὶ (2) μιμησάμενος αὐτοὺς, ἔνοχός ἐστιν

(1) Ταῦτα παραλείπονται παρὰ τῷ Α.

(α) Λουκ. ΙΑ΄, 50.

(2) Τὰ παρεντεθειμένα λείπουσιν ἀπὸ τοῦ Α.

ἀπαιτηθῆναι πάντων τὰς τιμωρίας,] τουτέστι, δοῦναι ἐφ' ἑκάστῳ δίκην, ὡς μὴ σωφρονισθεὶς τοῖς παραδείγμασι. *Καὶ ἐξ αὐτῶν ἀποκτενεῖτέ*, φησιν, ὅπως ἀπαιτηθῆτε κόλασιν παντὸς φόνου προτετολμημένου κατὰ τῶν δικαίων. Ἤκουσαν γὰρ, ὅτι ὁ μὲν Κάϊν ἑπτὰ τιμωριῶν ἦν ἄξιος· ὁ δὲ Λάμεχ, ἑβδομηκοντάκις ἑπτὰ, διὰ τὸ μὴ σωφρονισθῆναι τῷ παραδείγματι. Τὸ δὲ, *ὅπως*, καὶ τὸ, *ἵνα*, οὐκ αἰτιολογικὰ νῦν φασί τινες, ἀλλὰ δηλωτικὰ τοῦ μέλλοντος.

35 Ἀπὸ τοῦ αἵματος Ἄβελ τοῦ δικαίου, ἕως τοῦ αἵματος Ζαχαρίου, υἱοῦ Βαραχίου, ὃν ἐφονεύσατε μεταξὺ τοῦ ναοῦ καὶ τοῦ θυσιαστηρίου.

Εὐκαίρως τοῦ Ἄβελ ἐμνημόνευσε, δεικνύων, ὅτι καὶ ὁ ἐκείνου φόνος διὰ φθόνον ἐγένετο. Ζαχαρίαν δὲ, οἱ μὲν λέγουσι τὸν ἕνα τῶν δώδεκα προφητῶν· οἱ δὲ, τὸν καὶ Ἰωδαὲ καλούμενον· ἕτεροι δὲ, τὸν Ἀζαρίαν· οἱ πλείους δὲ, τὸν πατέρα τοῦ Βαπτιστοῦ. Γράφουσι γὰρ, ὅτι παρέλαβον ἐξ ἀγράφου παραδόσεως τῶν πατέρων, ὡς ἦν τόπος ἐν τῷ ναῷ ταῖς παρθένοις ἀποτεταγμένος. ἐν ᾧ στᾶσάν ποτε τὴν Θεοτόκον μετὰ τὸν τόκον οὐκ ἐξέβαλεν οὗτος, εἰπὼν, ὅτι παρθένος ἐστί. Διὸ καὶ ἐφονεύθη μεταξὺ τοῦ ναοῦ καὶ τοῦ ἔξω θυσιαστηρίου.

36 Ἀμὴν λέγω ὑμῖν, ὅτι ἥξει ταῦτα πάντα ἐπὶ τὴν γενεὰν ταύτην.

Ἐπεὶ τὸν φόβον τῆς γεέννης ἐπικρεμάσας αὐτοῖς, οὐ καθίκετο τούτων, διὰ τὸ μέλλειν αὐτὴν, ἐκφοβεῖ καὶ κατασφαλίζεται τούτους ἀπὸ τῶν οὐκ εἰς μακρὰν συμφορῶν. Διὸ καὶ διαβεβαιοῦται, *ἥξειν ταῦτα πάντα*, δηλαδὴ, τὰ τῆς παγχαλέπου τιμωρίας, *ἐπὶ τὴν γενεὰν ταύτην*, ἤγουν, ἐπ' αὐτοὺς δὴ τούτους. Ἐπὶ Οὐεσπασιανοῦ γὰρ καὶ Τίτου κατέλαβον αὐτοὺς τὰ ἐκ Ῥωμαίων κακά.

37 Ἱερουσαλὴμ, Ἱερουσαλὴμ, ἡ ἀποκτείνουσα τοὺς προφήτας, καὶ λιθοβολοῦσα τοὺς ἀπεσταλμένους πρὸς αὐτήν.

Πρὸς τὴν πόλιν ἀποστρέψας τὸν λόγον, ταλανίζει ταύτην. Ὁ διπλασιασμὸς δὲ τῆς κλήσεως ἐμφαντικὸς ἐλέους ἐστίν· οἰκτείρει γὰρ ταύτην, ὡς πάλαι μὲν ἠγαπημένην, νῦν δὲ παθεῖν τὰ ἔσχατα μέλλουσαν, διὰ τὰς παρανομίας τῶν κατοικούντων ἐν αὐτῇ. Τὸ δ' ἑξῆς ὀνειδίζει ταύτην, ὡς διαφθείρουσαν τοὺς προφήτας, οὓς αὐτὸς ἀπέστειλε πρὸς αὐτήν.

37 Ποσάκις ἠθέλησα ἐπισυναγαγεῖν τὰ τέκνα σου, ὃν τρόπον ἐπισυνάγει ὄρνις τὰ νοσσία ἑαυτῆς ὑπὸ τὰς πτέρυγας, καὶ οὐκ ἠθελήσατε;

Ἠ*θέλησά*, φησιν, *ἐπισυναγαγεῖν τὰ τέκνα σου* ὑπὸ τὴν ἐμὴν σκέπην, ἅτινα αἱ ἁμαρτίαι διεσκόρπισαν ἀπὸ τῆς θείας ἐπισκοπῆς. Διὰ δὲ τοῦ παραδείγματος τῆς ὄρνιθος, τὸ περὶ τοὺς Ἰουδαίους φιλόστοργον ἑαυτοῦ δείκνυσι. Τινὲς δὲ νοοῦσι τὸν λόγον περὶ τῶν διεσπαρμένων Ἰουδαίων εἰς διαφόρους χώρας ὑπὸ τῶν προγεγενημένων αἰχμαλωσιῶν. *Καὶ οὐκ ἠθελήσατε*, μὴ παραδεξάμενοί με, ἀλλὰ διώκοντες καὶ ἀποκτεῖναι σπουδάζοντες. Πρὸς τοὺς ἐνοικοῦντας δὲ τῇ πόλει διαλέγεται πάλιν.

38 Ἰδοὺ, ἀφίεται ὑμῖν ὁ οἶκος ὑμῶν ἔρημος.

Ὁ *οἶκος ὑμῶν*, ἤγουν, ὁ ναὸς, *ἀφίεται ὑμῖν ἔρημος* τῆς ἐνοικούσης αὐτῷ θείας χάριτος. Οἶκος δὲ αὐτῶν οὗτος, ὡς ἱδρυμένος ἐν τῇ πόλει αὐτῶν.

39 Λέγω γὰρ ὑμῖν· Οὐ μή με ἴδητε ἀπ' ἄρτι, ἕως ἂν εἴπητε· Εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου.

Καὶ πότε τοῦτο εἴπωσιν; Ἑκόντες μὲν, οὐδέποτε· ἄκοντες δὲ, κατὰ τὸν καιρὸν τῆς δευτέρας αὐτοῦ παρουσίας, ὅταν ἥξῃ

μετὰ δυνάμεως καὶ δόξης πολλῆς, ὅταν οὐδὲν αὐτοῖς ὄφελος τῆς ἐπιγνώσεως. Ἐραστοῦ δὲ τὸ, *οὐ μή με ἴδητε ἀπ' ἄρτι*, σφόδρα μὲν ἐρῶντος, ἀτιμαζομένου δὲ, καὶ διὰ τοῦτο περιαλγοῦντος. *Ἀπ' ἄρτι* δὲ εἰπὼν, οὐ τὴν ὥραν ἐκείνην μόνην ἐδήλωσεν, ἀλλ' ὅλον τὸν ἄχρι τῆς σταυρώσεως καιρὸν, μεθ' ὃν οὐκ ἔτι εἶδον αὐτόν. Εἰ γὰρ καὶ ὤφθη τισὶ μετὰ τὴν ἀνάστασιν, ἀλλ' οὐ τοῖς ἀπίστοις Ἰουδαίοις. Τὸ δὲ, *Εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου*, δαυϊτικὸν μέν ἐστιν, ἡρμηνεύθη δὲ ἐν τῷ τεσσαρακοστῷ πέμπτῳ Κεφαλαίῳ.

ΚΕΦ. XXIV, 1 Καὶ ἐξελθὼν ὁ Ἰησοῦς ἐπορεύετο
ἀπὸ τοῦ ἱεροῦ· καὶ προσῆλθον οἱ μαθηταὶ αὐτοῦ
ἐπιδεῖξαι αὐτῷ τὰς οἰκοδομὰς τοῦ ἱεροῦ.

Ἀκούσαντες, ὅτι *Ἰδοὺ ἀφίεται ὑμῖν ὁ οἶκος ὑμῶν ἔρημος*, ἐθαύμασαν, εἰ τοιοῦτος ναὸς ἐρημωθήσεται· διὸ καὶ προσῆλθον ἐπιδεῖξαι αὐτῷ τὰς οἰκοδομὰς τοῦ ἱεροῦ, ὡς θαυμαστάς.

2 Ὁ δὲ Ἰησοῦς εἶπεν αὐτοῖς· Οὐ βλέπετε πάντα
ταῦτα; ἀμὴν λέγω ὑμῖν, οὐ μὴ ἀφεθῇ ὧδε λίθος
ἐπὶ λίθον, ὃς οὐ καταλυθήσεται.

Ἐρωτᾷ πρῶτον αὐτοὺς, *Οὐ βλέπετε ταῦτα πάντα* τὰ θαυμαστά; Εἶτα προαναφωνεῖ τὸν ὄλεθρον αὐτῶν, καὶ οὐκέτι λοιπὸν περὶ ἐρημώσεως, ἀλλὰ περὶ παντελοῦς ἀφανισμοῦ προφητεύει. Μάρκος δέ φησιν (α), ὅτι *Καὶ ἐκπορευομένου αὐτοῦ ἐκ τοῦ ἱεροῦ, λέγει αὐτῷ εἷς τῶν μαθητῶν αὐτοῦ· Διδάσκαλε, ἴδε, ποταποὶ λίθοι καὶ ποταπαὶ οἰκοδομαί. Ὁ δὲ Ἰησοῦς ἀποκριθεὶς εἶπεν αὐτῷ· Βλέπεις ταύτας τὰς μεγάλας οἰκοδομάς; οὐ μὴ ἀφεθῇ λίθος ἐπὶ λίθῳ, ὃς οὐ μὴ καταλυθῇ*. Ὁ δὲ Λουκᾶς ἔγραψεν (ϐ), ὅτι *Καί τινων λεγόντων περὶ τοῦ ἱεροῦ*,

(α) Μαρκ. ΙΓ', 1.
(ϐ) Λουκ. ΚΑ', 5. 6.

ὅτι λίθοις καλοῖς καὶ ἀναθήμασι κεκόσμηται, εἶπε· *Ταῦτα, ἃ θεωρεῖτε, ἐλεύσονται ἡμέραι, ἐν αἷς οὐκ ἀφεθήσεται λίθος ἐπὶ λίθῳ, ὃς οὐ καταλυθήσεται*. Καὶ γὰρ προσῆλθον μὲν οἱ μαθηταὶ πάντες ἐπιδεῖξαι αὐτῷ τὰς οἰκοδομάς· τινῶν δὲ ἐξ αὐτῶν λεγόντων περὶ τοῦ ἱεροῦ καθ' ἑαυτοὺς, ὅτι λίθοις καλοῖς καὶ ἀναθήμασι κεκόσμηται, εἷς τῶν μαθητῶν εἶπε τῷ Χριστῷ· Διδάσκαλε, ἴδε, ποταποὶ λίθοι καὶ ποταπαὶ οἰκοδομαί· ὁ δὲ καὶ πρὸς αὐτὸν, καὶ πρὸς τοὺς ἄλλους πάντας εἶπεν, ἃ εἶπεν.

Λέγουσι δέ τινες, ὅτι καὶ μὴν ἔν τισι μέρεσιν, ἀφείθη λίθος ἐπὶ λίθῳ, ὃς οὐ κατελύθη. Πρὸς οὓς ἀντιλέγομεν, ὅτι τὰ ἐπιδειχθέντα πάντα, τὰ ἀξιοθαύμαστα, μέχρι θεμελίων κατελύθησαν κατὰ τὴν δεσποτικὴν ἀπόφασιν· ἀλλὰ καὶ, εἴ τι λείψανον ἀφείθη παρὰ Ῥωμαίων, καὶ τοῦτο παρὰ τῶν ὕστερον καταλύεται, πρὸς οἰκοδομὰς ἑτέρας μεταφερόμενον. (1)

ΚΕΦΑΛΑΙΟΝ ΝΖ'.

Περὶ τῆς συντελείας.

3 Καθημένου δὲ αὐτοῦ ἐπὶ τοῦ ὄρους τῶν ἐλαιῶν,
προσῆλθον αὐτῷ οἱ μαθηταὶ κατ' ἰδίαν, λέγοντες·
Εἰπὲ ἡμῖν, πότε ταῦτα ἔσται, καὶ τί τὸ σημεῖον

(1) Μετὰ δὲ ταῦτα προστίθενται ἐν τῷ περισελιδίῳ τοῦ χειρογράφου Α παρὰ χειρὸς νεωτέρας καὶ τὰ ἑξῆς: «Γέγραπται δὲ, ὅτι βασιλεύοντος Ἰουλιανοῦ τοῦ τρισκαταράτου, καὶ ἀπελθόντος εἰς Ἀντιόχειαν θῦσαι τοῖς εἰδώλοις ἐν τῷ σηκῷ τοῦ Ἀπόλλωνος, προσῆλθεν αὐτῷ ὁ τῶν Ἰουδαίων λαὸς, δυσωποῦντες αὐτὸν καὶ δεόμενοι, ὅπως ἐπιτρέψῃ ἀνεγεῖραι τὸν ἑαυτῶν ναὸν, ὃ καὶ γέγονεν. Ἀρξάντων δὲ τῶν τρισκαταράτων Ἰουδαίων τῶν θεμελίων τῆς οἰκοδομῆς, ὢ τῶν κριμάτων τοῦ. . . . . Ἰησοῦ! πῦρ ἐξελθὸν τῶν θεμελίων, ἄρδην πάντας κατέκαυσε, τά τε θεμέλια καὶ τοὺς ἐπιχειρήσαντας.» Ταῦτα δὲ διηγοῦνται πολλοὶ συγγραφεῖς.

τῆς σῆς παρουσίας, καὶ τῆς συντελείας τοῦ αἰῶνος;

Ο δὲ Μάρκτος εἶπε (α) καὶ τὰ ὀνόματα τῶν ἐρωτησάντων, ὅτι Πέτρος, καὶ Ἰάκωϐος, καὶ Ἰωάννης, καὶ Ἀνδρέας. Προσῆλθον μὲν γὰρ μαθησόμενοι πάντες· ἠρώτησαν δὲ οἱ τέσσαρες, ὡς πλείονα παῤῥησίαν ἔχοντες. Ἐρωτῶσι δὲ, γλιχόμενοι μαθεῖν οὐ τοσοῦτον περὶ τοῦ ἀφανισμοῦ τοῦ ναοῦ, ὅσον περὶ τοῦ καιροῦ τῆς δευτέρας παρουσίας αὐτοῦ. Διὸ καὶ κατ' ἰδίαν προσῆλθον, ἵνα μὴ τοῦτο τοῖς Ἰουδαίοις ἔκπυστον γένηται. Ἀλλὰ Ματθαῖος μέν φησιν αὐτοὺς, δύο ταῦτα ἐρωτῆσαι, *Πότε ταῦτα ἔσται*, δηλαδὴ, τὰ τοῦ (1) ναοῦ τῆς καταστροφῆς, *καὶ Τί τὸ σημεῖον τῆς σῆς παρουσίας, καὶ τῆς συντελείας τοῦ αἰῶνος*. Ὁ δὲ Μάρκος, ἓν εἶναι λέγει τὸ ἐρώτημα, περὶ τοῦ ναοῦ μόνον· ἔγραψε γὰρ (ϐ), *Εἰπὲ ἡμῖν, πότε ταῦτα ἔσται, καὶ τί τὸ σημεῖον, ὅταν μέλλῃ ταῦτα πάντα συντελεῖσθαι*. Παραπλησίως δὲ λέγει καὶ ὁ Λουκᾶς (γ). Τί οὖν ἐστιν εἰπεῖν; Ὅτι μία μὲν ἦν ἡ ἐρώτησις, ὡς ἔγραψαν Μάρκος καὶ Λουκᾶς· σκοπὸς δὲ τοῖς μαθηταῖς περὶ τῶν δύο τούτων μαθεῖν, τῆς τε τοῦ ναοῦ καταστροφῆς, καὶ τῆς τοῦ Χριστοῦ δευτέρας παρουσίας· ὑπολαμϐάνοντες γὰρ, ὅτι ἅμα τὰ δύο γενήσονται, μίαν περὶ τῶν δύο τὴν ἐρώτησιν ἐποιήσαντο· Ματθαῖος δὲ σαφηνίζων τὸν σκοπὸν αὐτῶν, διεῖλεν αὐτὴν εἰς τὰ δύο.

4 Καὶ ἀποκριθεὶς ὁ Ἰησοῦς, εἶπεν αὐτοῖς· Βλέπετε,
5 μή τις ὑμᾶς πλανήσῃ. Πολλοὶ γὰρ ἐλεύσονται ἐπὶ
τῷ ὀνόματί μου, λέγοντες· Ἐγώ εἰμι ὁ Χριστός·
καὶ πολλοὺς πλανήσουσι.

Οὐδὲν πρὸς τὰς ἐρωτήσεις ἀπεκρίθη ταύτας, ἀλλὰ πρότερον

(α) Μαρκ. ΙΓ', 3.
(1) Προτιμότερον τό· τὰ τῆς τοῦ ναοῦ—
(ϐ) Μαρκ. ΙΓ', 4.
(γ) Λουκ. ΚΑ', 7.

ἐκεῖνα λέγει τούτοις, ἃ πρῶτα τούτους ἔδει μαθεῖν, ὡς πρὸ ἐκείνων ἀπαντῆσαι μέλλοντα. Λουκᾶς δέ φησι· *Βλέπετε* (α), *μὴ πλανηθῆτε. Πολλοὶ γὰρ ἐλεύσονται ἐπὶ τῷ ὀνόματί μου λέγοντες· Ὅτι ἐγώ εἰμι, καὶ ὁ καιρὸς ἤγγικε. Μὴ οὖν πορευθῆται ὀπίσω αὐτῶν*. Ἐλεύσονται, φησι, τῷ ὀνόματί μου χρώμενοι πρὸς ἀπάτην τῶν πειθομένων αὐτοῖς, καὶ λέγοντες ἕκαστος, ὅτι ἐγώ εἰμι, τουτέστιν, ὁ Χριστὸς, καὶ ὅτι ὁ καιρὸς ἤγγικεν, ὁ τῆς δευτέρας μου δηλονότι παρουσίας. Μὴ οὖν ἀκολουθήσητε αὐτοῖς, ἤγουν, τινὶ αὐτῶν. Ὁ δὲ Μάρκος εἶπεν (ϐ), ὅτι *καὶ πολλοὺς πλανήσουσιν*. Ἐγένοντο δὲ τοιοῦτοι πλάνοι Σίμων καὶ Μένανδρος (1), οἱ Σαμαρεῖται, καὶ ἕτεροι.

6 Μελλήσετε δὲ ἀκούειν πολέμους, καὶ ἀκοὰς πολέμων.

Π*ολέμους* λέγει, τοὺς κατὰ τῶν Ἱεροσολύμων· *ἀκοὰς δὲ πολέμων*, τὰς τῶν πρὸς τὰς ἄλλας πόλεις τῶν Ἰουδαίων, οὓς Ἰώσηπος ἱστορεῖ γενέσθαι πρὸ τῆς ἁλώσεως τῆς Ἱερουσαλήμ. Καὶ γὰρ τὸ τῶν Ἰουδαίων ἔθνος ἀντῆρε, καὶ οὐκ ἀπεδίδου τοὺς φόρους· Ῥωμαῖοι δὲ, μὴ ἐνεγκόντες τὴν ὕϐριν, ἐπεστράτευσαν αὐτοῖς.

6 Ὁρᾶτε, μὴ θροεῖσθε· δεῖ γὰρ πάντα γενέσθαι· ἀλλ'
οὔπω ἐστὶ τὸ τέλος.

Μὴ πτοηθῆτέ, φησιν, ὡς τοῦ κηρύγματος ὑπὸ τῆς ἀκαταστασίας καὶ ταραχῆς διακοπησομένου· μέλλουσι γὰρ πάντα τὰ τῶν πολέμων τούτων γενέσθαι, μηδὲν αὐτὸ βλάπτοντα· ἢ, μὴ πτοηθῆτε, ὡς ἤδη τοῦ τέλους ἐπιστάντος, ἤγουν, τοῦ ὀλέθρου τοῦ ναοῦ καὶ τῆς πόλεως· *δεῖ γὰρ πάντα ταῦτα γενέσθαι, ἀλλ' οὔπω τὸ τέλος*, εἴτουν ὁ ὄλεθρος αὐτῶν· ὕστερον γὰρ

(α) Λουκ, ΚΑ', 8.
(ϐ) Μαρκ. ΙΓ', 6.
(1) Περὶ ἀμφοτέρων Ἰουστῖνος ὁ μάρτυς Σελ. 69. D. E.

ἑάλωσαν τὰ Ἱεροσόλυμα. Φησὶ δὲ ὁ Χρυσόστομος (1), ὅτι οἱ μὲν μαθηταὶ περὶ τῆς παγχαλέπου τιμωρίας τῶν Ἰουδαίων ἀνωτέρω μαθόντες, ὡς περὶ ἀλλοτρίας συμφορᾶς, ἀφροντίστως διέκειντο, καὶ μόνα τηνικαῦτα δίχα θορύβων ὠνειροπόλουν τὰ τῆς Χριστοῦ δευτέρας παρουσίας ἀγαθὰ, δι' ἃ και τὴν ἐρώτησιν προσήγαγον. Ὁ δὲ Χριστὸς πάλιν ἐπίπονα (2) τούτοις προμηνύει, ποιῶν αὐτοὺς ἐναγωνίους, καὶ διπλῇ νήφειν κελεύων, ὡς μήτε ὑπὸ τῶν πλάνων ἀπατηθῆναι, μήτε ὑπὸ τῆς ἀκοῆς τῶν πολέμων θροηθῆναι. Διπλοῦν γὰρ εἶναι τὸν πόλεμον, ἀπό τε τῶν πλάνων, ἀπό τε τῶν Ῥωμαίων, καὶ πολλὴν καὶ ποικίλην τὴν ζάλην, καὶ ἐντὸς καὶ ἐκτός.

7 Ἐγερθήσεται γὰρ ἔθνος ἐπὶ ἔθνος, καὶ βασιλεία ἐπὶ βασιλείαν·

Τὰ ἔθνη τὰ συμμαχοῦντα Ῥωμαίοις, ἐπὶ τὰ ἔθνη τὰ συμμαχοῦντα Ἰουδαίοις, καὶ αἱ βασιλεῖαι, αἱ συναιρόμεναι Ῥωμαίοις, ἐπὶ τὰς συναιρομένας Ἰουδαίοις· καὶ διὰ τοῦτο ἰσχυροὶ γενήσονται τούτων πόλεμοι.

7 Καὶ ἔσονται λιμοὶ καὶ λοιμοὶ, καὶ σεισμοὶ κατὰ τόπους.

Κατὰ τόπους τῶν Ἰουδαίων. Παρὰ τῷ Λουκᾷ δὲ πρόσκειται, ὅτι *φόβητρά τε καὶ σημεῖα μεγάλα ἀπ' οὐρανοῦ ἔσται* (α), ἵνα γνῶσιν Ἰουδαῖοι θεομηνίαν εἶναι τὰ γινόμενα, καὶ συνῶσιν, ὅτι διὰ τὴν τοῦ Σωτῆρος ἀναίρεσιν ταῦτα πάσχουσι.

8 Πάντα δὲ ταῦτα ἀρχὴ ὠδίνων.

Ἀρχὴ τῶν κακῶν, προοίμια τῶν συμφορῶν, τῶν τοῖς Ἰουδαίοις ἐπερχομένων.

(1) Τομ. Ζ'. Σελ. 723. D.
(2) Ὁ Χρυσόστομος ἔχει, χαλεπά.
(α) Λουκ. ΚΑ', 11.

9 Τότε παραδώσουσιν ὑμᾶς εἰς θλῖψιν.

Τότε· πότε; Πρὸ τῆς ἀποστασίας· εἰς ἐκεῖνον γὰρ τὸν καιρὸν μετήγαγε τὸν λόγον, ὃ καὶ Λουκᾶς ἐδήλωσεν εἰπὼν (β), ὅτι *Πρὸ τούτων πάντων ἐπιβαλοῦσιν ἐφ' ὑμᾶς τὰς χεῖρας αὐτῶν, καὶ διώξουσι, παραδιδόντες εἰς συναγωγὰς καὶ φυλακὰς, ἀγομένους ἐπὶ βασιλεῖς καὶ ἡγεμόνας, ἕνεκεν τοῦ ὀνόματός μου.* Πολλὰ γὰρ τότε δεινὰ, μετὰ τὴν τοῦ Σωτῆρος ἀνάληψιν, οἱ Ἰουδαῖοι τοῖς ἀποστόλοις ἐπήγαγον· ποτὲ μὲν, τοῖς ἀρχισυναγώγοις παραδιδόντες εἰς κάκωσιν, ποτὲ δὲ ἐπὶ βασιλεῖς ἄγοντες, οἷον ἐπὶ Ἡρώδην καὶ Ἀγρίππαν [καὶ (1) τοὺς τοιούτους,] καὶ ἐπὶ τοὺς ἡγεμόνας καὶ στρατηγοὺς τῶν πόλεων, καὶ τοὺς ἀνθυπάτους καὶ πολιτάρχας, ὡς ἡ βίβλος τῶν ἀποστολικῶν Πράξεων ἱστορεῖ.

9 Καὶ ἀποκτενοῦσιν ὑμᾶς·

Τοῦτο λέγει πρὸς μόνους τοὺς ἀναιρεθῆναι μέλλοντας διὰ τῆς τῶν Ἰουδαίων κακεντρεχείας, οἷος ἦν Στέφανος, καὶ Ἰάκωβος, ὁ ἀδελφὸς Ἰωάννου, καὶ εἴ τις ἕτερος.

9 Καὶ ἔσεσθε μισούμενοι ὑπὸ πάντων τῶν ἐθνῶν, διὰ τὸ ὄνομά μου.

Ὑπὸ γονέων, ὑπὸ συγγενῶν, ὑπὸ φίλων, ὑπὸ ὁμοφύλων, ὑπὸ οἰκείων, ὑπὸ ξένων, ὑπὸ ἀρχόντων, ὑπὸ ἀρχομένων, καὶ ἁπλῶς εἰπεῖν, ὑπὸ πάντων τῶν ἀλλοτρίων τοῦ κηρύγματος. Προειπὼν δὲ τὰ σκυθρωπὰ, λοιπὸν ἐπήγαγε καὶ τὴν παραμυθίαν, ὅτι δι' ἐμέ. Τοῦτο γὰρ δηλοῖ τὸ, *διὰ τὸ ὄνομά μου*. Καὶ ὄντως μεγάλη τοῖς μαθηταῖς ἦν παραμυθία τὸ πάσχειν δι' αὐτόν!

10 Καὶ τότε σκανδαλισθήσονται πολλοί.

Ὕποπτοι ἔσονται πρὸς ἀλλήλους, διὰ τὴν διαφορὰν τῆς πίστεως, ἤγουν, οἱ μὴ πιστεύοντες πρὸς τοὺς πιστεύοντας.

(β) Λουκ. ΚΑ', 12.
(1) Αἱ τρεῖς αὗται λέξεις λείπουσιν ἀπὸ τοῦ Α.

10 Καὶ ἀλλήλους παραδώσουσι, καὶ μισήσουσιν ἀλλήλους.

Μάρκος δὲ φανερώτερον εἶπεν (α), ὅτι *Παραδώσει ἀδελφὸς ἀδελφὸν εἰς θάνατον, καὶ πατὴρ τέκνον· καὶ ἐπαναστήσονται τέκνα ἐπὶ γονεῖς, καὶ θανατώσουσιν αὐτούς*. Εἰκὸς γὰρ, πάντα γενέσθαι, εἰ καὶ μὴ περὶ πάντων λεπτομερῶς ἡ βίβλος διαλαμβάνει τῶν Πράξεων. Καὶ ὁ Λουκᾶς δέ φησιν (β), ὅτι *Παραδοθήσεσθε καὶ ὑπὸ γονέων, καὶ συγγενῶν, καὶ φίλων, καὶ ἀδελφῶν, καὶ θανατώσουσιν ἐξ ὑμῶν*. Προεῖπε γὰρ τοῖς μαθηταῖς ὁ Χριστὸς καὶ τουτὶ τὸ πάντων δεινότατον, ὅτι καὶ ὑπὸ τῶν οἰκειοτάτων πολεμηθήσονται, ἵνα προμαθόντες ἑτοιμασθῶσιν εἰς ὑπομονὴν, καὶ λοιπὸν κουφότερον τὸ δεινὸν ἐνέγκοιεν. Ταῦτα δὲ πάντα προεῖπεν αὐτοῖς καὶ ἐν τῷ ἐννεακαιδεκάτῳ Κεφαλαίῳ, καὶ ζήτησον κἀκεῖ τὴν περὶ τούτων ἐξήγησιν.

11 Καὶ πολλοὶ ψευδοπροφῆται ἐγερθήσονται, καὶ πλανήσουσι πολλούς.

Ἀνωτέρω μὲν, περὶ τῶν ὑποκρινομένων τὸν Χριστὸν εἶπεν· ἐνταῦθα δὲ λέγει, περὶ τῶν ὑποκρινομένων προφητεύειν. Πολλοὶ γὰρ τοιοῦτοι τότε γεγόνασιν, ἀρχὴν ἔτι τοῦ κηρύγματος ἔχοντος.

12 Καὶ διὰ τὸ πληθυνθῆναι τὴν ἀνομίαν, ψυγήσεται ἡ ἀγάπη τῶν πολλῶν.

Καὶ τοῦτο χαλεπώτατον, ὅτι οὐδὲ τὴν ἀπὸ τῆς ἀγάπης παραμυθίαν ἕξουσι. Τινὲς δὲ *ἀγάπην* ἐνταῦθα, τὴν φιλοξενίαν ὠνόμασαν· ἕτεροι δὲ, τὴν συμπάθειαν. Ὅρα, πόσα δεινὰ προεῖπεν αὐτοῖς, παραθήγων εἰς πάντα, καὶ στομῶν εἰς εὐψυχίαν, καὶ ταῖς ἐπιῤῥώσεσιν ἀδαμαντίνους ἀπεργαζόμενος.

(α) Μαρκ. ΙΓ', 12.
(α) Λουκ. ΚΑ', 16.

13 Ὁ δὲ ὑπομείνας εἰς τέλος, οὗτος σωθήσεται.

Εἴρηται καὶ τοῦτο ἐν τῷ ἐννεακαιδεκάτῳ Κεφαλαίῳ, καὶ διηρμηνεύθη πάνυ σαφῶς ἐκεῖ.

14 Καὶ κηρυχθήσεται τοῦτο τὸ εὐαγγέλιον τῆς βασιλείας ἐν ὅλῃ τῇ οἰκουμένῃ.

Ἐντεῦθεν ἔδειξεν, ὅτι οὐδὲν τῶν δεινῶν περιγενήσεται τοῦ κηρύγματος, καὶ πολλὴν οὕτω τοῖς κήρυξι παραμυθίαν ἐνέβαλε, πληροφορηθεῖσιν, ὅτι οὐδὲν αὐτοῖς ἐμποδίσει, ἐὰν μόνον ὦσι καρτερικοί. Μάρκος δὲ φανερώτερον εἶπεν (α), ὅτι *Καὶ εἰς πάντα τὰ ἔθνη δεῖ πρῶτον κηρυχθῆναι τὸ εὐαγγέλιον*.

14 Εἰς μαρτύριον πᾶσι τοῖς ἔθνεσι·

Εἰς ἔλεγχον, εἰς κατηγορίαν τῶν μὴ πιστευσάντων, ἵνα μὴ δύνωνται λέγειν ἐν ἡμέρᾳ κρίσεως, ὅτι οὐκ ἤκουσαν τοῦ κηρύγματος. Εἴρηται δὲ καὶ τοῦτο ἐν τῷ ἐννεακαιδεκάτῳ Κεφαλαίῳ.

14 Καὶ τότε ἥξει τὸ τέλος.

Τὸ τέλος τοῦ ναοῦ, καὶ τῆς Ἱερουσαλὴμ, ὡς προέφημεν. Λέγει τοίνυν, ὅτι μετὰ τὸ γενέσθαι τὰ ῥηθέντα πάντα, καὶ μετὰ τὸ κηρυχθῆναι τὸ εὐαγγέλιον ἐν ὅλῃ τῇ οἰκουμένῃ, τότε ἥξει τοῖς Ἰουδαίοις ὁ παντελὴς ὄλεθρος. Ὅτι δὲ πρὸ τῆς ἁλώσεως τῆς Ἱερουσαλὴμ ἐκηρύχθη τὸ εὐαγγέλιον εἰς ὅλον τὸν κόσμον, εἴρηκεν ὁ Παῦλος (β), ὅτι *Ἔστι καρποφορούμενον καὶ αὐξανόμενον ἐν πάσῃ τῇ κτίσει τῇ ὑπ' οὐρανὸν* (1). Εἰ γὰρ αὐτὸς ἀπὸ Ἱερουσαλὴμ εἰς Ἱσπανίαν ἐκήρυξεν, ἐννόησον καὶ περὶ τῶν ἄλλων ἀποστόλων, ἄχρι πόσου διέδραμον. Διὰ τοῦτο δὲ μετὰ τὸ κηρυχθῆναι τὸ εὐαγγέλιον πανταχοῦ τῆς οἰκου-

(α) Μαρκ. ΙΓ', 10.
(β) Κολοσ. Α', 6. 23.
(1) Ὁ Χρυσόστομος πραγματεύεται τοῦτο Τομ. Ζ'. Σελ. 725. D., καὶ κατὰ τὸν αὐτὸν τρόπον φέρει τὰ ῥητὰ τοῦ Παύλου. Ἴδ. καὶ Θεοφυλ. Σελ. 143. E.

μένης ἀπόλλυνται τὰ Ἱεροσόλυμα, ἵνα μηδὲ σκιὰν ἀπολογίας ἔχωσιν Ἰουδαῖοι, τοσαύτην ἰδόντες τὴν δύναμιν τοῦ κηρύγματος, ὡς ἐν βραχεῖ πᾶσαν ἐπιδραμεῖν τὴν οἰκουμένην, καὶ πανταχοῦ λάμψαι, καὶ μεμενηκότες ἐπὶ τῆς αὐτῆς ἀπιστίας καὶ ἀγνωμοσύνης.

15 Ὅταν οὖν ἴδητε τὸ βδέλυγμα τῆς ἐρημώσεως, τὸ ῥηθὲν διὰ Δανιὴλ τοῦ προφήτου, ἑστὼς ἐν τόπῳ ἁγίῳ· (ὁ ἀναγινώσκων νοείτω·)

Βδέλυγμα νῦν λέγει, τὸν ἀνδριάντα τοῦ Τίτου, ὅν, ἑλὼν τὴν πόλιν, ἔστησεν ἐν τοῖς ἀδύτοις τοῦ ναοῦ. Βδελύγματα γὰρ ὁ νόμος ὠνόμαζε τὰ τοιαῦτα ἀφομοιώματα. *Τῆς ἐρημώσεως* δὲ τοῦτο κέκληκε· διότι, ἐρημουμένου τοῦ ναοῦ καὶ τῆς πόλεως, ἔστη τοῦτο· ἢ διότι τοῦ ἐρημώσαντος αὐτὰ ἦν ἡ εἰκών. Τὸ δέ, *ὅταν ἴδητε*, δοκεῖ μὲν ῥηθῆναι πρὸς τοὺς ἀποστόλους· φέρεται δὲ πρὸς τοὺς Ἰουδαίους, ἵνα μάθωσιν, ὅτι οὐκ εἰς μακρὰν, ἀλλὰ ζώντων αὐτῶν, τὸ βδέλυγμα στήσεται. Οἱ ἀπόστολοι γὰρ ἔφθασαν προαποθανόντες οἱ πλείους, καὶ ὅσοι δὲ περιελείφθησαν, ἐν ἄλλοις τηνικαῦτα μέρεσι τῆς οἰκουμένης διέτριβον. Παρέπεμψε δὲ αὐτοὺς ἐπὶ τὸν Δανιὴλ, προφητεύσαντα περὶ τοῦ τοιούτου βδελύγματος (α), καὶ τοῦ ὀλέθρου. Τότε, φησίν, ὁ ἀναγινώσκων τὴν βίβλον τοῦ Δανιὴλ, νοείτω ἐπιστάντα τὸν ὄλεθρον. Ὁ δὲ Λουκᾶς ἕτερον σημεῖόν φησιν (β), ὅτι *Ὅταν ἴδητε κυκλουμένην ὑπὸ στρατοπέδων τὴν Ἱερουσαλὴμ, τότε γνῶτε, ὅτι ἤκεν ἡ ἐρήμωσις αὐτῆς.* Φαίνεται οὖν, ὅτι καὶ ἀμφότερα εἶπεν ὁ Χριστός.

16 Τότε οἱ ἐν τῇ Ἰουδαίᾳ, φευγέτωσαν ἐπὶ τὰ ὄρη·

Εἰπὼν περὶ τῶν κακῶν τῶν καταληψομένων τὰ Ἱεροσόλυμα,

(α) Δαν. Θ', 27.
(β) Λουκ. ΚΑ', 20.

καὶ μὴν καὶ περὶ τῶν πολλῶν καὶ ποικίλων πειρασμῶν τῶν ἀποστόλων, ἔτι δὲ καὶ περὶ τῆς εὐοδώσεως τοῦ κηρύγματος, ὅτι ἀνεμποδίστως πᾶσαν ἐπιδραμεῖται τὴν οἰκουμένην, λέγει πάλιν περὶ τῶν ἰουδαϊκῶν συμφορῶν, δεικνύων, ὅτι, ὅταν αὐτὸς καὶ οἱ μαθηταὶ αὐτοῦ πανταχοῦ δοξάζωνται, τότε οὗτοι πανταχόθεν διαφθείρονται. Διὰ δὲ τῶν δοκούντων μικρῶν ἐμφαίνει τὸ τῶν πληγῶν ἐκείνων ἀφόρητον. Σκόπει γάρ. Τότε, φησίν, ὅταν τὸ βδέλυγμα στῇ, *οἱ ἐν τῇ Ἰουδαίᾳ*, ἔνθα τὰ Ἱεροσόλυμα, *φευγέτωσαν ἐπὶ τὰ ὄρη*, μηδεμίαν ἐλπίδα σωτηρίας ἀπὸ τοῦ προσμένειν ἔχοντες· οὐκ ἔσται γὰρ ἀνάκλησις ὅλως, οὐδὲ μεταβολὴ τοῦ κακοῦ. Διόπερ ἀγαπητὸν, τὸ καὶ γυμνῷ τῷ σώματι φεύγειν ἀμεταστρεπτί.

17 Ὁ ἐπὶ τοῦ δώματος, μὴ καταβαινέτω ἆραί τι ἐκ τῆς οἰκίας αὐτοῦ.

Διὰ τὸν ἀφύλακτον κάτω κίνδυνον, ἵνα μὴ ἐμπεσὼν, ἀπόληται.

18 Καὶ ὁ ἐν τῷ ἀγρῷ, μὴ ἐπιστρεψάτω ὀπίσω ἆραι τὰ ἱμάτια αὐτοῦ.

Εἰ γὰρ οἱ ἐν τῇ πόλει φεύγουσι τὸν ἔνδον ὄλεθρον, πολλῷ μᾶλλον οἱ ἐν τοῖς ἀγροῖς. Παρὰ δὲ τῷ Λουκᾷ λέγει καὶ τὴν αἰτίαν τῆς σφοδρότητος τῶν πληγῶν, ὅτι *ἡμέραι ἐκδικήσεως αὗταί εἰσι, τοῦ πλησθῆναι πάντα τὰ γεγραμμένα* (α), δηλαδὴ, ἐν ταῖς βίβλοις τοῦ τε Δανιὴλ, καὶ τῶν ἄλλων προφητῶν, περὶ τῆς τοιαύτης ἁλώσεως. Ἡμέραι δὲ ἐκδικήσεως τοῦ δεσποτικοῦ φόνου. Ἀλλὰ ταῦτα μὲν καθ' ἱστορίαν.

Κατὰ δὲ ἀναγωγὴν, οἱ *ἐν τῇ Ἰουδαίᾳ*, τουτέστιν, οἱ ἐν τῇ εὐσεβείᾳ· τοῦτο γὰρ σημαίνει τὸ τῆς Ἰουδαίας ὄνομα· *φευγέτωσαν ἐπὶ τὰ ὄρη*· λέγω δὴ, ἐπὶ τὴν ὑψηλὴν βοήθειαν τοῦ Θεοῦ, ἢ ἐπὶ τὰ ὕψη τῶν ἀρετῶν· *ὁ ἐπὶ τοῦ δώματος* δὲ, ἤγουν,

(α) Λουκ. ΚΑ', 22.

ὁ τῆς κάτω διατριβῆς ὑπεραρθεὶς καὶ ὑψηλὸς τῷ βίῳ γενόμενος, *μὴ καταβαινέτω ἆραι τὰ ἐκ* τοῦ κόσμου πάθη, ἅπερ ἀπολέλοιπε· *καὶ ὁ ἐν τῷ ἀγρῷ* δὲ, εἴτουν, ὁ ἐν τῷ ἀνακεχωρημένῳ βίῳ, *μὴ ἐπιστρεψάτω ἆραι τὰ ἱμάτια αὐτοῦ*, ἅπερ εἰσὶ, τὰ περιβόλαια τῶν ἁμαρτιῶν, ἃ πάλαι ἀπεδύσατο.

19 Οὐαὶ δὲ ταῖς ἐν γαστρὶ ἐχούσαις καὶ ταῖς θηλαζούσαις ἐν ἐκείναις ταῖς ἡμέραις.

Τῶν μὲν, διὰ τὸν ἐντὸς φόρτον· τῶν δὲ, διὰ τὸν ἐκτὸς, οὐ δυναμένων εὐκόλως φυγεῖν· αἱ μὲν γὰρ βεβάρηνται τῷ ἄχθει τῶν ἐμβρύων· αἱ δὲ, τῷ φορτίῳ τῶν θηλαζόντων. Χρημάτων μὲν γὰρ καὶ ἱματίων καταφρονῆσαι ῥᾴδιον, διὰ σωτηρίαν· γενέσθαι δὲ τὴν ἔγκυον κούφην, καὶ ἀποῤῥίψαι τὴν θηλάζουσαν, ὃ θηλάζει, παντελῶς ἀδύνατον, διὰ τὸν δεσμὸν τῆς φύσεως. Οὐαὶ τοίνυν αὐταῖς, εὐπετῶς καταλαμβανομέναις, καὶ τοῖς ἐμβρύοις καὶ ὑπομαζίοις συνδιαφθειρομέναις.

Κατὰ δὲ ἀναγωγὴν, *ἐν γαστρὶ μὲν ἐχούσας* νοοῦμεν, τὰς μήπω τεκούσας ἀρετὴν ψυχάς· *θηλαζούσας* δὲ, τὰς τεκούσας μὲν, νηπιῶδες δὲ κύημα καὶ βραχύτατον.

20 Προσεύχεσθε δὲ, ἵνα μὴ γένηται ἡ φυγὴ ὑμῶν χειμῶνος, μηδὲ ἐν σαββάτῳ.

Φανερὸν κἀντεῦθεν, ὅτι εἰ καὶ πρὸς τοὺς ἀποστόλους ἀπέτεινε τοὺς τοιούτους λόγους, ἀλλά γε πρὸς τοὺς Ἰουδαίους ἔβλεπον οὗτοι· καὶ γὰρ οὐκέτι παρεφύλαττον τὸ σάββατον οἱ ἀπόστολοι. Διὰ τί δὲ, *μὴ χειμῶνος, μηδὲ ἐν σαββάτῳ*; Μὴ χειμῶνος μὲν, διὰ τὴν δυσκολίαν τὴν ἀπὸ τοῦ καιροῦ· μὴ ἐν σαββάτῳ δὲ, διὰ τὸν νόμον, οὐκ ἐπιτρέποντα βαδίζειν ἐν σαββάτῳ περαιτέρω τῶν νενομισμένων βημάτων.

Ἀναγωγικῶς δὲ, *φυγὴν* μὲν νοοῦμεν, τὴν ἔξοδον τῆς ψυχῆς ἀπὸ τοῦ σώματος· *χειμῶνα* δὲ, τὴν ζάλην καὶ ταραχὴν τῶν λογισμῶν· *σάββατον* δὲ, τὴν ἀργίαν τῆς ἀρετῆς. Παρεγγυᾷ

γὰρ ὁ λόγος προσεύχεσθαι, μὴ γενέσθαι τὴν ἔξοδον τῆς ψυχῆς ἡμῶν ἐν ζάλῃ καὶ ταραχῇ λογισμῶν, μηδ᾽ ἐν ἀργίᾳ τῆς ἀρετῆς, ἀλλὰ γαληνιώντων τῶν λογισμῶν, καὶ ἐνεργουμένης τῆς ἀρετῆς.

21 Ἔσται γὰρ τότε θλίψις μεγάλη, οἵα οὐ γέγονεν ἀπ᾽ ἀρχῆς κόσμου ἕως τοῦ νῦν, οὐδ᾽ οὐ μὴ γένηται.

Εἴ τις ἐντύχῃ τοῖς Ἰωσήπου συγγράμμασι, πληροφορηθήσεται. Καίτοι γὰρ Ἑβραῖος ὢν, διαβεβαιοῦται περὶ τῆς τοιαύτης θεομηνίας, ὅτι πᾶσαν ἐνίκησε συμφορὰν, καὶ πᾶσαν ὑπερέβη τραγῳδίαν. Μετὰ γὰρ τῆς ξένης ἐκείνης πολιορκίας, τοσοῦτος ἦν ὁ λιμὸς, ὡς καὶ αὐταῖς ταῖς μητράσιν περιμάχητον εἶναι τὴν τεκνοφαγίαν, καὶ ὑπὲρ τούτου πολέμους γίνεσθαι. Τίνος οὖν ἕνεκεν χαλεπώτερα καὶ φρικωδέστερα πάντων τῶν ἀπ᾽ αἰῶνος ἀνθρώπων πεπόνθασι; Διότι χαλεπώτερα καὶ φρικωδέστερα πάντων τῶν ἀπ᾽ αἰῶνος ἀνθρώπων τετολμήκασιν, ἀνελόντες τὸν υἱὸν τοῦ θεοῦ. Λουκᾶς δὲ πλατύτερόν φησιν, ὅτι *Ἔσται ἀνάγκη μεγάλη ἐπὶ τῆς γῆς, καὶ ὀργὴ ἐν τῷ λαῷ τούτῳ· καὶ πεσοῦνται στόματι μαχαίρας, καὶ αἰχμαλωτισθήσονται εἰς πάντα τὰ ἔθνη· καὶ Ἱερουσαλὴμ ἔσται πατουμένη ὑπὸ ἐθνῶν, ἄχρι πληρωθῶσιν καιροὶ ἐθνῶν* (α)· ὀργὴν μὲν λέγων, τὴν τοῦ θεοῦ, διὰ τὸν υἱὸν αὐτοῦ· καιροὺς δὲ ἐθνῶν, τοὺς ἄχρι συντελείας αὐτῶν καὶ τοῦ κόσμου παντός.

22 Καὶ εἰ μὴ ἐκολοβώθησαν αἱ ἡμέραι ἐκεῖναι, οὐκ ἂν ἐσώθη πᾶσα σάρξ· διὰ δὲ τοὺς ἐκλεκτοὺς κολοβωθήσονται αἱ ἡμέραι ἐκεῖναι.

Ἡμέρας, τὰς τοῦ πολέμου καὶ τῆς πολιορκίας ἐκείνης φησὶ, λέγων· ὅτι *Εἰ μὴ ἠλαττώθησαν αἱ ἡμέραι ἐκεῖναι κατ᾽ οἰκονομίαν* παρὰ τοῦ θεοῦ, *οὐκ ἂν διεσώθη*, οὐκ ἂν ὑπεξέφυγε τὸν

(α) Λουκ. ΚΑ΄, 23. 24.

θάνατον *πᾶσα σὰρξ*, ἤγουν, οὐδεμία σὰρξ, ἰουδαϊκὴ δηλονότι. Πάντες γὰρ ἂν διεφθάρησαν, καὶ οἱ ἐντὸς, καὶ οἱ ἐκτός· οἱ μὲν, λιμῷ· οἱ δὲ, λοιμῷ· οἱ δὲ, ξίφει καὶ παντοίοις θανάτου τρόποις. Κατὰ πάντων γὰρ Ἰουδαίων οἱ Ῥωμαῖοι σφοδρῶς ἐμάνησαν, καὶ κατὰ τῶν πανταχῇ διεσπαρμένων ἐφέροντο. *Ἐκλεκτοὺς* δὲ καλεῖ, τοὺς ἐξ Ἰουδαίων πιστοὺς, δι' οὓς ταχύτερον ἔπαυσε τὸν πόλεμον, ἵνα μὴ συναπόλωνται τοῖς ἀπίστοις, ἀλλὰ μᾶλλον ἵνα τινὲς τῶν ἀπίςων συνδιασωθῶσι τούτοις, ὥςε μηδένα δυνηθῆναι λέγειν, ὅτι διὰ τοὺς πιστεύσαντας ἡ θεήλατος αὕτη μάστιξ ἐπῆλθεν· ἀλλ' ἵνα βλέποντες οἱ ὑπολειφθέντες ἅπαντας τοὺς ἐν αὐτοῖς πιστοὺς διαδράντας, συνῶσι τὴν αἰτίαν, καὶ βεβαιωθῶσιν, ὡς οὐ μόνον οὐκ ἀπώλοντο δι' αὐτοὺς οἱ διαφθαρέντες, ἀλλὰ μάλιστα καὶ αὐτοὶ διὰ τούτους περιεσώθησαν.

Ὅτι δὲ τὸ, *πᾶσα σὰρξ*, ἀντὶ τοῦ, *οὐδεμία*, παρείληπται, δῆλον καὶ ἀπὸ τοῦ δαυϊτικοῦ ῥητοῦ, λέγοντος· *Μὴ κατακυριευσάτω μου πᾶσα ἀνομία* (α), ἀντὶ τοῦ, μηδεμία. Καὶ τοῦτο γὰρ ἰδίωμα τῆς παλαιᾶς Γραφῆς.

Σὺ δέ μοι σκόπει τοῦ θείου πνεύματος τὴν οἰκονομίαν, πῶς ὁ μὲν Ἰωάννης, ὁ ζῶν, ὅτε ταῦτα γέγονε, καὶ μετὰ τὴν ἅλωσιν πολὺν ἔτι ζήσας χρόνον, οὐδὲν τούτων ἔγραψεν, ἵνα μὴ δόξῃ γράφειν, ὡς πάλαι εἰρημένα, τὰ ἤδη γεγενημένα· οἱ δὲ πρὸ τοῦ γενέσθαι ταῦτα τετελευτηκότες, ἐκεῖνοι πάντα σαφῶς ἔγραψαν, ἵνα ἀνύποπτος ἡ τοῦ Χριστοῦ περὶ τούτων προφητεία φανῇ. Πληρώσας τοίνυν ἄχρι τούτου τὰ περὶ τῆς ἁλώσεως τῶν Ἱεροσολύμων, μέτεισι καὶ ἐπὶ τὸ λοιπὸν ἐρώτημα, τὸ περὶ τῆς δευτέρας παρουσίας, καὶ προλέγει τὰ σημεῖα ταύτης, χρήσιμα τοῖς χριστιανοῖς ἐσόμενα.

‡ † Ἐκολόβωσε (1) δὲ ὁ θεὸς τὰς θλίψεις καὶ τὸν πόλεμον· εἰ γὰρ ἐκράτησεν ἐπὶ πλέον ὁ πόλεμος, πάντες ἂν οἱ ἔνδον ὑπὸ τοῦ λιμοῦ διεφθάρησαν.

(α) Ψαλμ. ΡΙΗ', 133·

(1) Ταῦτα παρ' οὐδετέρῳ τῶν δύο χειρογράφων· ἐλήφθησαν δὲ ἐκ τοῦ Θεοφυλάκτου Σελ. 145. Α.

23 Τότε ἐάν τις ὑμῖν εἴπῃ· Ἰδοὺ, ὧδε ὁ Χριστὸς, ἢ ὧδε· μὴ πιστεύσητε.

Τὸ, *τότε*, ἔστιν ὅτε οὐκ ἀκολουθίαν δηλοῖ τῶν προειρημένων, ἀλλ' ἀρχὴν μόνον τῶν ῥηθῆναι μελλόντων, ὥσπερ καὶ τὸ, *Ἐν ταῖς ἡμέραις ἐκείναις*, περὶ οὗ διελάβομεν ἐν τῷ τρίτῳ Κεφαλαίῳ. Καὶ νῦν οὖν τὸ, *τότε*, οὐ τάξιν καιροῦ σημαίνει, ἀλλ' ὅτι ὅτε γενήσονται τὰ ῥηθησόμενα. Δοκεῖ μὲν οὖν καὶ ταῦτα πρὸς τοὺς ἀποστόλους λέγεσθαι· φέρονται δὲ πρὸς τοὺς ἐσομένους τότε χριστιανούς.

24 Ἐγερθήσονται γὰρ ψευδόχριστοι καὶ ψευδοπροφῆται.

Ἐγερθήσονται, ἀντὶ τοῦ, ἐλεύσονται· καὶ ψευδόχριστοι μέν εἰσιν, οἱ ὑποκρινόμενοι τὸν Χριςόν· ψευδοπροφῆται δὲ, οἱ ὑποκρινόμενοι τοὺς προφήτας.

24 Καὶ δώσουσι σημεῖα μεγάλα καὶ τέρατα.

Καὶ πρὸ τῆς ἁλώσεως τῶν Ἱεροσολύμων εἶπεν ἔσεσθαι ψευδοχρίστους καὶ ψευδοπροφήτας· *Πολλοὶ* (α) *γάρ*, φησιν, *ἐλεύσονται ἐπὶ τῷ ὀνόματί μου, λέγοντες· Ἐγώ εἰμι ὁ Χριστός*· καὶ πάλιν· *Καὶ πολλοὶ ψευδοπροφῆται ἐγερθήσονται*· ἀλλ' οἱ πρὸ τῆς δευτέρας αὐτοῦ παρουσίας οὗτοι πολλῷ βαρύτεροι τῶν πρὸ τῆς ἁλώσεως τῶν Ἱεροσολύμων. Οὗτοι γὰρ καὶ ποιήσουσι σημεῖα μεγάλα καὶ τέρατα· οἱ μὲν ψευδόχριστοι, θαυματοποιοῦντες· οἱ δὲ ψευδοπροφῆται, προλέγοντές τινα μέλλοντα.

24 Ὥστε πλανῆσαι, εἰ δυνατὸν, καὶ τοὺς ἐκλεκτούς.

Εἰ δυνατὸν αὐτοῖς γένηται. Τούτων τῶν ψευδοχρίστων εἷς ἐστι καὶ ὁ λεγόμενος Ἀντίχριστος, τελευταῖος τῶν ἄλλων ἐρ-

(α) Ματθ. ΚΔ', 5.

χόμενος, οὗ προφῆται οἱ ῥηθέντες οὗτοι ψευδοπροφῆται. Περὶ τούτου καὶ Παῦλος ἔγραψε. Καλέσας γὰρ αὐτὸν *ἄνθρωπον ἁμαρτίας, καὶ υἱὸν ἀπωλείας*, ἐπήγαγεν· *Οὗ ἐστιν ἡ παρουσία, κατ' ἐνέργειαν τοῦ σατανᾶ, ἐν πάσῃ δυνάμει καὶ σημείοις καὶ τέρασι ψεύδους* (α). Οὗτοι οὖν εἰσὶ τὸ σημεῖον τῆς δευτέρας παρουσίας.

25 Ἰδοὺ, προείρηκα ὑμῖν.

Διαμαρτύρεται ἐξασφαλιζόμενος. Παρὰ δὲ τῷ Μάρκῳ φησὶν, *Ὑμεῖς δὲ βλέπετε· ἰδοὺ, προείρηκα πάντα* (β), δηλονότι, τὰ περὶ τῶν πλάνων· διὰ δὲ τῶν ἀποστόλων, ὡς προδεδήλωται, πρὸς τοὺς ὕστερον ταῦτα λέγει. Παρατήρησον γὰρ, ὅτι πρὸς τοὺς ἀποστόλους εἶπε καὶ τὰ περὶ τῆς ἁλώσεως τῶν Ἱεροσολύμων, καὶ τὰ περὶ τῆς δευτέρας αὐτοῦ παρουσίας, ὡς πρὸς διδασκάλους τοῦ νέου λαοῦ, γινώσκων, ὅτι καὶ διδάξουσι ταῦτα, καὶ γράψουσι, πρός τε ἀπόδειξιν, ὧν προεφήτευσε περὶ τῆς ἁλώσεως, καὶ πρὸς ἀσφάλειαν τῶν πρὸ τῆς δευτέρας παρουσίας πιστῶν.

26 Ἐὰν οὖν εἴπωσιν ὑμῖν· Ἰδοὺ, ἐν τῇ ἐρήμῳ ἐστί· μὴ ἐξέλθητε· ἰδοὺ, ἐν τοῖς ταμείοις· μὴ πιστεύσητε.

Οἱ ταῦτα τηνικαῦτα λέγοντες, προπομποὶ καὶ ὑπηρέται τοῦ Ἀντιχρίστου εἰσί. *Ταμεῖα* δὲ νόει νῦν, τὰ τῶν οἰκιῶν ἐνδότατα.

27 Ὥσπερ γὰρ ἡ ἀστραπὴ ἐξέρχεται ἀπὸ ἀνατολῶν, καὶ φαίνεται ἕως δυσμῶν, οὕτως ἔσται καὶ ἡ παρουσία τοῦ υἱοῦ τοῦ ἀνθρώπου.

Ὥσπερ ἡ ἀστραπή, φησιν, *ἐξέρχεται* καὶ φαίνεται πᾶσιν, οὐ δεομένη κήρυκος, οὐδὲ προμηνύοντος, ἀλλὰ τῇ ὑπερβολῇ τῆς ἰδίας λαμπρότητος ἐν ἀκαριαίᾳ ῥοπῇ καιροῦ φαινομένη πάσῃ

(α) Β' Θεσσαλ. Β', 3. 9.

(β) Μαρκ. ΙΓ', 23.

τῇ οἰκουμένῃ· οὕτως ἔσται καὶ ἡ παρουσία ἐκείνου, διὰ τὴν ὑπερβολὴν τῆς οἰκείας λαμπρότητος πᾶσιν ὁμοῦ φαινομένη, καὶ γινομένη τοῖς ἀνθρώποις αὐτάγγελος ἑαυτῆς. Οὐ γὰρ, ὥσπερ ἡ πρώτη παρουσία μετὰ πτωχείας καὶ ἀδοξίας γέγονεν, οὕτως ἔσται καὶ ἡ δευτέρα· ἀλλὰ τοὐναντίον, αὕτη μετὰ δυνάμεως καὶ δόξης πολλῆς γενήσεται, δορυφορούσης ἁπάσης οὐρανίου στρατιᾶς. Διὸ οὐδεὶς ἀγνοῆσαι ταύτην τότε δυνήσεται.

28 Ὅπου γὰρ ἐὰν ᾖ τὸ πτῶμα, ἐκεῖ συναχθήσονται οἱ ἀετοί.

Τοῦτο εἶπε, διὰ τὴν τηνικαῦτα δορυφορίαν· καὶ ἀετοῖς μὲν, τοὺς δορυφοροῦντας παρείκασεν, ὡς καὶ πτηνοὺς, καὶ βασιλικούς· πτώματι δὲ, ἑαυτὸν, ὡς συναγωγὸν τῶν τοιούτων ἀετῶν, καὶ ὡς τροφὴν πνευματικὴν αὐτῶν, καὶ ζωὴν αἰώνιον. *Σῶμα* δὲ, τὸ πτῶμα ἔγραψεν ὁ Λουκᾶς (α).

29 Εὐθέως δὲ μετὰ τὴν θλίψιν τῶν ἡμερῶν ἐκείνων, ὁ ἥλιος σκοτισθήσεται, καὶ ἡ σελήνη οὐ δώσει τὸ φέγγος αὐτῆς, καὶ οἱ ἀστέρες πεσοῦνται ἀπὸ τοῦ οὐρανοῦ.

Περὶ τούτων εἶπε καὶ ὁ Λουκᾶς, ὅτι *Καὶ ἔσται σημεῖα ἐν ἡλίῳ καὶ σελήνῃ καὶ ἄστροις* (β). Ὅρα δὲ πῶς εἴρηκεν, ὅτι *εὐθέως*, παριστῶν, ὅτι ὁμοῦ σχεδὸν ἅπαντα τά τε προειρημένα, καὶ ταῦτα, καὶ τὰ ῥηθησόμενα γενήσονται. Συστελεῖ γὰρ καὶ τοῦτον τὸν πειρασμὸν ὁ θεὸς, διὰ τοὺς ἐκλεκτοὺς αὐτοῦ. *Θλίψιν* μὲν οὖν λέγει, τὴν ἀπὸ τοῦ Ἀντιχρίστου, καὶ τῶν περὶ αὐτὸν ἀπατεώνων, ἥτις θλίψει τοὺς εὐσεβεῖς. *Ὁ ἥλιος* δὲ *σκοτισθήσεται*, οὐκ ἀφανιζόμενος, ἀλλὰ νικώμενος τῷ φωτὶ τῆς παρουσίας τοῦ Χριστοῦ· *ἡ δὲ σελήνη οὐ δώσει τὸ φέγγος αὐτῆς, καὶ τὰ ἄστρα πεσοῦνται*, ὡς μηκέτι χρείας

(α) Λουκ. ΙΖ', 37.

(β) Λουκ. ΚΑ', 25

οὔσης αὐτῶν· οὐκέτι γὰρ ἔσται νύξ. Ὁ δὲ Λουκᾶς ἔγραψεν, ὅτι *Καὶ ἐπὶ τῆς γῆς συνοχὴ ἐθνῶν ἐν ἀπορίᾳ, ἠχούσης θαλάσσης καὶ σάλου, ἀποψυχόντων ἀνθρώπων ἀπὸ φόβου καὶ προσδοκίας τῶν ἐπερχομένων τῇ οἰκουμένῃ* (α)· *συνοχὴν μὲν ἐθνῶν* ὀνομάσας, τὴν ταραχήν· *ἀπορίαν* δὲ, τὴν νηνεμίαν· χωρὶς γὰρ ἀνέμων ἠχήσει παρὰ φύσιν ἡ θάλασσα καὶ ὁ σάλος αὐτῆς· *ἀπόψυξιν* δὲ, τὸν θάνατον.

29 Καὶ αἱ δυνάμεις τῶν οὐρανῶν σαλευθήσονται.

Καὶ αἱ οὐράνιαι στρατιαὶ φρίξουσι, βλέπουσαι τὴν τοιαύτην τῆς κτίσεως μεταβολήν· καὶ τὸν μὲν θεὸν εἰς γῆν κατερχόμενον, τοὺς δὲ ἀπ᾽ αἰῶνος ἀνθρώπους ἐκ νεκρῶν ἀνισταμένους, καὶ μέλλοντας λόγους ὑποσχεῖν τῶν βεβιωμένων.

30 Καὶ τότε φανήσεται τὸ σημεῖον τοῦ υἱοῦ τοῦ ἀνθρώπου ἐν τῷ οὐρανῷ·

Σημεῖον αὐτοῦ λέγει, τὸν σταυρὸν, λάμποντα τότε τοῦ ἡλίου πολλῷ φαιδρότερον· ἐκεῖνος μὲν γὰρ σκοτισθήσεται, οὗτος δὲ φανήσεται. Τίνος δὲ ἕνεκεν ὀφθήσεται; Ἵνα ταράξῃ προηγουμένως μὲν τοὺς Ἰουδαίους, εἶτα καὶ τοὺς Ἕλληνας, ὅσοι τῷ Χριστῷ τὸν σταυρὸν ὠνείδιζον, καὶ ἵνα γνῶσιν, ὅτι αὐτὸς οὗτος κάτεισι θεὸς ὤν.

30 Καὶ τότε κόψονται πᾶσαι αἱ φυλαὶ τῆς γῆς.

Τότε θρηνήσει πᾶν γένος, δηλαδὴ, τῶν ἀπίστων· οἱ μὲν, ὅτι ἐσταύρωσαν τὸν θεόν· οἱ δὲ, ὅτι τοὺς χριστιανοὺς ἐτιμώρησαν· οἱ δὲ, ὅτι οὐκ ἐπίστευσαν. Οὐ χρεία γὰρ αὐτοῖς ἑτέρας κατηγορίας παρὰ τὸν σταυρόν. Ἀνόνητος δὲ αὐτοῖς ὁ τηνικαῦτα κλαυθμός.

30 Καὶ ὄψονται τὸν υἱὸν τοῦ ἀνθρώπου ἐρχόμενον ἐπὶ

(α) Λουκ. ΚΑ, 25. 26.

τῶν νεφελῶν τοῦ οὐρανοῦ, μετὰ δυνάμεως καὶ δόξης πολλῆς.

Προοδεύει μὲν αὐτοῦ ὁ σταυρὸς, ὡς δικαίωμα κατὰ τῶν σταυρωσάντων αὐτόν· ἐπὶ νεφελῶν δὲ κάτεισιν, ὡς ἀνελήφθη.

31 Καὶ ἀποστελεῖ τοὺς ἀγγέλους αὐτοῦ μετὰ σάλπιγγος φωνῆς μεγάλης· καὶ ἐπισυνάξουσι τοὺς ἐκλεκτοὺς αὐτοῦ ἐκ τῶν τεσσάρων ἀνέμων, ἀπ᾽ ἄκρων οὐρανῶν ἕως ἄκρων αὐτῶν.

Πρὸ τοῦ φανῆναι τὸν σταυρὸν, ἀποστελεῖ τούτους· οὐκ ἐχρήσατο γὰρ τάξει ἀπαγγελίας, ἀλλ᾽ ἁπλῶς λέγει τὰ γενησόμενα. Διὰ δὲ *τῶν τεσσάρων ἀνέμων*, τὰ τέσσαρα πέρατα τῆς οἰκουμένης ἐδήλωσεν, ἀνατολὴν, δύσιν, ἄρκτον καὶ μεσημβρίαν· ἐξ ἑκάστου γὰρ πέρατος ἄνεμος ἴδιος πνεῖ· καὶ οὗτοι οἱ τέσσαρές εἰσιν, οἱ κυρίως ἄνεμοι· διὰ δὲ τῶν περάτων, καὶ τὰ μέσα συμπαρεδήλωσε. Τὸ δὲ, *ἀπ᾽ ἄκρων οὐρανῶν ἕως ἄκρων αὐτῶν*, ἑφερμηνευτικόν ἐστι τοῦ, *ἐκ τῶν τεσσάρων ἀνέμων*, σημαῖνον, ὅτι τὰ ἄκρα ἐμφαίνουσιν· ἄκρα δὲ, τὰ ῥηθέντα πέρατα. Παρὰ Μάρκῳ δέ φησιν (α), *ἀπ᾽ ἄκρου γῆς ἕως ἄκρου οὐρανοῦ*· διδάσκων, ὅτι τὰ αὐτά εἰσιν ἄκρα γῆς καὶ οὐρανοῦ. Σκόπει δὲ, ὅτι ἡ μὲν σάλπιγξ ἀναστήσει τοὺς νεκρούς· ἀναστάντας δὲ ἐπισυνάξουσιν οἱ ἄγγελοι· ἐπισυναχθέντας δὲ ἁρπάσουσιν αἱ νεφέλαι, καθὼς εἶπε Παῦλος (β), *Εἰς ἀπάντησιν τοῦ Κυρίου εἰς ἀέρα*. Ὅτι δὲ καὶ τοὺς ἁμαρτωλοὺς ἄγγελοι συλλέγουσιν, ἐδίδαξεν ὁ Χριστὸς, ἑρμηνεύων τὴν τετάρτην παραβολὴν τοῦ εἰκοστοῦ τετάρτου Κεφαλαίου (γ)· εἴρηκε γὰρ, ὅτι *Ἀποστελεῖ ὁ υἱὸς τοῦ ἀνθρώπου τοὺς ἀγγέλους αὐτοῦ, καὶ συλλέξουσιν ἀπὸ τῆς βασιλείας αὐτοῦ πάντα τὰ*

(α) Μαρκ. ΙΓ', 27.
(β) Α' Θεσ. Δ', 17.
(γ) Ματθ. ΙΓ', 41.

σκάνδαλα, καὶ τοὺς ποιοῦντας τὴν ἀνομίαν· καὶ ζήτει κἀκεῖ τὴν ἐξήγησιν.

32 Ἀπὸ δὲ τῆς συκῆς μάθετε τὴν παραβολήν·

Παραβολὴν φησι τὸ παράδειγμα, ὃ μέλλει ἐρεῖν, πρὸς ἀπόδειξιν τοῦ, μή πολὺ εἶναι τὸ διάστημα τὸ μεταξὺ τοῦ τε δηλωθέντος σημείου τῆς δευτέρας παρουσίας, καὶ αὐτῆς δὴ ταύτης.

32 Ὅταν ἤδη ὁ κλάδος αὐτῆς γένηται ἁπαλὸς, καὶ τὰ
33 φύλλα ἐκφύῃ, γινώσκετε ὅτι ἐγγὺς τὸ θέρος. Οὕτω
καὶ ὑμεῖς, ὅταν ἴδητε πάντα ταῦτα, γινώσκετε ὅτι
ἐγγὺς ἐστιν ἐπὶ θύραις.

Παρὰ δὲ τῷ Λουκᾷ σαφέστερον εἴρηκεν (α), ὅτι *ἀρχομένων τούτων γίνεσθαι*, δηλαδὴ, τῶν κατὰ τοὺς ψευδοχρίστους καὶ ψευδοπροφήτας, *ἀνακύψατε καὶ ἐπάρατε τὰς κεφαλὰς ὑμῶν· διότι ἐγγίζει ἡ ἀπολύτρωσις ὑμῶν*. Εἶτά φησι· *Καὶ εἶπε παραβολὴν αὐτοῖς· Ἴδετε τὴν συκῆν καὶ πάντα τὰ δένδρα· ὅταν προβάλωσιν ἤδη, βλέποντες, ἀφ᾽ ἑαυτῶν γινώσκετε, ὅτι ἤδη ἐγγὺς τὸ θέρος ἐστίν. Οὕτω καὶ ὑμεῖς, ὅταν ἴδητε ταῦτα γινόμενα, γινώσκετε, ὅτι ἐγγύς ἐστιν ἡ βασιλεία τοῦ θεοῦ*. Ὅταν ἴδητέ, φησι, ταῦτα γινόμενα, δηλονότι, τὰ κατὰ τοὺς δηλωθέντας πλάνους, γνῶτε, ὅτι ἐγγύς ἐστιν ἡ δευτέρα παρουσία τοῦ Χριστοῦ· ταύτην γὰρ λέγει νῦν, καὶ *βασιλείαν τοῦ θεοῦ*, καὶ *ἀπολύτρωσιν τῶν δικαίων·* βασιλείαν μὲν, διότι ὡς βασιλεὺς παραγίνεται· ἀπολύτρωσιν δὲ αὐτῶν, διότι σώζει αὐτούς. Ἔλαβε δὲ ἀπὸ τῆς συκῆς τὸ παράδειγμα, δεικνύων, ὅτι ὥσπερ, ὅταν αὕτη προβάλῃ, τουτέστιν, ὅταν ἐκφύσῃ τὰ φύλλα, ἀνάγκη πλησίον εἶναι τὸν καιρὸν τοῦ θέρους· οὕτω καὶ ὅταν τὸ σημεῖον τῆς δευτέρας παρουσίας γένηται, ἀνάγκη

(α) Λουκ. ΚΑ', 28—31.

πλησίον εἶναι καὶ ταύτην. Εἴωθε γὰρ φυσικὰ παραδείγματα λαμβάνειν ἐπὶ τῶν ὄντως γενησομένων.

34 Ἀμὴν λέγω ὑμῖν, οὐ μὴ παρέλθῃ ἡ γενεὰ αὕτη,
ἕως ἂν πάντα ταῦτα γένηται.

Πάντα ταῦτα, ὅσα προεῖπε, δηλαδὴ, περί τε τῆς ἁλώσεως τῶν Ἱεροσολύμων, καὶ περὶ τῶν ἐγγὺς τῆς δευτέρας αὐτοῦ παρουσίας, ἄχρις αὐτῆς. Πῶς οὖν εἶπεν, ὅτι *ἡ γενεὰ αὕτη*; *Γενεὰν* ἐκάλεσε, τὴν θρησκείαν τῶν πιστευσάντων αὐτῷ. Ἵνα γὰρ μὴ ὑπολάβωσιν οἱ ἀπόστολοι, ὅτι τὰ ῥηθέντα δεινὰ πρόρριζον ἐξαφανίσουσι τὸ κήρυγμα καὶ τοὺς πιστοὺς, πληροφορεῖ τούτους, ὅτι οὐ μὴ ἀφανισθῇ ἡ θρησκεία τῶν πιστῶν, ἕως τῆς δευτέρας παρουσίας, ἀλλὰ διαμενεῖ μέχρι συντελείας τοῦ κόσμου, μηδενὶ διακοπτομένη. Περὶ τούτου δὲ καὶ πρότερον διαφόρως αὐτοῖς προεῖπε καὶ διεβεβαιώσατο, ἀλλ᾽ ὡς ἔτι εὐεπιλήστους ἔτι ἐξασφαλίζεται.

35 Ὁ οὐρανὸς καὶ ἡ γῆ παρελεύσονται· οἱ δὲ λόγοι
μου οὐ μὴ παρέλθωσιν.

Ἀξιόπιστα κατασκευάζων, ἅπερ εἶπε, φησὶν, ὅτι τὰ πεπηγότα ταῦτα και ἀκίνητα μᾶλλον ἀφανισθήσονται, ἢ οἱ λόγοι μου διαπεσοῦνται, οὓς εἶπον, περὶ ὧν ἠρωτήσατε. Καὶ ἀλλαχοῦ δὲ τῷ τοιούτῳ τρόπῳ τῆς διαβεβαιώσεως ἐχρήσατο, εἰπών· *Εὐκοπώτερόν ἐστι τὸν οὐρανὸν καὶ τὴν γῆν παρελθεῖν, ἢ τοῦ νόμου μίαν κεραίαν πεσεῖν* (α).

(α) Λουκ. ΙϚ', 17.

ΚΕΦΑΛΑΙΟΝ ΝΗ'.

Περὶ τῆς ἡμέρας ἐκείνης καὶ ὥρας.

36 Περὶ δὲ τῆς ἡμέρας ἐκείνης καὶ ὥρας οὐδεὶς οἶδεν,
οὐδὲ οἱ ἄγγελοι τῶν οὐρανῶν.

Τὰ μὲν ἄλλα πάντα προεῖπεν αὐτοῖς, ὅσα συνέφερεν εἰδέναι· μόνην δὲ τὴν ἡμέραν καὶ ὥραν τῆς τοῦ κόσμου συντελείας ἀπέκρυψεν οἰκονομικῶς, ἵνα, ἀγνοοῦντες αὐτὰς οἱ τότε, νήφωσι καὶ προσέχωσι καὶ προσδοκῶσιν ἀεί. Καὶ γὰρ, εἰ προεῖπε καὶ ταύτας, ἔμελλον ἀναπίπτειν καὶ ῥαθυμεῖν καὶ ἀφροντιστεῖν ἄχρις αὐτῶν. Καὶ ὅρα, πῶς θαυμασίως διεκρούσατο τὴν περὶ τῆς ἡμέρας ἐκείνης καὶ ὥρας φιλομάθειαν αὐτῶν. Ἱνα γὰρ μηκέτι περὶ τούτων ἐνοχλῶσι, φησὶν, ὅτι *οὐδὲ οἱ ἄγγελοι τῶν οὐρανῶν οἴδασι περὶ αὐτῶν*, πότε ἥξουσιν, ὡσανεὶ λέγων, Ὅτι ἐὰν οἱ ἄγγελοι οἱ οὐράνιοι ταύτας ἀγνοῶσι, πολλῷ μᾶλλον τοὺς ἀνθρώπους τοὺς γηΐνους οὐ χρὴ ταύτας γινώσκειν.

36 Εἰ μὴ ὁ πατήρ μου μόνος.

Τὸ, *μόνος*, πρὸς τοὺς κτιστοὺς νοεῖται, καὶ οὐ πρὸς τὸν υἱόν. Εἰ γὰρ *πάντα, ὅσα ἔχει ὁ πατὴρ, τοῦ υἱοῦ ἐστιν*, ὡς ὁ υἱὸς εἶπεν (α)· ἓν δὲ τῶν πάντων, καὶ τὸ εἰδέναι τὴν ἡμέραν ἐκείνην καὶ ὥραν· τοῦ υἱοῦ καὶ τοῦτο πάντως. Παρὰ δὲ τῷ Μάρκῳ γέγραπται (β), ὅτι *Οὐδὲ ὁ υἱὸς, εἰ μὴ ὁ πατήρ*. Καί τινες μὲν νοοῦσιν, ὅτι οὐδὲ ὁ υἱὸς οἶδε τὴν ἡμέραν ἐκείνην καὶ ὥραν, ὡς ἄνθρωπος· ὡς γὰρ θεὸς οἶδεν ἐπίσης τῷ πατρί· τὸ δὲ γλαφυρώτερόν ἐστιν οὕτως· Ὅτι οὐδὲ ὁ υἱὸς γινώσκει, εἰ μὴ ὁ πατὴρ γινώσκει· ἐπεὶ δὲ γινώσκει ὁ πατὴρ, γινώσκει ἄρα καὶ ὁ υἱός· *Ἐγὼ γάρ, φησι, καὶ ὁ πατὴρ ἕν ἐσμεν* (γ). Σκόπει

(α) Ἰωαν. ΙϚ', 15.
(β) Μαρκ. ΙΓ', 32.
(γ) Ἰωαν. Ι', 30.

δὲ, πῶς παρὰ μὲν τῷ Ματθαίῳ κεῖται μὲν τὸ, *μόνος*, οὐ μνημονεύεται δὲ ὁ υἱὸς, ἵνα μὴ καὶ πρὸς αὐτὸν ἀναφέρηται· παρὰ δὲ τῷ Μάρκῳ τὸ μὲν, μόνος, οὐ κεῖται, μνημονεύεται δὲ ὁ υἱὸς, ἵνα νοηθείη, καθὼς εἰρήκαμεν.

37 Ὥσπερ δὲ αἱ ἡμέραι τοῦ Νῶε, οὕτως ἔσται καὶ ἡ
παρουσία τοῦ υἱοῦ τοῦ ἀνθρώπου.

Τὸ αἰφνίδιον καὶ ἀπροσδόκητον αὐτῆς διὰ τοῦ παραδείγματος ἐμφαίνει.

38 Ὥσπερ γὰρ ἦσαν ἐν ταῖς ἡμέραις ταῖς πρὸ τοῦ
καταклυσμοῦ τρώγοντες καὶ πίνοντες, γαμοῦντες
καὶ ἐκγαμίζοντες, ἄχρι ἧς ἡμέρας εἰσῆλθε Νῶε
39 εἰς τὴν κιβωτόν, καὶ οὐκ ἔγνωσαν, ἕως ἦλθεν ὁ
κατακλυσμὸς, καί ἦρεν ἅπαντας· οὕτως ἔσται καὶ
ἡ παρουσία τοῦ υἱοῦ τοῦ ἀνθρώπου.

Τὸ παράδειγμα σαφηνίζων, ἐδίδαξεν, ὅτι καὶ τῶν πολλῶν τρυφώντων καὶ ἀμεριμνούντων ἐλεύσεται. Τοῦτο δὲ Παῦλος γράφων οὕτω φησίν (α)· *Ὅταν λέγωσιν· Εἰρήνη καὶ ἀσφάλεια· τότε αἰφνίδιος αὐτοῖς ἐφίσταται ὄλεθρος.* *Ἐκγαμίζειν* δέ ἐστι, τὸ τὴν θυγατέρα συζευγνύειν ἀνδρί. Καί εἰ τρυφὴ ἔσται τότε, πῶς εἶπεν, ὅτι *μετὰ τὴν θλίψιν τῶν ἡμερῶν ἐκείνων;* Θλίψις μὲν ἔσται, τῶν εὐσεβῶν καὶ δικαίων· τρυφὴ δὲ, τῶν πονηρῶν καὶ ἀναισθήτων. Ἁρμόζον δὲ τέθεικε παράδειγμα. Καθάπερ γὰρ οἱ ἐπὶ τοῦ Νῶε τὴν κιβωτὸν ὁρῶντες κατασκευαζομένην, τὴν ὅσον οὔπω καταστροφὴν αὐτῶν προμηνύουσαν, οὐκ ᾐσθάνοντο· οὕτω καὶ οὗτοι, τὸν Ἀντίχριστον βλέποντες ἐνεργοῦντα, καὶ τὰ σημεῖα τῆς συντελείας, ἀφροντίστως διακείσονται. Παρατήρει δὲ, πῶς πάντα προλέγει λεπτομερῶς τὰ μέχρι τῆς αὐτοῦ παρουσίας, ἐμφαίνων, ὅτι καὶ τὴν ἡμέραν ἐκεί-

(α) Α' Θεσ. Ε', 3.

νην, καὶ τὴν ὥραν οἶδεν· ἀλλ' οἰκονομικῶς αὐτὰς, ὡς εἴρηται, παρασιωπᾷ. Ζήτησον δὲ καὶ ἐν τῷ περὶ υἱοῦ δευτέρῳ λόγῳ τοῦ Θεολόγου τὸ δέκατον Κεφάλαιον, καὶ χαριεστάτην εὑρήσεις λύσιν.

40 Τότε δύο ἔσονται ἐν τῷ ἀγρῷ· ὁ εἷς παραλαμβά-
41 νεται, καὶ ὁ εἷς ἀφίεται. Δύο ἀλήθουσαι ἐν τῷ μύ·
λωνι· μία παραλαμβάνεται, καὶ μία ἀφίεται.

Διὰ μὲν τῶν ὄντων *ἐν τῷ ἀγρῷ*, τοὺς πλουσίους δηλοῖ· διὰ δὲ *τῶν ἀληθουσῶν ἐν τῷ μύλωνι*, τοὺς πένητας· καὶ διδάσκει, ὅτι καὶ ἐκ τῶν πλουσίων, καὶ ἐκ τῶν πενήτων τινὲς μὲν σώζονται, τινὲς δὲ ἀπόλλυνται. Διὸ καὶ ἐπὶ μὲν τῶν πλουσίων ἀρσενικῶς τὸν λόγον προήγαγε, τὸ ὑψηλὸν καὶ ἰσχυρὸν αὐτῶν ἐνδεικνύμενος· ἐπὶ δὲ τῶν πενήτων, θηλυκῶς, τὸ ταπεινὸν καὶ ἀσθενὲς τούτων ὑποφαίνων. Καὶ γὰρ ὅσοι μὲν, ἢ τὸν πλοῦτον καλῶς διῴκησαν, ἢ τὴν πενίαν καλῶς ἐβάστασαν, παραλαμβάνονται εἰς ἀπάντησιν τοῦ Κυρίου, ὡς γνώριμοι αὐτῷ τυγχάνοντες· ὅσοι δὲ τοὐναντίον, ἀφίενται κάτω, ὡς ἀνάξιοι, περιμένοντες ἐνταῦθα τὸν δικαστήν. Λουκᾶς δὲ ἑτέρως φησὶ περὶ τούτου ἐν τῷ ἑξηκοστῷ Κεφαλαίῳ· ὅτι *Ἔσονται δύο ἐπὶ κλίνης μιᾶς· εἷς παραληφθήσεται, καὶ ὁ ἕτερος ἀφεθήσεται. Δύο ἔσονται ἀλήθουσαι ἐπὶ τὸ αὐτό· ἡ μία παραληφθήσεται, καὶ ἡ ἑτέρα ἀφεθήσεται* (α)· διὰ μὲν τῶν ἐπὶ τῆς κλίνης, τοὺς ἐν ἀναπαύσει δηλῶν· διὰ δὲ τῶν ἐν τῷ μύλωνι, τοὺς ἐν κακοπαθείᾳ. Δῆλον οὖν, ὅτι διαφόρως κατ' ἄλλον καὶ ἄλλον καιρὸν ἐῤῥήθησαν, τὰ τοῦ Λουκᾶ μὲν, πρότερον· τὰ δὲ τοῦ Ματθαίου, ὕστερον.

†† *Ἀγρὸν* (1) ὠνόμασε τὸν κόσμον· παραλαμβάνεται

(α) Λουκ, ΙΖ', 34.

(1) Ταῦτα εὑρίσκονται εἰς μόνην τὴν μετάφρασιν τοῦ Ἐντενίου· καὶ ἐπειδὴ ὁ ἐκδότης τῶν ὑπομνημάτων τοῦ Εὐθυμίου δὲν ἐδυνήθη νὰ εὕρῃ πόθεν ἐλήφθησαν, μετέφρασεν αὐτὰ αὐτὸς ἐν τῷ μεταξὺ εἰς τὴν Ἑλληνικὴν γλῶσσαν.

οὖν, ὁ σωζόμενος· ἀφίεται, ὁ κατακρινόμενος. Ἐκ τούτου τοίνυν μάθωμεν, ὅτι καὶ πένητες καὶ πλούσιοι καὶ δοῦλοι καὶ δεσπόται παραλαμβάνονταί τε καὶ ἀφίενται. Δείκνυσι δὲ, ὅτι οὔτε πάντες οἱ πλούσιοι ἀπόλλυνται, οὔτε πάντες οἱ πένητες σώζονται. Ὅθεν καὶ ἐπάγει· *Γρηγορεῖτε οὖν, ὅτι οὐκ οἴδατε, ποίᾳ ὥρᾳ ὁ Κύριος ὑμῶν ἔρχεται.* Τὴν ἡμέραν οὐκ εἶπε, βουλόμενος ἐναγωνίους εἶναι αὐτοὺς διηνεκῶς.

42 Γρηγορεῖτε οὖν, ὅτι οὐκ οἴδατε, ποίᾳ ὥρᾳ ὁ Κύριος
ὑμῶν ἔρχεται.

Ὁ δὲ Μάρκος ἔγραψεν (α)· *Ἀγρυπνεῖτε καὶ προσεύχεσθε· οὐκ οἴδατε γὰρ, πότε ὁ καιρὸς ἐστιν*, ὁ τῆς δευτέρας, δηλονότι, παρουσίας αὐτοῦ. *Ἐγρήγορσιν* δὲ καὶ *ἀγρυπνίαν* νόει, μὴ μόνον τὴν τοῦ ὕπνου ἐγκράτειαν, ἀλλὰ καὶ τὴν παντοίαν προσοχήν τε καὶ φυλακήν. Φησὶ γὰρ καὶ ὁ Λουκᾶς (β)· *Προσέχετε ἑαυτοῖς, μήποτε βαρηθῶσιν ὑμῶν αἱ καρδίαι ἐν κραιπάλῃ, καὶ μέθῃ, καὶ μερίμναις βιωτικαῖς· καὶ αἰφνίδιος ἐφ' ὑμᾶς ἐπιστῇ ἡ ἡμέρα ἐκείνη. Ὡς παγὶς γὰρ ἐπελεύσεται ἐπὶ πάντας τοὺς καθημένους ἐπὶ πρόσωπον πάσης τῆς γῆς.* [Ὡς (1) *παγὶς* μὲν, διὰ τὸ ἀσυμφανὲς αὐτῆς καὶ ἀπρόοπτον· *πρόσωπον* δὲ τῆς γῆς,] ἡ ἐπιφάνεια αὐτῆς· *καθήμενοι* δὲ, οἱ διάγοντες. Εἶτα λέγει καὶ περὶ τῆς προσευχῆς (γ), ὅτι *Ἀγρυπνεῖτε ἐν παντὶ καιρῷ, δεόμενοι, ἵνα καταξιωθῆτε ἐκφυγεῖν πάντα τὰ μέλλοντα γίνεσθαι*, δηλαδὴ, παρὰ τῶν πλάνων, καὶ ὅσα δεινά.

43 Ἐκεῖνο δὲ γινώσκετε, ὅτι εἰ ᾔδει ὁ οἰκοδεσπότης,
ποίᾳ φυλακῇ ὁ κλέπτης ἔρχεται, ἐγρηγόρησεν ἂν,

(α) Μαρκ. ΙΓ', 33.

(β) Λουκ. ΚΑ', 34. 35,

(1) Τὰ παρεντεθειμένα λείπουσιν ἀπὸ τοῦ Α.

(γ) Λουκ. ΚΑ', 36.

καὶ οὐκ ἂν εἴασε διορυγῆναι τὴν οἰκίαν αὐτοῦ.

Φυλακὴ καλεῖται τὸ τεταρτημόριον τῆς νυκτὸς, ὡς καὶ ἐν ἄλλοις εἰρήκαμεν. Παραβολικῶς δέ φησι νῦν, ὅτι ἐὰν ἐγίνωσκεν ὁ ἄνθρωπος, ἐν ποίῳ καιρῷ τῆς ζωῆς αὐτοῦ τὸ τέλος ἔρχεται, ἐγρηγόρησεν ἂν κατ' ἐκεῖνον τὸν καιρὸν, καὶ οὐκ ἂν ἀπώλετο. Ἀλλὰ διὰ τοῦτο, καὶ τὸ κοινὸν πάντων τέλος, καὶ τὸ ἴδιον ἑκάστου πεποίηκεν ἀγνοούμενον ὁ Θεὸς, ἵνα μὴ κατ' ἐκεῖνον μόνον τὸν καιρὸν νήφωσι, τὸν ἄλλον ἅπαντα κακῶς βιοῦντες· ἀλλ' ἵνα, τοῦ τέλους ἀδήλου τυγχάνοντος, ἑκάστοτε τοῦτο προσδοκῶντες, ἑκάστοτε ὦσιν ἐναγώνιοι.

44 Διὰ τοῦτο καὶ ὑμεῖς γίνεσθε ἕτοιμοι· ὅτι ᾗ ὥρᾳ οὐ δοκεῖτε, ὁ υἱὸς τοῦ ἀνθρώπου ἔρχεται.

Διὰ τοῦτο· ποῖον; Διὰ τὸ μὴ εἰδέναι τὸν καιρόν. Ἐν μὲν οὖν τῷ παγκοσμίῳ τέλει φανερὸν, ὅτι ὁ Κύριος ἔρχεται· περὶ δὲ τοῦ ἰδικοῦ, τινὲς μέν φασιν, ὅτι ἑκάστου χριστιανοῦ τελευτῶντος, παραγίνεται μετὰ τῶν ἁγίων ἀγγέλων, ὅτε καὶ λογοθετεῖται ἡ ψυχή· τινὲς δὲ ἔλευσιν ἰδικὴν αὐτοῦ λέγουσι τὴν κέλευσιν τοῦ χωρισμοῦ τῆς ψυχῆς. Ἐπεὶ δὲ λοιπὸν εἰς τὴν τῆς μελλούσης κρίσεως ἐνέβαλε μνήμην, πρὸς τοὺς διδασκάλους τρέπει τὸν λόγον, καὶ φησί·

45 Τίς ἄρα ἐστὶν ὁ πιστὸς δοῦλος καὶ φρόνιμος, ὃν κατέστησεν ὁ κύριος αὐτοῦ ἐπὶ τῆς θεραπείας αὐτοῦ, τοῦ διδόναι αὐτοῖς τὴν τροφὴν ἐν καιρῷ;

Θεραπείαν μὲν λέγει, τοὺς θεράποντας, τοὺς δούλους τοῦ θεοῦ· τροφὴν δὲ, τὴν λογικὴν, τὴν διδασκαλικήν.

46 Μακάριος ὁ δοῦλος ἐκεῖνος, ὃν ἐλθὼν ὁ κύριος αὐτοῦ εὑρήσει ποιοῦντα οὕτως.

Οὕτως, ὡς προσετάγη.

47 Ἀμὴν λέγω ὑμῖν, ὅτι ἐπὶ πᾶσι τοῖς ὑπάρχουσιν αὐτοῦ καταστήσει αὐτόν.

Εἰς μεγάλην τοῦτον καταστήσει τιμὴν, τῶν ἀγαθῶν ἑαυτοῦ καταξιώσει αὐτόν. Σὺ δὲ μηδὲν ἐπὶ τῶν τοιούτων περαιτέρω πολυπραγμόνει· τὰ παραβολικὰ γὰρ, ὡς ἐμφαντικὰ μόνων τῶν ἀναγκαίων, μεταχειριστέον.

Ὅρα δὲ, ὅτι δύο ταῦτα χρὴ τὸν προϊστάμενον ἔχειν, πίστιν, ὥστε μὴ παρακατέχειν τὰ τῶν συνδούλων, ἢ μάτην παραναλίσκειν· καὶ φρόνησιν, ὥστε πρεπόντως διανέμειν τὰ ἐγκεχειρισμένα, καὶ μετὰ διακρίσεως, ἔν τε ποιότητι καὶ ποσότητι. Ἁρμόζει δὲ ὁ λόγος οὗτος οὐ μόνον τοῖς πλουσίοις εἰς λόγον, ἀλλὰ καὶ τοῖς πλουσίοις εἰς χρήματα. Πάντας γὰρ οἰκονόμους, ὧν εὐποροῦσιν, ὁ Θεὸς κατέστησε, καὶ βούλεται πάντας πιστῶς καὶ φρονίμως πάντα διανέμειν. Ἀλλὰ καὶ τοῖς ἡντιναοῦν ἀρχὴν ἐγκεχειρισμένοις ὁ λόγος ἔτι προσήκει· δεῖ γὰρ καὶ τούτους μὴ πρὸς ἰδίαν εὔνοιαν ἢ ἀπέχθειαν διοικεῖν, ὅπερ ἐστὶ νοσφισμοῦ καὶ ἀπιστίας, μηδὲ ἀφρόνως καὶ ἀσυνέτως.

48 Ἐὰν δὲ εἴπῃ ὁ κακὸς δοῦλος ἐκεῖνος ἐν τῇ καρδίᾳ
49 αὐτοῦ· Χρονίζει ὁ κύριός μου ἐλθεῖν· καὶ ἄρξηται
τύπτειν τοὺς συνδούλους, ἐσθίῃ δὲ καὶ πίνῃ μετὰ
50 τῶν μεθυόντων· ἥξει ὁ κύριος τοῦ δούλου ἐκείνου ἐν
ἡμέρᾳ ᾗ οὐ προσδοκᾷ, καὶ ἐν ὥρᾳ ᾗ οὐ γινώσκει·

Ο *κακὸς δοῦλος* ἐκεῖνος, ὁ τοὐναντίον ἄπιστος καὶ ἄφρων ἀποβὰς, ἐὰν οἰόμενος βραδύνειν τὸν κύριον αὐτοῦ, διὰ τὸ ἀγνοεῖν τὴν ἡμέραν, ὡς εἴρηται, καὶ τὴν ὥραν, *ἄρξηται τύπτειν τοὺς ὁμοδούλους αὐτοῦ*, τουτέστιν, ὁπωσδήποτε βλάπτειν αὐτοὺς, εἴτε ψυχικῶς, εἴτε σωματικῶς· *ἐσθίῃ δὲ καὶ πίνῃ μετὰ τῶν μεθυόντων*, ἤγουν, συναναστρέφηται φαύλοις καὶ διεφθαρμένοις ἀνθρώποις, ἀπροόπτως ἐπικαταλήψεται τοῦτον ὁ κύριος αὐτοῦ.

51 Καὶ διχοτομήσει αὐτόν.

Διελεῖ ἀπ᾽ αὐτοῦ τὸ οἰκονομικὸν ἀξίωμα.

[Ἢ (1) *διχοτομίαν* λέγει, τὴν παντελῆ καὶ διηνεκῆ ἀφαίρεσιν τῆς χάριτος τοῦ ἁγίου πνεύματος. Εἰ γὰρ μηδ᾽ ἐνταῦθα ταῖς βεβηλωσάσαις αὐτὴν ἀνακέκραται ψυχαῖς, ἀλλ᾽ οὖν πάρεστι τοῖς ἅπαξ ἐσφραγισμένοις, ἀναμένουσα τὴν ἐπιστροφὴν αὐτῶν. Τότε δὲ παντελῶς καὶ διηνεκῶς αὐτῶν ἀλλοτριωθήσεται.]

51 Καὶ τὸ μέρος αὐτοῦ μετὰ τῶν ὑποκριτῶν θήσει· ἐκεῖ ἔσται ὁ κλαυθμὸς καὶ ὁ βρυγμός τῶν ὀδόντων.

Μέρος αὐτοῦ λέγει, αὐτὸν ἐκεῖνον, ὡς ἤδη κεχωρισμένον ἀπὸ τοῦ οἰκονομικοῦ ἀξιώματος· ἢ διελεῖ αὐτὸν ἀπὸ τῶν θεραπόντων αὐτοῦ, καὶ τὸν κλῆρον αὐτοῦ θήσει μετὰ τῶν ὑποκριτῶν, ὡς ὑποκρινομένου μὲν οἰκονομεῖν καὶ προΐστασθαι, βλάπτοντος δὲ μᾶλλον. Διχῇ τοίνυν διήγειρεν εἰς τὸ νήφειν ἀεί, καὶ ἀπὸ τῆς ἀποκειμένης τῷ πιστῷ καὶ φρονίμῳ δούλῳ τιμῆς, καὶ ἀπὸ τῆς μενούσης τὸν κακὸν δοῦλον τιμωρίας. Ταύτην δὲ τὴν παραβολὴν καὶ ὁ Λουκᾶς ἀνέγραψεν ἐν τῷ τεσσαρακοστῷ ἕκτῳ Κεφαλαίῳ, ἐν ᾧ φησὶ περὶ τοῦ κακοῦ δούλου, ὅτι *Καὶ τὸ μέρος αὐτοῦ μετὰ τῶν ἀπίστων θήσει* (α). Καὶ οἱ ἄπιστοι δὲ πάντως, ὑποκριταί· ἐπαγγέλλονται μὲν γὰρ εἰδέναι θεόν· ψεύδονται δέ. Καὶ οὕτω συμφωνοῦσι τὰ ῥητά· εἰ δὲ καὶ διαφωνοῦσιν, οὐδὲν καινόν· κατὰ διαφόρους γὰρ καιροὺς εἴρηνται.

---

(1) Τὰ παρεντεθειμένα ἀναγινώσκονται ἐν τῷ περισελιδίῳ παρὰ τῷ Α.
(α) Λουκ. ΙΒ', 46.

ΚΕΦΑΛΑΙΟΝ ΝΘ'.

Περὶ τῶν δέκα παρθένων.

ΚΕΦ. XXV, 1 Τότε ὁμοιωθήσεται ἡ βασιλεία τῶν οὐρανῶν δέκα παρθένοις.

Βασιλείαν τῶν οὐρανῶν, ἰδιοτρόπως λέγει νῦν αὐτὰ τὰ κατὰ τὴν βασιλείαν τῶν οὐρανῶν γενησόμενα τότε· *παρθένους* δὲ, τοὺς παρθενεύοντας, εἴτε ἄνδρες ὦσιν, εἴτε γυναῖκες. Χρὴ δὲ γινώσκειν, ὅτι ἐν μὲν τῇ πρὸ ταύτης παραβολῇ καθολικώτερον περὶ πάσης ὠφελείας τῆς εἰς τοὺς ὁμοδούλους ὀφειλομένης ἐδίδαξεν· ἐν ταύτῃ δὲ ἰδικώτερον διαλέγεται περὶ μόνης τῆς ἐν χρήμασι. Παρθένους δὲ τῇ παραβολῇ νῦν ὑποτίθησιν, οὐχ ἁπλῶς, ἀλλ᾽ ἐπειδὴ μέγα τὴν παρθενίαν ἀπέδειξεν ἐν οἷς εἶπεν· *Εἰσὶν εὐνοῦχοι, οἵτινες εὐνούχισαν ἑαυτοὺς διὰ τὴν βασιλείαν τῶν οὐρανῶν* (α). Καὶ γὰρ ὄντως μέγα ἐστί· διὸ οὐδ᾽ εἰς ἀνάγκην νόμου κατέστη· ἀλλὰ τῇ προαιρέσει τῶν ἀνθρώπων ἐπιτέτραπται· *ὁ δυνάμενος γάρ*, φησι, *χωρεῖν, χωρείτω* (β). Δεῖξαι βούλεται νῦν, ὅτι οὐδὲ τὸ μέγα τοῦτο κατόρθωμα τὸν κεκτημένον ὠφελεῖ, χωρὶς ἐλεημοσύνης.

1 Αἵτινες λαβοῦσαι τὰς λαμπάδας αὐτῶν, ἐξῆλθον εἰς ἀπάντησιν τοῦ νυμφίου.

Παρθενικὴ λαμπὰς, ἡ ἀπὸ τῆς παρθενίας καθαρότης· *νυμφίος* δὲ, ὁ Χριστὸς, ὡς ποθῶν καὶ ποθούμενος. Ἐξῆλθον δὲ εἰς ἀπάντησιν αὐτοῦ, τῇ προσδοκίᾳ τῆς ἀπαντήσεως.

2 Πέντε δὲ ἦσαν ἐξ αὐτῶν φρόνιμοι, καὶ πέντε μωραί.
3 Αἵτινες μωραὶ, λαβοῦσαι τὰς λαμπάδας ἑαυτῶν,
4 οὐκ ἔλαβον μεθ᾽ ἑαυτῶν ἔλαιον· αἱ δὲ φρόνιμοι

(α) Ματθ. ΙΘ', 12.
(β) Ματθ. ΙΘ', 12.

ἔλαβον ἔλαιον ἐν τοῖς ἀγγείοις αὐτῶν μετὰ τῶν λαμπάδων αὐτῶν.

Ε*λαιον* καλεῖ τὴν ἀρετὴν τῆς ἐλεημοσύνης. Μωρὰς δὲ ταύτας εἰκότως ἐκάλεσεν· ὅτι τὸν δριμὺν καὶ σφοδρὸν τοῦ σώματος ἔρωτα νικήσασαι, καὶ μείζονα πόνον ὑποστᾶσαι, τῆς φειδωλίας ἡττήθησαν· ἐκεῖνος γὰρ ὁ πόλεμος πολλῷ ταύτης τυραννικώτερός τε καὶ βιαιότερος. Ἐκείνας δὲ *φρονίμους* αὖθις ὠνόμασεν, ὡς μὴ παθούσας, ὅπερ αἱ μωραὶ πεπόνθασι.

[Ἑτέρως (1) δὲ ὁ Θεολόγος τινὰ τῶν προκειμένων ῥητῶν ἐξελάβετο, ἐν τῷ εἰς τὸ βάπτισμα προτρεπτικῷ· καλὰ δὲ κἀκεῖνα καὶ ταῦτα.]

5 Χρονίζοντος δὲ τοῦ νυμφίου, ἐνύσταξαν πᾶσαι, καὶ ἐκάθευδον.

Χ*ρονίζοντος*, διὰ τὴν βραδυτῆτα τῆς δευτέρας παρουσίας. *Νυσταγμὸν* δὲ ἐνταῦθα, τὴν ψυχοῤῥαγίαν ὑποληπτέον· *ὕπνον* δὲ, τὸν θάνατον.

6 Μέσης δὲ νυκτὸς κραυγὴ γέγονεν· Ἰδοὺ, ὁ νυμφίος ἔρχεται, ἐξέρχεσθε εἰς ἀπάντησιν αὐτοῦ.

Μ*έσης τῆς νυκτὸς* εἶπεν, ἢ πάλιν τὸ ἀνύποπτον καὶ ἀπροσδόκητον ἐμφαίνων, ἢ παραδηλῶν, ὅτι ἐν νυκτὶ γενήσεται ἡ ἀνάστασις τῶν νεκρῶν. Τὴν δὲ ῥηθεῖσαν κραυγὴν ὁ Παῦλος *κέλευσμα* καὶ *φωνὴν ἀρχαγγέλου* εἴρηκεν (α). *Ἐξέρχεσθε* δὲ, δηλονότι, ἐκ τῶν μνημείων.

7 Τότε ἠγέρθησαν πᾶσαι αἱ παρθένοι ἐκεῖναι, καὶ ἐκόσμησαν τὰς λαμπάδας αὐτῶν.

Π*ᾶσαι* μὲν *ἠγέρθησαν*· *ἐκόσμησαν* δὲ *τὰς λαμπάδας ἑαυτῶν* αἱ φρόνιμοι· ἐκόσμησαν δὲ αὐτὰς τῷ κόσμῳ τοῦ ἐλαίου.

(1) Τὰ παρεντεθειμένα ἀναγινώσκονται παρ' ἀμφοτέροις τοῖς χειρογράφοις ἐν τῇ περιτελιδίῳ.

(α) Α' Θεσ. Δ', 16.

8 Αἱ δὲ μωραὶ ταῖς φρονίμοις εἶπον· Δότε ἡμῖν ἐκ τοῦ ἐλαίου ὑμῶν· ὅτι αἱ λαμπάδες ἡμῶν σβέννυνται.

Καὶ τοῦτο μωρίας, τὸ προσδοκῆσαι ἐκεῖ ἔλαιον λαβεῖν εἰς κόσμησιν, καὶ (1) τότε ἄλλοις κτηθέν. *Σβέννυνται* δὲ, ἀμαυρούμεναι τῷ σκότει τῆς ἀνελεημοσύνης. Εἰώθασι γὰρ καὶ οἱ πολλοὶ σκοτεινοὺς (2) καλεῖν τοὺς ἀνελεήμονας.

9 Ἀπεκρίθησαν δὲ αἱ φρόνιμοι, λέγουσαι· Μήποτε οὐκ ἀρκέσῃ ἡμῖν καὶ ὑμῖν·

Καὶ τοῦτο φρονήσεως. Διδάσκει δὲ ὁ λόγος, ὅτι οὐδεὶς ἐκ τῆς οἰκείας ἀρετῆς ἕτερον ὠφελῆσαι τότε δυνήσεται. [Μόγις (3) γὰρ αὐτῷ πρὸς σωτηρίαν ἀρκέσει, διὰ τὸ πολλὰ πταῖσαι καὶ τὸν ἄγαν ἐνάρετον. Ὅρα δὲ, πῶς αἱ φρόνιμοι κἀκεῖ τὴν ἐλεημοσύνην ἐπιδείκνυνται,] θέλουσαι μὲν μεταδοῦναι καὶ ταῖς μωραῖς, μὴ δυνάμεναι δέ. Τοῦτο γὰρ ἡ ἀπόκρισις τούτων ἐμφαίνει.

9 Πορεύεσθε δὲ μᾶλλον πρὸς τοὺς πωλοῦντας, καὶ ἀγοράσατε ἑαυταῖς.

Μὴ δυνάμεναι μεταδοῦναι δι' εὔλογον αἰτίαν, ὅμως ὑπὸ φιλανθρωπίας συμβουλεύουσι. *Πωλοῦντες* δέ εἰσιν, οἱ πένητες· ἀλλ' οὐ τότε πωλοῦσιν.

10 Ἀπερχομένων δὲ αὐτῶν ἀγοράσαι, ἦλθεν ὁ νυμφίος·

Ὥρμησαν μὲν ἀπελθεῖν, οὐκ ἠδυνήθησαν δέ. Δείκνυσι δὲ καὶ οὗτος ὁ λόγος, ὅτι τότε ματαία ἡ πρὸς ἀρετὴν ὁρμή.

(1) Ἀσαφὲς τῶν δύο τούτων λέξεων τὸ νόημα· καὶ ἴσως γραπτέον, καὶ τοῦτο, ἢ, καὶ ταῦτα.

(2) Οὕτω καὶ ὁ Χρυσόστομος. Τομ. Ζ'. Σελ. 753. Α.

(3) Τὰ παρεντεθειμένα λείπουσιν ἀπὸ τοῦ Α.

10 **Καὶ αἱ ἕτοιμοι εἰσῆλθον μετ' αὐτοῦ εἰς τοὺς γά-**
μους· καὶ ἐκλείσθη ἡ θύρα.

Γάμοι εἰσὶν, ἡ κοινωνία τῆς βασιλείας τῶν οὐρανῶν, καὶ ἡ σὺν Χριστῷ διαγωγή.

11 **Ὕστερον δὲ ἔρχονται καὶ αἱ λοιπαὶ παρθένοι, λέ-**
γουσαι· Κύριε, κύριε, ἄνοιξον ἡμῖν.

Οἴονται γὰρ, ὡς παρθένοι εἰσελθεῖν.

12 **Ὁ δὲ ἀποκριθεὶς εἶπεν· Ἀμὴν λέγω ὑμῖν, οὐκ οἶ-**
δα ὑμᾶς.

Οὐ γνωρίζω, φησὶν, ὑμᾶς, ὡς ἐσβεσμένων τῶν λαμπάδων ὑμῶν. *Γνῶσιν* δὲ νῦν, τὴν ἐξ οἰκειώσεως νόησον· οὐδεὶς γὰρ ἀνελεήμων οἰκειοῦται τῷ ἐλεήμονι Χριστῷ. Οἴμοι! μετὰ πόσους πόνους, μετὰ πόσους ἀγῶνας, μετὰ πόσα τρόπαια, ἃ κατὰ τῆς φύσεως λυττώσης ἀνέστησαν, ἀπεπέμφθησαν διὰ τὴν ἀνελεημοσύνην! Ὅταν δέ τις ἀνελεήμων ὢν, μηδὲ παρθενίαν ἔχοι, ποίας οὐκ ἂν εἴη καταδίκης ἄξιος; Οὐ περιεργαστέον δὲ, διὰ τὶ δέκα παρθένοι, καὶ τίνα τὰ ἀγγεῖα αὐτῶν, καὶ τὶς ἡ θύρα τῶν γάμων, καὶ τὰ τοιαῦτα τῆς παραβολῆς, ὡς πολλάκις καὶ ἐπ' ἄλλων παρήγγελται.

Εἰ δὲ ἐν μὲν τῷ ἑξηκοστῷ πρώτῳ Κεφαλαίῳ γέγραπται, ὅτι πρῶτον (α) ἀπέρχονται οἱ ἁμαρτωλοὶ εἰς κόλασιν αἰώνιον, εἶτα οἱ δίκαιοι εἰς ζωὴν αἰώνιον· ἐν δὲ τῷ παρόντι Κεφαλαίῳ τοὐναντίον φαίνεται, πρῶτον εἰσελθουσῶν τῶν φρονίμων παρθένων, εἶτα ἀποπεμφθεισῶν τῶν μωρῶν· μὴ ὑπολάβῃς ἐναντιολογίαν τῶν Κεφαλαίων. Ἐκεῖνο μὲν γὰρ ἀκριβολογεῖ περὶ τῆς τάξεως· τοῦτο δὲ σκοπὸν ἕτερον ἔχει, τὸ διδάξαι μόνον, ὅτι οὐδ' ἡ παρθενία σώζει, μὴ συγκεκραμένην ἑαυτῇ καὶ τὴν ἐλεημοσύνην ἔχουσα, καὶ ὅτι ἡ ἑτέρου ἀρετὴ ἕτερον οὐκ ὠφε-

(α) Ματθ. ΚΕ, 46.

λεῖ τότε, καὶ ὅτι ἡ πρὸς ἀρετὴν ὁρμὴ τηνικαῦτα ματαία, καὶ ὅτι πολλὰ καθικετεύοντες οἱ κατακριθέντες, οὐκ ἐπικάμπτουσι. Τἆλλα δὲ πάντα συνετέθησαν ἀπαρατηρήτως, ἵνα πιθανὴ γένηται ἡ παραβολή. Καὶ γὰρ οὐδ' ὅτι ἀπεπέμφθησαν εἰς κόλασιν εἶπε, διὰ τὸ μὴ νῦν ἀκριβολογεῖσθαι περὶ τῶν τοιούτων.

13 **Γρηγορεῖτε οὖν, ὅτι οὐκ οἴδατε τὴν ἡμέραν οὐδὲ**
τὴν ὥραν, ἐν ᾗ ὁ υἱὸς τοῦ ἀνθρώπου ἔρχεται.

Πολλάκις ἐπιλέγει τοῦτο, δεικνὺς, ὅτι πολλὴ χρεία προσοχῆς, διὰ τὸ ἄδηλον τῆς τελευταίας ἡμέρας καὶ ὥρας.

ΚΕΦΑΛΑΙΟΝ Ξ'.

Περὶ τῶν τὰ τάλαντα λαβόντων.

14 **Ὥσπερ γὰρ ἄνθρωπος ἀποδημῶν ἐκάλεσε τοὺς**
ἰδίους δούλους, καὶ παρέδωκεν αὐτοῖς τὰ ὑπάρχον-
15 **τα αὐτοῦ· καὶ ᾧ μὲν ἔδωκε πέντε τάλαντα, ᾧ δὲ,**
δύο, ᾧ δὲ, ἕν· ἑκάστῳ κατὰ τὴν ἰδίαν δύναμιν·

Καὶ αὕτη ἡ παραβολὴ ὁμοία μέν ἐστι τῇ τοῦ πιστοῦ δούλου καὶ φρονίμου· καθ' ἕτερον δὲ τρόπον ἐσχημάτισται, καὶ διαλαμβάνει περὶ τῶν λαμβανόντων ἐκ θεοῦ χαρίσματα διδασκαλικά· ταῦτα γὰρ νῦν ἐκάλεσε τάλαντα, διὰ τὸ τίμιον αὐτῶν· καὶ ἢ χρωμένων αὐτοῖς καὶ κερδαινόντων, ἢ κατακρυπτόντων καὶ μηδὲν κερδαινόντων. Λέγει τοίνυν, ὅτι *ἐκάλεσε τοὺς δούλους αὐτοῦ*, ὁ υἱὸς, δηλαδὴ, τοῦ ἀνθρώπου, ὥσπερ ἄνθρωπος ἀποδημῆσαι μέλλων· καὶ *ἄλλῳ μὲν ἔδωκε πέντε τάλαντα*, ἤγουν, πολλά· διάφορα γὰρ τὰ διδασκαλικὰ χαρίσματα, ἅπερ ὁ Παῦλος ἀπηριθμήσατο· *ἄλλῳ δὲ, δύο*, τουτέστιν, ὀλίγα· *ἄλλῳ δὲ, ἓν μόνον*. Εἶεν δ' ἂν οὗτοι οἱ ἐπίσκοποι καὶ διδάσκαλοι τῶν ἐκκλησιῶν. Εἶτα προστίθησι καὶ τὴν αἰτίαν τῆς

ἐν τῇ διανομῇ ἀνισότητος, ὅτι κατὰ τὴν ἑκάστου δύναμιν καὶ ἐπιτηδειότητα.

15 Καὶ ἀπεδήμησεν εὐθέως.

Ἀντὶ τοῦ, καὶ ἀφῆκεν αὐτοὺς ἐργάζεσθαι. Καθάπερ γὰρ ἐπὶ τοῦ ἀμπελῶνος εἶπεν, ὅτι *ἐξέδοτο αὐτὸν γεωργοῖς, καὶ ἀπεδήμησεν* (α)· οὕτω φησὶ καὶ νῦν, ἵνα μάθῃς τὴν μακροθυμίαν αὐτοῦ, πῶς οὐκ εὐθέως ἀπαιτεῖ. Τινὲς δέ φασιν *ἀποδημίαν*, τὴν ἐκ γῆς εἰς οὐρανὸν ἀνάληψιν τοῦ Σωτῆρος.

16 Πορευθεὶς δὲ ὁ τὰ πέντε τάλαντα λαβὼν, εἰργάσατο ἐν αὐτοῖς, καὶ ἐποίησεν ἄλλα πέντε τάλαντα.

17 Ὡσαύτως καὶ ὁ τὰ δύο, ἐκέρδησε καὶ αὐτὸς ἄλλα δύο.

Διπλασιάζουσι τὰ ἐμπιστευθέντα τούτοις (1) χαρίσματα πάντες οἱ ἐμπορευόμενοι τὴν τῶν μαθητῶν σωτηρίαν, καὶ ποιοῦντες καὶ αὐτοὺς διδασκάλους πάλιν ἑτέρων. [Ὁ (2) καὶ πράττων καλῶς, καὶ διδάσκων ὀρθῶς, τὰ ἐμπιστευθέντα διπλασιάζει τάλαντα.]

18 Ὁ δὲ τὸ ἓν λαβὼν, ἀπελθὼν ὤρυξεν ἐν τῇ γῇ, καὶ ἀπέκρυψε τὸ ἀργύριον τοῦ κυρίου αὐτοῦ.

Γῆν, αὐτὸν νόησον. Ἐν ἑαυτῷ γὰρ κατέχωσε τὸ δοθὲν εἰς ἐργασίαν, ὡς μήτε αὐτῷ, μηθ᾽ ἑτέροις χρησιμεῦσαι.

19 Μετὰ δὲ χρόνον πολὺν ἔρχεται ὁ κύριος τῶν δούλων ἐκείνων, καὶ συναίρει μετ᾽ αὐτῶν λόγον.

Ἔρχεται, κατὰ τὴν δευτέραν παρουσίαν. Διὸ καὶ *μετὰ χρόνον πολὺν* εἶπε. *Συναίρει* δὲ *λόγον*, ἀντὶ τοῦ, κινεῖ λογοθέσιον.

20 Καὶ προσελθὼν ὁ τὰ πέντε τάλαντα λαβὼν, προσή-

(α) Ματθ. ΚΑ', 33.

(1) Ὀρθότερον ἴσως τὸ, αὐτοῖς.

(2) Ταῦτα παρ᾽ ἀμφοτέραις ταῖς χειρογράφοις ἐν τῷ περιθωρίῳ

νεγκεν ἄλλα πέντε τάλαντα, λέγων· Κύριε, πέντε τάλαντά μοι παρέδωκας· ἴδε, ἄλλα πέντε τάλαντα ἐκέρδησα ἐπ᾽ αὐτοῖς.

Κέρδος εἰσὶν, οἱ διὰ τῆς σπουδῆς αὐτοῦ κτηθέντες, ὡς εἴρηται, καὶ καρποφορηθέντες θεῷ.

21 Ἔφη δὲ αὐτῷ ὁ κύριος αὐτοῦ· Εὖ, δοῦλε ἀγαθὲ καὶ πιστέ· ἐπὶ ὀλίγα ἦς πιστὸς, ἐπὶ πολλῶν σε καταστήσω·

Πολλῶν χαρίτων σε ἀξιώσω, πολλῶν ἀγαθῶν σοι μεταδώσω.

21 Εἴσελθε εἰς τὴν χαρὰν τοῦ κυρίου σου.

Τὴν ἅπασαν μακαριότητα διὰ τοῦ ὀνόματος τῆς χαρᾶς ἐδήλωσε.

22 Προσελθὼν δὲ καὶ ὁ τὰ δύο τάλαντα λαβὼν, εἶπε·
Κύριε, δύο τάλαντά μοι παρέδωκας· ἴδε, ἄλλα δύο
23 τάλαντα ἐκέρδησα ἐπ᾽ αὐτοῖς. Ἔφη αὐτῷ ὁ κύριος
αὐτοῦ· Εὖ, δοῦλε ἀγαθὲ καὶ πιστέ· ἐπὶ ὀλίγα ἦς
πιστὸς, ἐπὶ πολλῶν σε καταστήσω· εἴσελθε εἰς τὴν
χαρὰν τοῦ κυρίου σου.

Εἰ καὶ διάφορα τὰ χαρίσματα, ἀλλ᾽ ἴση ἡ τιμή· διότι καὶ ἴση τούτοις ἡ σπουδή. Καὶ γὰρ ἑκάτερος τὰ δεδομένα ἐδιπλασίασεν. Ἢ καὶ ἑτέρως εἰπεῖν· ἐπίσης μὲν ἐπαινοῦνται, καὶ ἐπίσης εἰσάγονται· διαφόρων δὲ τῶν ἀμοιβῶν ἀξιοῦνται, κατ᾽ ἀναλογίαν τῶν ἐπικερδηθέντων.

24 Προσελθὼν δὲ καὶ ὁ τὸ ἓν τάλαντον εἰληφὼς, εἶπε·
Κύριε, ἔγνων σε, ὅτι σκληρὸς εἶ ἄνθρωπος, θερίζων
ὅπου οὐκ ἔσπειρας, καὶ συνάγων ὅθεν οὐ διεσκόρ-
25 πισας· καὶ φοβηθεὶς, ἀπελθὼν ἔκρυψα τὸ τάλαν-
τόν σου ἐν τῇ γῇ· ἴδε, ἔχεις τὸ σόν.

Σκληρὸς, ἀντὶ τοῦ, αὐστηρός. Ὤετο γὰρ, ὅτι μόνη ἡ σπου-

δὴ τῶν ἐμπορευομένων ἄνευ τῆς ἐκ Θεοῦ βοηθείας κατορθοῖ τὸ πᾶν. Ταύτην δὲ τὴν ἀπολογίαν ἐσχημάτισεν ἡ παραβολὴ, δεῖξαι βουλομένη, ὅτι οἱ τοιοῦτοι οὐδὲν εὔλογον ἀπολογήσασθαι δυνηθήσονται, καὶ ὅτι ὅσα ἂν ἀπολογήσωνται, κατ᾽ αὐτῶν πάντα περιτραπήσονται. Καὶ ἄκουε τῶν ἑξῆς.

26 Ἀποκριθεὶς δὲ ὁ κύριος αὐτοῦ, εἶπεν αὐτῷ· **Πο-**
νηρὲ δοῦλε καὶ ὀκνηρὲ, ᾔδεις, ὅτι θερίζω ὅπου οὐκ
27 ἔσπειρα, καὶ συνάγω ὅθεν οὐ διεσκόρπισα. Ἔδει
οὖν σε βαλεῖν τὸ ἀργύριόν μου τοῖς τραπεζίταις·
καὶ ἐλθὼν ἐγὼ ἐκομισάμην ἂν τὸ ἐμὸν σὺν τόκῳ.

Οὐχ, ὡς ἀληθεύσαντος ἐκείνου, ταῦτα εἶπεν ὁ κύριος· οὐδὲν γὰρ κατορθοῦται χωρὶς αὐτοῦ· ἀλλ᾽ ὑποθετικῶς τὸν λόγον προήγαγεν, ὅτι, εἰ καὶ τοιοῦτος ἤμην, ὅπερ οὐκ ἀληθὲς, ὅμως ἐπεὶ τοιοῦτόν με ἐγίνωσκες, διὰ τοῦτο μᾶλλον ἔδει σε καταβαλεῖν τὸ χάρισμά μου τοῖς εἰδόσι διακρίνειν τὸ καλὸν ἀπὸ τοῦ κακοῦ· τούτους γὰρ λέγει τραπεζίτας· ἔδει σε διδάξαι, νουθετῆσαι, συμβουλεῦσαι, πᾶν τὸ σὸν ποιῆσαι· τὸ δὲ λοιπὸν ἐμοὶ ἐπιτρέψαι, λέγω δὴ, τὴν ἀπαίτησιν· ἔδει σε τὸ εὐχερέστερον τέως διαπράξασθαι· τὸ δὲ δυσχερέστερον ἐμοὶ καταλιπεῖν. *Δάνειον* μὲν οὖν, ἡ διδασκαλία· *τόκος* δὲ τοῦ τοιούτου δανείου, ἡ προσθήκη τῶν ἀρετῶν. Τόκον δὲ, τὴν ἐπικερδείαν ἁπλῶς ὠνόμασε, τῇ συνηθείᾳ χρησάμενος.

28 Ἄρατε οὖν ἀπ᾽ αὐτοῦ τὸ τάλαντον, καὶ δότε τῷ
29 ἔχοντι τὰ δέκα τάλαντα. Τῷ γὰρ ἔχοντι παντὶ
δοθήσεται, καὶ περισσευθήσεται· ἀπὸ δὲ τοῦ μὴ ἔχον-
τος, καὶ ὃ ἔχει, ἀρθήσεται ἀπ᾽ αὐτοῦ.

Ἐκέλευσε γυμνωθῆναι αὐτὸν τοῦ διδασκαλικοῦ ἀξιώματος· τοῦτο γὰρ εἶπε τάλαντον· καὶ τὴν τιμὴν ταύτην εἰς προσθήκην δοθῆναι τῷ ἔχοντι τὰ δέκα τάλαντα. **Παντὶ γὰρ τῷ ἔχοντι** σπουδήν τε καὶ ἐπιμέλειαν, δοθήσεται τιμὴ καὶ περισσοτέρα τῆς ἐπιβαλλούσης αὐτῷ· ἀπὸ δὲ τοῦ μὴ ἔχοντος σπουδὴν, ὡς εἴρηται, καὶ ἐπιμέλειαν, καὶ ὃ ἔχει διδασκαλικὸν ἀξίωμα, ἀφαιρεθήσεται, οἷα μὴ χρησαμένου αὐτῷ.

30 Καὶ τὸν ἀχρεῖον δοῦλον ἐκβάλετε εἰς τὸ σκότος
τὸ ἐξώτερον· ἐκεῖ ἔσται ὁ κλαυθμὸς καὶ ὁ βρυγ-
μὸς τῶν ὀδόντων.

Οὐ μέχρι τῆς ἀφαιρέσεως ἔστησε τὴν ζημίαν, ἀλλὰ καὶ εἰς ἀφόρητον ἀπέπεμψε κόλασιν, ἀχρεῖον αὐτὸν εἰπὼν, ὡς ἄχρηστον καὶ ὀκνηρόν. Ὅρα πρᾶγμα φοβερόν! Κολάζεται γὰρ οὐχ ὅτι ἔπραξε κακὰ, ἀλλ᾽ ὅτι οὐκ ἔπραξεν ἀγαθά· *ἔκκλινον* γάρ, φησιν, *ἀπὸ κακοῦ, καὶ ποίησον ἀγαθόν* (α). Ἡ μέντοι κατὰ τὸ ἑξηκοστὸν ἕβδομον Κεφάλαιον τοῦ Λουκᾶ (β) τῶν δέκα μνῶν παραβολὴ ἑτέρα παρὰ ταύτην ἐστὶν, εἰ καὶ τὰ πολλὰ ἔοικεν· ἐν ἐκείνῃ γὰρ αἱ δόσεις μὲν ἴσαι, τὰ κέρδη δὲ ἄνισα καὶ αἱ τιμαί.

[Διότι (1) αὕτη μὲν περὶ διαφόρων διδασκαλικῶν χαρισμάτων διαλαμβάνει, μὴ διδομένων ἐπίσης· ἐκείνη δὲ, περὶ διαφόρων διδομένων ἐπίσης.]

ΚΕΦΑΛΑΙΟΝ ΞΑʹ.

Περὶ τῆς ἐλεύσεως τοῦ Χριστοῦ.

31 Ὅταν δὲ ἔλθῃ ὁ υἱὸς τοῦ ἀνθρώπου ἐν τῇ δόξῃ
αὐτοῦ, καὶ πάντες οἱ ἅγιοι ἄγγελοι μετ᾽ αὐτοῦ,
τότε καθίσει ἐπὶ θρόνου δόξης αὐτοῦ·

Λοιπὸν διηγεῖται καὶ τὰ τῆς δευτέρας παρουσίας αὐτοῦ, πρὸς

(α) Ψαλμ. ΛΓʹ, 15.

(β) Λουκ. ΙΘʹ, 13.

(1) Τὰ παρενταθειμένα ἀναγινώσκονται ἐν τῷ περισελιδίῳ παρὰ τῷ Α.

φόβον καὶ διόρθωσιν τῶν ἀκροωμένων. *Δόξαν* δὲ αὐτοῦ λέγει, τὴν θεοπρεπεστάτην· ἡ πρώτη γὰρ αὐτοῦ ἔλευσις ἐν ἀδοξίᾳ γέγονε· *καθίσει* δὲ, ὡς κριτής· *θρόνος* δὲ *δόξης*, ὁ ἔνδοξος, ὁ βασιλικός.

32 Καὶ συναχθήσεται ἔμπροσθεν αὐτοῦ πάντα τὰ ἔθνη·

Ἀναστάντα, δηλαδὴ, ἐκ νεκρῶν. Προείρηκε γὰρ διαφόρως περὶ τῆς ἀναστάσεως αὐτῶν.

32 Καὶ ἀφοριεῖ αὐτοὺς ἀπ᾽ ἀλλήλων, ὥσπερ ὁ ποιμὴν
ἀφορίζει τὰ πρόβατα ἀπὸ τῶν ἐρίφων·

Νῦν μὲν γὰρ ἀναμὶξ εἰσι πάντες· τότε δὲ ἀκριβῶς διαχωρισθήσονται. Περὶ τῶν χριστιανῶν δὲ μόνον ὁ λόγος ἐνταῦθα, ὡς κατωτέρω δηλωθήσεται.

33 Καὶ στήσει τὰ μὲν πρόβατα ἐκ δεξιῶν αὐτοῦ, τὰ
δὲ ἐρίφια, ἐξ εὐωνύμων.

Προβάτοις μὲν, οἱ δίκαιοι παρεικάζονται, διὰ τὸ πρᾷον καὶ εὔτακτον καὶ καρποφόρον ἐν ἀρεταῖς, ὡς ἐκεῖνα, ἐν γάλακτι καὶ ἐρίῳ· *ἐρίφοις* δὲ, οἱ ἁμαρτωλοὶ, διὰ τὸ ἄγριον καὶ ἄτακτον καὶ ἄκαρπον· εἴποις δ᾽ ἂν, καὶ διὰ τὸ δυσῶδες τῆς ἁμαρτίας, καὶ διὰ τὸ μὴ εὐθυπορεῖν, ἀλλὰ παρεγκλίνειν, καὶ διὰ τὸ κρημνοβατεῖν. Ἀλλ᾽ ἐκεῖνα μὲν, ἐκ φύσεως ἔχουσιν, ἃ ἔχουσιν· οἱ δὲ δίκαιοι καὶ ἁμαρτωλοὶ, ἐκ προαιρέσεως· διὸ καὶ οἱ μὲν τιμῶνται, οἱ δὲ τιμωροῦνται. Διαιρεῖ δὲ αὐτοὺς, οὐ δεόμενος μαρτύρων, ἀλλ᾽ αὐτὸς καὶ μάρτυς ὢν καὶ κριτής.

34 Τότε ἐρεῖ ὁ βασιλεὺς τοῖς ἐκ δεξιῶν αὐτοῦ· Δεῦτε
οἱ εὐλογημένοι τοῦ πατρός μου, κληρονομήσατε
τὴν ἡτοιμασμένην ὑμῖν βασιλείαν ἀπὸ καταβολῆς
κόσμου.

Ὢ φωνῆς εὐκταίας! ὢ τιμῆς ἀῤῥήτου! *Οἱ εὐλογημένοι*, φησὶ, *τοῦ πατρός μου*, οἱ ἐπαινετοὶ, οἱ ἐκλεκτοί. Οὐκ εἶπε δὲ, Λάβετε, ἀλλὰ Κληρονομήσατε, ὡς πατρῴαν, ὡς ὀφειλομένην, ὡς ἑτοιμασθεῖσαν ὑμῖν ἀπὸ συστάσεως κόσμου. Πρὸ τοῦ γενέσθαι γὰρ τοὺς ἀνθρώπους ηὐτρεπίσθη τοῖς δικαίοις, γινώσκοντος τοῦ θεοῦ τὸ μέλλον. Εἶτα λέγει καὶ τὴν αἰτίαν τῆς τοσαύτης τιμῆς.

35 Ἐπείνασα γὰρ, καὶ ἐδώκατέ μοι φαγεῖν· ἐδίψησα,
καὶ ἐποτίσατέ με· ξένος ἤμην, καὶ συνηγάγετέ με·
36 γυμνὸς, καὶ περιεβάλετέ με· ἠσθένησα, καὶ ἐπε-
σκέψασθέ με· ἐν φυλακῇ ἤμην, καὶ ἤλθετε πρός με.

Ἐντεῦθεν φανερὸν, ὅτι πρὸς τοὺς χριστιανοὺς μόνους διαλέγεται, πρὸς οὓς αἱ τοῦ εὐαγγελίου αὐτοῦ γεγόνασιν ἐντολαί· πρὸς γὰρ τοὺς ἀπίστους οὐδεὶς αὐτῷ τηνικαῦτα λόγος· ἅπαντες γὰρ κοινῶς αὐτοκατάκριτοι ἔσονται. Διὰ τοῦτο γάρ, φησιν, *οὐκ ἀναστήσονται ἀσεβεῖς ἐν κρίσει* (α), τουτέστιν, οὐκ ἀναστήσονται ἐπὶ τῷ κριθῆναι, ἀλλ᾽ ἐπὶ τῷ τιμωρηθῆναι. Καὶ γὰρ καὶ ἀνωτέρω (β) δεδήλωκεν, ὅτι Ὅτε *φανήσεται τὸ σημεῖον τοῦ υἱοῦ τοῦ ἀνθρώπου ἐν τῷ οὐρανῷ, τότε κόψονται πᾶσαι αἱ φυλαὶ τῆς γῆς*, μόνον τὸ συνειδὸς καταδικάζον ἔχοντες. Νῦν δὲ πρὸς τοὺς χριστιανοὺς, ὡς ἔφημεν, ὁ λόγος. Ὅρα δὲ, πῶς περὶ μόνης τῆς φιλανθρωπίας διαλέγεται, καὶ ἀπὸ μόνης ταύτης τοὺς μὲν δικαίους ἀξιοῖ τιμῆς, τοὺς δὲ ἁμαρτωλοὺς, τιμωρίας· οὐχ ὡς τὰ λοιπὰ τῶν δικαίων μὲν κατορθώματα, τῶν ἁμαρτωλῶν δὲ πλημμελήματα, δίχα λόγου καταλιπεῖν μέλλων· πάντων γὰρ ἐξετάσει πάντα, καὶ τὰς πράξεις, καὶ τοὺς λόγους, καὶ τὰς ἐνθυμήσεις, ὡς αὐτός τε πολλαχοῦ τῆς ἑαυτοῦ διδασκαλίας ἐνέφηνε, καὶ πολλαχόθεν τῆς θείας Γραφῆς μανθάνομεν· καὶ τῶν μὲν κατορθωμάτων τιμὰς ἀποδώσει· τῶν δὲ πλημμελημάτων, τιμωρίας. Ἀλλὰ νῦν περὶ μόνης ταύτης, ὡς εἴρηται, διαλέγεται, βεβαιῶσαι βου-

(α) Ψαλμ. Α', 5.
(β) Ματθ. ΚΔ, 30.

λόμενος, ὅτι ταύτην μάλιστα ζητεῖ, καὶ ταύτην ἀπαιτεῖ πρὸ πάντων, ὡς ἀναγκαιοτάτην χριστιανοῖς. Χαρακτηριστικὸν μὲν γὰρ χριστιανοῦ παντὸς ἡ ἀγάπη· *ἐν τούτῳ γάρ*, φησι, *γνώσονται πάντες, ὅτι ἐμοὶ μαθηταί ἐστε, ἐὰν ἀγάπην ἔχητε ἐν ἀλλήλοις* (α). Ταύτης δὲ τὸ κράτιστον ἡ φιλοπτωχία καὶ ἡ περὶ τὸ συγγενὲς εὐσπλαγχνία καὶ συμπάθεια κατὰ τὸν θεολόγον Γρηγόριον. Οὐδενὶ γάρ, φησι, τῶν πάντων, ὡς ἐλέῳ θεὸς θεραπεύεται, οὐδὲ ἄλλῳ τινὶ μᾶλλον ἢ φιλανθρωπίᾳ τὸ φιλάνθρωπον ἀντιδίδοται. Λοιπὸν οὖν ἐξαιρέτως διαλαμβάνει περὶ τοῦ ἐξαιρέτου χριστιανοῖς κατορθώματος, ἐκφοβῶν οὕτω καὶ συμπείθων ἡμᾶς, ἀνθρώπους ὄντας, φιλανθρώπους γίνεσθαι, χρῄζοντας τῆς παρ᾽ αὐτοῦ τότε φιλανθρωπίας. Δικαιότατος δὲ μισθὸς τοῖς μὲν ἀνελεήμοσιν, ἀνελεημοσύνη· τοῖς δὲ ἐλεήμοσιν, ἐλεημοσύνη. Καὶ γὰρ ἐλεῶν ἀντιδίδωσι μικρῶν κατορθωμάτων μεγάλας ἀμοιβάς. Τί γὰρ τῆς βασιλείας ἐκείνης ἀντάξιον; Δῆλον δὲ, ὅτι ἐκ τῶν δυναμένων ἀπαιτεῖ τὴν φιλανθρωπίαν· τοῖς γὰρ μὴ δυναμένοις ἀρκεῖ τὸ βούλεσθαι. Διάφορα δὲ μέρη καταλέγει τῆς φιλανθρωπίας, ἵνα, εἰ μὲν δυνατὸν, πάντα κατορθώσωμεν· εἰ δὲ μὴ, κἄν γε τὰ δυνατά.

37 Τότε ἀποκριθήσονται αὐτῷ οἱ δίκαιοι, λέγοντες·
Κύριε, πότε σε εἴδομεν πεινῶντα, καὶ ἐθρέψαμεν;
38 ἢ διψῶντα, καὶ ἐποτίσαμεν; Πότε δέ σε εἴδομεν ξένον,
39 καὶ συνηγάγομεν; ἢ γυμνὸν, καὶ περιεβάλομεν; Πότε
δέ σε εἴδομεν ἀσθενῆ, ἢ ἐν φυλακῇ, καὶ ἤλθομεν
40 πρός σέ; Καὶ ἀποκριθεὶς ὁ βασιλεὺς, ἐρεῖ αὐτοῖς·
Ἀμὴν λέγω ὑμῖν, ἐφ᾽ ὅσον ἐποιήσατε ἑνὶ τούτων
τῶν ἀδελφῶν μου τῶν ἐλαχίστων, ἐμοὶ ἐποιήσατε.

Βασιλέα ἑαυτὸν ἐκάλεσεν, ὡς πάντων λοιπὸν ὑποτεταγμένων. *Ἐφ᾽ ὅσον* δὲ, ἀντὶ τοῦ, καθ᾽ ὅσον· *ἀδελφοὺς* δὲ, τοὺς πένητας

(α) Ἰωαν. ΙΓ', 35.

ὠνόμασεν, ὡς ὁμοίαν αὐτοῖς ἀναλαβὼν φύσιν καὶ ἐλαχιστότητα, ἢ καὶ ὡς κοινωνοὺς τῆς αὐτοῦ πενίας.

41 Τότε ἐρεῖ καὶ τοῖς ἐξ εὐωνύμων· Πορεύεσθε ἀπ᾽
ἐμοῦ οἱ κατηραμένοι εἰς τὸ πῦρ τὸ αἰώνιον, τὸ
ἡτοιμασμένον τῷ διαβόλῳ καὶ τοῖς ἀγγέλοις αὐτοῦ.

Ὁρᾷς; Ἡ βασιλεία μὲν τοῖς ἀνθρώποις ἡτοιμάσθη· τὸ πῦρ δὲ, τοῖς δαίμοσιν. Οἱ ἀφρονέστεροι δὲ τῶν ἀνθρώπων τὰ τῆς βασιλείας ἄξια καταλιπόντες, τὰ τοῦ πυρὸς ἄξια προετίμησαν· διὸ καὶ ἐκείνης ἐκπεσόντες, εἰς τοῦτο κατεκρίθησαν. Εἶτα καὶ ἡ αἰτία πάλιν τῆς τιμωρίας.

42 Ἐπείνασα γὰρ, καὶ οὐκ ἐδώκατέ μοι φαγεῖν· ἐδί-
43 ψησα, καὶ οὐκ ἐποτίσατέ με· ξένος ἤμην, καὶ οὐ
συνηγάγετέ με· γυμνὸς, καὶ οὐ περιεβάλετέ με·
ἀσθενὴς καὶ ἐν φυλακῇ, καὶ οὐκ ἐπεσκέψασθέ με.

Οὐκ εἶπεν, ὅτι Οὐκ ἀπηλλάξατέ με τῆς πενίας καὶ τῆς ἀσθενείας καὶ τῆς φυλακῆς, ἀλλ᾽ ὅτι Τὰ ἀναγκαῖα οὐκ ἐνεδείξασθε, ὅτι τὰ ῥᾴδια οὐκ ἐπράξατε. Πρῶτον δὲ τοὺς ἐλεήμονας ἀνακηρύττει, δεικνύων τὸ τοῦ κατορθώματος εὐχερὲς, ἵνα ἀπ᾽ ἐκείνων τούτους καταδικάσῃ.

44 Τότε ἀποκριθήσονται καὶ αὐτοὶ, λέγοντες· Κύ-
ριε, πότε σε εἴδομεν πεινῶντα, ἢ διψῶντα, ἢ
ξένον, ἢ γυμνὸν, ἢ ἀσθενῆ, ἢ ἐν φυλακῇ, καὶ οὐ διη-
45 κονήσαμέν σοι; Τότε ἀποκριθήσεται αὐτοῖς, λέγων·
Ἀμὴν λέγω ὑμῖν, ἐφ᾽ ὅσον οὐκ ἐποιήσατε ἑνὶ τού-
των τῶν ἐλαχίστων, οὐδὲ ἐμοὶ ἐποιήσατε.

Εἰκότως ὁ μὲν ἐλεήμων κληρονομεῖ τὴν βασιλείαν, ὅτι τὴν ἀγάπην κατώρθωσε, τῶν ἀρετῶν τὸ κεφάλαιον· ταύτης γὰρ μέρος ἡ ἐλεημοσύνη· ὁ δ᾽ ἀνελεήμων εἰς τὸ πῦρ ἀποπέμπεται, διότι τὸ ἐναντίον τῇ ἀγάπῃ μῖσος ἐκτήσατο, τῶν κακιῶν τὸ κεφάλαιον· τούτου γὰρ ὁμοίως μέρος ἡ ἀνελεημοσύνη· καὶ ὁ

32*

μὲν τὸν ἐλεήμονα καὶ φιλάνθρωπον Θεὸν ἐμιμήσατο· ὁ δὲ τὸν ἀνελεήμονα καὶ μισάνθρωπον διάβολον.

46 Καὶ ἀπελεύσονται οὗτοι εἰς κόλασιν αἰώνιον· οἱ δὲ
δίκαιοι εἰς ζωὴν αἰώνιον.

Οὐαὶ, πᾶσι μὲν τοῖς ἁμαρτωλοῖς, μάλιςα δὲ τοῖς ἀνελεήμοσι.

ΚΕΦ. XXVI, 1 Καὶ ἐγένετο, ὅτε ἐτέλεσεν ὁ Ἰησοῦς
πάντας τοὺς λόγους τούτους, εἶπε τοῖς μαθηταῖς
2 αὐτοῦ· Οἴδατε, ὅτι μετὰ δύο ἡμέρας τὸ πάσχα γί-
νεται· καὶ ὁ υἱὸς τοῦ ἀνθρώπου παραδίδοται εἰς τὸ
σταυρωθῆναι.

Τοῦ νομικοῦ πάσχα συμπίπτοντος κατὰ τὴν τεσσαρεσκαιδεκάτην τοῦ μηνὸς, ὡς ὁ περὶ τούτου νόμος ἐπέτρεπε, πρόδηλον, ὅτι κατὰ τὴν δωδεκάτην τοῦτο πρὸς τοὺς μαθητὰς εἴρηκε. Κατὰ ταύτην μὲν γὰρ τὴν δωδεκάτην παρὰ τῇ οἰκίᾳ Σίμωνος τοῦ λεπροῦ δεδείπνηκε· κατὰ δὲ τὴν τρισκαιδεκάτην, παρ' ᾧ τὸ ἐστρωμένον ἀνώγεων, ὡς μετ' οὐ πολὺ δειχθήσεται· κατὰ τὴν τεσσαρεσκαιδεκάτην δὲ τὸ πάσχα συνέπεσεν. Εἶπε δὲ τοῦτο, σημαίνων ἐγγὺς οὖσαν τὴν ἑαυτοῦ τελευτήν· ἐν αὐτῷ γὰρ τῷ καιρῷ τοῦ νομικοῦ πάσχα παθεῖν ἔμελλε καὶ αὐτός. Οὐκ εἶπε δὲ ἁπλῶς, ὅτι *παραδίδοται*, ἀλλ' ὅτι *εἰς τὸ σταυρωθῆναι*. Ἁπλῶς μὲν γὰρ παρεδόθη τοῖς Ἰουδαίοις μετὰ μίαν ἡμέραν, ἤγουν, ἐν τῇ τρισκαιδεκάτῃ· ταύτης γὰρ ἐνισταμένης, μετὰ τὸ κοινωνῆσαι τοῖς μαθηταῖς τοῦ μυστικοῦ δείπνου, παρεδόθη τοῖς ἐπιβούλοις· εἰς δὲ τὸ σταυρωθῆναι παρεδόθη μετὰ δύο ταύτας ἡμέρας, ἤτοι, μετὰ τὴν δωδεκάτην καὶ τὴν τρισκαιδεκάτην· ἐν τῇ τεσσαρεσκαιδεκάτῃ γάρ φησιν ὁ εὐαγγελιστής· *Τότε ἀπέλυσεν αὐτοῖς τὸν Βαραββᾶν* ὁ Πιλάτος· *τὸν δὲ Ἰησοῦν φραγελλώσας, παρέδωκεν, ἵνα σταυρωθῇ* (α).

(α) Ματθ. ΚΖ'. 26.

3 Τότε συνήχθησαν οἱ ἀρχιερεῖς καὶ οἱ γραμματεῖς
καὶ οἱ πρεσβύτεροι τοῦ λαοῦ εἰς τὴν αὐλὴν τοῦ
4 ἀρχιερέως, τοῦ λεγομένου Καϊάφα· καὶ συνεβου-
λεύσαντο, ἵνα τὸν Ἰησοῦν κρατήσωσι δόλῳ, καὶ
ἀποκτείνωσιν.

Τοῦ νόμου κελεύοντος, ἕνα ἀρχιερέα καθίστασθαι μέχρις ἂν ζῇ, τούτου δὲ τελευτήσαντος, ἕτερον ἀντικαθίστασθαι, παρέλυσαν Ἰουδαῖοι τὸν νόμον, καὶ ἐνιαυσιαίαν τὴν ἀρχιερωσύνην ἐποίησαν. Ὅθεν εἰκὸς, πολλοὺς εἶναι τοὺς ἀρχιερατεύσαντας μὲν, πεπληρωκότας δὲ τὴν λαχοῦσαν λειτουργίαν, οὓς νῦν *ἀρχιερεῖς* ὁ εὐαγγελιστὴς ὠνόμασε. *Γραμματεῖς* δὲ λέγει, τοὺς νομοδιδασκάλους· *πρεσβυτέρους* δὲ *τοῦ λαοῦ*, τοὺς γηραιοὺς καὶ συνετωτέρους, οἳ πάντες ὁμοῦ τότε συνήχθησαν παρὰ τῷ Καϊάφᾳ, τὴν ἀρχιερωσύνην τηνικαῦτα κεκληρωμένῳ διέπειν, ὑπὸ τούτου θέλοντες τὸ τοῦ φόνου λαβεῖν ἐνδόσιμον, ὑφ' οὗ κωλυθῆναι μᾶλλον ἐχρῆν. *Δόλῳ* δὲ *κράτησιν* εἶπε, τὴν λαθραίαν κατάσχεσιν· τὴν γὰρ ἐκ τοῦ προφανοῦς ἐφυλάσσοντο διὰ τοὺς μαθητὰς αὐτοῦ, καὶ τοὺς ἄλλως ἑπομένους.

5 Ἔλεγον δέ· Μὴ ἐν τῇ ἑορτῇ, ἵνα μὴ θόρυβος γέ-
νηται ἐν τῷ λαῷ.

Ἔλεγον δέ· Μὴ ἐν τῇ ἑορτῇ, δηλαδὴ γενέσθω. Πάντων γὰρ πανταχόθεν ἐν τῇ ἑορτῇ τοῦ πάσχα συνειλεγμένων, συνέβαινε πολλοὺς εἶναι περὶ τὸν Ἰησοῦν· ἄλλως τε καὶ, μὴ λανθάνοντος τοῦ πράγματος, οὐκ ἀπροσδόκητον ἦν αὐτοῖς, ταραχθῆναι τὸν λαὸν, μυσαχθέντα τούτους, οὐ μόνον ὅτι ἀθῶον ἀνεῖλον, ἀλλ' ὅτι καὶ ἐν τῇ ἑορτῇ, καθ' ἣν καὶ κατάδικον εἰς τιμὴν αὐτῆς ἀπολύειν σύνηθες ἦν. Οὕτως οὐ τὸν Θεὸν, ἀλλὰ τοὺς ἀνθρώπους πανταχοῦ φοβοῦνται! Ἀλλ' εἰ καὶ τοῦτο οὕτω κεκρίκασιν, ὅμως οὐκ ἀνέμειναν· ἀλλ' εὑρόντες τὸν προδότην, ἥρπασαν τὸν καιρὸν, καὶ τῆς τοῦ φθόνου λύσσης ἀναβακχευσάσης αὐτοὺς,

καὶ τὸ συμφέρον ἠγνόησαν, καὶ ἐν τῇ ἑορτῇ τοῦτον καταθύσαντες, ἔδειξαν τῆς κατ᾽ αὐτοῦ μανίας τὴν ὑπερβολήν. Ἔδει γάρ, ἔδει τὸν σωτήριον ἀμνὸν ἐν τῇ ἡμέρᾳ τῆς τοῦ νομικοῦ ἀμνοῦ θυσίας θυσιασθῆναι, τοῦ Σωτῆρος χρησαμένου τῇ ἐκείνων πονηρίᾳ πρὸς τὴν οἰκείαν οἰκονομίαν, ἵνα πάντως ὁ τύπος καταλλήλως λάβῃ τὴν ἔκβασιν. Χρὴ δὲ καὶ τοῦτο συνιδεῖν, ὅτι πολλάκις μὲν αὐτὸν κατασχεῖν θελήσαντες, οὐκ ἠδυνήθησαν· οὐ γὰρ αὐτὸς ἤθελεν· ὅτε δὲ αὐτὸς ἠθέλησε, τότε καὶ μὴ θέλοντες αὐτοί· καὶ γὰρ ἐφυλάσσοντο τὴν ἑορτήν, ὡς εἴρηται· συνέσχον αὐτόν. Τὰ αὐτὰ δὲ καὶ ὁ Μάρκος (α) περὶ τούτου φησίν· ὁ δέ γε Λουκᾶς (β) ἐπιτόμως εἰπών, πρὸς τὸν Ἰούδαν μεταβέβηκεν· ὁ δ᾽ Ἰωάννης (γ) τοῦτο μὲν τὸ Κεφάλαιον παρῆκεν, ὡς τοῖς ἄλλοις εἰρημένον, ὃ καὶ ἐν πολλοῖς ἄλλοις κεφαλαίοις ἐποίησε· μακροβιώτατος γὰρ γενόμενος ἐνέτυχε ταῖς βίβλοις αὐτῶν, ὡς ἐν τῷ προοιμίῳ τῆς παρούσης βίβλου παρεσημειωσάμεθα· ἑτέρου δὲ λόγου ἅπτεται, καὶ τὰ περὶ τοῦ νιπτῆρος διέξεισιν, ὡς παραλελειμμένα τούτοις.

ΚΕΦΑΛΑΙΟΝ ΞΒ΄.

Περὶ τῆς ἀλειψάσης τὸν Κύριον μύρῳ.

6 Τοῦ δὲ Ἰησοῦ γενομένου ἐν Βηθανίᾳ, ἐν οἰκίᾳ Σί-
7 μωνος τοῦ λεπροῦ, προσῆλθεν αὐτῷ γυνή, ἀλάβα-
στρον μύρου ἔχουσα βαρυτίμου, καὶ κατέχεεν ἐπὶ
τὴν κεφαλὴν αὐτοῦ ἀνακειμένου.

Τρεῖς εἰσὶν αἱ γυναῖκες αἱ τὸν Κύριον ἀλείψασαι μύρῳ. Πρώ-

(α) Μαρκ. ΙΔ΄, 2. καὶ ἑξῆς.
(β) Λουκ. ΚΒ΄, 1. 2.
(γ) Ἰωαν. ΙΓ΄, 1· καὶ ἑξῆς,

τη μὲν ἡ παρὰ τῷ Λουκᾷ (α), ἥτις καὶ ἁμαρτωλὸς ἦν, καὶ περὶ τὰ μέσα τοῦ κηρύγματος τοῦτο πεποίηκε, καὶ ἐν τῇ οἰκίᾳ Σίμωνος τοῦ φαρισαίου, ὅτε καὶ σκανδαλίζεται μόνος ὁ φαρισαῖος, ᾗτινι καὶ μισθὸν δίδωσιν ὁ Σωτήρ, τὴν ἄφεσιν τῶν ἁμαρτημάτων· δευτέρα δέ, ἡ παρὰ τῷ Ἰωάννῃ (β), ἥτις Μαρία ἦν, ἡ ἀδελφὴ τοῦ Λαζάρου, βίον ἔχουσα σεμνόν, καὶ πρὸ ἓξ ἡμερῶν τοῦ πάσχα τοῦτο πεποίηκε, καὶ ἐν τῷ ἰδίῳ οἴκῳ, καὶ χαριστήριον τῆς τοῦ ἀδελφοῦ παλινζωΐας προσήγαγε τὸ μύρον· διὸ οὐδὲ μισθὸς αὐτῇ ἐπαγγέλλεται, ὅτε καὶ γογγύζει μόνος Ἰούδας· τρίτη δέ ἐστιν αὕτη, περὶ ἧς Ματθαῖος καὶ Μάρκος (γ) ὁμοίως διαλαμβάνουσιν, ἥτις πρὸ δύο ἡμερῶν τοῦ πάσχα προσῆλθε, καὶ ἐν τῇ οἰκίᾳ Σίμωνος τοῦ λεπροῦ· πρὸς ἀντιδιαστολὴν γὰρ τοῦ φαρισαίου, τὸ ἀπὸ τῆς λέπρας ἐπίσημον προστεθείκασιν· ἅμα δεικνύντες, καὶ ὅτι οὐκ ἐβδελύξατο τὴν ἀκαθαρσίαν τοῦ σώματος αὐτοῦ ὁ Χριστὸς διὰ τὴν τῆς ψυχῆς αὐτοῦ καθαρότητα· καὶ ἐπὶ τὴν κεφαλὴν τοῦ Χριστοῦ τὸ μύρον κατέχεεν, οὐκ ἐπὶ τοὺς πόδας, ὡς ἐκεῖναι· ὅτε καὶ ἀγανακτοῦσιν οἱ μαθηταί, ἧς καὶ τὸ μνημόσυνον εἰς τὴν οἰκουμένην ᾄδεσθαι ἐπαγγέλλεται. Φανεραὶ μὲν οὖν αἱ διαφοραὶ τῶν τριῶν. Αὕτη δέ, λελεπρωμένη τὴν ψυχὴν οὖσα, ἐπείπερ εἶδε τὸν λεπρὸν Σίμωνα τεθεραπευμένον, ἐθάῤῥησεν, ὅτι καὶ αὐτὴ τεύξεται τῆς ἰάσεως. Ἀλάβαστρον δέ ἐστιν, εἶδος ἀγγείου μυροδόχου (ι). Μάρκος δὲ καὶ τὸ τοῦ μύρου εἶδος προσέθηκε· *νάρδου* γάρ, φησι, *πιστικῆς πολυτελοῦς* (δ)· *πιστικὴν* καλῶν, ὡς ἔοικε, τὴν ἄκρατον καὶ καταπεπιστευμένην εἰς κα-

(α) Λουκ. Ζ΄, 37.
(β) Ἰωαν. ΙΒ΄, 3.
(γ) Μαρκ. ΙΔ΄, 3.
(ι) Ἐν λεξικῷ ἀνεκδότῳ. Ἀλάβαστρον· μυροθήκη ψήφινος ἢ λίθινος· ἀλάβαστόν τι ὄν, πλεονασμῷ τοῦ ρ, ἀλάβαστρον, οὗ λαβέσθαι διὰ λειότητα ἀδύνατον. Ἴδ. καὶ Ζωναράν.
(δ) Μαρκ. ΙΔ΄, 3.

θαρότητα, ἢ καὶ προσηγορία τις ἦν τοῦτο μύρου. Λέγει δὲ καὶ ὅτι συνέτριψε τὸ ἄγγος ὑπὸ σπουδῆς, οἷα στενόπορον.

8 Ἰδόντες δὲ οἱ μαθηταὶ αὐτοῦ ἠγανάκτησαν, λέγον-
9 τες· Εἰς τί ἡ ἀπώλεια αὕτη; Ἠδύνατο γὰρ τοῦτο
τὸ μύρον πραθῆναι πολλοῦ, καὶ δοθῆναι πτωχοῖς.

Η*γανάκτησαν*, ἀλλὰ πρὸς ἑαυτούς, ὡς ὁ Μάρκος εἶπεν (α), ὃς προσέθηκε, καὶ ὅτι εἶπον, *Ἠδύνατο τοῦτο πραθῆναι ἐπάνω τριακοσίων δηναρίων*, καὶ ὅτι *καὶ ἐνεβριμῶντο αὐτῇ*· τουτέστιν, ἐπέπληττον, ἐμέμφοντο διὰ τὴν παράχρησιν. Εἰς τοῦτο δὲ προήχθησαν ὑπὸ φιλανθρωπίας, πολλάκις ἀκούσαντες τοῦ διδασκάλου πολλὰ περὶ ἐλεημοσύνης διαλεχθέντος, καὶ πολὺν ἤδη λόγον τῶν πενήτων ἔχοντες, καὶ γινώσκοντες, ὅτι ὁ θεὸς ἔλεον θέλει καὶ οὐ θυσίαν. Ἀξιοθαύμαστος δέ ἐστιν ἡ γυνή, μὴ φεισαμένη τηλικούτου ἀναλώματος ὑπὲρ σωτηρίας ψυχῆς· οὐ γὰρ ὑπὲρ σωματικῆς ἰατρείας τοῦτο πεποίηκε.

10 Γνοὺς δὲ ὁ Ἰησοῦς, εἶπεν αὐτοῖς· Τί κόπους παρέ-
χετε τῇ γυναικί;

Επεὶ ἔφθασε καταχεθῆναι τὸ μύρον, ἠνέσχετο λοιπὸν ὁ Κύριος, οὐχ ὡς τοῦ μύρου δεόμενος, ἀλλ' ἵνα μὴ ἀμβλύνῃ τὴν πίστιν αὐτῆς. Ἐπεὶ δὲ οἱ μαθηταί, τῇ γυναικὶ ἐπιτιμῶντες, εἰς μεταμέλειαν αὐτὴν τοῦ πεπραγμένου συνήλαυνον, μανθάνουσαν παρ' αὐτῶν, ὅτι μάτην ἀνάλωσε πολύτιμον χρῆμα, ἀντεπιτιμᾷ τούτοις· *κόπους* μὲν λέγων, τὰς ἐκ μεταμελείας ὀδύνας· διδάσκων δέ, ὅτι οὐ χρὴ πηροῦν ἀρχομένην βλαστάνειν τὴν πίστιν τῶν ἀνθρώπων, ἀλλὰ συνεκτρέφειν μᾶλλον αὐτήν, καὶ μὴ παρὰ τὴν ἀρχὴν ἐπιζητεῖν ἅπασαν ἀκρίβειαν, μηδὲ τὰ ὑψηλότερα τοὺς ἀσθενεστέρους ἀπαιτεῖν. Εἶτα παραμυθεῖται καὶ τὴν γυναῖκα, λέγων·

(α) Μαρκ. ΙΔ', 4. 5.

10 Ἔργον γὰρ καλὸν εἰργάσατο εἰς ἐμέ.

Επαινέσας ἁπλῶς τὸ ἔργον αὐτῆς, πρῶτον μὲν λύει τὴν περὶ τῶν πτωχῶν πρόφασιν τῶν μαθητῶν, ἔπειτα ὑπεραπολογεῖται καὶ τοῦ ἔργου αὐτῆς.

11 Τοὺς πτωχοὺς γὰρ πάντοτε ἔχετε μεθ' ἑαυτῶν·
12 ἐμὲ δὲ οὐ πάντοτε ἔχετε. Βαλοῦσα γὰρ αὕτη τὸ
μύρον τοῦτο ἐπὶ τοῦ σώματός μου, πρὸς τὸ ἐντα-
φιάσαι με ἐποίησεν.

Περὶ τῶν πτωχῶν ἐκδηλότερον ἔγραψεν ὁ Μάρκος· *Ὅταν* (α) γάρ, φησι, *θέλητε, δύνασθε αὐτοὺς εὖ ποιῆσαι*. Εἰπὼν δέ, ὅτι *ἐμὲ δὲ οὐ πάντοτε ἔχετε*, ὑπόμνησιν αὐτοῖς ἐνέβαλε τῆς μετ' ὀλίγον σφαγῆς αὐτοῦ. *Πρὸς τὸ ἐνταφιάσαι με* δὲ *ἐποίησεν*, ἀντὶ τοῦ, πρὸς ἐνταφιασμόν μου, καθάπερ προφητεύουσα τὸν πλησιάζοντά μου θάνατον. Καὶ τοῦτο δὲ φανερώτερον εἴρηκεν ὁ Μάρκος (β), ὅτι *Ὃ ἔσχεν αὕτη ἐποίησε. Προέλαβε γὰρ μυρίσαι μου τὸ σῶμα εἰς τὸν ἐνταφιασμόν*. Ἔθος γὰρ ἦν μύροις ἐνταφιάζειν τὰ σώματα, πρὸς τὸ διαρκεῖν. *Ὃ* δὲ *ἔσχεν*, ἀντὶ τοῦ, ὃ ἠδύνατο. Καὶ (1) σὺ τοίνυν, ἐὰν μὲν ἴδῃς τινὰς κατασκευάζοντας ἐκκλησίας, ἢ μοναστήρια, ἢ ἀναθήματα, μὴ κέλευε καταλύειν τὸ γινόμενον, ἵνα μὴ πηρώσῃς αὐτῶν τὴν προθυμίαν· ἐὰν δὲ πρὸ τοῦ κατασκευάσαι τις ἐρωτήσῃ, κέλευε δοῦναι πτωχοῖς.

13 Ἀμὴν λέγω ὑμῖν, ὅπου ἐὰν κηρυχθῇ τὸ εὐαγγέλιον

(α) Μαρκ. ΙΔ', 7.

(β) Μαρκ. ΙΔ', 8.

(1) Ὁ Χρυσόστομος Τομ. Ζ'. Σελ. 768. Α. «Καὶ σὺ τοίνυν, ἐὰν μέν τινα ἴδῃς σκεύη κατασκευάσαντα ἱερὰ καὶ προσάγοντα, ἢ ἄλλον τινὰ ἐκκλησίας κόσμον περί τε τοίχους καὶ ἔδαφος φιλοπονοῦντα, μὴ κέλευε πραθῆναι, ἢ ἀνατραπῆναι τὸ γεγενημένον, ἵνα μὴ πηρώσῃς αὐτοῦ τὴν προθυμίαν. Ἂν δὲ πρὶν ἢ κατασκευάσαι τις ἐρεῖ ταῦτα, κέλευε δοθῆναι πτωχοῖς. Ἐπεὶ καὶ αὐτός, ὥστε μὴ πηρῶσαι τὴν προθυμίαν τῆς γυναικός, τοῦτο ἐποίησε.»

τοῦτο ἐν ὅλῳ τῷ κόσμῳ, λαληθήσεται καὶ ὃ ἐποίη-
σεν αὕτη, εἰς μνημόσυνον αὐτῆς.

Τοῦτο, καὶ τῆς γυναικὸς παράκλησις καὶ ἔπαινος ἦν, καὶ τῶν μαθητῶν παραμυθία· τῆς μὲν, ὅτι ἔσται κατὰ πᾶσαν ᾀδομένη τὴν οἰκουμένην· τῶν δὲ, ὅτι τὸ κήρυγμα πᾶσαν περιλαβεῖ τὴν οἰκουμένην. Τὸ *εὐαγγέλιον* δὲ τοῦτο, ἀντὶ τοῦ, ἡ πραγματεία ἡ ἐμὴ, ἡ διήγησις ἡ κατ' ἐμέ. Καὶ ὄντως, ὅσοι γινώσκουσι τὰ κατὰ τὸν Χριςὸν, γινώσκουσι καὶ ὃ ἐποίησεν αὕτη, καὶ τῷ εὐαγγελίῳ συνεκηρύχθη τὸ ἔργον αὐτῆς, καὶ εἰς ἅπασαν τὴν γῆν διέδραμεν αὐτῆς τὸ μνημόσυνον. Καὶ πῶς οὐδὲν πνευματικὸν ὑπέσχετο τῇ γυναικὶ, ἀλλὰ μόνην τὴν εἰσαεὶ μνήμην; Ἀπὸ ταύτης καὶ περὶ ἐκείνου θαῤῥεῖν ἔδωκεν. Εἰ γὰρ καλὸν ἔργον αὐτῇ προσεμαρτύρησε, πρόδηλον, ὅτι δώσει καὶ τὸν ὑπὲρ τούτου μισθόν. Προετύπου δὲ ἡ μὲν γυνὴ τὴν ἐκκλησίαν, τὴν πρότερον οὖσαν ἁμαρτωλόν· τὸ δὲ μύρον, τὴν πίστιν, ἣν ἐξέχεεν εἰς Χριστόν. Ὑπόμνησιν δὲ τοῖς μαθηταῖς, ὡς εἰρήκαμεν, ἐμβαλὼν, τῆς μετ' ὀλίγον σφαγῆς αὐτοῦ, καὶ τὸν Ἰούδαν ὑπένυξεν, ὡς οὐ λέληθε πονηρὰ σκεπτόμενος, ὑπανοίγων αὐτῷ μετανοίας θύραν· ὁ δὲ καὶ πρότερον μὲν ἐπὶ τῆς ἀδελφῆς τοῦ Λαζάρου διεγόγγυσε, λέγων· *Διὰ τί τοῦτο τὸ μύρον οὐκ ἐπράθη τριακοσίων δηναρίων, καὶ ἐδόθη πτωχοῖς; Εἶπε δέ*, φησι, *τοῦτο, οὐχ ὅτι περὶ τῶν πτωχῶν ἔμελεν αὐτῷ, ἀλλ' ὅτι κλέπτης ἦν, καὶ τὸ γλωσσόκομον εἶχε, καὶ τὰ βαλλόμενα ἐβάσταζε* (α). *Τὸ γλωσσόκομον* δὲ ἦν βαλάντιον, ἐν ᾧ τὰ προσαγόμενα χάριν τῶν πενήτων ἐναπεθησαυρίζοντο. Ὢν δὲ βαλαντιοφύλαξ, ἐβούλετο καὶ τὸ τίμημα τοῦ μύρου ἐναποταμιευθῆναι τῷ βαλαντίῳ, ἵνα δύναιτο κλέψαι. Φιλαργυρίᾳ γὰρ ἁλοὺς, εἰς κλοπὴν ἑώρα. Τότε δὲ τυχὼν ἀπολογίας, ἐπεὶ καὶ νῦν τὸ αὐτὸ γεγονὸς εἶδε, καὶ τῆς ἀφορμῆς τοῦ κλέψαι πάλιν ἀπέτυχεν, εἰς ὀργὴν λοιπὸν ἐξεκαύ-

(α) Ἰωαν. ΙΒ', 5. 6.

θη· καὶ εἰσελθόντος εἰς αὐτὸν τοῦ Σατανᾶ, καθὼς εἶπεν ὁ Λουκᾶς (α), ἄρχεται τῆς ἐπιβουλῆς.

14 Τότε πορευθεὶς εἷς τῶν δώδεκα, ὁ λεγόμενος Ἰού-
15 δας Ἰσκαριώτης, πρὸς τοὺς ἀρχιερεῖς, εἶπε· Τί
θέλετέ μοι δοῦναι, κἀγὼ ὑμῖν παραδώσω αὐτόν;

Ὅτε ἡ ἀλλοτρία ᾠκειώθη, τότε ὁ οἰκεῖος ἠλλοτριώθη, καὶ ἐπορεύθη πρὸς αὐτοὺς, οὐχ ὑπ' αὐτῶν μετεκλήθη. Προστέθειται δὲ τὸ ἀπὸ τῆς ἐνεγκαμένης ἐπώνυμον, διότι καὶ ἄλλος Ἰούδας ἦν, ὁ Ἰακώβου. Οὐκ εἶπε δὲ, ὅτι τὸν Ἰησοῦν, ἢ τὸν Χριςὸν, ἀλλ' ὅτι αὐτόν· ἐμίσει γὰρ λοιπὸν αὐτοῦ καὶ τὸ ὄνομα. Λουκᾶς δὲ εἶπεν (β), ὅτι *συνελάλησε καὶ τοῖς στρατηγοῖς, τὸ πῶς αὐτὸν παραδῷ αὐτοῖς*. Οἱ γὰρ ἀρχιερεῖς παρέπεισαν καὶ τοὺς στρατηγοὺς, συνάρασθαι αὐτοῖς κατὰ τοῦ Σωτῆρος, ὡς ἀναστατοῦντος τὸ πλῆθος.

15 Οἱ δὲ ἔστησαν αὐτῷ τριάκοντα ἀργύρια. Καὶ ἀπὸ
16 τότε ἐζήτει εὐκαιρίαν, ἵνα αὐτὸν παραδῷ.

Οἱ δ' ἀρχιερεῖς ἐστάθμησαν αὐτῷ τριάκοντα ἀργύρια· τὸ *ἀργύριον* δὲ, σταθμὸς ἦν ὁλκῆς, ὥσπερ καὶ τὸ *δηνάριον*, καὶ ὁ *στατὴρ*, καὶ τὸ *τάλαντον*. Μάρκος δὲ εἶπεν, ὅτι *ἐπηγγείλαντο αὐτῷ ἀργύριον δοῦναι* (γ)· Λουκᾶς δὲ (δ), ὅτι *συνέθεντο*. Εἰκὸς δὲ, πρῶτον μὲν συνθέσθαι καὶ ἐπαγγείλασθαι, εἶτα σταθμῆσαι. Τινὲς δὲ τὸ, *ἔστησαν*, ἀντὶ τοῦ, συνεφώνησαν καὶ ὡρίσαντο νενοήκασιν. Ἀργύριον δὲ ἁπλῶς λέγεται, καὶ τὸ πλῆθος τῶν ἀργυρίων. Λουκᾶς δὲ περὶ τοῦ Ἰούδα προσέθηκεν (ε), ὅτι καὶ *ἐξωμολόγησεν*, ἤγουν, βεβαίως συνεφώνησεν,

(α) Λουκ. ΚΒ', 3.
(β) Λουκ. ΚΒ', 4.
(γ) Μαρκ. ΙΔ', 11.
(δ) Λουκ. ΚΒ', 5.
(ε) Λουκ. ΚΒ', 6.

ἐκ καρδίας ἐπηγγείλατο ποιῆσαι τὸ συντεθέν. *Εὐκαιρίαν* δὲ νόει, τὸν ἐπιτήδειον καιρόν, ὅτε συλληφθέντος οὐκ ἔμελλε θόρυβος γενέσθαι.

Χρὴ δὲ ἀπὸ τοῦ ἐντεῦθεν ἄχρι τέλους τῶν εὐαγγελίων πᾶσαν εἰσενεγκεῖν παρατήρησιν καὶ ἀκρίβειαν, ὥστε συμβιβάσαι τὰ ῥητὰ τῶν εὐαγγελιστῶν, ἀλλήλοις οὐκ εὐάρμοστα δοκοῦντα, καὶ πολλὴν τοῖς μὴ προσέχουσι παρέχοντα τὴν δυσχέρειαν. Διὰ τοῦτο γοῦν τὰ τοῦ Ματθαίου μεταχειριζόμενοι, καὶ τὰ τῶν ἄλλων, ἐν οἷς εἰκὸς, παραθήσομεν, ὡς ἀναγκαῖα πρὸς τὴν ἐξήγησιν, ὑπὲρ τοῦ συνᾴδοντα καὶ σαφῆ γενέσθαι τὸν λόγον.

ΚΕΦΑΛΑΙΟΝ ΞΓ'.

Περὶ τῆς ἑτοιμασίας τοῦ πάσχα.

17 Τῇ δὲ πρώτῃ τῶν ἀζύμων προσῆλθον οἱ μαθηταὶ τῷ Ἰησοῦ, λέγοντες αὐτῷ· Ποῦ θέλεις, ἑτοιμάσωμέν σοι φαγεῖν τὸ πάσχα;

Ἄζυμα μὲν ἐνταῦθα, τὸ πάσχα καλοῦσιν οἱ εὐαγγελισταὶ, Ματθαῖος καὶ Μάρκος· διότι κατὰ τὸ πάσχα τοῖς τοῦ ἀμνοῦ κρέασι καὶ ἄζυμα συνησθίοντο, καὶ ἀπὸ τούτων τῶν ἀζύμων, ἄζυμα καὶ τὸ πάσχα κατωνομάζετο. Καὶ βεβαιοῖ τοῦτο Λουκᾶς εἰπὼν (α), *Ἤγγιζε δὲ ἡ ἑορτὴ τῶν ἀζύμων, ἡ λεγομένη πάσχα*. *Πρώτην* δὲ *τῶν ἀζύμων*, τὴν πρὸ τοῦ πάσχα φασὶν ἡμέραν, τὴν τρισκαιδεκάτην μὲν τοῦ μηνὸς, πέμπτην δὲ τῆς ἑβδομάδος· πρώτην ταύτην τῶν ἀζύμων καλέσαντες, ὡς προλαμβάνουσαν τὰ ἄζυμα τοῦ πάσχα. Καὶ μάρτυς τοῦ λόγου σαφὴς Ἰωάννης εἰπών· *Πρὸ δὲ τῆς ἑορτῆς τοῦ πάσχα, εἰδὼς ὁ Ἰησοῦς, ὅτι ἐλήλυθεν αὐτοῦ ἡ ὥρα*, καὶ τὰ ἑξῆς (β). Ταύ-

(α) Λουκ. ΚΒ', 1.
(β) Ἰωαν. ΙΓ', 1.

την γὰρ τὴν ἡμέραν, ἣν Ματθαῖος καὶ Μάρκος *πρώτην τῶν ἀζύμων* κεκλήκασιν, οὗτος *πρὸ τῆς ἑορτῆς τοῦ πάσχα* ὠνόμασεν. Ἀλλὰ ταῦτα μὲν εἰς τοσοῦτον.

Ἐπεὶ δὲ περὶ ταύτης τῆς ἡμέρας, τῆς τρισκαιδεκάτης μὲν τοῦ μηνὸς, πέμπτης δὲ τῆς ἑβδομάδος, Μάρκος μέν φησι· *Καὶ τῇ πρώτῃ ἡμέρᾳ τῶν ἀζύμων, ὅτε τὸ πάσχα ἔθυον* (α)· Λουκᾶς δέ· *Ἦλθε δὲ ἡ ἡμέρα τῶν ἀζύμων, ἐν ᾗ ἔδει θύεσθαι τὸ πάσχα* (β)· τὸ, *ὅτε τὸ πάσχα ἔθυον*, καὶ τὸ, *ἐν ᾗ ἔδει θύεσθαι τὸ πάσχα*, μὴ πρὸς τὴν πρώτην τῶν ἀζύμων συντάξῃς, ἀλλὰ πρὸς αὐτὴν τὴν τῶν ἀζύμων ἡμέραν. Οὐ γὰρ ἐν τῇ τρισκαιδεκάτῃ, ἀλλ' ἐν τῇ τεσσαρεσκαιδεκάτῃ ἐθύετο. Φησὶ γὰρ ὁ νόμος· *Ἐν τῷ πρώτῳ μηνὶ, ἐν τῇ τεσσαρεσκαιδεκάτῃ ἡμέρᾳ τοῦ μηνὸς, ἀνὰ μέσον τῶν ἑσπερινῶν, πάσχα τῷ Κυρίῳ* (γ). Καὶ ἐπεὶ ἀνὰ μέσον τῆς ἑσπέρας τὸ πάσχα ἐθύετο, πῶς τὴν ἡμέραν πάσχα καὶ ἄζυμα ὀνομάζουσι; Διότι τὴν ἑσπέραν τῇ πρὸ αὐτῆς ἡμέρᾳ συνάπτειν εἰώθασιν Ἰουδαῖοι. Καὶ λοιπὸν ἀπὸ τῆς ἑσπέρας τοῦ πάσχα καὶ τῶν ἀζύμων, καὶ τὴν ἡμέραν αὐτῆς ἄζυμα ὀνομάζουσι.

Καὶ πῶς ἐπὶ τῆς τρισκαιδεκάτης τοῦ μηνὸς εἶπε Λουκᾶς, ὅτι *ἦλθεν ἡ ἡμέρα τῶν ἀζύμων* (δ); Διότι τὸ, *ἦλθε*, σημαίνει καὶ τὸ, ἐπλησίασε, καὶ τούτῳ λοιπὸν ἐχρήσατο τῷ σημαινομένῳ. Χρὴ δὲ γινώσκειν, ὡς, εἰ καὶ τῶν ἀζύμων κατὰ τὴν τεσσαρεσκαιδεκάτην τοῦ μηνὸς ἀπήρχοντο, ἀλλ' οὖν τὴν ἑορτὴν τῶν ἀζύμων κατὰ τὴν πεντεκαιδεκάτην ἐτέλουν. Φησὶ γὰρ ὁ νόμος (ε)· *Ἐν τῇ πεντεκαιδεκάτῃ ἡμέρᾳ τοῦ μηνὸς, ἑορτὴ τῶν ἀζύμων τῷ Κυρίῳ*. Ταύτην δὲ καὶ *πρώτην τῶν*

(α) Μαρκ. ΙΔ', 12.
(β) Λουκ. ΚΒ', 7.
(γ) Λευϊτ. ΚΓ', 5.
(δ) Λουκ. ΚΒ', 7.
(ε) Λευϊτ. ΚΓ', 6.

ἀζύμων ἐκάλουν, ὡς προαριθμουμένην τῶν ἑπτὰ ἡμερῶν τῶν ὡρισμένων, ἐν αἷς οὐδὲν ζυμωτὸν ἠσθίετο. *Ἑπτὰ γάρ*, φησιν, *ἡμέρας ἄζυμα ἔδεσθε* (α).

Ἀλλ᾽ οὐ περὶ ταύτης τῆς ἑορτῆς τῶν ἀζύμων, οὐδὲ περὶ ταύτης τῆς πρώτης τῶν ἀζύμων εἶπον οἱ εὐαγγελισταὶ, καθὼς ἀποδέδεικται. Αὕτη μὲν γὰρ κατὰ τὴν πεντεκαιδεκάτην ἤγετο τοῦ μηνός· ἐκεῖνοι δὲ περὶ τῆς τρισκαιδεκάτης ἔγραψαν. Εἰπόντες δὲ οἱ μαθηταὶ (β), *Ποῦ θέλεις, ἑτοιμάσωμέν σοι φαγεῖν τὸ πάσχα*, ἔδειξαν, ὅτι οὐκ εἶχεν ἴδιον καταγώγιον· οἶμαι δὲ, ὅτι οὐδ᾽ αὐτοὶ, πᾶσιν ἀποταξάμενοι· ἢ γὰρ ἂν ἐκεῖ τοῦτον ἐλθεῖν παρεκάλεσαν. Ἐπιτελεῖ δὲ τὸ πάσχα, δεικνὺς ὅτι μέχρι τελευτῆς τὸν νόμον ἐτήρει. Φησὶ δὲ ὁ Λουκᾶς, πρῶτον εἰπεῖν τὸν Χριςὸν τοῖς μαθηταῖς (γ)· *Πορευθέντες ἑτοιμάσατε ἡμῖν τὸ πάσχα, ἵνα φάγωμεν*· εἶτα τοὺς μαθητὰς ἐρωτῆσαι, *Ποῦ θέλεις, ἑτοιμάσωμεν*.

18 Ὁ δὲ εἶπεν· Ὑπάγετε εἰς τὴν πόλιν πρὸς τὸν δεῖ-
να, καὶ εἴπατε αὐτῷ· Ὁ διδάσκαλος λέγει· Ὁ και-
ρός μου ἐγγύς ἐστιν, πρός σὲ ποιῶ τὸ πάσχα με-
τὰ τῶν μαθητῶν μου.

Μάρκος δὲ καὶ τὸν ἀριθμὸν εἶπε τῶν ἀποσταλέντων (δ), ὅτι δύο· Λουκᾶς δὲ, καὶ τὰ ὀνόματα τούτων προσέθηκεν, εἰπὼν, ὅτι *Καὶ ἀπέστειλε Πέτρον καὶ Ἰωάννην* (ε). *Πόλιν* δὲ, τὴν τῶν Ἱεροσολύμων ὑποληπτέον. Ὅρα δὲ, πῶς *τὸν δεῖνα* πλαγίως εἰπὼν, παρεσιώπησε μὲν τοῦ ἀνδρὸς τὴν κλῆσιν, ὅπως μὴ μαθὼν τὴν οἰκίαν Ἰούδας ἐκδράμῃ πρὸς τοὺς ἐπιβούλους, καὶ ἐπαγάγῃ τούτους αὐτῷ πρὸ τοῦ παραδοῦναι τὸ

(α) Λευϊτ. ΚΓ΄, 6.
(β) Ματθ. Κϛ΄, 17.
(γ) Λουκ. ΚΒ΄, 8.
(δ) Μαρκ. ΙΔ΄, 13.
(ε) Λουκ. ΚΒ΄, 8.

μυςικὸν δεῖπνον τοῖς μαθηταῖς. Ἀντὶ δὲ ταύτης δέδωκεν ἕτερον γνώρισμα, ὅπερ ὁ Μάρκος ἀνέγραψεν, εἰπὼν (α), ὅτι *Καὶ ἀπαντήσει ὑμῖν ἄνθρωπος, κεράμιον ὕδατος βαστάζων· ἀκολουθήσατε αὐτῷ· καὶ ὅπου ἐὰν εἰσέλθῃ, εἴπατε τῷ οἰκοδεσπότῃ, ὅτι ὁ διδάσκαλος λέγει· Ποῦ ἐστι τὸ κατάλυμα, ὅπου τὸ πάσχα μετὰ τῶν μαθητῶν μου φάγω; Καὶ αὐτὸς ὑμῖν δείξει ἀνώγεων μέγα ἐστρωμένον· ἐκεῖ ἑτοιμάσατε ἡμῖν.* Τὰ παραπλήσια δὲ καὶ ὁ Λουκᾶς ἱστόρησε (β).

Καιρὸν δὲ αὐτοῦ νοοῦμεν ἐγγίζοντα, τὸν τοῦ θανάτου. *Μετὰ τῶν μαθητῶν μου* δὲ εἶπεν, ἵνα καὶ πρὸς τούτους αὐτάρκης ἡ ὑποδοχὴ γένηται. *Κατάλυμα* δὲ λέγεται, τὸ καταγώγιον. Φαίνεται δὲ, ὅτι πιστὸς ὢν ἐκεῖνος ὁ οἰκοδεσπότης, εἴτε κατὰ ἀποκάλυψιν θειοτέραν, εἴτε καὶ κατὰ συντυχίαν σωματικὴν τοῦ Σωτῆρος, ἐγίνωσκε τοῦτον παρ᾽ αὐτῷ τελέσοντα τὸ πάσχα, καὶ διὰ τοῦτο πρὸς ὑποδοχὴν ηὐτρεπισμένον εἶχε καὶ τὸ ἀνώγεων. Μετ᾽ ἐξουσίας δὲ κἀνταῦθα μηνύει, ὡς ἁπάντων Κύριος.

Ὑποσημαίνεται δὲ καί τι μυστικὸν ἐντεῦθεν, ὅτι εἰς ὃν ἂν εἰσέλθῃ τὸ θεῖον βάπτισμα· τοῦτο γὰρ αἰνίττεται τὸ τοῦ κεραμίου ὕδωρ· παρὰ τούτῳ καὶ ὁ Χριστὸς ἀναπαύεται· καὶ μᾶλλον, εἰ ἐστρωμένον ἔχει τὸ ἀνώγεων, ἤγουν, κεκαθαρμένον τὸν νοῦν καὶ κεκοσμημένον τῇ φαιδρότητι τῶν ἄνω θεωριῶν. Ἐκεῖ δέ, φησιν, ἑτοιμάσετε ἡμῖν, τὰ πρὸς τὴν τοῦ *πάσχα* ἑορτὴν ἐπιτήδεια, τὸν ἀμνὸν, τὰ ἄζυμα, τὰς πικρίδας, τὰς βακτηρίας.

[Τοῦ ἁγίου (1) Μαξίμου. *Πόλις* μὲν κατ᾽ ἀναγωγὴν, ὁ αἰσθητὸς κόσμος· *ἄνθρωπος* δὲ, ἡ καθόλου φύσις τῶν ἀθρώπων· *δύο* δὲ *μαθηταὶ* πρὸς τοῦτον ἀποστελλόμενοι, ὁ τῆς

(α) Μαρκ. ΙΔ΄, 13—15.
(β) Λουκ. ΚΒ΄, 10. 11.
(1) Καὶ τὰ δύο ταῦτα σχόλια τοῦ Μαξίμου ἀναγινώσκονται παρ᾽ ἀμφοτέροις τοῖς χειρογράφοις ἐν τῷ περισελιδίῳ.

παλαιᾶς Διαθήκης νόμος καὶ ὁ τῆς καινῆς, οἷόν τινες πρόδρομοι καὶ ἑτοιμασταὶ τῆς τοῦ Χριστοῦ εὐωχίας ἐν τοῖς ἀξίοις τῆς ἐπιδημίας αὐτοῦ· ὁ μὲν, διὰ τῆς πρακτικῆς φιλοσοφίας παντὸς μολυσμοῦ τούτους ἀποκαθαίρων, ὁ δὲ, διὰ τῆς θεωρητικῆς μυσαγωγίας ἀπὸ τῶν σωματικῶν πρὸς τὰ συγγενῆ νοητὰ θεάματα γνωςικῶς ἀναβιβάζων τὸν νοῦν. Πρακτικῆς μὲν γὰρ σύμβολον, ὁ Πέτρος· θεωρητικῆς δὲ, ὁ Ἰωάννης. Καὶ ὁ μὲν *τὸ κεράμιον* τοῦ ὕδατος *βαστάζων*, εἴη ἂν ὁ διὰ τῆς πρακτικῆς τοῖς ὤμοις τῶν ἀρετῶν, ὡς ἐν κεραμίῳ, τῇ νεκρώσει τῶν ἐπὶ γῆς μελῶν τοῦ σώματος, φρουρουμένην βαστάζων τὴν διὰ τῆς πίστεως καθαρτικὴν χάριν τοῦ πνεύματος. Ὁ δὲ *οἰκοδεσπότης* νοηθείη ἂν, ὁ διὰ τῆς θεωρητικῆς τὸ ὕψος τῆς ἑαυτοῦ μεγαλοφυοῦς διανοίας καταστρώσας θεοπρεπέσι νοήμασί τε καὶ δόγμασι πρὸς ὑποδοχὴν τοῦ μεγάλου λόγου.

Εἰς τὸ αὐτό. *Πόλις* μὲν, ἡ τοῦ καθ' ἕκαστον ψυχὴ, πρὸς ἣν ἀποστέλλονται παρὰ τοῦ θεοῦ ὅ, τε περὶ ἀρετῆς, καὶ ὁ περὶ γνώσεως λόγος. *Ὁ δὲ τὸ κεράμιον τοῦ ὕδατος βαστάζων* ἐςὶν, ὁ τοῖς ὤμοις τῆς ἐγκρατείας ἀνέχων τὴν διὰ τοῦ βαπτίσματος δοθεῖσαν χάριν καρτερικὸς τρόπος καὶ λογισμός. *Οἰκία* δὲ, ἡ ἐκ πολλῶν καὶ διαφόρων, ὥσπερ λίθων, στεῤῥῶν τε καὶ ἀνδρικῶν ἠθῶν καὶ λογισμῶν, οἰκοδομηθεῖσα κατάστασις καὶ ἕξις τῶν ἀρετῶν. *Τό τε ἀνώγεων*, ἡ ὑψηλὴ διάνοια καὶ πρὸς γνῶσιν ἐπιτηδειότης, ἐστρωμένη θείοις καὶ ἀποῤῥήτοις λόγοις τε καὶ θεάμασιν. *Ὁ δὲ οἰκοδεσπότης*, ὁ νοῦς, ὁ τῷ λαμπρῷ τῆς κατ' ἀρετὴν οἰκίας ὕψει καὶ τῷ μεγέθει τῆς γνώσεως ἐμπλατυνόμενος, πρὸς ὃν ποιεῖ τὸ πάσχα ὁ Κύριος, τουτέστι, διάβασιν, ἐπιδημῶν αὐτῷ μετὰ τῶν μαθητῶν αὐτοῦ, λέγω δὴ, τῶν περὶ θεοῦ καὶ θείων ὑψηλοτέρων λόγων τε καὶ μυήσεων.]

19 Καὶ ἐποίησαν οἱ μαθηταὶ ὡς συνέταξεν αὐτοῖς ὁ Ἰησοῦς·

Ὡς παρήγγειλεν.

19 Καὶ ἡτοίμασαν τὸ πάσχα.

Τὰ τοῦ πάσχα, τὰ πρὸς τὴν τοῦ πάσχα ἑορτὴν ἐπιτήδεια, καθὼς εἴρηται. Φανερὸν οὖν, ὅτι ὁ Χριστὸς ἔφαγε τὸ νομικὸν πάσχα τότε· οὐ γὰρ ἂν μάτην τὰ πρὸς τὴν χρείαν ἡτοίμαζον.

20 Ὀψίας δὲ γενομένης, ἀνέκειτο μετὰ τῶν δώδεκα.

Ὀψίαν, τὴν ἑσπέραν εἶπε. Καὶ ὁ Λουκᾶς δέ φησιν, ὅτι *Καὶ ὅτε ἐγένετο ἡ ὥρα* (α), δηλονότι, ἡ τῆς ἑσπέρας. Ἐντεῦθέν τινες ἰσχυρίζονται, μὴ φαγεῖν τότε τὸ νομικὸν πάσχα τὸν Χριστὸν, καὶ παράγουσιν ἀποδείξεις· ὅτι τρισκαιδεκάτη τότε τοῦ μηνὸς ἦν· ἔδει δὲ κατὰ τὴν τεσσαρεσκαιδεκάτην τὸ πάσχα φαγεῖν. Καὶ ὅτι ὁ μὲν νόμος, ἑςῶτας ἐκέλευεν ἐσθίειν τὸ πάσχα· οὗτος δὲ ἀνέπεσε. Καὶ ὅτι πᾶς ἄρτος ζυμωτὸς ἐξῃρεῖτο πρὸ τῆς θυσίας, καὶ πυρὶ κατεκαίετο· νῦν δὲ, καὶ ἄρτος παράκειται, καὶ διαμερίζεται. Καὶ ὅτι ὀπτὸν μόνον θέμις ἦν φαγεῖν· ἐνταῦθα δὲ καὶ ζωμὸς παρατίθεται.

Λοιπὸν οὖν πρὸς ἑκάστην ἀπολογίαν (1) ἀπολογητέον. Προέλαβε μὲν τὸν καιρὸν ἡμέρᾳ μιᾷ κατ' οἰκονομίαν. Ἐπειδὴ γὰρ ἐγίνωσκεν, ὅτι κατὰ τὴν τεσσαρεσκαιδεκάτην ἀποθανεῖται· καὶ γὰρ εἰκὸς ἦν, κατὰ τὴν ἡμέραν τῆς τοῦ τυπικοῦ ἀμνοῦ θυσίας θυσιασθῆναι καὶ τὸν ἀληθινὸν ἀμνὸν, ὅπως καταλλήλως ἐπενεχθῇ τῷ τύπῳ ἡ ἀλήθεια· λοιπὸν κατὰ τὴν τρισκαιδεκάτην ἐσθίει τὸ πάσχα, μὴ ἐγχωροῦντος ἑτέρως τοῦ πράγματος. Οὕτω γὰρ καὶ τὸ νομικὸν ἐπλήρωσε πάσχα, καὶ τὸ πνευματικὸν παρέδωκε· καὶ αὐτίκα ἐν αὐτῇ τῇ νυκτὶ συνελήφθη παρὰ τῶν Ἰουδαίων. Διὸ καὶ πρὸς τοὺς μαθητὰς εἰπεῖν αὐτὸν ἱςορεῖ Λουκᾶς (β), ὅτι *Ἐπιθυμίᾳ ἐπεθύμησα τοῦτο τὸ πάσχα φαγεῖν μεθ' ὑμῶν, πρὸ τοῦ με παθεῖν*, τουτέστι,

(α) Λουκ. ΚΒ', 14.

(1) Ἴσως, ἀντιλογίαν, ἤ, ἀπορίαν.

(β) Λουκ. ΚΒ', 15·

Σπουδῇ ἐσπούδασα τὸ τοῦ ἐνιαυτοῦ τούτου πάσχα φαγεῖν μεθ' ὑμῶν, μὴ ἀναμείνας τὸν νενομισμένον καιρὸν, ἵνα μὴ τὸ πάθος τοῦ σταυροῦ κωλύσῃ καὶ τὸν νομικὸν δεῖπνον καὶ τὸν μυστικόν. Ταῦτα μὲν περὶ τοῦ καιροῦ.

Περὶ δὲ τοῦ τρόπου τῆς βρώσεως· εἰκὸς, πρῶτον μὲν ἑστῶτας φαγεῖν τὸ πάσχα κατὰ τὸν νόμον, εἶτα ἀναπεσεῖν καὶ δειπνεῖν. Ὁ δ' ἄρτος καὶ ὁ ζωμὸς παρετέθησαν μετὰ τὸ φαγεῖν αὐτοὺς τὸ πάσχα καὶ ἀναπεσεῖν ἐν τῷ δείπνῳ· οὔπω γὰρ ἦλθεν ἡ τεσσαρεσκαιδεκάτη, καθ' ἣν ἅπαν ζυμωτὸν ἐξηφανίζετο. Καὶ οὐδὲν ἐκώλυεν ἔτι καὶ ζωμὸν ἐσθίειν.

Καὶ διὰ τί παρεσιώπησαν οἱ εὐαγγελισταὶ τὴν τοῦ πάσχα μετάληψιν; Διότι οὐκ ἦν ἀναγκαῖον τὸ περὶ ταύτης εἰπεῖν. Τί γὰρ ἂν καὶ συνετέλεσε χριστιανοῖς ἡ ταύτης διήγησις; Διὸ ταύτην μὲν παρέδραμον· τοῖς δὲ λόγοις τοῦ μυστικοῦ δείπνου φιλοπονώτερον προσδιέτριψαν, ὡς ἀναγκαιοτάτου καὶ συνεκτικωτάτου τῆς ἡμῶν πίστεως. Καὶ πανταχοῦ δὲ τὸν κανόνα τοῦτον τηροῦσι, τὰ μὴ ἀναγκαῖα μὲν παρατρέχοντες, ἢ κατὰ πάροδον ἐπιμιμνησκόμενοι· πᾶσαν δὲ τὴν ἀκρίβειαν καὶ σπουδὴν περὶ τὰ χρήσιμα συντείνοντες.

Καὶ ἐπεὶ πρὸ τοῦ πάσχα τὸ πάσχα τετέλεκεν ὁ Χριστὸς, πῶς Ἰουδαῖοι τὴν προφανῆ ταύτην κατηγορίαν ἀφέντες, ἐζήτουν ψευδομαρτυρίαν κατὰ τοῦ Ἰησοῦ; Διότι ἐγίνωσκον, ὡς οὐ κεῖται νόμος καταδικάζων τὸν προεορτάζοντα τὸ πάσχα, πάλαι τοῦ θεοῦ προειδότος τὸ μέλλον, καὶ μηδέν τι περὶ τούτου νομοθετήσαντος. Καὶ ὅρα θαυμαστὸν, ὅτι κατὰ μὲν τοῦ μεθεορτάζοντος νενομοθέτητο, εἰ μὴ πρόφασιν οὗτος ἀναγκαιοτάτην προβάλοιτο· κατὰ δὲ τοῦ προεορτάζοντος οὐδὲν ὥριστο ἐπιτίμιον. Ὁ δὲ Ἰωάννης φησὶν, ὅτι ἀναστὰς ἀπὸ τοῦ δείπνου, καὶ νίψας τοὺς πόδας τῶν μαθητῶν, *πάλιν ἀνέπεσε* (α).

(α) Ἰωαν. ΙΓ', 4. 12.

Παρείθη γὰρ τοῖς ἄλλοις εὐαγγελισταῖς τουτὶ τὸ κεφάλαιον, οὗ χάριν αὐτὸς ἱστόρισε τὰ περὶ τούτου, καθὼς ἐν τῷ εὐαγγελίῳ αὐτοῦ, θεοῦ δόντος, ἐξηγησόμεθα.

21 Καὶ ἐσθιόντων αὐτῶν, εἶπεν· Ἀμὴν λέγω ὑμῖν, ὅτι
εἷς ἐξ ὑμῶν παραδώσει με.

Ὁ δὲ Μάρκος προσέθηκεν (α), ὅτι *ὁ ἐσθίων μετ' ἐμοῦ*, ἵνα μὴ ὑπολάβωσιν, ὡς ἕνα λέγει τῶν πιστευσάντων μὲν εἰς αὐτὸν, μὴ συνηριθμημένων δὲ τοῖς δώδεκα μαθηταῖς. Ἅμα δὲ καὶ πρὸς τὸν Ἰούδαν ἀφανῶς ἐμαρτύρατο, ὅτι ἔγνω τὴν καρδίαν αὐτοῦ. Καὶ γὰρ καὶ τοὺς αὐτοῦ πόδας ἔνιψεν, εἰς μεταμέλειαν αὐτὸν ἐκκαλούμενος, εἰ καὶ σκληρὸς ἔμενε. *Παράδοσιν* δὲ νόει, τὴν προδοσίαν· παρέδωκε γὰρ αὐτὸν εἰς θάνατον, καὶ προδέδωκε τοῦτον τοῖς ἐπιβουλεύουσι.

22 Καὶ λυπούμενοι σφόδρα, ἤρξαντο λέγειν αὐτῷ ἕ-
καστος αὐτῶν· Μήτι ἐγώ εἰμι, Κύριε;

Ταῦτα καὶ Μάρκος εἴρηκεν (β). Εἵλετο γὰρ ὁ Χριστὸς φοβῆσαι καὶ λυπῆσαι πάντας τοὺς ἄλλους, ὑπὲρ τοῦ ἐπιστρέψαι τὸν ἀπολλύμενον μαθητήν. Διὰ τί δὲ οἱ λοιποὶ ἠγωνίων, μηδέν τι τοιοῦτον συνειδότες ἑαυτοῖς; Διότι σφόδρα τῷ διδασκάλῳ ἐπίστευον, ὡς ἀψευδεστάτῳ, καὶ ἐδεδίεσαν ἕκαστος, μήποτε τοιοῦτος ἀποβῇ, τυφλωθεὶς τὸν νοῦν.

23 Ὁ δὲ ἀποκριθεὶς, εἶπεν· Ὁ ἐμβάψας μετ' ἐμοῦ ἐν
τῷ τρυβλίῳ τὴν χεῖρα, οὗτός με παραδώσει.

Τίθησι καὶ παράσημον, εἰς διάγνωσιν αὐτοῦ. Μάρκος δὲ εἶπεν, ὅτι *Εἷς ἐκ τῶν δώδεκα, ὁ ἐμβαπτόμενος μετ' ἐμοῦ εἰς τὸ τρυβλίον* (γ), ἤγουν, ὁ ἐμβάπτων. Τοῦτο δ' ἐπήγαγεν ὁ Σω-

(α) Μαρκ. ΙΔ', 18.
(β) Μαρκ. ΙΔ', 19.
(γ) Μαρκ. ΙΔ', 20.

τὴρ πρὸς ἐντροπὴν τοῦ Ἰούδα. Τοσοῦτον γὰρ τοῦ διδασκάλου κατεφρόνησεν, ὡς μηδ᾽ ὑποστέλλεσθαι τοῦτον ἔτι, ἀλλ᾽ ἐμβάπτειν μετ᾽ αὐτοῦ. *Τρυβλίον* δέ ἐστιν, εἶδος πίνακος.

24 Ὁ μὲν υἱὸς τοῦ ἀνθρώπου ὑπάγει, καθὼς γέγραπται περὶ αὐτοῦ· οὐαὶ δὲ τῷ ἀνθρώπῳ ἐκείνῳ, δι᾽ οὗ ὁ υἱὸς τοῦ ἀνθρώπου παραδίδοται·

Ὑ*πάγει*, ἀντὶ τοῦ, πορεύεται, μεταβαίνει ἀπὸ τῆς ἐνταῦθα ζωῆς, *καθὼς γέγραπται* τοῖς προφήταις περὶ αὐτοῦ, πῶς μέλλει ἀποθανεῖν.

24 Καλὸν ἦν αὐτῷ, εἰ οὐκ ἐγεννήθη ὁ ἄνθρωπος ἐκεῖνος.

Συμφέρον ἦν αὐτῷ, ἔτι ἐν τῇ κοιλίᾳ τῆς μητρὸς αὔξοντι, μὴ γεννηθῆναι ὅλως, τοιοῦτον μῦσος ἐργάσασθαι μέλλοντι, καὶ τηλικαύτης ἀξιωθησομένῳ τιμωρίας. Φασὶ δέ τινες, ὅτι ἀνέγκλητός ἐστι, τὸ προωρισμένον ἐπιτελέσας. Πρὸς οὓς λέγομεν, ὅτι οὐ διότι προώριστο, διὰ τοῦτο παρέδωκεν· ἀλλὰ διότι παρέδωκε, διὰ τοῦτο προώριστο, τοῦ θεοῦ προειδότος τὸ πάντως ἀποβησόμενον· ἔμελλε γὰρ ὄντως ἀποβῆναι τοιοῦτος, οὐκ ἐκ φύσεως, ἀλλ᾽ ἐκ προαιρέσεως.

Καὶ διὰ τί παρέλαβεν αὐτὸν ὅλως εἰς μαθητὴν ὁ Χριςὸς, τοιοῦτον ἀποβησόμενον; Ἵνα φανῇ καὶ τῆς τοῦ Σωτῆρος ἀγαθότητος, καὶ τῆς τοῦ προδότου κακίας ἡ ὑπερβολὴ, πῶς ὁ μὲν, τὸν ἑαυτοῦ προδότην ἐδίδασκε τὰ σωτήρια, καὶ ἠγάπα, καὶ χαρισμάτων ἠξίου, καὶ τῶν ἄλλων οὐκ ἐχώριζε μαθητῶν, καὶ πάντα τὰ πρὸς ἐπιστροφὴν καὶ διόρθωσιν εἰσῆγεν, ἵνα μὴ δυνηθῇ λέγειν, ὡς οὐκ ἔτυχε διδασκάλου, δυναμένου σώζειν τοὺς βουλομένους· ὁ δὲ, καὶ τούτων πάντων ἀπολαύσας, πάλιν ἔμεινε πονηρός. Ἐπεὶ γὰρ τὴν ψυχὴν οἰκητήριον τοῦ διαβόλου πεποίηκε, τῆς φιλαργυρίας ἀνοιξάσης καὶ εἰσαγαγούσης αὐτὸν, οὐκ ἐξέφυγε τὸ ἄγος. Ὅθεν ὡς οὐκ ἀναγ-

καστικῶς, ἀλλὰ προαιρετικῶς προδότην γενόμενον, ταλανίζει τοῦτον ὁ Κύριος, ἐλεῶν μᾶλλον, παρ᾽ οὐδὲν μὲν θέμενον τοὺς πολλοὺς αὐτοῦ περὶ ἀκτημοσύνης λόγους, εὐχείρωτον δὲ τῇ φιλαργυρίᾳ καὶ τῷ διαβόλῳ γενόμενον, οὐ δι᾽ ἀσθένειαν τῶν τοῦ διδασκάλου λόγων, οἳ καὶ τελώνας ἐπεσπάσαντο καὶ πόρνας· ἀλλὰ δι᾽ οἰκείαν ἀπροσεξίαν καὶ πονηρίαν.

Ἀλλ᾽ ἐρεῖ τις πάλιν ὅτι, καὶ εἰ καλὸν ἦν τῷ Ἰούδᾳ, εἰ οὐκ ἐγεννήθη, διὰ τί εἴασεν αὐτὸν γεννηθῆναι; Διότι οὐ κακὸς ἐγεννήθη, ἀλλὰ κακὸς ἐγένετο, μοχθηρίᾳ γνώμης καὶ φαυλότητι προαιρέσεως. Οὐδένα δὲ ὁ θεὸς ἀναγκάζει γενέσθαι καλὸν, εἰ μὴ ἑκὼν εἴη καλός· ἀλλ᾽ ὑποτίθησι μὲν τὰ σωτήρια, καὶ συνεργεῖ τῷ αἱρουμένῳ ταῦτα· συγχωρεῖ δὲ φέρεσθαι ἕκαστον, ὡς αὐτεξούσιον, ἔνθα βούλοιτο. Καὶ ὁ Ἰούδας τοίνυν, οὐκ ἐπειδὴ ἐγεννήθη, γέγονε κακὸς, ἀλλ᾽ ἐπειδὴ ἐῤῥαθύμησε. Διπλῆς δὲ οἱ γινόμενοι πονηροὶ κολάσεως ἄξιοι, διότι τε γεγόνασι πονηροὶ, καὶ διότι ἐκ τῶν ἀγαθῶν οὐκ ὠφελήθησαν. Ὁμοίως δὲ καὶ οἱ γινόμενοι ἀγαθοὶ, διπλῆς εἰσιν ἄξιοι τιμῆς, διότι τε γεγόνασιν ἀγαθοὶ, καὶ διότι οὐκ ἐκ τῶν πονηρῶν ἐβλάβησαν.

25 Ἀποκριθεὶς δὲ Ἰούδας, ὁ παραδιδοὺς αὐτὸν, εἶπε· Μήτι ἐγώ εἰμι, ῥαββί;

Ὢ τῆς ἀναισχυντίας! Ἐρωτᾷ, λαθεῖν τοὺς μαθητὰς τέως πειρώμενος. Ἐξ ἀρχῆς μὲν γὰρ οὐκ ἠρώτησεν, ὅτε ὁ Χριστὸς εἶπεν, *Εἷς ἐξ ὑμῶν*· ᾤετο γὰρ ἔτι λανθάνειν τὸν διδάσκαλον· ὅτε δὲ καὶ παράσημον προσέθηκεν, ἔγνω, ὅτι διέγνωσται, καὶ λοιπὸν, τῶν ἄλλων ἐρωτησάντων, ἐρωτᾷ καὶ αὐτὸς, θαῤῥῶν τῇ ἐπιεικείᾳ τοῦ διδασκάλου, ὅτι πάντως οὐκ ἐλέγξει προδήλως αὐτόν. Διὰ τοῦτο γὰρ καὶ *ῥαββί* τοῦτον ἐκάλεσεν, ἤτοι, διδάσκαλον.

25 Λέγει αὐτῷ· Σὺ εἶπας.

Ὅρα, πῶς ἀνεξικάκως αὐτὸν ἐλέγχει, ὅρους ἡμῖν καὶ κανόνας

μακροθυμίας πηγνύς. Φησὶ γάρ· Σὺ κατέθου, ὅτι σὺ εἶ. Περιαιρουμένου γὰρ τοῦ, *μή τι*, τὸ, *ἐγώ εἰμι*, *ῥαββί*, περιλείπεται, κατάθεσιν καὶ ὁμολογίαν ἐμφαῖνον. Ὁ μὲν οὖν Χριστὸς οὐδὲν παρέλειψε τῶν εἰς διόρθωσιν συντεινόντων· διὰ τοῦτο γὰρ καὶ διαφόρως ὑπεμίμνησκε, καὶ κατεῖχε, καὶ δι' ἔργων, καὶ διὰ λόγων, καὶ διὰ φόβου, καὶ διὰ θεραπείας, καὶ διὰ πάντων. Ἐπεὶ δὲ οὐδὲν αὐτὸν ἀφίςα τοῦ νοσήματος, καὶ παντάπασιν ἀνίατος ἔμενε, λοιπὸν, ἐκεῖνον ἀφεὶς, ἐπὶ τὰ ἑξῆς τρέπεται.

ΚΕΦΑΛΑΙΟΝ ΞΔ΄.

Περὶ τοῦ μυστικοῦ δείπνου.

26 Ἐσθιόντων δὲ αὐτῶν, λαβὼν ὁ Ἰησοῦς τὸν ἄρτον, καὶ εὐχαριστήσας, ἔκλασε, καὶ ἐδίδου τοῖς μαθηταῖς, καὶ εἶπε· Λάβετε, φάγετε· τοῦτό ἐστι τὸ σῶμά μου.

Μετὰ τὸ φαγεῖν τὸ νομικὸν πάσχα, κατακλιθέντες ἐδείπνουν, ὡς προείρηται· εἶτα ἀναστὰς, ἔνιψε τοὺς πόδας τῶν μαθητῶν, ὡς ὁ Ἰωάννης φησὶ (α), καὶ αὖθις ἀναπεσόντες ἤσθιον· ἔπειτα μεταξὺ παρέδωκε τὸ μυστικὸν δεῖπνον τοῖς μαθηταῖς. *Ἐσθιόντων* γάρ, φησιν, *αὐτῶν*, *λαβὼν ἄρτον*, δηλαδὴ, τὸν παρακείμενον αὐτῷ, ἢ καὶ ἕτερον συμπαρακείμενον, ὡς διδασκάλῳ, *ἔκλασεν*, εἴτουν, συνέθρυψε, καὶ μετέδωκεν αὐτοῖς. Ὁ δὲ Λουκᾶς γράψας (β), *Τοῦτό ἐστι τὸ σῶμά μου*, προσέθηκε, *τὸ ὑπὲρ ὑμῶν διδόμενον*, ἤγουν, παραδιδόμενον εἰς θάνατον.

Ηὐχαρίστησε δὲ νῦν μὲν πρὸ τοῦ ἄρτου, μετὰ τοῦτο δὲ καὶ πρὸ τοῦ ποτηρίου, διδάσκων, ὅτι εὐχαριστεῖν δεῖ πρὸ

(α) Ἰωαν. ΙΓ', 4.
(β) Λουκ. ΚΒ', 19.

τοῦ τοιούτου μυστηρίου, τελουμένου πρὸς εὐεργεσίαν τῆς ἡμῶν φύσεως· εἰ γὰρ ἡ τοῦ τυπικοῦ ἀμνοῦ θυσία, καὶ ὀλοθρεύσεως ἀπαλλαγὴν, καὶ δουλείας ἐλευθερίαν τοῖς Ἑβραίοις ἐχαρίσατο, πολλῷ μᾶλλον ἡ τοῦ ἀληθινοῦ τοῖς χριστιανοῖς· ἅμα δὲ καὶ δεικνύων, ὅτι ἑκὼν ἐπὶ τὸ πάθος ἔρχεται, καὶ προσέτι παιδεύων ἡμᾶς, εὐχαριστεῖν, ἐφ' οἷς πάσχομεν.

Ὥσπερ δὲ οἱ ζωγράφοι ἐπὶ τοῦ αὐτοῦ πίνακος καὶ τὰς γραμμὰς ὑποτιθέασι καὶ σκιαγραφοῦσι, καὶ τὰ χρώματα ἐπιβάλλουσι καὶ μορφοῦσιν· οὕτω καὶ ὁ Χριστὸς ἐπὶ τῆς αὐτῆς τραπέζης καὶ τὸ τυπικὸν καὶ σκιῶδες πάσχα ὑπέγραψε, καὶ τὸ ἀληθινὸν καὶ τέλειον προέθηκε. Καὶ ἐπείπερ ἡ σφαγὴ τοῦ νομικοῦ ἀμνοῦ τὴν σφαγὴν τοῦ λογικοῦ ἀμνοῦ προεμήνυεν, ἔδει πάντως τὴν σκιὰν ἀφανισθῆναι, φανέντος τοῦ ἡλίου, καὶ τὸν τύπον ὑποχωρῆσαι, τῆς ἀληθείας ἐλθούσης.

[Ἐπὶ τούτων (1) *μετάληψις* μὲν λέγεται, διότι μεταλαμβάνομεν αὐτῶν· *κοινωνία* δὲ, διότι κοινωνοῦμεν καὶ τῷ Χριστῷ καὶ ἀλλήλοις δι' αὐτῶν, καὶ σύσσωμοι γινόμεθα Χριστοῦ, καὶ μέλη ἀλλήλων. Οὔτε δὲ φθείρονται, οὔτε εἰς ἀφεδρῶνα χωροῦσιν, ἀλλ' εἰς σύστασιν ἀναλίσκονται οὐσιώδη τῶν μεταλαμβανόντων. Καὶ ὥσπερ οὐχ ἕτερον παρὰ τὸ πρότερον σῶμα καὶ αἷμα τοῦ μεταλαμβάνοντος γίνονται, οὕτως οὐδὲ πάλιν ἕτερον σῶμα καὶ αἷμα παρὰ τὸ τοῦ δεσπότου τοῦτο φαμέν. *Τοῦτο γάρ*, φησίν, *ἐστι τὸ σῶμά μου*. [Καὶ (2) αὖθις· *Τοῦτο γάρ ἐστι τὸ αἷμά μου*.] Ὑπερφυὴς δὲ ὁ λόγος. Εἰ δὲ καὶ ὁ μέγας βασίλειος ἀντίτυπα ταῦτα εἶπε, ἀλλὰ πρὸ τοῦ ἁγιασθῆναι, καὶ πρὸ τοῦ τὴν χάριν λαβεῖν. Ὅρα δὲ, πῶς ἐκ τῶν κατὰ φύσιν ἐν τοῖς ὑπὲρ φύσιν γινόμεθα· κατὰ φύσιν μὲν γὰρ, ἡ τοῦ προκειμένου ἄρτου καὶ οἴνου βρῶσις καὶ πόσις· ὑπὲρ φύσιν δὲ,

(1) Τὰ παρεντεθειμένα ἀναγινώσκονται παρ' ἀμφοτέροις τοῖς χειρογράφοις ἐν τῷ περισελιδίῳ.

(2) Τὰ παρεντεθειμένα παραλείπονται παρὰ τῷ Α.

ἡ τούτων ἐνέργειά τε καὶ δύναμις. Ἔνιψε δὲ πρῶτον τοὺς πόδας τῶν μαθητῶν, εἶτα τούτοις τοῦ μυστηρίου τούτου μετέδωκεν, ἵνα μάθωμεν, ὅτι χρὴ πρῶτον καθαίρεσθαι, εἶτα μεταλαμβάνειν.

Ἄνθρακα (1) εἶδεν Ἡσαΐας (α)· ἄνθραξ δὲ, οὐ ξύλον ἐστὶν ἁπλῶς, ἀλλὰ πεπυρακτωμένον· φωτίζει μὲν τοὺς ἀξίους· [φλέγει (2) δὲ τοὺς ἀναξίους,] κατὰ τὴν διπλῆν τοῦ πυρὸς ἐνέργειαν· φλέγει δὲ, τῷ κολάζειν καὶ συντήκειν.]

27 **Καὶ λαβὼν τὸ ποτήριον, καὶ εὐχαριστήσας, ἔδω-**
28 **κεν αὐτοῖς, λέγων· Πίετε ἐξ αὐτοῦ πάντες· τοῦτο**
γάρ ἐστι τὸ αἷμά μου, τὸ τῆς καινῆς διαθήκης.

Τῆς *καινῆς Διαθήκης*, ἤτοι, τῆς νέας νομοθεσίας. Τὸ μὲν γὰρ αἷμα τοῦ τυπικοῦ ἀμνοῦ, τῆς παλαιᾶς ἦν Διαθήκης· τὸ δὲ τοῦ ἀληθινοῦ ἀμνοῦ, τῆς νέας ἐστίν.

[Ἢ (3) τοῦτο εἶπε διὰ τὸ αἷμα τὸ τῆς παλαιᾶς Διαθήκης. Ἐν τῇ Ἐξόδῳ (β) γὰρ μοσχάρια θύσας Μωϋσῆς, «τὸ ἥμισυ τοῦ αἵματος ἐνέχεεν εἰς κρατῆρα, καὶ λαβὼν τὸ βιβλίον τῆς διαθήκης, ἀνέγνω εἰς τὰ ὦτα τοῦ λαοῦ· καὶ εἶπαν· Πάντα, ὅσα ἐλάλησε Κύριος, ποιήσομεν, καὶ ἀκουσόμεθα. Λαβὼν δὲ Μωϋσῆς τὸ αἷμα, κατεσκέδασε τοῦ λαοῦ, καὶ εἶπεν· Ἰδοὺ, τὸ αἷμα τῆς διαθήκης, ἧς διέθετο Κύριος πρὸς ὑμᾶς περὶ πάντων τῶν λόγων τούτων.» Ἦν οὖν ἐκεῖνο τὸ αἷμα, σφραγὶς τῆς διαθήκης, καὶ μαρτύριον, καὶ βεβαίωσις τῆς συνθήκης τοῦ λαοῦ.]

(1) Ἀπὸ τῆς λέξεως Ἄνθρακα παρὰ μὲν τῷ Α ἄρχεται ἕτερον σχόλιον, διάφορον τοῦ προτέρου, παρὰ δὲ τῷ Β συνέχεται τοῦτο τοῖς ἀνωτέρω.

(α) Ἡσ. ϛʹ, 6.

(2) Τὰ παρεντεθειμένα παραλείπονται παρὰ τῷ Α. Ὁ δὲ Ἑντένιος μετέφρασεν, ὡς ἂν ἐγράφετο: φωτίζει μὲν ὁ ἄνθραξ τοῦ μυστηρίου τούτου τοὺς ἀξίους κ. τ. λ. Καὶ χωρὶς τούτων δὲν ὑπάρχει τῳόντι κἀμμία προσαρμογὴ εἰς τὸ χωρίον τοῦτο.

(3) Ταῦτα παρὰ τῷ Α.

(β) Ἐξοδ. ΚΔʹ, 6. 7. 8.

28 Τὸ περὶ πολλῶν ἐκχυνόμενον.

Περὶ *πολλῶν*, ἀντὶ τοῦ, ὑπὲρ πολλῶν. Ἐκεῖνο μὲν γὰρ τὸ αἷμα ὑπὲρ τῶν Ἑβραίων μόνων ἐξεχεῖτο· τοῦτο δὲ, ὑπὲρ πάντων ἀνθρώπων. *Πολλοὺς* γὰρ τοὺς πάντας ἐνταῦθα καλεῖ· καὶ γὰρ οἱ πάντες, πολλοί. Ἢ, *πολλῶν*, εἶπε, πρὸς σύγκρισιν τοῦ τῶν Ἑβραίων ἔθνους· πλείους γὰρ αὐτῶν, οἱ ἐξ ἁπάντων ἐλευθερούμενοι καὶ σωζόμενοι, δι᾽ οὓς ὁ Χριστὸς ἀπέθανεν.

28. Εἰς ἄφεσιν ἁμαρτιῶν.

Ἐκεῖνο μὲν γὰρ εἰς σωτηρίαν τῶν πρωτοτόκων μόνον ἐξεχεῖτο· τοῦτο δὲ, εἰς ἄφεσιν ἁμαρτιῶν τῶν πάντων ἀνθρώπων. Ὅρα, πόσον εἰσὶ μείζονα τῶν παλαιῶν τὰ νέα μυστήρια! Προσφυέστατα δὲ νῦν *διαθήκην* ὠνόμασε, διὰ τὸν προσεγγίζοντα θάνατον· διατίθενται γὰρ οἱ ἀποθνήσκοντες. Ὥσπερ οὖν ἡ παλαιὰ διαθήκη θύματα καὶ αἵματα εἶχεν, οὕτως ἄρα καὶ ἡ καινὴ, τὸ σῶμα καὶ τὸ αἷμα τοῦ δεσπότου.

Οὐκ (1) εἶπε δὲ, ὅτι ταῦτά εἰσι σύμβολα τοῦ σώματός μου καὶ τοῦ αἵματός μου· ἀλλ᾽ ὅτι ταῦτά εἰσιν αὐτὸ τὸ σῶμά μου, καὶ αὐτὸ τὸ αἷμά μου. Λοιπὸν οὖν χρὴ μὴ πρὸς τὴν φύσιν τῶν προκειμένων ὁρᾷν· ἀλλὰ πρὸς τὴν δύναμιν αὐτῶν. Ὥσπερ γὰρ ὑπερφυῶς ἐθέωσε τὴν προσληφθεῖσαν σάρκα· οὕτως ἀποῤῥήτως μεταποιεῖ καὶ ταῦτα εἰς αὐτὸ τὸ ζωοποιὸν αὐτοῦ σῶμα, καὶ εἰς αὐτὸ τὸ τίμιον αὐτοῦ αἷμα, καὶ εἰς τὴν χάριν αὐτῶν.

Ἔχουσι δέ τινα καὶ ὁ ἄρτος πρὸς τὸ σῶμα, καὶ ὁ οἶνος πρὸς τὸ αἷμα ἐμφέρειαν. Καὶ ὁ ἄρτος γὰρ καὶ τὸ σῶμα, γεώδη, καὶ ὁ οἶνος καὶ τὸ αἷμα, θερμαντικά. Καὶ ὥσπερ ὁ ἄρτος

(1) Τὸ χωρίον τοῦτο ἀναφέρει ὁ Ῥιχάρδος Σίμων ἐκ χειρογράφων Παρισινῶν ἐν τῷ συγγράμματι αὐτοῦ Histoire critiqne des principaux commentateurs du N. T. Σελ. 84.

στηρίζει· οὕτω καὶ τὸ σῶμα τοῦ Χριστοῦ τοῦτό τε ποιεῖ, καὶ πλέον, ἁγιάζει καὶ σῶμα καὶ ψυχήν. Καὶ ὥσπερ ὁ οἶνος εὐφραίνει· οὕτω καὶ τὸ αἷμα τοῦ Χριστοῦ τοῦτό τε ποιεῖ, καὶ πλέον, γίνεται φυλακτήριον.

Εἰ δ' ἑνὸς σώματος καὶ αἵματος οἱ πάντες πιστοὶ μεταλαμβάνομεν, οἱ πάντες ἓν ἐσμεν, διὰ τῆς αὐτῆς τῶν αὐτῶν μυστηρίων μεταλήψεως, καὶ ἐν Χριστῷ πάντες, καὶ ὁ Χριστὸς ἐν πᾶσιν. *Ὁ τρώγων μου* γάρ, φησι, *τὴν σάρκα, καὶ πίνων μου τὸ αἷμα, ἐν ἐμοὶ μένει, κἀγὼ ἐν αὐτῷ* (α). Ὁ μὲν γὰρ Λόγος ἡνώθη τῇ σαρκὶ, διὰ τῆς προσλήψεως· αὕτη δὲ πάλιν ἑνοῦται ἡμῖν, διὰ τῆς μεταλήψεως. Αἵματος δὲ καὶ διαθήκης μνημονεύσας, τὸν θάνατον αὐτοῦ πάλιν ἐνέφηνε, τῇ πυκνότητι τῆς μνήμης εὐπαράδεκτον αὐτοῖς τοῦτον καθιστῶν. Εἰ γὰρ, καὶ πολλάκις τούτου προκαταγγελθέντος, ὅμως παρ' αὐτὸ τὸ πάθος ἐθορυβήθησαν, τί οὐκ ἂν ἔπαθον, μηδὲν προμαθόντες;

Λουκᾶς δὲ λέγει, καὶ τοῦτο εἰπεῖν τότε τὸν Κύριον, ὅτι *Τοῦτο ποιεῖτε εἰς τὴν ἐμὴν ἀνάμνησιν* (β), τοῦτό, φησι, τὸ καινὸν μυστήριον, καὶ μὴ ἐκεῖνο, τὸ παλαιόν· ἐκεῖνο μὲν γὰρ τὸ θυσίασμα, εἰς ἀνάμνησιν ἐγίνετο τῆς ἐν Αἰγύπτῳ σωτηρίας τῶν ἑβραϊκῶν πρωτοτόκων, καὶ τῆς τῶν Ἑβραίων ἐλευθερίας· τοῦτο δὲ, εἰς ἀνάμνησιν τοῦ δεσπότου. Διὰ τῆς τοιαύτης γὰρ θυσίας ἀναμιμνησκόμεθα, ὅτι τὸ σῶμα αὐτοῦ παρέδωκεν εἰς θάνατον ὑπὲρ ἡμῶν, καὶ τὸ αἷμα αὐτοῦ ἐξέχεε, καὶ τῇ συνεχείᾳ τὴν μνήμην ἀνανεούμεθα.

Εἶδες, πῶς μετέθηκε τοὺς μαθητὰς ἀπὸ τῆς παλαιᾶς θυσίας ἐπὶ τὴν καινήν; ποία γὰρ εἰκόνος ἔτι χρεία τοῖς ἤδη τὸ πρωτότυπον ἔχουσι; Φησὶ δὲ ὁ Χρυσόστομος (1), ὅτι καὶ ὁ Χριστὸς πρῶτος τότε μετέσχε τοῦ μυστηρίου, ἵνα μὴ ἀη-

(α) Ἰωαν. ς', 56.
(β) Λουκ. ΚΒ', 19.
(1) Τομ. Ζ'. Σελ. 783. Β.

διεθῶσι, σαρκὸς καὶ αἵματος μεταλαβεῖν ἐπιτρεπόμενοι, καὶ τούτου δὲ τεκμήριον, τὸ εἰπεῖν αὐτόν·

29 Λέγω δὲ ὑμῖν, ὅτι οὐ μὴ πίω ἀπ' ἄρτι ἐκ τούτου τοῦ γεννήματος τῆς ἀμπέλου, ἕως τῆς ἡμέρας ἐκείνης, ὅταν αὐτὸ πίνω μεθ' ὑμῶν καινὸν ἐν τῇ βασιλείᾳ τοῦ πατρός μου.

Εἰ δὲ τοῦ ποτηρίου μετέσχε, μετέλαβεν ἄρα καὶ τοῦ ἄρτου. Τὸ μὲν οὖν, *ἀπ' ἄρτι*, σημαίνει τὸ, ἀπὸ τοῦ νῦν· *ἡμέραν* δὲ *ἐκείνην* λέγει, τὸν μετὰ τὴν ἀνάστασιν αὐτοῦ καιρὸν, ὅτε ἔφαγε καὶ ἔπιε μετὰ τῶν μαθητῶν, ὃ καὶ αὐτοὶ ποιούμενοι τῆς ἀναστάσεως αὐτοῦ ἀπόδειξιν, ἔλεγον· *Οἵτινες συνεφάγομεν καὶ συνεπίομεν αὐτῷ* (α). *Καινὸν* δὲ, ἀντὶ τοῦ, καινῶς καὶ παραδόξως. Τοῦ σώματος γὰρ ἀθανατισθέντος, καὶ μηκέτι δεομένου βρώσεως ἢ πόσεως, ἔφαγε καὶ ἔπιεν, οὐ διὰ χρείαν, ἀλλὰ διὰ πληροφορίαν, τοῦ μὴ φάσμα δοκεῖν. *Βασιλείαν* δὲ καλεῖ, τὴν δοθεῖσαν αὐτῷ ἐξουσίαν, ὡς ἀνθρώπῳ, μετὰ τὴν ἀνάστασιν· *ἐδόθη μοι* γάρ, φησι, *πᾶσα ἐξουσία ἐν οὐρανῷ καὶ ἐπὶ γῆς* (β)· *τοῦ πατρός μου* δὲ, τουτέστι, τῇ ὑπὸ τοῦ πατρός μου δοθείσῃ μοι. Τοῦτο δὲ εἶπε, καὶ διότι πρὸς αὐτὸν ἀναφέρει πάντα τὰ ἑαυτοῦ.

Ὁμοίως δὲ καὶ Μάρκος ἔγραψεν (γ)· *Ὅταν αὐτὸ πίνω καινὸν ἐν τῇ βασιλείᾳ τοῦ θεοῦ*. Ναὶ μὴν καὶ Λουκᾶς (δ)· *Ἕως ὅτου ἡ βασιλεία τοῦ θεοῦ ἔλθῃ*· *βασιλείαν* καὶ οὗτοι, τὴν δηλωθεῖσαν λέγοντες ἐξουσίαν. Ὁ δὲ Λουκᾶς ἔτι καὶ περὶ τοῦ νομικοῦ πάσχα φησὶν εἰπεῖν τὸν Χριστὸν (ε), ὅτι *Οὐ μὴ φάγω ἐξ αὐτοῦ, ἕως ὅτου πληρωθῇ ἐν τῇ βασιλείᾳ τοῦ θεοῦ*,

(α) Πραξ. Ι', 41.
(β) Ματθ. ΚΗ', 18.
(γ) Μαρκ. ΙΔ', 25.
(δ) Λουκ. ΚΒ', 18.
(ε) Λουκ. ΚΒ', 16.

δηλαδὴ, τῇ κατὰ τὸν αἰῶνα τὸν μέλλοντα. Καὶ τότε γὰρ ἐπιτελέσει τὸ πάσχα τελεώτερόν τε καὶ καθαρώτερον, θύων τὸν ἀπόῤῥητον λόγον τῆς θεότητος αὐτοῦ καὶ τῆς ἀνθρωπότητος τῇ μαχαίρᾳ τῆς διδασκαλίας, καὶ διαιρῶν αὐτὸν καὶ διανέμων τοῖς ἀξίοις τῆς τοιαύτης μυσταγωγίας.

Τίς δὲ ἡ πόσις καὶ ἡ ἀπόλαυσις; Ἡμῶν μὲν, τὸ μαθεῖν· ἐκείνου δὲ, τὸ διδάξαι καὶ κοινώσασθαι τοῖς ἑαυτοῦ μαθηταῖς τὸν λόγον, ὡς ὁ θεολόγος φησὶ Γρηγόριος, κάλλιστα περὶ τοῦ τοιούτου πάσχα φιλοσοφήσας (1). Ἀλλὰ καὶ περὶ τούτων μὲν εἰς τοσοῦτον.

Τὰ δὲ τοῦ Λουκᾶ ῥητὰ μεταχειριστέον καὶ συμβιβαστέον, ὡς οἷόν τε. Λέγει γὰρ ἐκεῖνος (α), τὸν Χριστὸν πρῶτον μὲν λαβεῖν ποτήριον, καὶ εὐχαριστῆσαι, καὶ εἰπεῖν· *Λάβετε τοῦτο, καὶ διαμερίσατε ἑαυτοῖς*· εἶτα λαβεῖν ἄρτον, καὶ εὐχαριστῆσαι, καὶ διανεῖμαι. Ὡσαύτως δὲ καὶ τὸ ποτήριον. Καὶ δοκεῖ περὶ δύο ποτηρίων λέγειν· οὐκ ἔστι δὲ τοῦτο· ἀλλὰ πρῶτον μὲν ἔλαβε ποτήριον, καὶ ηὐχαρίστησε, καὶ εἶπε· *Λάβετε τοῦτο, καὶ διαμερίσατε ἑαυτοῖς*· εἶτα προσθεὶς (β), ὅτι *Οὐ μὴ πίω ἀπὸ τοῦ γεννήματος τῆς ἀμπέλου, ἕως ὅτου ἡ βασιλεία τοῦ θεοῦ ἔλθῃ*· τῷ φόβῳ τοῦ θανάτου αὐτοῦ διετάραξεν αὐτούς. Οἷα δὲ εἰκὸς, διατριβῆς καὶ συγχύσεως γενομένης, ἀπέθετο τὸ ποτήριον· εἶτα, καιροῦ τινος διελθόντος, γεγόνασι τὰ ἑξῆς, ἥτε τοῦ ἄρτου, καὶ ἡ τοῦ ποτηρίου μετάδοσις. Εἰπὼν γὰρ ὁ εὐαγγελιστὴς (γ) περὶ τοῦ ἄρτου, ὅτι *εὐχαριστήσας ἔκλασε, καὶ ἔδωκεν αὐτοῖς*· εἶτα ἐπαγαγὼν, ὅτι *Ὡσαύτως καὶ τὸ ποτήριον* (δ), ἔδειξεν, ὅτι ἐκεῖνο τὸ ποτήριον, ὃ πρότερον ἔλαβεν. Οὐκ εἶπε γὰρ, ὅτι *Ὡσαύτως καὶ ποτήριον*, ἀλλ᾽ ὅτι *Ὡσαύτως καὶ τὸ ποτήριον*· τῇ προσθήκῃ τοῦ ἄρθρου τὸ προεγνωσμένον δηλώσας. Τὸ δὲ, *Τοῦτο τὸ ποτήριον, ἡ καινὴ διαθήκη ἐν τῷ αἵματί μου* (α), εἰ καὶ δοκεῖ δύσφραστον, ἀλλ᾽ οὐδὲν διαφέρει τοῦ λόγου τοῦ ῥηθέντος ὑπὸ Ματθαίου καὶ Μάρκου. Ἐκεῖνοι μὲν γὰρ εἶπον, *Τοῦτό ἐστι τὸ αἷμά μου, τὸ τῆς καινῆς διαθήκης*, τουτέστιν, ὃ ἡ καινὴ διαθήκη παραδίδωσιν· οὗτος δέ φησιν, ὅτι *Τοῦτο τὸ ποτήριον, ἡ καινὴ διαθήκη ἐστὶν*, ἣν ἐγὼ διατίθεμαι νῦν, ἐντελλόμενος ὑμῖν οὕτω ποιεῖν. Καινὴ δὲ τοῦτο διαθήκη ἐστὶν *ἐν τῷ αἵματί μου*· ἡ γὰρ παλαιὰ διαθήκη ἀλόγου ζώου αἷμα εἶχεν. Ὁμοίως δὲ καὶ τὸ, *Πλὴν ἰδοὺ, ἡ χεὶρ τοῦ παραδιδόντός με μετ᾽ ἐμοῦ ἐπὶ τῆς τραπέζης* (β), ὅμοιόν ἐστι τῷ, *ὁ ἐσθίων μετ᾽ ἐμοῦ*, ἢ τῷ, *ὁ ἐμβάψας μετ᾽ ἐμοῦ ἐν τῷ τρυβλίῳ τὴν χεῖρα*. Τέθεικε δὲ τοῦτο Λουκᾶς μὲν μετὰ τὴν τοῦ ποτηρίου καὶ τοῦ ἄρτου διανομὴν, Ματθαῖος δὲ καὶ Μάρκος, πρὸ ταύτης. Καὶ φαίνεται, ὅτι δὶς εἶπε τοῦτο ὁ Χριστὸς, πρό τε τῆς μεταδόσεως τῶν μυστηρίων, ὅτε καὶ ἐν τῷ τρυβλίῳ βάπτοντες ἤσθιον· καὶ μετὰ τὴν μετάδοσιν, ὅτε τὸ τρυβλίον αὖθις παρετέθη.

Καὶ τοῦτο δὲ πολλῆς ἄξιον ἀπορίας, πῶς, τοῦ Ματθαίου φήσαντος, ὅτι ὁ Χριστὸς πρὸ τῆς διανομῆς τῶν μυστηρίων ἐφανέρωσε τὸν προδότην, ἀποκριθεὶς πρὸς αὐτὸν τὸ, *Σὺ εἶπας* (γ), αὖθις ὁ Ἰωάννης (δ) μετὰ τὴν διανομὴν, ἀγνοοῦντας ἱστορεῖ τοὺς μαθητὰς, καὶ ἀπορουμένους, ὅτε καὶ ἑαυτὸν, ὑπὸ Πέτρου παρορμηθέντα, διερωτῆσαι λέγει τὸν διδάσκαλον, καὶ δοθῆναι σημεῖον τὸ βαφὲν ψωμίον. Δῆλον γὰρ, ὡς ὕστερον τοῦτο γέγονε. *Λαβὼν γὰρ*, φησι, *τὸ ψωμίον ἐκεῖνος, εὐθέως ἐξῆλθε* (ε). Τοῖς μὲν οὖν ἀλ-

(1) Γρηγορ. Ναζ. Σελ. 258.
(α) Λουκ. ΚΒ΄, 17. 19. 20.
(β) Λουκ. ΚΒ΄, 18.
(γ) Λουκ. ΚΒ΄, 19.
(δ) Λουκ. ΚΒ΄, 20.

(α) Λουκ. ΚΒ΄, 20.
(β) Λουκ. ΚΒ΄, 21.
(γ) Ματθ. ΚϚ΄, 25.
(δ) Ἰωαν. ΙΓ΄, 23—26.
(ε) Ἰωάν. ΙΓ΄, 30.

λοις ἐξηγηταῖς οὐδεμιᾶς ἐπιστασίας ἠξιώθη τὸ παρὸν ζήτημα·
φιλοπονήσασι δὲ ἡμῖν, ὃ διεγνώσθη, ῥηθήσεται. Νενοήκαμεν
γὰρ, ὅτι πρὸ τοῦ ἄρτου καὶ τοῦ ποτηρίου τῶν μαθητῶν κοι-
νῶς ἐρωτησάντων, ὁ Χριστὸς πρῶτον μὲν ἔδωκε γνώρισμα κοι-
νότερον τὸ, *ὁ ἐμβάψας μετ' ἐμοῦ*, καὶ, ὁ *ἐμβαπτόμενος*· καὶ γὰρ
πάντες καὶ ἐνέβαψαν καὶ ἐνεβάπτοντο (1) ἔτι· εἶτα τοῦ προ-
δότου ἰδικῶς ἐρωτήσαντος, προσέθηκεν ἰδικώτερον τὸ, *Σὺ εἶ-
πας*. Ἀλλὰ τὸ μὲν πρῶτον γνώρισμα πλεῖον συνεσκίαστο, τὸ
δεύτερον δὲ, ἔλαττον· ὅμως δὲ καὶ τοῦτο συνεσκίαστο, διὰ
φιλανθρωπίαν, ὡς ἂν ἀπό τε τοῦ κοινοτέρου καὶ τοῦ ἰδικωτέ-
ρου γνοὺς ὁ Ἰούδας, ὅτι οὐ λέληθε, μεταμεληθείη πρὸ τοῦ δια-
γνωσθῆναι τοῖς ἄλλοις μαθηταῖς. Ἀλλ' οὗτοι μὲν, οὔτε ἀπὸ
τοῦ πρώτου γνωρίσματος, οὔτε ἀπὸ τοῦ δευτέρου δυνηθέντες
νοῆσαι, τίς ὁ προδότης ἐστί· τὸ γὰρ, *Σὺ εἶπας*, αἰνίγματι
ἐῴκει· οὐδὲ γὰρ ἐκ τοῦ προφανοῦς ὡμολόγησεν, ὅτι ἐγώ εἰμι·
ἀλλὰ κατ' ἐρώτησιν, *Μήτι ἐγώ εἰμι;* ἡσύχασαν, μήποτε καὶ
προσονειδισθῶσιν, ὡς ἀνόητοι· καὶ γὰρ καὶ ἄλλοτε τοῦτο πε-
πόνθασιν· Ἰούδας δὲ, ἀπὸ τοῦ δευτέρου γνωρίσματος συνῆκε
μὲν, ὅτι διεγνώσθη τῷ Χριστῷ· λογισάμενος δὲ, ὅτι οὔ-
πω τέως τοῖς μαθηταῖς πεφανέρωται, μὴ νενοηκόσιν ἔτι,
τὸν ἀγνοοῦντα προσεποιεῖτο, τῆς τοῦ διδασκάλου κατα-
θαῤῥῶν ἀνεξικακίας. Μετὰ δέ γε τὴν τῶν μυστηρίων διανο-
μὴν, πάλιν ὁ Σωτὴρ ἐμαρτύρησεν, ἤγουν, διεμαρτύρατο
περὶ τῆς προδοσίας, ὡς ὁ Ἰωάννης ἔγραψεν, ἵνα ὁ Ἰούδας
τοσαύτης ἀξιωθεὶς μακροθυμίας, καὶ μὴ προδήλως παραδειγ-
ματισθεὶς, μηδὲ τῶν μυστηρίων ἀπελαθεὶς, ἀλλὰ καὶ τούτων
ἐπίσης τοῖς μαθηταῖς μετασχὼν, γένηται βελτίων καὶ σωφρο-
νέστερος. Εὐθὺς δὲ οἱ μαθηταὶ, μηκέτι δυνηθέντες καρτερεῖν
ἐπὶ πλεῖον· καὶ γὰρ ἠγωνίων, καὶ ἔβλεπον εἰς ἀλλήλους, ἀπο-

(1) Ἴσως ἔγραψεν ὁ Εὐθύμιος, καὶ ἐνέβαπτον, ἀντὶ τοῦ, καὶ ἐνε-
βάπτοντο.

ρούμενοι, περὶ τίνος λέγει· αὐτοὶ μὲν καὶ οὕτως οὐκ ἐτόλμη-
σαν τὴν ἐρώτησιν, δι' ἣν εἰρήκαμεν αἰτίαν· τῷ Ἰωάννῃ δὲ
ταύτην ἐπέτρεψεν ὁ Πέτρος, ὡς ἠγαπημένῳ μάλιστα τῷ δι-
δασκάλῳ, καὶ ἀνακειμένῳ τηνικαῦτα ἐν τῷ κόλπῳ αὐτοῦ· ὁ
δὲ μεταστραφεὶς, καὶ ἐπιπεσὼν ἐπὶ τὸ στῆθος αὐτοῦ, μετ'
εὐλαβείας ἠρώτησεν εἰς τὸ οὖς. Καὶ λοιπὸν ὁ Σωτὴρ συνιδὼν,
ὅτι ἀνίατος ὁ Ἰούδας μένει, οὐδ' οὕτω μὲν ἐθριάμβευσεν αὐ-
τὸν, ἀπεκρίθη δὲ καὶ αὐτὸς εἰς τὸ οὖς, ὅτι *Ἐκεῖνός ἐστιν, ᾧ
ἐγὼ βάψας τὸ ψωμίον ἐπιδώσω· καὶ ἐμβάψας τὸ ψωμίον
ἐπιδίδωσιν*· Ἰούδας δὲ λαβὼν τὸ ψωμίον, καὶ γνοὺς, ὅτι τεκ-
μήριον ἦν ἀπό τε τῆς τοῦ Χριστοῦ πρὸς Ἰωάννην κρυφίας κοι-
νολογίας, καὶ ἀπὸ τοῦ μόνῳ αὐτῷ τοιοῦτον ψωμίον δοθῆναι·
ἕτερον γὰρ ἦν τοῦτο παρὰ τὸν διαμερισθέντα πᾶσιν ἄρτον· καὶ
προσέτι ἀκούσας, ὅτι *Ὃ ποιεῖς, ποίησον τάχιον*, τουτέστιν,
ὃ τῷ λογισμῷ ποιεῖς, ποίησον καὶ τῷ ἔργῳ· ἤγγισε γὰρ ὁ
καιρός· εἰ καὶ ἔτι τοῖς μαθηταῖς καὶ τὰ περὶ τοῦ ψωμίου
ἠγνόητο, πρὸς μόνον ῥηθέντα κρυφίως τὸν Ἰωάννην, καὶ ὁ λό-
γος ἄδηλος ἦν, πρὸς τί ἐῤῥήθη· *Τινὲς γάρ, φησιν, ἐδόκουν, ἐπεὶ
τὸ γλωσσόκομον εἶχεν ὁ Ἰούδας, ὅτι λέγει αὐτῷ ὁ Ἰησοῦς·
Ἀγόρασον ὧν χρείαν ἔχομεν εἰς τὴν ἑορτήν· ἢ τοῖς πτω-
χοῖς ἵνα τι δῷ* (α)· καὶ τοῦτο μὲν, οὐκ ἐνεγκὼν τὴν αἰσχύ-
νην· ὑπέλαβε γὰρ ἤδη πᾶσι φανερωθῆναι· τοῦτο δὲ, καὶ φο-
βηθεὶς τοὺς μαθητὰς, μήπου καὶ διασπαράξωσιν αὐτόν· εὐθέως
ἐξῆλθε, καὶ πρὸς τοὺς ἐπιβούλους ἀπῆλθε. Ταῦτα δὲ πάντα
μόνος ὁ Ἰωάννης ἀπήγγειλεν, ὡς παραλελειμμένα τοῖς ἄλλοις.

Τὸ δὲ, *ὧν χρείαν ἔχομεν εἰς τὴν ἑορτὴν*, ἀπορίαν πολλοῖς
τῶν ἐξηγητῶν ἐνεποίησε· τὴν γὰρ τοῦ πάσχα ἤδη ἑώρτασαν,
ὡς προείρηται. Δῆλον οὖν, ὅτι τινὲς μὲν τῶν μαθητῶν ἔμαθον
τὸν σκοπὸν τοῦ διδασκάλου, καθ' ὃν προεώρτασε τὸ πάσχα·

(α) Ἰωαν ΙΓ', 29.

τινὲς δὲ ἀγνοοῦντες, ἐδόκουν, ὅτι ἔτι τοῦτο ἑορτάσει καὶ κα-
τὰ τὴν παρασκευήν· ἢ καὶ τὴν τῶν ἀζύμων ἑορτὴν ὑποληπτέον.

Διὰ τί δὲ λέγεται ἀγαπᾷν τὸν Ἰωάννην ὁ Κύριος, καὶ διὰ
τί ἀνέκειτο ἐν τῷ κόλπῳ αὐτοῦ, ῥηθήσεται, θεοῦ διδόντος, ἐν
τῇ ἐξηγήσει τοῦ κατὰ Ἰωάννην εὐαγγελίου. Εἰ δὲ Λουκᾶς μέν
φησιν (α), εἰσελθεῖν τὸν σατανᾶν εἰς Ἰούδαν πρὸ τοῦ συλλαλῆσαι
τοῖς ἀρχιερεῦσι καὶ στρατηγοῖς περὶ προδοσίας· Ἰωάννης δὲ,
μετὰ τὸ ψωμίον (β), οὐκ ἐναντιολογοῦσι. Πρότερον μὲν γὰρ
ὁ σατανᾶς ἀπόπειραν ἐποιήσατο, καὶ διεκωδώνισε (1) τὸν ἄθλι-
ον· ὕστερον δὲ γνοὺς ἀφορισθέντα, ὡς ἀδιόρθωτον, θαῤῥήσας
ἐπεπήδησεν· οὐ τῶν θείων δὲ μυστηρίων καταφρονήσας εἰσεῤ-
ῥύη· πῶς γάρ; ἀλλ' ἀνάξιον αὐτὸν εἰδὼς τῆς τούτων μετα-
λήψεως, καὶ μηδὲν ἐντεῦθεν ὠφελημένον.

30 Καὶ ὑμνήσαντες, ἐξῆλθον εἰς τὸ ὄρος τῶν ἐλαιῶν.

Ηὐχαρίστησε μὲν πρὸ τῆς διανομῆς, ὕμνησε δὲ, μετὰ τὴν
διανομὴν, ἵνα καὶ ἡμεῖς οὕτω ποιῶμεν, εὐχαριστοῦντες καὶ
δοξάζοντες τὸν θεὸν, τὸν ἀξιοῦντα ἡμᾶς τοιούτων ἀγαθῶν.
Ἐξῆλθε δὲ εἰς τὸ ὄρος τῶν ἐλαιῶν, ἵνα μὴ δόξῃ κρύπτεσθαι,
καὶ ἵνα μὴ στάσις ἐν τῇ πόλει γένηται δι' αὐτόν. Τὸ δὲ ὄρος
τῶν ἐλαιῶν πέραν τοῦ χειμάῤῥου τῶν κέδρων ἦν, κατὰ τὴν Ἰωάν-
νου γραφὴν (α), *ὅπου ἦν καὶ κῆπος, εἰς ὃν εἰσῆλθεν αὐτὸς
καὶ οἱ μαθηταὶ αὐτοῦ. Ἤδει δέ*, φησι, *καὶ ὁ Ἰούδας, ὁ
παραδιδοὺς αὐτὸν, τὸν τόπον, ὅτι πολλάκις συνήχθη ὁ Ἰη-
σοῦς ἐκεῖ μετὰ τῶν μαθητῶν αὐτοῦ*. Δῆλον οὖν, ὅτι τὰ πολλὰ

(α) Λουκ. ΚΒ', 3.

(β) Ἰωαν. ΙΓ', 27.

(1) Διακωδωνισθέντες· ἤτοι, διαφημισθέντες. Ὡς ἐπὶ τὸ πλεῖστον δὲ λέγεται ἐπὶ τῶν διαπαιζομένων. Τέτακται καὶ ἐπὶ τοῦ, διαπειρασθέντες. Οὕτως Λυσίας ὁ ῥήτωρ. Ἀπὸ δὲ τῶν ἵππων μετενήνεκται. Εἰώθασι γὰρ οὕτω δοκιμάζειν τοὺς γενναίους ἵππους, εἰ μὴ καταπλήσσονται τὸν ἐν πολέμῳ θόρυβον, τοὺς κώδωνας ψοφοῦντες. Ζωναρᾶς.

(α) Ἰωαν. ΙΗ', 1. 2.

ἔξω διενυκτέρευεν ἐν τοῖς ὄρεσι· τοῦτο μὲν εὐχῆς ἀπερισπάστου χάριν· τοῦτο δὲ καὶ, ἵνα κοινωνῇ τοῖς μαθηταῖς λόγων μυστικωτέρων. Πρὸ μέντοι τοῦ ἐξελθεῖν εἰς τὸ ὄρος πολλὰ εἶπεν, ὧν τὰ μὲν ὁ Λουκᾶς, τὰ δὲ ὁ Ἰωάννης ἱστόρησαν.

31 Τότε λέγει αὐτοῖς ὁ Ἰησοῦς· Πάντες ὑμεῖς σκανδαλισθήσεσθε ἐν ἐμοὶ ἐν τῇ νυκτὶ ταύτῃ· γέγραπται γάρ· «Πατάξω τὸν ποιμένα, καὶ διασκορπισθήσεται τὰ πρόβατα τῆς ποίμνης.»

Σκανδαλισθήσεσθε, ἀντὶ τοῦ, σαλευθήσεσθε τὴν εἰς ἐμὲ πίστιν, ἤγουν, φεύξεσθε. Τοῦ προφήτου δὲ Ζαχαρίου (α) τὸ ἑξῆς ῥητόν. Λέγεται δὲ ὁ πατὴρ πατάξαι τὸν υἱὸν, ὡς παταγῆναι αὐτὸν συγχωρήσας, εἴτουν, ἀναιρεθῆναι. Δηλοῦται δὲ καὶ ἐντεῦθεν, ὅτι κατὰ γνώμην τοῦ πατρὸς ἀναιρεθήσεται διὰ τὴν οἰκονομίαν.

32 Μετὰ δὲ τὸ ἐγερθῆναί με, προάξω ὑμᾶς εἰς τὴν Γαλιλαίαν.

Προειπὼν τὰ λυπηρὰ, προλέγει καὶ τὰ παραμυθούμενα. *Προάξω* δὲ, ἀντὶ τοῦ, προλαβῶ ὑμᾶς εἰς τὴν Γαλιλαίαν, ἐκεῖ ἐκδεχόμενος.

33 Ἀποκριθεὶς δὲ ὁ Πέτρος, εἶπεν αὐτῷ· Εἰ καὶ πάντες σκανδαλισθήσονται ἐν σοὶ, ἐγὼ δὲ οὐδέποτε σκανδαλισθήσομαι.

Δέον μάλιστα δεηθῆναι, καὶ εἰπεῖν· Κύριε, βοήθησον ἡμῖν· ὁ δὲ τρία ὁμοῦ πταίει· πρῶτον, ὅτι ἀντεῖπε καὶ τῷ προφήτῃ, καὶ τῷ Χριστῷ· δεύτερον, ὅτι τῶν ἄλλων ἑαυτὸν προέθηκε· τρίτον, ὅτι ἑαυτῷ μόνῳ, καὶ οὐ τῇ βοηθείᾳ τοῦ θεοῦ τεθάῤῥηκε. Διὸ καὶ συγχωρεῖται πεσεῖν, ἵνα συσταλῇ, καὶ μάθῃ, μὴ σφόδρα θαῤῥεῖν ἑαυτῷ, καὶ παιδευθῶσι καὶ ἕτεροι. Ὅπερ δέ φησι

(α) Ζαχαρ. ΙΓ', 7.

Λουκᾶς (α), ὅτι *Σίμων, Σίμων, ἰδοὺ, ὁ σατανᾶς ἐξῃτήσατο ὑμᾶς*, καὶ τὰ ἑξῆς, καθ' ἕτερον εἶπε καιρὸν, πρὸ τοῦ ἐξελθεῖν εἰς τὸ ὄρος τῶν ἐλαιῶν· διὸ καὶ ἑτέρου λόγου εἰσὶν ἐκεῖνα.

34 Ἔφη αὐτῷ ὁ Ἰησοῦς· Ἀμὴν λέγω σοι, ὅτι ἐν
ταύτῃ τῇ νυκτὶ, πρὶν ἀλέκτορα φωνῆσαι, τρὶς
ἀπαρνήσῃ με.

Πρὶν ἀλέκτορα φωνῆσαι, ἀντὶ τοῦ, πρὶν τὰς φωνὰς πληρῶσαι τῆς ἀγωγῆς. Εἴωθε γὰρ ὁ ἀλέκτωρ καθ' ἑκάστην ἀγωγὴν πολλάκις φωνεῖν, εἶτα διαναπαύεσθαι, καὶ μετά τινα καιρὸν πάλιν ἀφ' ἑτέρας ἀρχῆς φωνεῖν. Τοῦτο δὲ Μάρκος ἐσαφήνισεν εἰπών· *Σὺ σήμερον ἐν τῇ νυκτὶ ταύτῃ, πρὶν ἢ δὶς ἀλέκτορα φωνῆσαι, τρὶς ἀπαρνήσῃ με* (6). *Ἄρνησιν* δὲ λέγει, τὴν τοῦ μὴ εἰδέναι αὐτόν· φησὶ γὰρ ὁ Λουκᾶς· *Οὐ μὴ φωνήσῃ σήμερον ἀλέκτωρ, πρὶν ἢ τρὶς ἀπαρνήσῃ, μὴ εἰδέναι με* (γ).

35 Λέγει αὐτῷ ὁ Πέτρος· Κἂν δέῃ με σὺν σοὶ ἀπο-
θανεῖν, οὐ μή σε ἀπαρνήσωμαι.

Ὅσον διαβεβαιοῦται ὁ Χριστὸς, τοσοῦτον ὁ Πέτρος ἀντισχυρίζεται· σφοδρὸν γὰρ ἐν αὐτῷ τὸ πάθος τῆς ἐφ' ἑαυτῷ πεποιθήσεως· διὸ καὶ χαλεπὸν ὑφίσταται ναυάγιον, ἔρημος τῆς παρὰ θεοῦ βοηθείας ἀπολειφθεὶς, καὶ ἐλεγχθεὶς, ὅτι ἀσθενής ἐστιν. Ὅρα γοῦν μετὰ ταῦτα, πῶς κατεσταλμένος ἐστί. Καὶ γὰρ μετὰ τὴν ἀνάστασιν εἰπὼν περὶ τοῦ Ἰωάννου (δ), *Κύριε, οὗτος δὲ τί;* καὶ ἐπιστομισθεὶς, αὐτίκα σεσίγηκε. Καὶ πρὸ τῆς ἀναλήψεως, ἀκούσας, *Οὐχ ὑμῶν ἐστι γνῶναι χρόνους ἢ καιροὺς* (ε), ὁμοίως ἡσύχασε. Καὶ μετὰ ταῦτα, ἐπὶ τῆς ὀθόνης

(α) Λουκ. ΚΒ', 31.
(6) Μαρκ. ΙΔ', 30.
(γ) Λουκ. ΚΒ', 34.
(δ) Ἰωαν. ΚΑ', 21.
(ε) Πραξ. Α', 7.

ἐνωτισθεὶς, ὅτι *Ἃ ὁ θεὸς ἐκαθάρισε, σὺ μὴ κοίνου* (α), καὶ οὐδὲ σαφῶς εἰδὼς τὸ ῥηθὲν, ὅμως οὐκ ἐτόλμησεν ἀντειπεῖν. Ταῦτα δὲ πάντα τὸ πτῶμα ἐκεῖνο τῆς ἀρνήσεως κατώρθωσε. Καὶ πρὸ τούτου μὲν ἑαυτῷ τὸ πᾶν τῆς πίστεως ἀνετίθει, λέγων· *Ἐγὼ δὲ οὐδέποτε σκανδαλισθήσομαι* (6)· καὶ, *Οὐ μή σε ἀπαρνήσωμαι* (γ)· δέον παρακιρνᾷν τοῖς λόγοις, ὅτι ἐὰν ἔχω σε βοηθόν· ὕστερον δὲ, ἐπὶ τοῦ χωλοῦ, διαῤῥήδην ἔλεγεν, ὅτι *Ἡμῖν τί ἀτενίζετε, ὡς ἰδίᾳ δυνάμει ἢ εὐσεβείᾳ πεποιηκόσι τοῦ περιπατεῖν αὐτόν* (δ);

Ἐντεῦθεν οὖν μέγα δόγμα μανθάνομεν, ὡς οὔτε ἀνθρωπίνη προθυμία κατορθοῖ τι χωρὶς τῆς θείας ῥοπῆς, οὔτε θεία ῥοπὴ κέρδος φέρει χωρὶς ἀνθρωπίνης προθυμίας. Καὶ ἀμφοτέρων παραδείγματα Πέτρος καὶ Ἰούδας. Ὅθεν χρὴ μήτε τὸ πᾶν ἐπὶ τὸν θεὸν ῥίψαντας καθεύδειν, μήτε σπουδάζοντας, τὸ πᾶν ἑαυτοὺς οἴεσθαι κατορθοῦν. Οὔτε γὰρ τὸ πᾶν ὁ θεὸς ἐργάζεται, ἵνα μὴ ἀργοὶ μένωμεν· οὔτε τὸ πᾶν ἡμῖν ἐφίησιν, ἵνα μὴ καυχώμεθα· ἀλλ' ἑκατέρου τὸ βλαβερὸν ἀφελὼν, τὸ χρήσιμον ἡμῖν ἀπολέλοιπεν. Ἀφῆκεν οὖν τὸν κορυφαῖον πεσεῖν, οὐ μόνον διὰ τὰς ῥηθείσας αἰτίας, ἀλλὰ καὶ, ἵνα πλεῖον ἀγαπήσῃ. Ὧ, γὰρ πλεῖον ἀφεθῇ, πλεῖον ἀγαπήσει (1).

Καὶ ἡμεῖς τὸ νῦν πειθώμεθα πανταχοῦ τῷ θεῷ, καὶ μὴ ἀντιλέγωμεν, καὶ εἰ τὸ παρ' αὐτοῦ λεγόμενον ἐναντίον εἶναι δοκεῖ τοῖς ἡμετέροις λογισμοῖς, καὶ ταῖς ὄψεσι· καὶ ἔστω καὶ λογισμῶν καὶ ὄψεων κυριώτερος ὁ λόγος αὐτοῦ. Οὕτω καὶ ἐπὶ τῶν φρικτῶν μυστηρίων ποιῶμεν, μὴ τὰ προκείμενα μόνον βλέποντες, ἀλλὰ τοῖς λόγοις τοῦ δεσπότου πειθόμενοι· καὶ

(α) Πραξ. Ι', 15.
(6) Ματθ. ΚϚ', 33.
(γ) Ματθ. ΚϚ', 33.
(δ) Πραξ. Γ', 12.
(1) Ἀναφέρεται εἰς Λουκ. Ζ', 47. 48.

ἐπειδή φησι, *Τοῦτό ἐστι τὸ σῶμά μου*, καὶ, *Τοῦτό ἐστι τὸ αἷμά μου*, καὶ πειθώμεθα καὶ πιστεύωμεν. Καὶ γὰρ καὶ ἐπὶ τοῦ βαπτίσματος αἰσθητὸν μὲν τὸ ὕδωρ, ἀλλὰ νοητὸν τὸ δῶρον, ἡ ἀναγέννησις. Ἐπεὶ γὰρ σώματι συμπέπλεκται ἡμῶν ἡ ψυχὴ, ἐν αἰσθητοῖς τὰ νοητὰ παρέδωκεν ἡμῖν ὁ θεός.

35 Ὁμοίως καὶ πάντες οἱ μαθηταὶ εἶπον.

Μιμησάμενοι καὶ αὐτοὶ τὸν Πέτρον.

36 Τότε ἔρχεται μετ' αὐτῶν ὁ Ἰησοῦς εἰς χωρίον λεγόμενον Γεθσημανῆ· καὶ λέγει τοῖς μαθηταῖς· Καθίσατε αὐτοῦ, ἕως οὗ ἀπελθὼν προσεύξωμαι ἐκεῖ.

Μόνος ἄπεισιν εἰς προσευχὴν, διδάσκων, ὅτι χρὴ τὸν θερμῶς προσεύχεσθαι μέλλοντα, μεμονωμένον προσεύχεσθαι.

[Ὡς (1) ἄνθρωπος προσηύξατο, διδάσκων τοὺς ἀνθρώπους, ἐν πειρασμοῖς προσεύχεσθαι, καὶ εἰς θεὸν ἀνατείνεσθαι, καὶ ἐκτενέστερον ἐπικαλεῖσθαι τὴν ἐκείνου βοήθειαν.]

37 Καὶ παραλαβὼν τὸν Πέτρον καὶ τοὺς δύο υἱοὺς Ζεβεδαίου, ἤρξατο λυπεῖσθαι καὶ ἀδημονεῖν.

[Ἔστι (2) δειλία φυσικὴ, μὴ θελούσης τῆς ψυχῆς διαιρεθῆναι τοῦ σώματος, διὰ τὴν ἐξ ἀρχῆς ἐντεθεῖσαν αὐτῇ παρὰ τοῦ δημιουργοῦ φυσικὴν συμπάθειάν τε καὶ οἰκειότητα. Καὶ ἔστι δειλία παρὰ φύσιν, ἐκ προδοσίας λογισμῶν καὶ ἀπιστίας συνισταμένη, ὡς ὅταν τις ἐν νυκτὶ δειλιᾷ, διὰ τὰ φάσματα καὶ τοὺς ψόφους. Ταύτην δὲ τὴν δειλίαν, ὡς παρὰ φύσιν, ὁ Χριστὸς οὐ προσήκατο.]

Οὐκ εἰς τὴν προσευχὴν παρέλαβεν αὐτοὺς, ἀλλὰ πρὸ τῆς προσευχῆς, ἰδίᾳ τῶν ἄλλων μαθητῶν, ὥστε μόνον ἐνδείξασθαι αὐτοῖς τὰ τῆς λύπης. Μάρκος δέ φησιν (α), ὅτι ἤρξατο

(1) Ταῦτα παρ' ἀμφοτέροις τοῖς χειρογράφοις ἐν τῷ περισελιδίῳ.

(2) Καὶ ταῦτα ἐν τῷ περισελιδίῳ παρ' ἀμφοτέροις τοῖς χειρογράφοις.

(α) Μάρκ. ΙΔ', 33.

ἐκθαμβεῖσθαι, ἤγουν, δειλιᾷν· ἐφῆκε γὰρ τῇ φύσει πάσχειν τὸ ἴδιον. *Ἀδημονεῖν* δὲ νῦν, τὸ βαρυθυμεῖν νοεῖται. Τὴν μὲν οὖν λύπην καὶ βαρυθυμίαν ἐνδείκνυται, δεικνύων, ὅτι, ὥσπερ τὰ πάντα θεός ἐστιν, οὕτω καὶ τὰ πάντα ἄνθρωπος· ἴδιον δὲ ἀνθρωπίνης φύσεως, λυπεῖσθαι διὰ τὸν θάνατον, καὶ μάλιστα τὸν βίαιον, καὶ φοβεῖσθαι τοῦτον. Μόνοις δὲ τούτοις ἐνδείκνυται, ὡς μόνοις θεωροῖς γεγονόσι καὶ τῆς ἐν τῇ μεταμορφώσει θείας δόξης αὐτοῦ, καὶ μᾶλλον τῶν ἄλλων δυναμένοις μὴ θορυβηθῆναι καὶ καταπεσεῖν.

38 Τότε λέγει αὐτοῖς· Περίλυπός ἐστιν ἡ ψυχή μου ἕως θανάτου· μείνατε ὧδε, καὶ γρηγορεῖτε μετ' ἐμοῦ.

Φανερώτερον ἐξαγορεύει τὴν ἀσθένειαν τῆς φύσεως, ὡς ἄνθρωπος. Τὸ δὲ, *ἕως θανάτου*, ἀντὶ τοῦ, ὡς ἐν θανάτῳ. Γρηγορεῖν δὲ μετ' αὐτοῦ κελεύει, παραμυθίας ἕνεκεν, ὡς ἔθος τοῖς ἐν περιστάσεσιν. Εἶτα καὶ τούτους ἀφίησιν ἐκεῖ, καὶ μόνος ἄπεισιν εἰς τὴν προσευχήν.

39 Καὶ προελθὼν μικρὸν, ἔπεσεν ἐπὶ πρόσωπον αὐτοῦ,

Λουκᾶς δὲ καὶ τὸ μέτρον τοῦ διαστήματος εἶπεν, ὅτι *ἀπεσπάσθη ἀπ' αὐτῶν ὡσεὶ λίθου βολὴν* (β).

39 Προσευχόμενος, καὶ λέγων· Πάτερ μου, εἰ δυνατόν ἐστι, παρελθέτω ἀπ' ἐμοῦ τὸ ποτήριον τοῦτο· πλὴν οὐχ ὡς ἐγὼ θέλω, ἀλλ' ὡς σύ.

Εἰπὼν μὲν, ὅτι *Εἰ δυνατόν ἐστι, παρελθέτω ἀπ' ἐμοῦ τὸ ποτήριον τοῦτο*, ἔδειξε τὴν ἀνθρωπίνην δειλίαν· *ποτήριον* λέγων, τὸ τοῦ θανάτου· εἰπὼν δὲ, *Πλὴν οὐχ ὡς ἐγὼ θέλω, ἀλλ' ὡς σὺ*, ἐδίδαξεν, ὅτι καὶ τῆς φύσεως ἀνθελκούσης, χρὴ ἕπεσθαι τῷ θελήματι τοῦ θεοῦ, καὶ προτιμᾷν αὐτὸ τοῦ ἰδίου

(α) Λουκ. ΚΒ', 41.

θελήματος, ὡς λυσιτελέστερον. Τὸ δὲ, *Πλὴν οὐχ ὡς ἐγὼ θέλω*, σαφέστερον ὁ Λουκᾶς ἀπήγγειλεν, εἰπών(α)· *Πλὴν μὴ τὸ θέλημά μου, ἀλλὰ τὸ σὸν γενέσθω*. Μάρκος δέ φησιν, ὅτι *Προσηύχετο, ἵνα, εἰ δυνατόν ἐστι, παρέλθῃ ἀπ' αὐτοῦ ἡ ὥρα*, ἤγουν, ἡ τοῦ θανάτου· καὶ ὅτι *ἔλεγεν· Ἀββὰ ὁ πατὴρ, πάντα δυνατά σοι· παρένεγκε τὸ ποτήριον ἀπ' ἐμοῦ τοῦτο· ἀλλ' οὐ τί ἐγὼ θέλω, ἀλλὰ τί σύ* (β). Τὸ μὲν οὖν, *Ἀββὰ*, ἑβραϊκὴ λέξις ἐστὶ, σημαῖνον τὸ, ὁ πατήρ· διὸ καὶ ἡ ἑρμηνεία τούτου προσετέθη· τὸ δὲ, *οὐ τί ἐγὼ θέλω, ἀλλὰ τί σὺ*, ἐλλιπῆ εἰσιν· ἐλλείπει γὰρ τὸ, *γινέσθω*. Ἔστι γὰρ τὸ πλῆρες, ὅτι *Γινέσθω, οὐχ ὃ ἐγὼ θέλω, ἀλλ' ὃ σύ*.

Παρὰ δὲ τῷ Λουκᾷ γέγραπται (γ)· *Πάτερ, εἰ βούλει παρενεγκεῖν τὸ ποτήριον τοῦτο ἀπ' ἐμοῦ*. Καὶ ἔστι καὶ τοῦτο ἐλλιπές· ἐλλείπει γὰρ τὸ, *παρένεγκε*. Ὡς ἄνθρωπος δὲ εἶπεν, *εἰ δυνατόν ἐστιν*, ἀντὶ τοῦ, εἰ ἐνδεχόμενον· ἀνθρώπινον γὰρ τὸ ἐπιδοιάζειν (1). Ὡς γὰρ Θεὸς ἐγίνωσκεν, εἴτε δυνατὸν ἦν, εἴτε ἀδύνατον. Εἰκὸς δὲ, πάντα ῥηθῆναι ἀνὰ μέρος· εἰώθαμεν γὰρ ἐν ταῖς προσευχαῖς διαφόρως τὸ αὐτὸ λέγειν.

40 Καὶ ἔρχεται πρὸς τοὺς μαθητὰς, καὶ εὑρίσκει αὐτοὺς καθεύδοντας, καὶ λέγει τῷ Πέτρῳ· Οὕτως;

Τὸ, *οὕτως*, κατ' ἐρώτησιν ἠθικὴν ἀναγνωστέον. Ἐνέτρεψε γὰρ αὐτὸν, καίτοι καὶ τῶν ἄλλων καθευδόντων· ἀλλὰ τούτου διαφερόντως καθήψατο, ὡς προπετεστέρου, λέγων· *Οὕτως ὑπέσχου;*

40 Οὐκ ἰσχύσατε μίαν ὥραν γρηγορῆσαι μετ' ἐμοῦ;

Σὺν ἐμοὶ ἀποθανεῖν ἐπηγγείλασθε, καὶ *οὐκ ἰσχύσατε μίαν*

(α) Λουκ. ΚΒ', 42

(β) Μαρκ. ΙΔ', 35. 36·

(γ) Λουκ. ΚΒ', 42,

(1) Συνηθέστερον τὸ, ἐνδοιάζειν.

ὥραν γρηγορῆσαι μετ' ἐμοῦ; Μάρκος δέ φησιν, ὅτι λέγει τῷ Πέτρῳ (α)· *Σίμων, καθεύδεις; οὐκ ἴσχυσας μίαν ὥραν γρηγορῆσαι;* Προηγουμένως μὲν γὰρ πρὸς ἐκεῖνον ἀπετείνατο, εἶτα δὲ καὶ πρὸς τοὺς ἄλλους.

41 Γρηγορεῖτε, καὶ προσεύχεσθε, ἵνα μὴ εἰσέλθητε εἰς πειρασμόν·

Μὴ θαῤῥεῖτε ἑαυτοῖς, μηδὲ ἐπαγγέλλεσθε μεγάλα, ἀλλὰ προσέχετε, καὶ προσεύχεσθε, μὴ εἰσελθεῖν εἰς πειρασμόν. Τινὲς δὲ *πειρασμὸν* ἐνταῦθα, τὸν τῆς ἀρνήσεως ἑρμηνεύουσιν.

41 Τὸ μὲν πνεῦμα πρόθυμον, ἡ δὲ σὰρξ ἀσθενής.

Ἡ μὲν ψυχὴ προθυμεῖται καὶ κατατολμᾷ τοῦ κινδύνου· ἡ δὲ σὰρξ ἀσθενὴς οὖσα, ὑποστέλλεται καὶ οὐκ εὐτονεῖ· διὸ προσήκει, μὴ, πρὸς τὴν τῆς ψυχῆς προθυμίαν βλέποντας, θρασύνεσθαι, ἀλλὰ πρὸς τὴν τῆς σαρκὸς ἀσθένειαν ὁρῶντας, μετριοφρονεῖν.

42 Πάλιν ἐκ δευτέρου ἀπελθὼν προσηύξατο, λέγων· Πάτερ μου, εἰ οὐ δύναται τοῦτο τὸ ποτήριον παρελθεῖν ἀπ' ἐμοῦ, ἐὰν μὴ αὐτὸ πίω, γενηθήτω τὸ θέλημά σου.

Ὁ δὲ Μάρκος ἔγραψεν, ὅτι *τὸν αὐτὸν λόγον* εἶπεν (β), ὃν καὶ πρότερον. Εἰκὸς δὲ, καὶ ἐκεῖνον, καὶ τοῦτον εἰπεῖν.

43 Καὶ ἐλθὼν εὑρίσκει αὐτοὺς πάλιν καθεύδοντας· ἦσαν γὰρ αὐτῶν οἱ ὀφθαλμοὶ βεβαρημένοι.

Βεβάρηντο, οὐ τῷ ὕπνῳ μόνον, ἀλλὰ καὶ τῇ λύπῃ, καθὼς εἶπε Λουκᾶς (α). Ἤδη γὰρ ἐπληροφορήθησαν περὶ τοῦ θανάτου

(α) Μαρκ. ΙΔ', 37·

(β) Μαρκ. ΙΔ', 39.

(γ) Λουκ. ΚΒ', 45.

αὐτοῦ. Ὁ δὲ Μάρκος εἶπεν, ὅτι *Καὶ οὐκ ᾔδεισαν, τί αὐτῷ ἀποκριθῶσιν* (α).

44 Καὶ ἀφεὶς αὐτοὺς, ἀπελθὼν πάλιν, προσηύξατο ἐκ τρίτου, τὸν αὐτὸν λόγον εἰπών.

Ἐκ δευτέρου μὲν, καὶ ἐκ τρίτου προσηύξατο, διδάσκων, ὅτι χρὴ πολλάκις προσεύχεσθαι, καὶ μὴ ἀποκάμνειν. Ἦλθε δὲ τὸ δεύτερον πρὸς τοὺς μαθητὰς, ἐλέγχων τὴν ἀσθένειαν αὐτῶν, ὡς μηδὲ μετὰ τὴν ἐπιτίμησιν βελτιωθέντων, ἀλλὰ καὶ τοσοῦτον βεβαπτισμένων τῷ ὕπνῳ, ὅσον μηδὲ δύνασθαι ἀποκριθῆναι αὐτῷ· διὸ οὐδὲ καθήψατο αὐτῶν τηνικαῦτα.

Λουκᾶς δὲ πλατύτερον εἶπε (β), καὶ ὅτι *Ὤφθη αὐτῷ ἄγγελος ἀπ' οὐρανοῦ, ἐνισχύων αὐτὸν*, ἤγουν, ἰσχύειν καὶ κραταιοῦσθαι ἐπιφθεγγόμενος, ὡς ἀνθρώπῳ· καὶ ὅτι *Καὶ γενόμενος ἐν ἀγωνίᾳ, ἐκτενέστερον προσηύχετο*· παιδεύων ἡμᾶς, ἐν ἀνάγκαις ἐκτενέστερον προσεύχεσθαι· καὶ ὅτι *Ἐγένετο ὁ ἱδρὼς αὐτοῦ, ὡσεὶ θρόμβοι αἵματος καταβαίνοντες ἐπὶ τὴν γῆν. Θρόμβοι* δὲ *αἵματος*, οἱ παχύτατοι σταλαγμοὶ τοῦ αἵματος (1). Τοῦτο δὲ εἶπε, δηλῶν, οὐχ ὅτι αἷμα ἵδρωσεν, ἀλλ' ὅτι παχεῖς κατῆγεν ἱδρῶτας ὑπὸ τῆς ἀγωνίας. Ἵνα γὰρ μὴ δόξῃ ὑπόκρισις τὸ γινόμενον, οὐκ ἐπὶ τοῦ προσώπου μόνον ἐνδείκνυται τὴν λύπην, ἀλλὰ καὶ φανερώτερον ἐξαγορεύει ταύτην, καὶ προσεύχεται πυκνότερον, καὶ ἄγγελος αὐτῷ φαίνεται πρὸς ἀνδρείαν ἐπαλείφων, καὶ ἔτι ἀγωνιᾷ, καὶ ἐκτενέστερον προσεύχεται, καὶ ἱδρῶτες ἁδροὶ καταῤῥέουσι, καὶ πάντα ταῦτα καὶ ποιεῖ καὶ πάσχει, βεβαιῶν, ὅτι οὐ κατὰ φαντασίαν ἐνηνθρώπησεν, ἀλλὰ κατ' ἀλήθειαν. Εἰ γὰρ καὶ τούτων ἀνθρωποπρεπῶς οὕτω γενομένων, καὶ τῆς μαρτυρικῆς καταδεέστερον γενναιότητος, ὅμως εἰσί τινες ἀπιστοῦντες τῇ ἐναν-

(α) Μάρκ. ΙΔ', 40.
(β) Λουκ. ΚΒ', 43. 44.
(1) Θεοφύλακτος Σελ. 521. C. « σταγόσιν ἁδραῖς ἱδρώτων περιεστάζετο.»

θρωπήσει αὐτοῦ, πολλῷ μᾶλλον ἠπίστουν ἂν, εἰ μὴ ταῦτα γέγονεν.

Ἄξιον δὲ ζητῆσαι, πόθεν οἱ εὐαγγελισταὶ μαθόντες συνεγράψαντο, τί τε προσευχόμενος εἶπε τηνικαῦτα, καὶ ποσάκις προσηύξατο, καὶ ἁπλῶς τὰ περὶ τοῦ ἀγγέλου, καὶ τὰ ἑξῆς; οἱ μαθηταὶ γὰρ πάντες τότε μὲν ἐκάθευδον· ὕστερον δὲ ἀφέντες αὐτὸν ἔφυγον. Δοκεῖ γάρ μοι, μετὰ τὴν ἀνάστασιν αὐτὸς ὁ διδάσκαλος εἰπεῖν καὶ ταῦτα τοῖς μαθηταῖς, ὅτε δι' ἡμερῶν τεσσαράκοντα ὀπτανόμενος ἦν αὐτοῖς, ὡς ἡ βίβλος φησὶ τῶν Πράξεων (α).

45 Τότε ἔρχεται πρὸς τοὺς μαθητὰς αὐτοῦ, καὶ λέγει αὐτοῖς· Καθεύδετε τὸ λοιπὸν, καὶ ἀναπαύεσθε·

Ἐντρέπων αὐτοὺς τοῦτο λέγει, καὶ καθαπτόμενος, οἷα κοιμωμένων ἐν καιρῷ κινδύνου, καὶ τῶν πολλῶν αὐτοῦ περὶ τοῦ γρηγορεῖν καὶ προσεύχεσθαι παραγγελιῶν ἐπιλαθομένων, ὡσανεὶ λέγων· Ἐπεὶ μέχρι τοῦ νῦν οὐκ ἐγρηγορήσατε, τὸ λοιπὸν καθεύδετε, καὶ ἀναπαύεσθε, εἰ δύνασθε.

45 Ἰδοὺ, ἤγγικεν ἡ ὥρα·

Ἡ τῆς προδοσίας. Μάρκος δέ φησιν, εἰπεῖν αὐτὸν, πρὸ τοῦ λόγου τούτου, ὅτι *ἀπέχει* (β), τουτέστιν, ἔλαβε τὴν κατ' ἐμοῦ ἐξουσίαν ὁ διάβολος, ἢ, ἀπέχει τὰ κατ' ἐμὲ, ἤγουν, πέρας ἔχει. Καὶ γὰρ καὶ παρὰ τῷ Λουκᾷ εἴρηκεν, ὅτι *τὰ περὶ ἐμοῦ τέλος ἔχει* (γ).

45 Καὶ ὁ υἱὸς τοῦ ἀνθρώπου παραδίδοται εἰς χεῖρας ἁμαρτωλῶν.

Τοῦτο σαφές.

(α) Πραξ. Α', 3.
(β) Μαρκ. ΙΔ', 41.
(γ) Λουκ. ΚΒ', 37.

ΚΕΦΑΛΑΙΟΝ ΞΕ΄.

Περὶ τῆς παραδόσεως τοῦ Ἰησοῦ.

46 Ἐγείρεσθε· ἄγωμεν· ἰδοὺ, ἤγγικεν ὁ παραδιδούς με.

Κἀντεῦθεν ἔδειξεν, ὅτι ἑκὼν ἀποθανεῖται. Προειδὼς γὰρ, ἐρχομένους τοὺς περὶ τὸν προδότην, οὐ μόνον οὐκ ἔφυγεν, ἀλλὰ καὶ εἰς ἀπάντησιν αὐτῶν ἐξιέναι παρασκευάζεται, λέγων· *Ἄγωμεν* πρὸς αὐτούς. Λουκᾶς δέ φησιν, εἰπεῖν αὐτὸν τοῖς μαθηταῖς (α)· *Τί καθεύδετε; ἀναστάντες προσεύχεσθε, ἵνα μὴ εἰσέλθητε εἰς πειρασμόν.* Εἰκὸς δὲ, τοῦτο πρῶτον εἰπεῖν, εἶτα ἐπειπεῖν τὸ, *ἐγείρεσθε, ἄγωμεν.*

47 Καὶ ἔτι αὐτοῦ λαλοῦντος, ἰδοὺ, Ἰούδας, εἷς τῶν δώδεκα, ἦλθε, καὶ μετ' αὐτοῦ ὄχλος πολὺς μετὰ μαχαιρῶν καὶ ξύλων, ἀπὸ τῶν ἀρχιερέων καὶ πρεσβυτέρων τοῦ λαοῦ.

Εἷς τῶν δώδεκα πρόσκειται γνώρισμα, δηλοῦν, ὅτι ἐκ τοῦ πρώτου χοροῦ τῶν μαθητῶν ἦν. Καὶ ἔστι μὲν τοῦτο κατηγορία τοῦ Ἰούδα· καθάπτεται δὲ καὶ τῶν ἄλλων μαθητῶν· ἀλλ' οὐκ ἐπαισχύνονται τοῦτο γράφοντες οἱ εὐαγγελισταί· πανταχοῦ γὰρ τῆς ἀληθείας φροντίζουσιν. Ὁ δ' Ἰωάννης περὶ τοῦ Ἰούδα φησὶν (β), ὅτι *λαβὼν τὴν σπεῖραν, καὶ ἐκ τῶν ἀρχιερέων καὶ φαρισαίων ὑπηρέτας, ἔρχεται ἐκεῖ μετὰ φανῶν καὶ λαμπάδων καὶ ὅπλων.* Ἡ *σπεῖρα* μὲν οὖν ἦν τάγμα στρατιωτικὸν, χρήμασιν ἀναπεισθεῖσα· *φανοὶ* δὲ, τὰ λεγόμενα φανάρια.

48 Ὁ δὲ παραδιδοὺς αὐτὸν, ἔδωκεν αὐτοῖς σημεῖον, λέγων· Ὃν ἂν φιλήσω, αὐτός ἐστι· κρατήσατε αὐτόν.

[Προδότης (1) μὲν, κατὰ τὸν Ἰούδαν, ὁ προδιδοὺς τὸν λό-

(α) Λουκ. ΚΒ΄, 46.
(β) Ἰωαν. ΙΗ΄, 3.
(1) Ταῦτα ἐν τῷ περισελιδίῳ παρὰ τῷ Α.

γον τοῖς πάθεσι, καὶ τὴν εὐνομίαν τῆς ψυχῆς τῇ παρανομίᾳ τῶν πράξεων· ἀρνεῖται δὲ αὐτὸν, κατὰ τὸν Πέτρον, ὁ διὰ φόβον τὸ καλὸν παραιτούμενος.]

Μετὰ τοσοῦτον ἔλεγχον, λαθεῖν ἐσπούδαζεν, ὅτι αὐτὸς αὐτὸν προδίδωσι· διὸ καὶ ἐκ τοῦ φανεροῦ μὲν οὐ προδίδωσι, σχηματίζεται δὲ τὸ φίλημα, θαῤῥήσας τῇ ἡμερότητι τοῦ Σωτῆρος, ὅτι οὐκ ἀπώσεται αὐτὸν, ὃ καὶ (1) μᾶλλον ἱκανὸν ἦν ἐντρέψαι τοῦτον καὶ πάσης ἀποστερῆσαι συγγνώμης, ὅτι τὸν οὕτω πρᾳότατον προεδίδου. Φοβηθεὶς δὲ, μήποτε διαφύγῃ τοὺς ἐπιβουλεύοντας, ὃ πολλάκις ἐποίησε, παρήγγειλεν, ὅτι *κρατήσατε αὐτὸν, καὶ ἀπαγάγετε ἀσφαλῶς* (α). Τοῦτο γὰρ ὁ Μάρκος προσέθηκεν.

Ἀλλ' ὁ Χριστὸς ἐλέγχων αὐτὸν, μάτην ἐξασφαλιζόμενον, καὶ δεικνύων, ὅτι οὐκ ἂν τοῦτον ἄκοντα καθέξοιεν, ἐξελθὼν εἶπεν αὐτοῖς, ὡς ὁ Ἰωάννης ἱστόρησε (β)· *Τίνα ζητεῖτε; Ἀπεκρίθησαν αὐτῷ·* Ἰησοῦν τὸν Ναζωραῖον. *Λέγει αὐτοῖς ὁ Ἰησοῦς· Ἐγώ εἰμι. (Εἱστήκει δὲ καὶ Ἰούδας, ὁ παραδιδοὺς αὐτὸν μετ' αὐτῶν.) Ὡς οὖν εἶπεν αὐτοῖς· Ὅτι ἐγώ εἰμι· ἀπῆλθον εἰς τὰ ὀπίσω, καὶ ἔπεσον χαμαί.* Ὢ λόγου δυνάμεως! Οὐκ ἴσχυσαν ὑπενεγκεῖν τὸ, *Ἐγώ εἰμι*, μόνον· διὸ καὶ φανοὺς μὲν καὶ λαμπάδας ἔχοντες, ἐτυφλοῦντο μετὰ τοῦ προδότου· μαχαίραις δὲ καὶ ξύλοις ὡπλισμένοι τυγχάνοντες, παρελύοντο καὶ κατέπιπτον. Ἐπεὶ δὲ ἔδειξε τὴν ἰσχὺν αὐτοῦ, τότε λοιπὸν συνεχώρησε, καὶ πάλιν αὐτοὺς ἐπηρώτησε· *Τίνα ζητεῖτε; Οἱ δὲ εἶπον· Ἰησοῦν τὸν Ναζωραῖον. Ἀπεκρίθη ὁ Ἰησοῦς· Εἶπον ὑμῖν, ὅτι ἐγώ εἰμι. Εἰ οὖν ἐμὲ ζητεῖτε, ἄφετε τούτους ὑπάγειν* (γ). Ὁ δὲ Ἰούδας, καὶ τούτων οὕτω γι-

(1) Χρυσοστ. Τομ. Ζ΄. Σελ. 793. Α.
(α) Μαρκ. ΙΔ,΄ 44.
(β) Ἰωαν. ΙΗ΄, 5. 6.
(γ) Ἰωαν. ΙΗ΄, 7. 8.

νομένων, οὐ μετεβλήθη κἂν γοῦν μικρὸν, οὐδὲ τῶν δεδογμένων ἀπέσχετο.

49 **Καὶ εὐθέως προσελθὼν τῷ Ἰησοῦ, εἶπε· Χαῖρε, ῥαββί. Καὶ κατεφίλησεν αὐτόν.**

Φησὶ δὲ καὶ Λουκᾶς, εἰπεῖν τὸν Χριστὸν πρὸς Ἰούδαν, ἐγγίσαντα φιλῆσαι αὐτόν· *Ἰούδα,* (α) *φιλήματι τὸν υἱὸν τοῦ ἀνθρώπου παραδίδως;* Μακροθύμως γὰρ ἐξεῖπεν αὐτῷ καὶ τὸν σκοπὸν τοῦ φιλήματος, καὶ προσωνείδισε, ποιήσαντι τὸ σύμβολον τῆς ἀγάπης σύμβολον προδοσίας· καὶ ὅμως οὐκ ἀπώσατο, ἀλλὰ καὶ τὸ φίλημα ἐδέξατο, καὶ παρέσχεν ἑαυτὸν εἰς ἀπαγωγήν· ὁ δὲ, καὶ τῆς δυνάμεως αὐτοῦ τοσαύτην λαβὼν ἀπόδειξιν, καὶ τῆς ἐπιεικείας καὶ ἡμερότητος, θηρίου παντὸς χαλεπώτερος ἔμενεν.

50 **Ὁ δὲ Ἰησοῦς εἶπεν αὐτῷ· Ἑταῖρε, ἐφ' ᾧ πάρει·**

Ὅρα εὐσπλαγχνίαν ἀνεκδιήγητον! Ἄχρι γὰρ καὶ παρεδόθη, ἐκήδετο τοῦ προδότου. Διὸ καὶ νῦν ἑταῖρον ὠνόμασε τὸν ἔχθιστον. Τὸ δὲ, *ἐφ' ᾧ πάρει,* οὐκ ἐρωτηματικῶς ἀναγνωστέον· ἐγίνωσκε γὰρ, ἐφ' ᾧ παρεγένετο· ἀλλ' ἀποφαντικῶς· δηλοῖ δὲ, ὅτι Δι' ὃ παραγέγονας, ἤγουν, τὸ κατὰ σκοπὸν πράττε, τοῦ προσχήματος ἀφέμενος. Σκοπὸς μὲν γὰρ ἦν ἡ προδοσία· πρόσχημα δὲ, τὸ φίλημα καὶ ὁ λόγος.

50 **Τότε προσελθόντες ἐπέβαλον τὰς χεῖρας ἐπὶ τὸν Ἰησοῦν, καὶ ἐκράτησαν αὐτόν.**

Κατὰ τὸ σύνθημα.

51 **Καὶ ἰδοὺ, εἷς τῶν μετὰ Ἰησοῦ, ἐκτείνας τὴν χεῖρα, ἀπέσπασε τὴν μάχαιραν αὐτοῦ· καὶ πατάξας τὸν**

(α) Λουκ. ΚΒ΄. 48.

δοῦλον τοῦ ἀρχιερέως, ἀφεῖλεν αὐτοῦ τὸ ὠτίον.

Ὁ δὲ Λουκᾶς ἔγραψεν (α), ὅτι *Ἰδόντες οἱ περὶ αὐτὸν τὸ ἐσόμενον, εἶπον αὐτῷ· Κύριε, εἰ πατάξομεν ἐν μαχαίρᾳ; Καὶ ἐπάταξεν εἷς τις ἐξ αὐτῶν τὸν δοῦλον τοῦ ἀρχιερέως, καὶ ἀφεῖλεν αὐτοῦ τὸ οὖς τὸ δεξιόν.* Ὁ δ' Ἰωάννης ἐδήλωσε καὶ τὸν πατάξαντα, εἰπών· *Σίμων οὖν Πέτρος ἔχων μάχαιραν, εἵλκυσεν αὐτὴν, καὶ ἔπαισε τὸν τοῦ ἀρχιερέως δοῦλον, καὶ ἀπέκοψεν αὐτοῦ τὸ ὠτίον τὸ δεξιόν. Ἦν δὲ ὄνομα τῷ δούλῳ Μάλχος* (β). Ἔτι γὰρ τῶν ἄλλων ἐρωτώντων, αὐτὸς οὐκ ἀναμείνας τὴν ἀπόκρισιν, οἷα θερμότατος, ἐπάταξε μὲν κατὰ τῆς κεφαλῆς, ἀπέκοψε δὲ τὸ ὠτίον. Εἶχον γὰρ δύο μαχαίρας, ὡς ἔφη Λουκᾶς (γ), ἀπὸ τοῦ δείπνου ταύτας, ὡς ἔοικε, λαβόντες, μεγάλας οὔσας, ὥστε χρῆσθαι πρὸς ἄμυναν τῶν ἐπιέναι μελλόντων.

Ἰδὼν δὲ τὸ γεγονὸς ὁ Χριστὸς, εἶπεν· *Ἐᾶτε ἕως τούτου. Καὶ ἁψάμενος τοῦ ὠτίου αὐτοῦ, ἰάσατο αὐτόν* (δ). Ὁ αὐτὸς δὲ καὶ τοῦτό φησι Λουκᾶς. Εἰπὼν μὲν οὖν ὁ Χριστὸς, ὅτι *ἕως τούτου,* ἐνέφηκεν, ὅτι κατ' οἰκονομίαν ἀφῃρέθη τὸ οὖς ὁ δοῦλος τοῦ ἀρχιερέως, εἰς σημεῖον τοῦ ἀφαιρεθῆναι τοὺς ἀρχιερεῖς ὑπὸ φθόνου τὸ ἀκούειν τῶν περὶ αὐτοῦ προφητειῶν, ἤγουν, τὸ συνιέναι ταύτας. Ἰασάμενος δὲ αὐτὸν, ἔδειξε μὲν, καὶ τὸν εἰς αὐτοὺς ἔλεον, καὶ ὅτι ἠμύνατο ἂν αὐτοὺς, εἴπερ ἤθελεν· ἐδίδαξε δὲ καὶ, ὅτι χρὴ μᾶλλον εὐεργετεῖν τοὺς κακῶς ποιοῦντας. Ἀλλὰ πῶς ὁ μὴ ἀμύνεσθαι προσταχθεὶς, πατάσσει ἐν μαχαίρᾳ; Πρῶτον μὲν, οὐχ ὑπὲρ ἑαυτοῦ τοῦτο πεποίηκεν, ἀλλ' ὑπὲρ τοῦ διδασκάλου· ἔπειτα καὶ οὔπω τέλειος

(α) Λουκ. ΚΒ΄, 49. 50.
(β) Ἰωαν. ΙΗ΄, 10. 11.
(γ) Λουκ. ΚΒ, 38.
(δ) Λουκ. ΚΒ΄, 51.

ἦν· ὕστερον δὲ βλέπε τοῦτον, μυρία πάσχοντα, καὶ πρᾴως ἅπαντα ὑπομένοντα.

Θαυμάσειε δ' ἄν τις, πῶς οὐ συνέλαβον καὶ τοὺς μαθητὰς, καὶ κατέκοψαν, διὰ τὸ γεγενημένον εἰς τὸν δοῦλον τοῦ ἀρχιερέως. Ἀλλ' ὄντως ἡ πηρώσασα καὶ ῥίψασα τούτους δύναμις, ἐκείνη καὶ τότε διεσκέδασε τὸν ἐπὶ τῇ ἀποκοπῇ τοῦ ὠτίου θυμὸν αὐτῶν!

52 Τότε λέγει αὐτῷ ὁ Ἰησοῦς· Ἀπόστρεψόν σου τὴν μάχαιραν εἰς τὸν τόπον αὐτῆς· πάντες γὰρ οἱ λαβόντες μάχαιραν, ἐν μαχαίρᾳ ἀπολοῦνται.

Ἐπιτιμήσας αὐτῷ, ἐδίδαξε, μηδ' ὑπὲρ τοῦ Θεοῦ χρῆσθαι μαχαίρᾳ. Διὰ δὲ τῆς μαχαίρας, καὶ πᾶν ὅπλον ἐκώλυσε. Τὸ δὲ, *Πάντες οἱ λαβόντες μάχαιραν*, προφητεία ἐστὶ τῆς διαφθορᾶς τῶν ἐπελθόντων αὐτῷ Ἰουδαίων. Ὁ δ' Ἰωάννης εἰπεῖν αὐτὸν λέγει καὶ, ὅτι *Τὸ ποτήριον, ὃ δέδωκέ μοι ὁ πατὴρ, οὐ μὴ πίω αὐτό* (α); δεικνύοντα, ὅτι οὐ τῆς ἐκείνων δυνάμεώς ἐστι τὸ γινόμενον, ἀλλὰ τῆς τοῦ πατρὸς παραχωρήσεως, καὶ ὅτι ὑπήκοός ἐστι τῷ πατρὶ μέχρι θανάτου.

53 Ἢ δοκεῖς, ὅτι οὐ δύναμαι ἄρτι παρακαλέσαι τὸν πατέρα μου, καὶ παραστήσει μοι πλείους ἢ δώδεκα λεγεῶνας ἀγγέλων;

Λεγεὼν ἐστι, τάγμα στρατιωτικὸν πολυάριθμον. Οὐκ εἶπε δὲ, ὅτι Δύναμαι αὐτοὺς ἀπολέσαι, ἵνα μὴ δόξῃ λέγειν ἀπίθανα, διὰ τὰ προλαβόντα πάθη, τὴν λύπην, τὴν δειλίαν, τὴν ἀγωνίαν, τοὺς ἱδρῶτας, καὶ ὅσα πρὸ μικροῦ πέπονθεν, ὡς ἄνθρωπος. Οὔπω γὰρ τὴν προσήκουσαν περὶ αὐτοῦ ὑπόληψιν εἶχον· διὰ τοῦτο οὖν ταπεινὰ φθέγγεται. Τοσαύτας δὲ λεγεῶνας εἶπεν ἀγγέλων, ἵνα ἐκ περιουσίας παραθαῤῥύνῃ τού-

(α) Ἰωαν. ΙΗ, 11.

τους, ἀποτεθνηκότας τῷ δέει. Καὶ γὰρ εἷς ἄγγελος, ἑκατὸν ὀγδοηκονταπέντε χιλιάδας ἀνεῖλεν ἐν βραχεῖ πάλαι (α).

54. Πῶς οὖν πληρωθῶσιν αἱ γραφαὶ, ὅτι οὕτω δεῖ γενέσθαι;

Εἰ μὴ οὕτως ἀναιρεθῶ, φησὶ, πῶς πληρωθῶσιν αἱ γραφαὶ αἱ προφητικαὶ, ὅσαι περὶ τοῦ θανάτου μου διεξίασιν, αἱ γράφουσαι, ὅτι *οὕτω δεῖ γενέσθαι*, ὅτι οὕτω χρὴ ἀποθανεῖν με;


55 Ἐν ἐκείνῃ τῇ ὥρᾳ εἶπεν ὁ Ἰησοῦς τοῖς ὄχλοις· Ὡς ἐπὶ λῃστὴν ἐξήλθετε μετὰ μαχαιρῶν καὶ ξύλων συλλαβεῖν με· καθ' ἡμέραν πρὸς ὑμᾶς ἐκαθεζόμην διδάσκων ἐν τῷ ἱερῷ, καὶ οὐκ ἐκρατήσατέ με.

Δείκνυσι καὶ τούτοις, ὅτι οὐχ ὑπὸ τῆς αὐτῶν κατεσχέθη δυνάμεως. Ὥσπερ γὰρ τότε κατασχεῖν αὐτὸν οὐκ ἠδυνήθησαν, οὕτως οὐδὲ νῦν, εἰ μὴ πάντως ἠθέλησε. Λουκᾶς δέ φησιν (β), εἰπεῖν ταῦτα πρὸς τοὺς παραγενομένους ἐπ' αὐτὸν ἀρχιερεῖς καὶ στρατηγοὺς τοῦ ἱεροῦ καὶ πρεσβυτέρους. Εἰκὸς δὲ καὶ πρὸς τούτους κἀκείνους. Φαίνεται δὲ, ὅτι ὁ μὲν Ἰούδας λαβὼν τὴν σπεῖραν, καὶ ἐκ τῶν ἀρχιερέων καὶ φαρισαίων ὑπηρέτας, προῆγεν· εἵποντο δὲ καί τινες τῶν ἀρχιερέων καὶ στρατηγῶν τοῦ ἱεροῦ καὶ πρεσβυτέρων, οὓς νῦν ὁ Λουκᾶς ἐδήλωσεν· ἅμα μὲν παραθήγοντες τοὺς ἀπεσταλμένους, ἅμα δὲ καὶ θεωροῦντες, ἵνα μὴ δωροδοκηθῶσι. *Στρατηγοὺς δὲ τοῦ ἱεροῦ* λέγει, τοὺς φυλάσσοντας αὐτὸ μετὰ τῶν στρατιωτῶν, οἷς καὶ ἀνωτέρω συνελάλησεν ὁ Ἰούδας.

56 Τοῦτο δὲ ὅλον γέγονεν, ἵνα πληρωθῶσιν αἱ γραφαὶ τῶν προφητῶν.

Τοῦτο δὲ ὅλον, δηλαδὴ, τὸ θελῆσαι κατασχεθῆναί με, γέγο-

(α) Δ΄ Βασιλ. ΙΘ΄, 35.
(β) Λουκ. ΚΒ΄, 52.



νεν, ἵνα τέλος λάβωσιν αἱ γραφαὶ τῶν προφητῶν, ὅσαι περὶ τοῦ θανάτου μου διαλαμβάνουσι.

56 Τότε οἱ μαθηταὶ πάντες, ἀφέντες αὐτὸν, ἔφυγον.

Ἀκούσαντες, ὅτι ἑκὼν ἑαυτὸν παρέδωκε κατὰ τὰς γραφὰς, καὶ ἰδόντες, ὅτι οὐκ ἔτι διαφεύξεται, λοιπὸν ἔφυγον, κατὰ τὴν ἀψευδῆ πρόῤῥησιν αὐτοῦ. Μάρκος δὲ προσέθηκεν (α), ὅτι *Καὶ εἷς τις νεανίσκος ἠκολούθησεν αὐτῷ, περιβεβλημένος σινδόνα ἐπὶ γυμνοῦ· καὶ κρατοῦσιν αὐτὸν οἱ νεανίσκοι· ὁ δὲ, καταλιπὼν τὴν σινδόνα, γυμνὸς ἔφυγεν ἀπ' αὐτῶν.* Τινὲς μὲν οὖν φασὶν, ἀπὸ τῆς οἰκίας ἐκείνης εἶναι τὸν νεανίσκον, ἐν ᾗ τὸ πάσχα ἔφαγεν ὁ Χριστός· ἕτεροι δὲ λέγουσιν, εἶναι τοῦτον Ἰάκωβον τὸν ἀδελφὸν τοῦ Κυρίου, ὃς καὶ παρ' ὅλην τὴν ἑαυτοῦ ζωὴν, ἑνὶ περιβολαίῳ ἐκέχρητο. Περιεβέβλητο δὲ τὴν σινδόνα *ἐπὶ γυμνοῦ*, τοῦ σώματος, δηλονότι.

57 Οἱ δὲ, κρατήσαντες τὸν Ἰησοῦν, ἀπήγαγον πρὸς Καϊάφαν τὸν ἀρχιερέα, ὅπου οἱ γραμματεῖς καὶ οἱ πρεσβύτεροι συνήχθησαν.

Τὰ ὅμοια καὶ Μάρκος ἔγραψε καὶ Λουκᾶς (β)· ὁ δ' Ἰωάννης πλατύτερον καὶ ἀκριβέστερον τὰ ἐντεῦθεν γράφων, οἷα παρὼν αὐτοῖς, οὕτω φησίν· *Ἡ οὖν σπεῖρα, καὶ ὁ χιλίαρχος, καὶ οἱ ὑπηρέται τῶν Ἰουδαίων συνέλαβον τὸν Ἰησοῦν, καὶ ἔδησαν αὐτὸν, καὶ ἀπήγαγον αὐτὸν πρὸς Ἄνναν πρῶτον· ἦν γὰρ πενθερὸς τοῦ Καϊάφα, ὃς ἦν ἀρχιερεὺς τοῦ ἐνιαυτοῦ ἐκείνου*(γ). Εἶτα κατὰ μέρος ἀπαγγείλας τὰ ἐν τῷ οἴκῳ τοῦ Ἄννα γενόμενα, ἅπερ οἱ ἄλλοι παρέδραμον εὐαγγελι-

(α) Μάρκ. ΙΔ', 51. 52.
(β) Μαρκ. ΙΔ', 53. Λουκ. ΚΒ', 54.
(γ) Ἰωάν, ΙΗ', 12. 13.

σταὶ, τέλος λέγει· *Ἀπέστειλεν αὐτὸν ὁ Ἄννας δεδεμένον πρὸς Καϊάφαν τὸν ἀρχιερέα* (α).

58 Ὁ δὲ Πέτρος ἠκολούθει αὐτῷ ἀπὸ μακρόθεν, ἕως τῆς αὐλῆς τοῦ ἀρχιερέως·

Ὑποστρέψαντες (1) εὐθὺς, αὐτὸς καὶ ὁ Ἰωάννης παρηκολούθουν· ὁ δὲ Ἰωάννης συνεχωρεῖτο καὶ πλησιάζειν, οἷα *γνωστὸς τῷ ἀρχιερεῖ* (β), καθὼς αὐτὸς ἱστορεῖ. Ἀλλ' οἱ μὲν τρεῖς εὐαγγελισταὶ τοῦ Πέτρου μόνου μνημονεύουσι συμφώνως, διὰ τὸ ἀναγκαῖον, ἵνα τε δείξωσι τὴν περὶ τῆς ἀρνήσεως αὐτοῦ πρόῤῥησιν τοῦ Σωτῆρος εἰς τέλος ἐκβεβηκυῖαν, καὶ ἵνα διδάξωσιν, ὁποῖόν ἐστι κακὸν τὸ θαῤῥεῖν ἐφ' ἑαυτῷ τινὰ, καὶ μὴ ἐπὶ τῷ θεῷ· ὁ δ' Ἰωάννης καὶ ἑαυτοῦ ἐμνημόνευσεν, ἀκριβολογίας ἕνεκα· πλὴν ἵνα μὴ δόξῃ ἐπαινεῖν ἑαυτὸν, ὡς ἐν τοιούτοις δεινοῖς ἀκολουθοῦντα τῷ διδασκάλῳ, παρεσιώπησε τὸ ἴδιον ὄνομα, καὶ εἶπεν· *Ἠκολούθει δὲ τῷ Ἰησοῦ Σίμων Πέτρος, καὶ ὁ ἄλλος μαθητής* (γ).

58 Καὶ εἰσελθὼν ἔσω, ἐκάθητο μετὰ τῶν ὑπηρετῶν, ἰδεῖν τὸ τέλος.

Οἱ μὲν τρεῖς εὐαγγελισταὶ τὰς τρεῖς ἀρνήσεις τοῦ Πέτρου ἐν τῇ τοῦ Καϊάφα αὐλῇ γενέσθαι λέγουσιν· ὁ δ' Ἰωάννης ἐν τῇ τοῦ Ἄννα, τοῦ πενθεροῦ αὐτοῦ· καὶ οὐκ ἔστι τοῦτο διαφωνία· καὶ γὰρ ἀμφοτέρων εἷς οἶκος καὶ μία αὐλὴ, ἔχουσα ἐν ἑαυτῇ δύο διαίτας ἰδιαιτάτας.

Χρὴ δὲ γινώσκειν, ὅτι ὁ Ματθαῖος μὲν πρῶτον παιδίσκην λέγει πτοῆσαι τὸν Πέτρον· εἶτα ἄλλην· ἔπειτα τοὺς ἑστῶτας·

(α) Ἰωάν, ΙΗ', 24.
(1) Τὸ μὲν, ὑποστρέψαντες, ἀναφέρεται εἰς τὸ ἀνωτέρω, ἀφέντες αὐτὸν ἔφυγον· τὸ δὲ, αὐτὸς, ἀναφέρεται εἰς τὸν Πέτρον.
(β) Ἰωαν. ΙΗ', 15.
(γ) Ἰωαν· ΙΗ', 15.

[Μάρκος (1) δὲ πρῶτον παιδίσκην· εἶτα τὴν αὐτὴν πάλιν· ἔπειτα τοὺς παρεστῶτας (α)·] Λουκᾶς δὲ (β), πρῶτον παιδίσκην· εἶτα ἕτερον· ἔπειτα ἄλλον τινα· Ἰωάννης δὲ, πρῶτον παιδίσκην, τὴν θυρωρόν· εἶτα, τινάς· ἔπειτα, ἕνα τῶν δούλων τοῦ ἀρχιερέως, συγγενῆ, οὗ ἀπέκοψε Πέτρος τὸ ὠτίον (γ).

Πλὴν ἐὰν προσέχωμεν, οὐδ' οὕτω διαφωνία τις εὑρεθήσεται. Ἐπὶ μὲν γὰρ τῆς πρώτης ἀρνήσεως, ἡ αὐτὴ παιδίσκη ἐστὶν, ἡ παρὰ τοῖς τέσσαρσιν εὐαγγελισταῖς μνημονευομένη· ἐπὶ δὲ τῆς δευτέρας, τινὰς ὁ Ἰωάννης ἐνέφηνεν ἐρωτῆσαι τὸν Πέτρον, οἵτινες ἦσαν ἡ παιδίσκη τε, περὶ ἧς εἶπε Ματθαῖος, καὶ ἡ πρώτη παιδίσκη, περὶ ἧς ἔφη Μάρκος, καὶ ὁ ἕτερος, περὶ οὗ ἱστόρησε Λουκᾶς· ἐπὶ δὲ τῆς τρίτης ἀρνήσεως, ὁμοίως Μάρκος καὶ Ματθαῖος τοὺς παρεστῶτας εἶπον ἐρωτῆσαι αὐτὸν, ἐν οἷς ἔμελλεν εἶναι καὶ ὁ ἄλλος, ὁ παρὰ τῷ Λουκᾷ· οὗτος δέ ἐστιν, ὁ παρὰ τῷ Ἰωάννῃ δοῦλος τοῦ ἀρχιερέως. Ἐπεὶ οὖν, ἅπερ ἔδει σημειώσασθαι, παρετηρήσαμεν, λοιπὸν ἑρμηνευτέον τὰ ἑξῆς, ἅπερ ἐν τῷ οἴκῳ μὲν τοῦ Καϊάφα γεγόνασιν, οὐκ ἐμνημονεύθησαν δὲ παρὰ τοῦ Ἰωάννου, διὰ τὸ ῥηθῆναι παρὰ τῶν ἄλλων.

59 Οἱ δὲ ἀρχιερεῖς καὶ οἱ πρεσβύτεροι καὶ τὸ συνέ-
δριον ὅλον ἐζήτουν ψευδομαρτυρίαν κατὰ τοῦ Ἰη-
60 σοῦ, ὅπως αὐτὸν θανατώσωσι· καὶ οὐχ εὗρον.

Ὡς μὲν ἐκείνοις ἐδόκει, μαρτυρίαν, ὡς δὲ τῇ ἀληθείᾳ, ψευδομαρτυρίαν. Η καὶ, γινώσκοντες, ὅτι μαρτυρίαν οὐχ εὑρήσουσι κατὰ τοῦ ἀνεπιλήπτου, λοιπὸν ἐζήτουν ψευδοματυρίαν.

(1) Τὰ παρεντεθειμένα παραλείπονται παρὰ τῷ Α, καὶ ἴσως διὰ τὸ ἑστῶτας, καὶ, παρεστῶτας, ἐκ παραδρομῆς·

(α) Μαρκ. ΙΔ', 66. καὶ ἑξ.

(β) Λουκ. ΚΒ', 56. καὶ ἑξ.

(γ) Ἰωάν. ΙΗ', 17. καὶ ἑξ.

[Ἐβούλοντο (1) γὰρ ὡς ὑπεύθυνον καταδικάσαι αὐτόν· διὸ καὶ σχηματίζουσι δικαστήριον, καὶ ζητοῦσι ψευδομαρτυρίαν,] αὐτοὶ καὶ δικασταὶ καὶ κατήγοροι γινόμενοι, καὶ σπουδάζοντες παρ' ἑαυτοῖς τοῦτον καταδικάσαι. Ἠπίσταντο γὰρ, ὅτι παρ' ἑτέροις δικασταῖς οὐκ ἄν ποτε τούτου περιγένοιντο.

60 Καὶ πολλῶν ψευδομαρτύρων προσελθόντων, οὐχ
εὗρον.

Ἐναντία γὰρ ἀλλήλοις ἐμαρτύρουν. Φησὶ γὰρ ὁ Μάρκος (α), ὅτι *καὶ ἴσαι αἱ μαρτυρίαι οὐκ ἦσαν*. Ἐπληροῦτο δὲ καὶ ἡ δαυϊτικὴ προφητεία ἡ λέγουσα· *Ζητηθήσεται ἡ ἁμαρτία αὐτοῦ, καὶ οὐ μὴ εὑρεθῇ* (β).

60 Ὕστερον δὲ προσελθόντες δύο ψευδομάρτυρες, εἶ-
61 πον· Οὗτος ἔφη· Δύναμαι καταλῦσαι τὸν ναὸν τοῦ
θεοῦ, καὶ διὰ τριῶν ἡμερῶν οἰκοδομῆσαι αὐτόν.

Εἶπεν· ἀλλ' οὐκ εἶπε, *λύω*, ἀλλὰ, *λύσατε*, οὐδὲ περὶ τοῦ ναοῦ τοῦ χειροποιήτου, ἀλλὰ περὶ τοῦ ἰδίου σώματος. Διὰ τοῦτο οὖν καὶ τούτους ψευδομάρτυρας ὁ εὐαγγελιστὴς ὠνόμασε. Μάρκος δέ φησι (γ), *Καί τινες ἀναστάντες, ἐψευδομαρτύρουν κατ' αὐτοῦ, λέγοντες· Ὅτι ἡμεῖς ἠκούσαμεν αὐτοῦ λέγοντος· Ὅτι ἐγὼ καταλύσω τὸν ναὸν τοῦτον τὸν χειροποίητον, καὶ διὰ τριῶν ἡμερῶν ἄλλον ἀχειροποίητον οἰκοδομήσω. Καὶ οὐδὲ οὕτως ἴση ἦν ἡ μαρτυρία αὐτῶν*. Πολλοὶ μὲν γὰρ περὶ τῆς τοιαύτης ὑποθέσεως ἐμαρτύρουν· δύο δὲ ὡμοφώνησαν, οὓς εἶπε Ματθαῖος· οἱ δὲ ἄλλοι διεφώνουν, δι' οὓς εἴρηκεν ὁ Μάρκος, ὅτι *οὐδὲ οὕτως ἴση ἦν ἡ μαρτυρία αὐτῶν*.

(1) Τὰ παρεντεθειμένα παραλείπονται παρὰ τῷ Α. Τὸ σφάλμα τοῦ γραφέως προῆλθεν ἴσως ἐκ τοῦ διττοῦ, ψευδομαρτυρίαν.

(α) Μαρκ. ΙΔ', 56.

(β) Ψαλμ. Θ', 36.

(γ) Μαρκ. ΙΔ', 57—59.

62 Καὶ ἀναστὰς ὁ ἀρχιερεὺς, εἶπεν αὐτῷ· Οὐδὲν ἀπο-
63 κρίνῃ; τί οὗτοί σου καταμαρτυροῦσιν; Ὁ δὲ Ἰησοῦς
ἐσιώπα.

Βλέπων μὲν, καὶ τὸ δικαστήριον παράνομον· ἐῴκει γὰρ ληστῶν κριτηρίῳ καὶ τυραννικῷ βήματι· εἰδὼς δὲ, καὶ ὅτι μάτην ἀποκρινεῖται παρὰ τοιούτοις, ἐσιώπα.

63 Καὶ ἀποκριθεὶς ὁ ἀρχιερεὺς, εἶπεν αὐτῷ· Ἐξορκίζω σε κατὰ τοῦ θεοῦ τοῦ ζῶντος, ἵνα ἡμῖν εἴπῃς, εἰ σὺ εἶ ὁ Χριστὸς, ὁ υἱὸς τοῦ θεοῦ.

Ἐξορκίζει, βουλόμενος αὐτὸν εἰς ἀπολογίαν καταστῆσαι, ἵνα ταύτης δραξάμενος, ἐκ ταύτης τοῦτον καταδικάσῃ. Προςτίθησι δὲ τὸ, *ὁ υἱὸς τοῦ θεοῦ*· διότι καὶ οἱ βασιλεῖς καὶ οἱ προφῆται χριστοὶ ἀπὸ τοῦ χρίεσθαι ὠνομάζοντο. Μάρκος δέ φησιν, ὅτι ὁ *υἱὸς τοῦ εὐλογητοῦ* (α), ἤτοι, τοῦ θεοῦ, τοῦ εὐλογητοῦ, τοῦ ὑμνητοῦ.

64 Λέγει αὐτῷ ὁ Ἰησοῦς· Σὺ εἶπας.

Κἀνταῦθα (1), περιαιρουμένου τοῦ Εἰ ὑπολιμπάνεται, *Σὺ εἶ ὁ Χριστὸς, ὁ υἱὸς τοῦ θεοῦ.* Λέγει δὲ Μάρκος εἰπεῖν αὐτὸν, ὅτι *Ἐγώ εἰμι* (β)· καὶ ἄμφω γὰρ εἶπε, *Σὺ εἶπας, ὅτι ἐγώ εἰμι.* Γινώσκων οὖν, ὅτι οὐ πιστευθήσεται, ὅμως κατατίθεται, ἵνα μὴ δύνωνται λέγειν ὕστερον, ὅτι εἰ μετὰ τὸ ἐξορκισθῆναι ὡμολόγησεν, ἐπιστεύσαμεν ἄν.

64 Πλὴν λέγω ὑμῖν, ἀπ᾽ ἄρτι ὄψεσθε τὸν υἱὸν τοῦ ἀνθρώπου καθήμενον ἐκ δεξιῶν τῆς δυνάμεως, καὶ ἐρχόμενον ἐπὶ τῶν νεφελῶν τοῦ οὐρανοῦ.

Ἀπ᾽ *ἄρτι*, ἀντὶ τοῦ, μετὰ μικρόν· δηλοῖ δὲ τὸν μέχρι τῆς ἀναστάσεως αὐτοῦ καιρόν. *Ὄψεσθέ* με, τὸν παρ᾽ ὑμῶν ἀναιρούμενον, καθήμενον ἐκ δεξιῶν τῆς δυνάμεως τῆς τοῦ θεοῦ, ἤγουν, σύνθρονον τῷ θεῷ καὶ πατρί. Ἔτι δὲ καὶ *ἐρχόμενον* κατὰ τὴν δευτέραν παρουσίαν *ἐπὶ τῶν νεφελῶν τοῦ οὐρανοῦ*, ὡς θεόν. *Ὄψεσθε* δὲ εἶπεν, οὐχ ὡς δυναμένων οὕτως ἰδεῖν αὐτὸν, ἀλλ᾽ ὡς διαμαρτυρόμενος· ἢ καὶ πρὸς τοὺς μέλλοντας ἐξ αὐτῶν πιστεύειν ὁ λόγος. Τὸ δὲ, *ὄψεσθε*, δηλοῖ καὶ τὸ, γνώσεσθε. Φησὶ δὲ καὶ ὁ Λουκᾶς (α), ὅτι *Ἀπὸ τοῦ νῦν ἔσται ὁ υἱὸς τοῦ ἀνθρώπου καθήμενος ἐκ δεξιῶν τῆς δυνάμεως τοῦ θεοῦ*, τουτέστι, βραχὺς ὁ καιρὸς τῆς κατ᾽ ἐμοῦ ἐπιβουλῆς· οὐκ εἰς μακρὰν γὰρ ἀνώτερος τῶν ἐπιβουλευόντων γενήσομαι.

(α) Μαρκ. ΙΔ', 61.

(1) Ἀναφέρεται εἰς τὰ προηγούμενα, ἐν οἷς ἀναγινώσκεται, Εἰ σὺ εἶ ὁ Χριστὸς κ. τ. λ.

(β) Μαρκ. ΙΔ', 62.

65 Τότε ὁ ἀρχιερεὺς διέῤῥηξε τὰ ἱμάτια αὐτοῦ, λέγων· Ὅτι ἐβλασφήμησε· τί ἔτι χρείαν ἔχομεν μαρτύρων;

Ἔθος τοῖς Ἰουδαίοις, ὅταν τι χαλεπὸν καὶ φρικτὸν ἴδωσιν ἢ ἀκούσωσι, διαῤῥήσειν τὰ ἱμάτια αὐτῶν, ὅπερ καὶ νῦν ὁ ἀρχιερεὺς ἐποίησεν, ὡς ἀκούσας δῆθεν βλασφημίας οὐκ ἀνεκτῆς· ἅμα δὲ καὶ ἄκων, ἀφ᾽ ὧν ἐποίησε, προεφήτευσεν, ὅτι διαῤῥηχθήσεται ἡ ἀρχιερωσύνη τῶν Ἰουδαίων.

65 Ἴδε, νῦν ἠκούσατε τὴν βλασφημίαν αὐτοῦ. Τί ὑμῖν δοκεῖ;

Αὐξήσας τὴν κατηγορίαν τοῦ λεχθέντος, καὶ βλασφημίαν τοῦτο καλέσας, καὶ προκαταδικάσας αὐτὸν, καὶ ὁδὸς (1) ἤδη καὶ τοῖς ἄλλοις εἰς τὸ καταδικάσαι γενόμενος, λοιπὸν, ὡς φανεροῦ τοῦ πλημμελήματος ὄντος, ἀναγκάζει καὶ αὐτοὺς ἀποφήνασθαι· ἵνα, κυρωθείσης οὕτω τῆς καταδίκης, ὑπεύθυνον ἀπεντεῦθεν αὐτὸν παραδοῖεν τῷ Πιλάτῳ πρὸς ἀναίρεσιν.

(α) Λουκ. ΚΒ', 69.

(1) Ὀρθότερον τὸ, ὁδηγὸς, ἂν καὶ παρ᾽ ἀμφοτέροις τοῖς χειρογράφοις ἀναγινώσκηται ὁδός.

66 Οἱ δὲ ἀποκριθέντες, εἶπον· Ἔνοχος θανάτου ἐστί.

Ὅπερ ἐβούλοντο, τοῦτο καὶ ἀπεφήναντο. Διεφθαρμένης οὖν γνώμης, διεφθαρμένη καὶ ἡ ἀπόφασις. Ὁ δὲ Λουκᾶς ἔγραψεν, ὅτι *Καὶ ἀνήγαγον αὐτὸν εἰς τὸ συνέδριον αὐτῶν, λέγοντες· Εἰ σὺ εἶ ὁ Χριστὸς, εἰπὲ ἡμῖν. Εἶπε δὲ αὐτοῖς· Ἐὰν ὑμῖν εἴπω, οὐ μὴ πιστεύσητε· ἐὰν δὲ καὶ ἐρωτήσω, οὐ μὴ ἀποκριθῆτέ μοι, ἢ ἀπολύσητε. Ἀπὸ τοῦ νῦν ἔσται ὁ υἱὸς τοῦ ἀνθρώπου καθήμενος ἐκ δεξιῶν τῆς δυνάμεως τοῦ θεοῦ. Εἶπον δὲ πάντες· Σὺ οὖν εἶ ὁ υἱὸς τοῦ θεοῦ; Ὁ δὲ πρὸς αὐτοὺς ἔφη· Ὑμεῖς λέγετε, ὅτι ἐγώ εἰμι. Οἱ δὲ εἶπον· Τί ἔτι χρείαν ἔχομεν μαρτυρίας; Αὐτοὶ γὰρ ἠκούσαμεν ἀπὸ τοῦ στόματος αὐτοῦ* (α). Εἰκὸς γὰρ, καὶ τὸν ἀρχιερέα, καὶ τοὺς συνεδριάζοντας, ἐπερωτᾷν καὶ ἀνακρίνειν αὐτὸν, πάλιν τε αὐτὸν ἀποκρίνεσθαι καὶ πρὸς ἐκεῖνον, καὶ πρὸς αὐτούς.

Καὶ διὰ τί μὴ λάθρα τοῦτον ἀνεῖλον; Διὰ τὸ μὴ δόξαι κατὰ φθόνον αὐτὸν ἀνελεῖν. Ἐσπούδαζον οὖν δημοσίᾳ τοῦτον, ὡς κακοῦργον ἀναιρεθῆναι, μηχανώμενοι βλάψαι τὴν ὑπόληψιν αὐτοῦ. Διὰ τοῦτο γὰρ καὶ σταυρῷ τοῦτον ἀναιρεθῆναι ᾐτήσαντο, καὶ λῃστὰς αὐτῷ συνεσταύρωσαν· γέγονε δὲ τοὐναντίον, οἷς ἐβούλοντο· δημοσίᾳ γὰρ ἀναιρεθέντος, μᾶλλον ἐξέλαμψεν ἡ δόξα αὐτοῦ. Καὶ ἐπὶ τοῦ τάφου δὲ πάλιν, αἱ σφραγῖδες καὶ ἡ παραφυλακὴ μᾶλλον διαλάμψαι τὴν ἀλήθειαν πεποιήκασι.

67 Τότε ἐνέπτυσαν εἰς τὸ πρόσωπον αὐτοῦ,

Φρίξον οὐρανὲ καὶ γῆ καὶ σύμπασα κτίσις! Εἰς οἷον πρόσωπον, οἵαν ἀτιμίαν ἐπήγαγον!

67 Καὶ ἐκολάφισαν αὐτόν· οἱ δὲ ἐῤῥάπισαν, λέγοντες·
68 Προφήτευσον ἡμῖν, Χριστὲ, τίς ἐστιν ὁ παίσας σε;

Ἐπεὶ παρὰ πολλοῖς προφήτης ἐλέγετο, διέπαιζον αὐτὸν, ὡς

(α) Λουκ. ΚΒ', 66—71.

ψευδοπροφήτην. Περικαλύψαντες γὰρ ἱματίῳ τὸ πρόσωπον αὐτοῦ, πρὸς τὸ μὴ βλέπειν, ὡς Μάρκος καὶ Λουκᾶς εἶπον (α), τοῦτο μὲν ἐκολάφιζον, τοῦτο δὲ ἐῤῥάπιζον, λέγοντες· *Προφήτευσον ἡμῖν, Χριστὲ, τίς ἐστιν ὁ παίσας σε;* Ἔστι δὲ *κολαφισμὸς* μὲν, τὸ παίειν κατὰ τοῦ τραχήλου κοίλῃ ἀφῇ, πρὸς τὸ ποιεῖν ψόφον· *ῥαπισμὸς* δὲ, τὸ παίειν κατὰ τοῦ προσώπου.

Μετὰ γὰρ τὴν ἄδικον καταδίκην, ὡς ἄτιμόν τινα καὶ τριωβολιμαῖον (1) λαβόντες μέσον αὐτὸν, οἱ μὲν πᾶσαν εἰς αὐτὸν ἐνεδείκνυντο παροινίαν, οὐκ ἐλεύθεροι μόνον, ἀλλὰ καὶ δοῦλοι, καὶ παντοίαν ἐκένουν κατ' αὐτοῦ μανίαν, καὶ ἡδέως τῆς λύττης ἐνεφοροῦντο· ὁ δὲ πάντα μεγαλοψύχως ὑπέμενε, διδάσκων ἀνέχεσθαι. Καὶ ἦν, παρ' ἐκείνοις μὲν, κακίας ὑπερβολή· παρὰ τούτῳ δὲ, ἀνεξικακίας.

Ἄξιον δὲ θαυμάσαι καὶ τοὺς εὐαγγελιστὰς, πῶς καὶ τὰ δοκοῦντα ἐπονείδιστα φιλαλήθως ἀπαγγέλλουσι, καὶ οὔτε τὸν Ἰούδαν ἢ τοὺς Ἰουδαίους ὡς ἐχθροὺς διασύρουσιν, οὔτε τὸν διδάσκαλον, ὡς διδάσκαλον ὑψοῦσιν· ἀλλ' ἀπαθῶς ἅπαντα διηγοῦνται, καὶ μόνης τῆς ἀληθείας φροντίζουσι, καὶ πανταχοῦ γίνονται τῆς χρείας.

ΚΕΦΑΛΑΙΟΝ ΞϚ'.

Περὶ τῆς ἀρνήσεως τοῦ Πέτρου.

69 Ὁ δὲ Πέτρος ἔξω ἐκάθητο ἐν τῇ αὐλῇ· καὶ προσ-
ῆλθεν αὐτῷ μία παιδίσκη, λέγουσα· Καὶ σὺ
70 ἦσθα μετὰ Ἰησοῦ τοῦ Γαλιλαίου. Ὁ δὲ ἠρνήσατο
ἔμπροσθεν πάντων, λέγων· Οὐκ οἶδα, τί λέγεις.

Σκόπει, πῶς τὸν πρὸ μικροῦ τηλικαῦτα μεγαλαυχήσαντα

(α) Μαρκ. ΙΔ', 65. Λουκ. ΚΒ', 64.

(1) Ἡ φράσις αὕτη καὶ παρὰ τῷ Χρυσοστόμῳ· ἀλλὰ περὶ ἄλλου πράγματος. Τομ. Ζ'. Σελ. 421. D.

θεραπαινίδιον ἀσθενὲς ἐπτόησεν, ὡς ὑπὸ τῆς θείας *χάριτος* ἐγκαταλειφθέντα.

71 Ἐξελθόντα δὲ αὐτὸν εἰς τὸν πυλῶνα, εἶδεν αὐ-
τὸν ἄλλη, καὶ λέγει τοῖς ἐκεῖ· Καὶ οὗτος ἦν με-
72 τὰ Ἰησοῦ τοῦ Ναζωραίου. Καὶ πάλιν ἠρνήσατο
μεθ᾽ ὅρκου· Ὅτι οὐκ οἶδα τὸν ἄνθρωπον.

Φεῦ! οἷον διέθηκεν αὐτὸν ὁ φόβος. Οὐ μόνον γὰρ ἠρνήσατο, ἀλλὰ καὶ μεθ᾽ ὅρκου! Ἐξῆλθε δὲ, οὐκ ἔξω τοῦ πυλῶνος, ἀλλ᾽ *εἰς τὸν πυλῶνα*, τουτέστιν, εἰς τὸ προαύλιον, ὡς ὁ Μάρκος εἶπεν (α).

73 Μετὰ μικρὸν δὲ προσελθόντες οἱ ἑστῶτες, εἶπον
τῷ Πέτρῳ· Ἀληθῶς καὶ σὺ ἐξ αὐτῶν εἶ· καὶ γὰρ
74 ἡ λαλιά σου δῆλόν σε ποιεῖ. Τότε ἤρξατο κατα-
θεματίζειν, καὶ ὀμνύειν· Ὅτι οὐκ οἶδα τὸν ἄνθρωπον.

Ὁ δὲ Μάρκος ἔγραψεν (β), ὅτι *Καὶ γὰρ Γαλιλαῖος εἶ, καὶ ἡ λαλιά σου ὁμοιάζει.* Εἶχον γάρ τι παράσημον στολῆς οἱ Γαλιλαῖοι, ναὶ μὴν καὶ ἰδιώματά τινα διαλέκτου. *Καταθεματίζειν* (1) δέ ἐστι, τὸ ἀναθεματίζειν· οὕτω γὰρ ὁ Μάρκος εἶπε (γ)· καὶ ἄμφω δὲ ταυτὶ, τὸ καταρᾶσθαι δηλοῦσι.

74 Καὶ εὐθέως ἀλέκτωρ ἐφώνησε. Καὶ ἐμνήσθη ὁ Πέ-
75 τρος τοῦ ῥήματος τοῦ Ἰησοῦ, εἰρηκότος αὐτῷ·
Ὅτι πρὶν ἀλέκτορα φωνῆσαι, τρὶς ἀπαρνήσῃ με.

Μάρκος δέ φησιν (δ), ὅτι ὅτε μὲν ἅπαξ ὁ Πέτρος ἠρνήσατο, τότε

(α) Μαρκ. ΙΔʹ, 68.
(β) Μάρκ. ΙΔʹ, 70.
(1) Καταθεματίζειν, ἀντὶ τοῦ, katanathematίζειν, γράφεται καὶ ἐν τῷ κειμένῳ τοῦ Ματθαίου παρ᾽ ἀμφοτέροις τοῖς χειρογράφοις.
(γ) Μαρκ. ΙΔʹ, 71.
(δ) Μαρκ. ΙΔʹ. 68. 72.

τὸν ἀλέκτορα φωνῆσαι τὸ πρῶτον· ὅτε δὲ τρίτον, τότε τὸ δεύτερον. Ἐσημειώσατο δὲ τοῦτο, δηλῶν, ὅτι οὔτε ἡ πρώτη φωνὴ τοῦ ἀλέκτορος ἀνέμνησεν αὐτόν. Καὶ ὁ Λουκᾶς δὲ λέγει πάλιν, ὅτι μετὰ τὸ φωνῆσαι τὸν ἀλέκτορα, *στραφεὶς ὁ Κύριος ἐνέβλεψε τῷ Πέτρῳ* (α)· διὰ τοῦ βλέμματος ὑπομιμνήσκων αὐτόν. Τοσοῦτον γὰρ αὐτοῦ κατεκράτησεν ὁ φόβος, ὡς ἀποτεθνηκέναι μικροῦ, καὶ τοῦ ἀλέκτορος φωνήσαντος οὐ μόνον ἅπαξ, ἀλλὰ καὶ δὶς, μηδ᾽ οὕτως εἰς αἴσθησιν ἐλθεῖν, ἀλλὰ δεηθῆναι καὶ τοῦ βλέμματος τοῦ Σωτῆρος. Ἴδε γοῦν ἀσθένειαν, πῶς ἐν βραχεῖ καιρῷ τρίτον ἠρνήσατο, καὶ ἐκ διαδοχῆς τὰς τρεῖς ἀρνήσεις ἐποιήσατο, καὶ οὐκ ἐταζόμενος, ἀλλ᾽, ὡς ἔτυχε, κατὰ πάροδον ἐρωτώμενος.

75 Καὶ ἐξελθὼν ἔξω, ἔκλαυσε πικρῶς.

Ἐ*ξῆλθεν ἔξω*, φοβούμενος, μήποτε κλαίων κατασχεθῇ καὶ αὐτός. *Ἔκλαυσε* δὲ οὐχ ἁπλῶς, ἀλλὰ *πικρῶς*. Ὁ δὲ Μάρκος εἶπεν (β), ὅτι *ἐπιβαλὼν, ἔκλαιεν· ἐπιβαλὼν*, ἀντὶ τοῦ, ἀρξάμενος. Ἰωάννης δὲ καὶ τοῦτο παρέδραμεν, ὡς τοῖς ἄλλοις εἰρημένον.

Εἶδες τὴν ἁμαρτίαν; ἴδε καὶ τὴν μετάνοιαν. Διὰ τοῦτο γὰρ καὶ αἱ ἁμαρτίαι καὶ αἱ μετάνοιαι τῶν ἁγίων ἐγράφησαν, ἵνα, ὅταν ἁμάρτωμεν, μιμώμεθα τὴν τούτων μετάνοιαν. Παρεχωρήθη δὲ πεσεῖν ὁ Πέτρος, οὐ μόνον διὰ τὰς ἀνωτέρω ῥηθείσας αἰτίας, ἀλλὰ καὶ ἵνα μάθῃ συγγνωμονεῖν τοῖς ὀλισθαίνουσιν, ἐκ τῆς οἰκείας ἀσθενείας καὶ τὴν τούτων ἐπιγινώσκων· ἔμελλε γὰρ ποιμὴν καταστῆναι· καὶ ἵνα τελεσιουργὸς μεγάλων θαυμάτων γινόμενος, μετριοφρονῇ, καὶ τοῦ πτώματος μνημονεύων, τῷ θεῷ τὸ πᾶν ἐπιγράφηται. Καὶ Παῦλος γὰρ πειρασμοῖς ἀφέθη παλαίειν, ἵνα μὴ, ὡς αὐτός φησιν (γ), ὑπεραί-

(α) Λουκ. ΚΒʹ, 61.
(β) Μάρκ. ΙΔʹ, 72.
(γ) Βʹ Κορ. ΙΒʹ, 7.

ρηται. Τὸ δὲ μεῖζον, ἵνα τοῖς ἁμαρτάνουσι λαμπρὸν εἴη παράδειγμα μετανοίας. Εἰ γὰρ ὁ κορυφαῖος τῶν μαθητῶν, ὁ τηλικούτων δυνάμεων τὰς μὲν ἰδὼν, τὰς δὲ τελέσας, ὕστερον ὠλίσθησεν εἰς ἄρνησιν, εἶτα τὸ πεπλημμελημένον ἐπιγνοὺς καὶ μετανοήσας, οὐ μόνον ἐν ὀλίγῳ καιρῷ τέλεον ἅπαν ἀπήλειψεν, ἀλλὰ καὶ ποιμὴν τῶν ἄλλων μαθητῶν προεβλήθη, καὶ πολλῶν καὶ μεγάλων θαυμάτων αὐτουργὸς ἐχρημάτισεν· οὐδένα πεσόντα χρὴ καταπεσεῖν, ἀλλ' αὐτίκα μετανοεῖν, ἐννοοῦντα τὸν πλοῦτον τῆς τοῦ δεσπότου χρηστότητος.

Κἀνταῦθα δὲ παρατηρητέον, ὅτι Ματθαῖος μὲν καὶ Μάρκος ἔγραψαν (α), πρῶτον γενέσθαι τὴν παρὰ τοῦ ἀρχιερέως ἐρώτησιν· εἶτα τὰς ἀπὸ τῶν Ἰουδαίων ἀτιμίας· ἔπειτα τὰς ἀρνήσεις τοῦ Πέτρου· Λουκᾶς δὲ, πρῶτον τὰς ἀρνήσεις· εἶτα τὰς ἀτιμίας· ἔπειτα, γενομένης ἡμέρας λοιπὸν, τὴν ἐρώτησιν (β). Οἱ μὲν γὰρ οὐ μόνον ἀπήγγειλαν τὰ πεπραγμένα, ἀλλὰ καὶ τῆς τάξεως αὐτῶν ἐφρόντισαν· ὁ δὲ, μόνης τῆς ἀπαγγελίας τῶν πεπραγμένων γενόμενος, τῆς τάξεως αὐτῶν οὐκ ἐφρόντισεν.

ΚΕΦ. XXVII, 1 Πρωΐας δὲ γενομένης, συμβούλιον
ἔλαβον πάντες οἱ ἀρχιερεῖς καὶ οἱ πρεσβύτεροι τοῦ
2 λαοῦ κατὰ τοῦ Ἰησοῦ, ὥστε θανατῶσαι αὐτόν. Καὶ
δήσαντες αὐτὸν, ἀπήγαγον, καὶ παρέδωκαν αὐτὸν
Ποντίῳ Πιλάτῳ τῷ ἡγεμόνι.

Ὁμοίως καὶ Μάρκος καὶ Λουκᾶς εἶπον (γ). Ἰωάννης δέ φησιν, ὅτι *Ἄγουσι τὸν Ἰησοῦν ἀπὸ τοῦ Καϊάφα εἰς τὸ πραιτώριον· ἦν δὲ πρωΐα· καὶ αὐτοὶ οὐκ εἰσῆλθον εἰς τὸ πραιτώριον, ἵνα μὴ μιανθῶσιν, ἀλλ' ἵνα φάγωσι τὸ πάσχα* (δ).

(α) Ματθ. Κϛ', 59. κ. ἑξῆς. 67. 69. Μαρκ. ΙΔ', 55. κ. ἑξῆς. 65. 66.
(β) Λουκ. ΚΒ', 56. 63. 66.
(γ) Μαρκ. ΙΕ', 1. Λουκ. ΚΓ', 1.
(δ) Ἰωαν. ΙΗ', 28.

δι' ὅλης γὰρ τῆς νυκτὸς ἤταζον αὐτὸν, καὶ μετέφερον. Ἀλλ' ὢ τῆς ἀνοίας! Φονῶντες μὲν, καὶ εἰς θάνατον παραδιδόντες, οὐκ ἐδόκουν μιαίνεσθαι· τὸ δὲ ἐπιβῆναι τοῦ δικαστηρίου, μιασμὸν ἐνόμιζον, οἱ τὸν κώνωπα διϋλίζοντες καὶ τὴν κάμηλον καταπίνοντες.

ΚΕΦΑΛΑΙΟΝ ΞΖ'.

Περὶ τῆς Ἰούδα μεταμελείας.

3 Τότε ἰδὼν Ἰούδας, ὁ παραδιδοὺς αὐτὸν, ὅτι κατε-
κρίθη, μεταμεληθεὶς, ἀπέστρεψε τὰ τριάκοντα ἀρ-
4 γύρια τοῖς ἀρχιερεῦσι καὶ τοῖς πρεσβυτέροις, λέ-
γων· Ἥμαρτον, παραδοὺς αἷμα ἀθῶον.

Ἰ*δὼν ὅτι κατεκρίθη* θανάτῳ παρὰ τῶν Ἰουδαίων ὁ Χριστός. Ἔδει δὲ, πρὸ τῆς προδοσίας μεταμεληθῆναι· ἀλλὰ τοιοῦτος ὁ διάβολος· πρὸ μὲν τῆς ἁμαρτίας, οὐκ ἀφίησιν ἰδεῖν τὸ κακὸν, ἵνα μὴ γένηται μετάνοια· μετὰ δὲ τὸ ἀπαρτισθῆναι τὴν ἁμαρτίαν, ἀφίησιν ἰδεῖν, ἵνα λυπήσῃ καὶ εἰς ἀπόγνωσιν συνελάσῃ. *Ἥμαρτον*, φησὶ, *παραδοὺς αἷμα ἀθῶον*, εἰς τὸ χεθῆναι.

4 Οἱ δὲ εἶπον· Τί πρὸς ἡμᾶς; σὺ ὄψει.

Καὶ ὁ Ἰούδας εἰπὼν, ὅτι *ἥμαρτον, παραδοὺς αἷμα ἀθῶον*, ἀδίκως αὐτὸν ἀποθνήσκειν ἐμαρτύρησε· καὶ οἱ Ἰουδαῖοι, φήσαντες, *Τί πρὸς ἡμᾶς; σὺ ὄψει*, τῇ μαρτυρίᾳ τούτου συγκατέθεντο· καὶ ἡ ἀλήθεια παρὰ τῶν ἐχθρῶν ὡμολογήθη· τοῦ θυμοῦ δὲ θήγοντος, ἅπαν τὸ ἔγκλημα προσάψαντες τῷ Ἰούδᾳ, λοιπὸν αὐτοὶ, τῷ πάθει μεθύοντες, ἐπὶ τὸν φόνον ἠπείγοντο.

5 Καὶ ῥίψας τὰ ἀργύρια ἐν τῷ ναῷ, ἀνεχώρησε·
καὶ ἀπελθὼν, ἀπήγξατο.

Τὸ μὲν ἐξομολογήσασθαι τὴν ἁμαρτίαν ἐνώπιον πάντων, καὶ

τὸ ῥίψαι τὰ ἀργύρια, μεταμελείας εἰσί· τὸ δὲ ἀπάγξασθαι, ἀπογνώσεως. Ἐπέγνω μὲν γὰρ τὸ κακὸν, καὶ μετεμελήθη, καὶ ἐξωμολογήσατο· οὐκ ἐζήτησε δὲ συγγνώμην παρὰ τοῦ δυναμένου δοῦναι ταύτην· οὐ γὰρ ἀφῆκεν αὐτὸν ὁ διάβολος μετανοῆσαι (1) πρὸς τὸν Χριστὸν, εἰς ὃν ἐξήμαρτεν· ἀλλὰ προεξήγαγε τοῦτον τῆς μετανοίας, ὡς μὴ φέροντα τὸν ἀπὸ τοῦ συνειδότος ἔλεγχον. Δέον οὖν ἐπὶ τὸν ἀνεξίκακον τοῦτον καταφυγεῖν· ὁ δὲ μᾶλλον ἐπὶ τὸν θάνατον κατέφυγεν, ὅπως θᾶττον ἀπαλλαγείη τῆς κατεγνωσμένης καὶ ἐπωδύνου ζωῆς. Καὶ οὐδὲ τούτου παραυτίκα τετύχηκεν, ὡς ἐγλίχετο· διαγνωσθεὶς γὰρ ὑπό τινων, καθῃρέθη τῆς ἀγχόνης· εἶτα ἐν ἰδιάζοντι τόπῳ διέζησε καιρὸν ὀλίγον, καὶ πρηνὴς γενόμενος, εἴτουν, πεπρησμένος (2), ἐξωγκωμένος, ἐλάκησε καὶ διεῤῥάγη μέσος, καὶ ἐξεχύθη τὰ σπλάγχνα αὐτοῦ, καθώς φησιν ἡ βίβλος τῶν Πράξεων (α). Εἰ δὲ καὶ γέγραπται ἐν αὐτῇ, ὅτι *ἐκτήσατο χωρίον ἐκ μισθοῦ τῆς ἀδικίας*, ἀλλ' οὐ μετὰ τὴν ἀγχόνην, ὥς τινες οἴονται. Τοῦτο γὰρ ἑρμηνεύων ὁ Χρυσόστομος, τὸν ἀγρὸν τοῦ κεραμέως εἶναι τὸ χωρίον ἐκεῖνο λέγει. Τὰ τριάκοντα γὰρ ἀργύρια, ἐξ ὧν ἠγοράσθη οὗτος, μισθὸς ἦσαν τῷ Ἰούδᾳ τῆς ἀδικίας τῆς εἰς τὸν διδάσκαλον. Τί γὰρ ἀδικώτερον τῆς προδοσίας αὐτοῦ; Ἐννοήσωμεν τοίνυν οἱ φιλάργυροι, πῶς ὁ Ἰούδας καὶ τὴν ἁμαρτίαν εἰργάσατο, καὶ τῶν χρημάτων οὐκ ἀπήλαυσε, καὶ τὴν ἰδίαν ψυχὴν ἀπώλεσεν.

6 Οἱ δὲ ἀρχιερεῖς λαβόντες τὰ ἀργύρια, εἶπον· Οὐκ

(1) Ἴσως, μετανοστῆσαι, ἤτοι μετανοστῆσαι πρὸς τὸν Χριστὸν, εἰς ὃν ἐξήμαρτε, καὶ αἰτῆσαι συγγνώμην.

(2) Τὸ, πρηνὴς, ἐξηγεῖται παρὰ τῶν λεξικογράφων· Ἐπὶ πρόσωπον πεπτωκώς. Ἡσύχιος. Ἢ, Εἰς τοὔμπροσθεν, ἐπὶ στόματος, ἐπὶ προσώπου. Φαβωρῖνος. Ὁ δὲ Εὐθύμιος ἑρμηνεύει αὐτὸ ἐνταῦθα, πεπρησμένος, ἐξωγκωμένος, ὡς ἂν ἐγράφετο, πρησθείς. Ἀλλὰ, πρησθεὶς γενόμενος; —

(α) Πραξ. Α', 18.

ἔξεστι βαλεῖν αὐτὰ εἰς τὸν κορβανᾶν· ἐπεὶ τιμὴ
αἵματός ἐστιν.

Ἀνεπαισχύντως ὁμολογοῦσιν, ὅτι *τιμὴ αἵματός ἐστιν*, εἴτουν, ὠνὴ φόνου. *Κορβανᾶς* δὲ ἦν τὸ τοῦ ναοῦ θησαυροφυλάκιον, τὸ δωροδοχεῖον. Οἶμαι δὲ τοῦτο εἶναι τὸ λεγόμενον (1) *γαζοφυλάκιον*· *γάζα* γὰρ παρὰ Ῥωμαίοις (2) ὁ πλοῦτος καλεῖται.

7 Συμβούλιον δὲ λαβόντες, ἠγόρασαν ἐξ αὐτῶν τὸν
8 ἀγρὸν τοῦ κεραμέως, εἰς ταφὴν τοῖς ξένοις. Διὸ ἐκλή-
θη ὁ ἀγρὸς ἐκεῖνος, ἀγρὸς αἵματος, ἕως τῆς σήμερον.

Πολὺ κάλλιον ἦν αὐτοῖς, εἰς τὸν κορβανᾶν ταῦτα βαλεῖν· οὐ γὰρ ἂν οὕτω κατάδηλον τὸ πρᾶγμα ἐγίνετο· οἱ δὲ, πρὸς ἔλεγχον τῆς αὐτῶν μιαιφονίας, *ἠγόρασαν τὸν ἀγρὸν*, οὗ τὸ ὄνομα σάλπιγγος λαμπρότερον ταύτην ἀνακηρύττει. Καὶ οὐδὲ ἁπλῶς τοῦτο ποιοῦσιν, ἀλλὰ *συμβούλιον λαβόντες*· καὶ πανταχοῦ συμβούλιον λαμβάνουσιν, ἵνα μηδεὶς ἀθῷος ὑπολειφθῇ. Καὶ ἡ βίβλος δὲ τῶν Πράξεών φησι, *κληθῆναι τὸ χωρίον ἐκεῖνο Ἀκελδαμὰ*, τουτέστι, *χωρίον αἵματος* (α). Ὥστε τοῦτό ἐστι, περὶ οὗ κἀκείνη λέγει.

9 Τότε ἐπληρώθη τὸ ῥηθὲν διὰ Ἱερεμίου τοῦ προ-
φήτου λέγοντος· «Καὶ ἔλαβον τὰ τριάκοντα ἀργύ-
ρια, τὴν τιμὴν τοῦ τετιμημένου, ὃν ἐτιμήσαντο
10 ἀπὸ υἱῶν Ἰσραήλ· καὶ ἔδωκαν αὐτὰ εἰς τὸν ἀγρὸν
τοῦ κεραμέως, καθὰ συνέταξέ μοι Κύριος.»

Ἐν τῇ ἀναγινωσκομένῃ μὲν βίβλῳ τοῦ Ἱερεμίου τοῦτο οὐ γέ-

(1) Τὸ πολλάκις ἐν τῇ καινῇ Διαθήκῃ ἀπαντώμενον.

(2) Περσικὴ ἡ λέξις γάζα. «Γάζα· παρὰ Πέρσαις βασίλειον (ἤτοι θησαυροφυλάκιον) ἢ οἱ ἐκ τῶν πολλῶν φερόμενοι φόροι, ἢ τὰ τίμια.» Ἡσύχιος.

(α) Πραξ. Α', 19.

γραπται· λοιπὸν οὖν ἐν τῇ ἀποκρύφῳ αὐτοῦ ἱστόρηται. Εἰκὸς δὲ, καὶ ὕστερον ἐκβληθῆναι ταῦτα ἀπὸ τῆς ἀναγινωσκομένης, ἐκ κακουργίας τῶν Ἰουδαίων, ὅπερ καὶ ἐπὶ ἄλλων ῥητῶν ἐγένετο. Ἔλαβον οὖν οἱ ἀρχιερεῖς τὴν ὠνὴν τοῦ παντίμου Χριστοῦ, ὃν *διετιμήσαντο ἀπὸ υἱῶν Ἰσραὴλ*, ἤγουν οἱ Ἰσραηλῖται. Λέγει δὲ αὐτοὺς τοὺς ἀρχιερεῖς, ὅτε πρὸς αὐτοὺς εἶπεν Ἰούδας· *Τί θέλετέ μοι δοῦναι, κἀγὼ ὑμῖν παραδώσω αὐτόν; Οἱ δὲ ἔστησαν αὐτῷ τριάκοντα ἀργύρια* (α). *Συνέταξέ μοι* δὲ, ἀντὶ τοῦ, εἶπέ μοι.

11 Ὁ δὲ Ἰησοῦς ἔστη ἔμπροσθεν τοῦ ἡγεμόνος·

Ἀγαγόντων αὐτὸν εἰς τὸ πραιτώριον, φησὶν ὁ Ἰωάννης, ὅτι *ἐξῆλθεν ὁ Πιλάτος πρὸς αὐτοὺς, καὶ εἶπε· Τίνα κατηγορίαν φέρετε κατὰ τοῦ ἀνθρώπου τούτου; Ἀπεκρίθησαν, καὶ εἶπον αὐτῷ· Εἰ μὴ ἦν οὗτος κακοποιὸς, οὐκ ἄν σοι παρεδώκαμεν αὐτόν. Εἶπεν οὖν αὐτοῖς ὁ Πιλάτος· Λάβετε αὐτὸν ὑμεῖς, καὶ κατὰ τὸν νόμον ὑμῶν κρίνατε αὐτὸν*, καὶ τὰ ἑξῆς (β). Οἱ μὲν γὰρ παρέδωκαν αὐτὸν τῷ Πιλάτῳ πρὸς ἀναίρεσιν, οὐ πρὸς ἐξέτασιν· ὁ δὲ, πρὸ ἐξετάσεως, οὐκ ἠνέσχετο τοῦτον ἀνελεῖν· διὰ τοῦτο ζητεῖ μαθεῖν, τίς ἡ κατηγορία· οἱ δὲ, μὴ θαῤῥοῦντες ἑαυτοῖς, οὐ λέγουσι μὲν κατηγορίαν, φασὶ δὲ μόνον ὅτι, Εἰ μὴ ἦν οὗτος κακοῦργος, οὐκ ἄν σοι παρεδώκαμεν αὐτὸν, ὡς δῆθεν οὐδὲν ἄδικον ποιοῦντες· ὁ δὲ Πιλάτος δυσανασχετήσας, ὡς βουλομένων δίχα τῆς αὐτοῦ ἐξετάσεως τοῦτον ἀνελεῖν, αὐτοῖς ἐπιτρέπει τὴν ἀναίρεσιν. Ἀποτυχόντες δὲ τῆς προσδοκίας, λοιπὸν κατηγοροῦσι καὶ ἄκοντες, ἅπερ ὁ Λουκᾶς ἱστόρησε (γ), γράψας, ὅτι *ἤρξαντο κατηγορεῖν αὐτοῦ, λέγοντες· Τοῦτον εὕρομεν διαστρέφοντα τὸ ἔθνος ἡμῶν,*

(α) Ματθ. ΚϚʹ, 15.
(β) Ἰωαν. ΙΗʹ, 29—31.
(γ) Λουκ. ΚΓʹ, 2.

καὶ κωλύοντα Καίσαρι φόρους διδόναι, λέγοντα ἑαυτὸν Χριστὸν βασιλέα εἶναι. Καὶ ὅρα κακουργίαν! Θέλοντες γὰρ ἀνάψαι τὸν θυμὸν τοῦ Πιλάτου κατὰ τοῦ Χριστοῦ, καὶ συναρπάσαι πρὸς τὸ ταχέως ἀνελεῖν αὐτὸν, ἀποστασίας καὶ τυραννίδος ἔγκλημα τούτῳ προσάπτουσιν· ἅμα δὲ καὶ ἵνα, φοβηθεὶς τὸν Καίσαρα Πιλάτος, μηδὲ βουλόμενος δυνηθῇ τοῦτον ἐξελέσθαι τοῦ θανάτου.

11 Καὶ ἐπηρώτησεν αὐτὸν ὁ ἡγεμὼν, λέγων· Σὺ εἶ ὁ βασιλεὺς τῶν Ἰουδαίων; Ὁ δὲ Ἰησοῦς ἔφη αὐτῷ· Σὺ λέγεις.

Τὸ, *Σὺ λέγεις*, καὶ τὸ, *Σὺ εἶπας*, καὶ τὰ τοιαῦτα, ὁμολογία τίς ἐστιν ἀνεπίληπτος, καὶ μεστὴ μετριοφροσύνης. Ἰωάννης δὲ πλατύτερον καὶ περὶ τούτου τοῦ κεφαλαίου φησὶν (α), ὅτι *Εἰσῆλθεν εἰς τὸ πραιτώριον πάλιν ὁ Πιλάτος, καὶ ἐφώνησε τὸν Ἰησοῦν, καὶ εἶπεν αὐτῷ· Σὺ εἶ ὁ βασιλεὺς τῶν Ἰουδαίων; Ἀπεκρίθη αὐτῷ ὁ Ἰησοῦς· Ἀφ' ἑαυτοῦ σὺ τοῦτο λέγεις, ἢ ἄλλοι σοι εἶπον περὶ ἐμοῦ; Ἀπεκρίθη ὁ Πιλάτος· Μήτι ἐγὼ Ἰουδαῖός εἰμι; τὸ ἔθνος τὸ σὸν καὶ οἱ ἀρχιερεῖς παρέδωκάν σε ἐμοί· τί ἐποίησας; Ἀπεκρίθη ὁ Ἰησοῦς· Ἡ βασιλεία ἡ ἐμὴ οὐκ ἔστιν ἐκ τοῦ κόσμου τούτου· εἰ ἐκ τοῦ κόσμου τούτου ἦν ἡ βασιλεία ἡ ἐμὴ, οἱ ὑπηρέται ἂν οἱ ἐμοὶ ἠγωνίζοντο, ἵνα μὴ παραδοθῶ τοῖς Ἰουδαίοις· νῦν δὲ ἡ βασιλεία ἡ ἐμὴ οὐκ ἔστιν ἐντεῦθεν. Εἶπεν οὖν αὐτῷ ὁ Πιλάτος· Οὐκοῦν βασιλεὺς εἶ σύ; Ἀπεκρίθη ὁ Ἰησοῦς· Σὺ λέγεις· ὅτι βασιλεύς εἰμι ἐγώ.*

Ὁ μὲν οὖν Πιλάτος, ἀκούσας περὶ ἀποστασίας καὶ τυραννίδος, καὶ φοβηθεὶς, ἰδίᾳ τοῦτον ἠρώτησε, μυστικώτερόν τι μαθεῖν βουλόμενος· ὁ δὲ Χριστὸς ἀντηρώτησεν, ὅτι *Ἀφ' ἑαυτοῦ σὺ τοῦτο λέγεις, ἢ ἄλλοι σοι εἶπον περὶ ἐμοῦ;* οὐχ ὡς

(α) Ἰωάν. ΙΗʹ, 33—37.

ἀγνοῶν, ἀλλὰ καθαπτόμενος αὐτοῦ· διότι οὐ συμπαρέστησεν αὐτῷ τοὺς κατηγόρους, οὐδὲ κατηνάγκασεν αὐτοὺς δεῖξαι σημεῖα τῆς ἀποστασίας καὶ τυραννίδος, ἵνα καὶ μᾶλλον καταισχυνθῶσιν. Ὁ δὲ Πιλάτος ἀπολογούμενος, ὅτι οὐκ ἀφ᾽ ἑαυτοῦ τοῦτο λέγει, φησί· *Μήτι ἐγὼ Ἰουδαῖός εἰμι*, ἵνα γινώσκω τὰ σά; οἱ ὁμοεθνεῖς σου παρέδωκάν σε ἐμοὶ, καὶ τούτων οἱ πρῶτοι καὶ τιμιώτεροι, καὶ αὐτοὶ τοῦτο λέγουσιν. Εἶτα ἐρωτᾷ· *Τί ἐποίησας*, ὅτι τοιαῦτά σοι ἐγκαλοῦσι; Καὶ λοιπὸν λύει τὴν ὑποψίαν τῆς τυραννίδος ὁ Χριστὸς, λέγων, τὴν βασιλείαν αὐτοῦ μὴ εἶναι ἐκ τοῦ κόσμου τούτου, καὶ ἀπολύει τοῦ φόβου τὸν Πιλάτον. Τίθησι δὲ καὶ λογισμὸν, αὐτό τε τοῦτο δεικνύοντα, καὶ ὅτι ἡ ἐκ τοῦ κόσμου βασιλεία ἐν τοῖς ὑπηρέταις ἔχει τὴν ἰσχύν· ἡ δὲ τούτου βασιλεία, οὐράνιος οὖσα, ἀφ᾽ ἑαυτῆς κέκτηται τὸ κράτος. Εἰπὼν δὲ, ὅτι ἡ *βασιλεία ἡ ἐμὴ οὐκ ἔστιν ἐκ τοῦ κόσμου τούτου*, οὐχ ὑπεξήγαγε τῆς ἑαυτοῦ κυριότητος τὸν κόσμον, ἀλλ᾽ ἐνέφηνεν, ὅτι οὐκ ἔστιν, ὡς αἱ τοῦ κόσμου τούτου βασιλεῖαι, δεομένη ὑπηρετῶν, καὶ ὑποκειμένη φόβοις, καὶ τέλος ἔχουσα.

Εἶτα ἐξελθὼν ὁ Πιλάτος ἐπειράθη ἐξελέσθαι αὐτόν. Φησὶ γὰρ ὁ Λουκᾶς (α), ὅτι *εἶπε πρὸς τοὺς ἀρχιερεῖς καὶ τοὺς ὄχλους· Οὐδὲν εὑρίσκω αἴτιον ἐν τῷ ἀνθρώπῳ τούτῳ. Οἱ δὲ ἐπίσχυον, λέγοντες· Ὅτι ἀνασείει τὸν λαὸν, διδάσκων καθ᾽ ὅλης τῆς Ἰουδαίας, ἀρξάμενος ἀπὸ τῆς Γαλιλαίας ἕως ὧδε. Πιλάτος δὲ ἀκούσας Γαλιλαίαν, ἐπηρώτησεν, εἰ ὁ ἄνθρωπος Γαλιλαῖός ἐστι· καὶ ἐπιγνοὺς, ὅτι ἐκ τῆς ἐξουσίας Ἡρώδου ἐστὶν, ἀνέπεμψεν αὐτὸν πρὸς Ἡρώδην, ὄντα καὶ αὐτὸν ἐν Ἱεροσολύμοις ἐν ταύταις ταῖς ἡμέραις*, καὶ τὰ ἑξῆς. Ὁ μὲν οὖν Πιλάτος ἀκούσας παρὰ τοῦ Χριστοῦ περὶ τῆς βασιλείας αὐτοῦ, ὅτι οὐκ ἔστιν ἐκ τοῦ κόσμου τούτου, καὶ

(α) Λουκ. ΚΓ΄, 4—7.

γνοὺς, ὅτι οὐκ ἔχει παρασκευήν τινα τυραννικὴν, ἢ τὸ οἱονοῦν παράσημον ἐπιγείου βασιλείας, καὶ διαγνοὺς ἀπίθανον τὴν κατηγορίαν, ἀναίτιον αὐτὸν ἀπέφηνεν· αὐτοὶ δὲ, μὴ δυνάμενοι δεῖξαι σημεῖα τῶν ῥηθέντων ἐγκλημάτων, μετέβησαν ἐφ᾽ ἑτέραν κατηγορίαν, λέγοντες, ὅτι *ἀνασείει τὸν λαὸν*, ἤγουν, ἀναστατοῖ, διδάσκων. Καὶ ὅτι μὲν διδάσκει λέγουσι· τὶ δὲ διδάσκει, οὐ λέγουσιν, ἵνα μὴ καταγελασθῶσιν.

Ὁ δὲ Ἡρώδης ποιήσας, ὅσα φησὶ Λουκᾶς (α), ἀνέπεμψε τοῦτον πάλιν πρὸς τὸν Πιλάτον, ἑπομένων καὶ τῶν ἀρχιερέων καὶ τῶν γραμματέων, καὶ καταβοώντων. *Πιλάτος δὲ συγκαλεσάμενος τοὺς ἀρχιερεῖς καὶ τοὺς ἄρχοντας καὶ τὸν λαὸν, εἶπε πρὸς αὐτούς* (β). Ὁ Λουκᾶς καὶ ταῦτά φησι· *Προσηνέγκατέ μοι τὸν ἄνθρωπον τοῦτον, ὡς ἀποστρέφοντα τὸν λαόν· καὶ ἰδοὺ, ἐγὼ ἐνώπιον ὑμῶν ἀνακρίνας, οὐδὲν εὗρον ἐν τῷ ἀνθρώπῳ τούτῳ αἴτιον, ὧν κατηγορεῖτε κατ᾽ αὐτοῦ. Ἀλλ᾽ οὐδὲ Ἡρώδης· ἀνέπεμψα γὰρ ὑμᾶς πρὸς αὐτὸν, καὶ ἰδοὺ, οὐδὲν ἄξιον θανάτου ἐστὶ πεπραγμένον αὐτῷ. Παιδεύσας οὖν αὐτὸν ἀπολύσω. Παίδευσιν* ἐνταῦθα, τὴν μετρίαν μαστίγωσιν λέγων, εἰς παραμυθίαν καὶ καταστολὴν τοῦ θυμοῦ αὐτῶν, ἵνα δόξαντες περιγενέσθαι αὐτοῦ, παύσωνται τῆς περαιτέρω μανίας· οἱ δὲ καὶ οὕτως οὐδὲν ἔλαττον ἐξεθηριοῦντο, πρὸς ἓν μόνον ἀκλινῶς ὁρῶντες, τὸ ἀνελεῖν αὐτὸν τάχιστα· διὸ πάλιν καθυλακτοῦσι.

12 Καὶ ἐν τῷ κατηγορεῖσθαι αὐτὸν ὑπὸ τῶν ἀρχιερέων καὶ τῶν πρεσβυτέρων, οὐδὲν ἀπεκρίνατο.

Σφοδρῶς γὰρ ἤδη λυττησάντων εἰς τὸν φόνον αὐτοῦ, καὶ ἀκαθέκτων ὅλως γεγονότων, ἔγνω, ματαίαν εἶναι τοῦ λοιποῦ πᾶσαν ἀπολογίαν.

(α) Λουκ. ΚΓ΄, 11.
(β) Λουκ. ΚΓ΄, 13—16.

13 Τότε λέγει αὐτῷ ὁ Πιλάτος· Οὐκ ἀκούεις πόσα σου καταμαρτυροῦσι;

Τοῦτο λέγει, παρακινῶν αὐτὸν εἰς τὸ ἀπολογήσασθαι, καὶ ἀπαλλαγῆναι. Καὶ γὰρ ἐγίνωσκεν, ὅτι ῥᾷον διαλύσει τὰς συκοφαντίας αὐτῶν.

14 Καὶ οὐκ ἀπεκρίθη αὐτῷ πρὸς οὐδὲ ἓν ῥῆμα·

Τὸ ἑξῆς γὰρ περιττὴν ἡγεῖτο καὶ τὴν πρὸς αὐτὸν ἀπόκρισιν, ὡς μὴ δυνάμενον αὐτοὺς ἀναστεῖλαι. Καὶ γὰρ ἦν μὲν μισοπόνηρος ὁ Πιλάτος, καὶ σφόδρα ἠθέλησεν ἐξελέσθαι τὸν Ἰησοῦν· μαλακὸς δὲ ὤν, ἐνεδίδου ταῖς ἐκείνων ὁρμαῖς.

14 Ὥστε θαυμάζειν τὸν ἡγεμόνα λίαν.

Θαυμάζειν, πῶς ἐνδείκνυται τοσαύτην ἐπιείκειαν, πῶς δυνάμενος ἀπολογεῖσθαι καὶ καταισχύνειν αὐτούς, ἑκὼν σιγᾷ καὶ ἀνέχεται.

15 Κατὰ δὲ ἑορτὴν εἰώθει ὁ ἡγεμὼν ἀπολύειν ἕνα τῷ
16 ὄχλῳ δέσμιον, ὃν ἤθελον. Εἶχον δὲ τότε δέσμιον
17 ἐπίσημον, λεγόμενον Βαραββᾶν. Συνηγμένων οὖν αὐτῶν, εἶπεν αὐτοῖς ὁ Πιλάτος· Τίνα θέλετε ἀπολύσω ὑμῖν; Βαραββᾶν, ἢ Ἰησοῦν, τὸν λεγόμενον Χριστόν;

Κατὰ δὲ ἑορτήν, τὴν τοῦ πάσχα δηλονότι. Φησὶ γὰρ ὁ Ἰωάννης εἰπεῖν τὸν Πιλάτον· *Ἔστι δὲ συνήθεια ὑμῖν, ἵνα ἕνα ὑμῖν ἀπολύσω ἐν τῷ πάσχᾳ* (α). Περὶ δὲ τοῦ Βαραββᾶ λέγει φανερώτερον ὁ Λουκᾶς, ὅτι *ἦν διὰ στάσιν τινὰ γενομένην ἐν τῇ πόλει, καὶ φόνον, βεβλημένος εἰς φυλακήν* (β). Ὁ Πιλάτος οὖν, μὴ δυνηθεὶς ὡς ἀθῷον ἐξελέσθαι τὸν Χριστόν, ἐπεχείρησε κἂν γοῦν ὡς κατάδικον χαρίσασθαι τοῦτον τῇ ἑορτῇ.

(α) Ἰωαν. ΙΗ΄, 39.
(β) Λουκ. ΚΓ΄, 19.

18 Ἤδει γάρ, ὅτι διὰ φθόνον παρέδωκαν αὐτόν.

Διέγνω τοῦτο, καὶ ἤλπιζεν, ὅτι οὐκ ἂν προτιμήσωσι τὸν ἀνδροφόνον Βαραββᾶν. Διὰ τοῦτο τοίνυν θαῤῥήσας ἐρωτᾷ· *Τίνα θέλετε ἀπολύσω ὑμῖν;* ὡς δὲ λέγει Μάρκος (α), πρὸ τῆς ἐρωτήσεως *ἀναβοήσας ὁ ὄχλος, ἤρξατο αἰτεῖσθαι, καθὼς ἀεὶ ἐποίει αὐτοῖς*, ἤγουν, αἰτεῖσθαι γενέσθαι. Ἦν δὲ ἡ αἴτησις περὶ τοῦ ἀπολῦσαι ἕνα τῷ ὄχλῳ δέσμιον. Ὅθεν δραξάμενος ἀφορμῆς ὁ Πιλάτος, ἐπεχείρησεν, ὡς εἴρηται, καὶ ἠρώτησεν.

19 Καθημένου δὲ αὐτοῦ ἐπὶ τοῦ βήματος, ἀπέστειλε πρὸς αὐτὸν ἡ γυνὴ αὐτοῦ, λέγουσα· Μηδέν σοι καὶ τῷ δικαίῳ ἐκείνῳ· πολλὰ γὰρ ἔπαθον σήμερον κατ' ὄναρ δι' αὐτόν.

Αὐτὸς μὲν οὐκ εἶδε τοιοῦτον ὄναρ, ἢ ὡς ἀνάξιος, ἢ ὅτι ἔμελλε σιγᾷν, ὡς κριτής, ἢ ὅτι ἔμελλεν ἀπιστεῖσθαι, ὡς πλαττόμενος αὐτὸς πρὸς τὸ ἐξελεῖν αὐτόν· ἡ γυνὴ δὲ βλέπει μᾶλλον, ὡς ἀξία, καὶ ὡς πιθανωτέρα πρὸς τοὺς Ἰουδαίους, ἵνα ὡς ἀνυπόπτῳ ταύτῃ πιστεύσαντες ἀναχαιτισθῶσι. Καὶ οὐ βλέπει μόνον, ἀλλὰ καὶ πάσχει, τουτέστιν, ἐτάζεται, ἵνα τῇ συμπαθείᾳ τῆς γυναικὸς ὁ ἀνὴρ αὐτῆς, καὶ μὴ πειθομένων αὐτῶν, κωλύσῃ τὸν φόνον. Τὸ δέ, *μηδέν σοι καὶ τῷ δικαίῳ ἐκείνῳ*, ἀντὶ τοῦ, μηδέν σοι καὶ ἐκείνῳ ἀμφισβητήσιμον· ἀπέχου αὐτοῦ. Σημειωτέον δέ, ὅτι τό, *σήμερον*, καὶ ἐπὶ νυκτὸς λέγεται.

20 Οἱ δὲ ἀρχιερεῖς καὶ οἱ πρεσβύτεροι ἔπεισαν τοὺς ὄχλους, ἵνα αἰτήσωνται τὸν Βαραββᾶν, τὸν δὲ Ἰησοῦν ἀπολέσωσιν.

Οἱ φονεῖς τὸν φονέα προτετιμήκασι τοῦ ζωοδότου, καὶ οὐχ ἁπλῶς φονέα, ἀλλ' *ἐπίσημον*, εἴτουν, περιβόητον ἐπὶ κακουργίᾳ. Τοσοῦτον ὁ φθόνος ἐξέκαυσεν αὐτούς! Διεφθορότες δὲ

(α) Μαρκ. ΙΕ΄, 8.

αὐτοὶ, διέφθειραν καὶ τοὺς ὄχλους, ἵνα καὶ τῆς τούτων ἀπάτης δίκην ἀπαιτηθῶσι. Μάρκος δέ φησιν (α), ὅτι *ἀνέσεισαν τὸν ὄχλον*, ἤγουν, ἀνεκίνησαν.

21 Ἀποκριθεὶς δὲ ὁ ἡγεμὼν, εἶπεν αὐτοῖς· Τίνα θέλετε ἀπὸ τῶν δύο ἀπολύσω ὑμῖν;

Ἠρώτησε πρῶτον, οὔπω δὲ ἀποκριθέντων, ἀσχοληθεὶς πρὸς τὸ μήνυμα τῆς γυναικὸς αὐτοῦ, πάλιν ἐπανέλαβε τὴν ἐρώτησιν.

21 Οἱ δὲ εἶπον ·Βαραββᾶν.

Ὡς ἐδιδάχθησαν.

22 Λέγει αὐτοῖς ὁ Πιλάτος· Τί οὖν ποιήσω Ἰησοῦν, τὸν λεγόμενον Χριστόν;

Ἀστοχήσας τῆς ἐλπίδος, ἐρωτᾷ πάλιν περὶ αὐτοῦ, καὶ κυρίους αὐτοὺς ποιεῖται τοῦ πράγματος, θεραπεύων οὕτω καὶ μειλισσόμενος αὐτούς· οἱ δὲ μένουσιν ἀνένδοτοι.

22 Λέγουσιν αὐτῷ πάντες· Σταυρωθήτω.

Π*άντες*, οὐχ οἱ ὄχλοι μόνοι, ἀλλὰ καὶ οἱ ἀρχιερεῖς, καὶ οἱ πρεσβύτεροι. Καὶ οὐ λέγουσι· Φονευθήτω, ἀλλὰ, *Σταυρωθήτω*, ἵνα καὶ τὸ εἶδος τοῦ θανάτου κακοῦργον ἀπελέγχῃ αὐτόν.

23 Ὁ δὲ ἡγεμὼν ἔφη· Τί γὰρ κακὸν ἐποίησεν;

Μὴ δυνάμενος δυσωπῆσαι τούτους, ἀντιλέγει λοιπόν.

23 Οἱ δὲ περισσῶς ἔκραζον, λέγοντες· Σταυρωθήτω.

Π*ερισσῶς*, ἀντὶ τοῦ, περισσοτέρως· οὕτω γὰρ ἔγραψε Μάρκος (β)· ὁ δὲ Λουκᾶς εἶπεν (γ), ὅτι *ἐπέκειντο φωναῖς μεγάλαις, αἰτούμενοι αὐτὸν σταυρωθῆναι· καὶ κατίσχυον αἱ φωναὶ αὐτῶν καὶ τῶν ἀρχιερέων*.

(α) Μαρκ. ΙΕ', 11.
(β) Μαρκ. ΙΕ', 14.
(γ) Λουκ. ΚΓ', 23.

24 Ἰδὼν δὲ ὁ Πιλάτος, ὅτι οὐδὲν ὠφελεῖ, ἀλλὰ μᾶλλον θόρυβος γίνεται, λαβὼν ὕδωρ, ἀπενίψατο τὰς χεῖρας ἀπέναντι τοῦ ὄχλου, λέγων· Ἀθῶός εἰμι ἀπὸ τοῦ αἵματος τοῦ δικαίου τούτου· ὑμεῖς ὄψεσθε.

Ἐκάθηρε τὰς χεῖρας τῷ ὕδατι, δεικνύων, ὅτι καθαρὸς καὶ ἀμέτοχός ἐστι τοῦ φόνου· Ἰουδαϊκὸν γὰρ ἔθος ἦν, οὕτω διαμαρτύρεσθαι τοὺς μὴ θέλοντας φόνου τινὸς κοινωνῆσαι. Φησὶ γὰρ καὶ ὁ Δαυΐδ· *Νίψομαι ἐν ἀθώοις τὰς χεῖράς μου* (α).

25 Καὶ ἀποκριθεὶς πᾶς ὁ λαὸς, εἶπε· Τὸ αἷμα αὐτοῦ ἐφ' ἡμᾶς, καὶ ἐπὶ τὰ τέκνα ἡμῶν.

Α*ἷμα* λέγουσι τὴν τοῦ αἵματος καταδίκην. Ω μιαρᾶς φωνῆς ! ὢ τολμηρίας ἐσχάτης! Ἀλλ' οἱ μὲν οὐ μόνον καθ' ἑαυτῶν, ἀλλὰ καὶ κατὰ τῶν τέκνων ἕλκουσι τὴν ἀράν· ὁ δὲ Χριστὸς καὶ ἐξ αὐτῶν, καὶ ἐκ τῶν τέκνων δέχεται τοὺς μετανοήσαντας· καὶ οὐ μόνον ἐξαιρεῖται τῆς τοιαύτης ἀρᾶς, ἀλλὰ καὶ μυρίων ἀγαθῶν ἀξιοῖ. Καὶ·γὰρ καὶ Παῦλος ἐξ αὐτῶν ἦν, καὶ μυριάδες τῶν πεπιστευκότων ὕστερον ἐν Ἱεροσολύμοις.

26 Τότε ἀπέλυσεν αὐτοῖς τὸν Βαραββᾶν· τὸν δὲ Ἰησοῦν φραγελλώσας, παρέδωκεν, ἵνα σταυρωθῇ.

Μάρκος μὲν εἶπεν (β), ὅτι *βουλόμενος τῷ ὄχλῳ τὸ ἱκανὸν ποιῆσαι*· Λουκᾶς δὲ, ὅτι *ἐπέκρινε γενέσθαι τὸ αἴτημα αὐτῶν* (γ). Τὸ δὲ *φραγέλλιον* μάστιξ ἦν ἐκ σχοίνων ἢ λώρων πεπλεγμένη, μεθ' ἧς ἔτυπτον τὰ νῶτα τῶν καταδίκων. Ἐσαφήνισε δὲ τὴν φραγέλλωσιν ὁ Ἰωάννης γράψας (δ), ὅτι *ἔλαβεν ὁ Πιλάτος τὸν Ἰησοῦν, καὶ ἐμαστίγωσε*. Ταῦτα δὲ πεποίη-

(α) Ψαλμ. ΚΕ', 6.
(β) Μάρκ. ΙΕ', 15.
(γ) Λουκ. ΚΓ', 24.
(δ) Ἰωάν. ΙΘ', 1.

κεν, ἐκλῦσαι τὸν τόνον τῆς *μανίας* τῶν Ἰουδαίων μηχανώμενος, ὅπως ἰδόντες τὴν ὕβριν, τὴν εἰς αὐτὸν γεγενημένην, καὶ ἀκούσαντες τῆς ἀποφάσεως, παραδούσης τοῦτον *τῷ θελήματι αὐτῶν*, ὡς ὁ Λουκᾶς εἶπεν (α), ἤγουν, τῷ σταυρωθῆναι· τοῦτο γὰρ ἦν τὸ θέλημα αὐτῶν· χαλάσωσι τὴν ὀργὴν, καὶ ἐμέσωσιν ὀψέ ποτε τὸν ἰόν. Διὰ τοῦτο γὰρ καὶ τὰ ἑξῆς συνεχώρησε γενέσθαι, τὴν περίθεσιν τῆς χλαμύδος, τὴν ἐπίθεσιν τοῦ στεφάνου, τὴν δόσιν τοῦ καλάμου, καὶ τὸν ἄλλον ἐμπαιγμόν.

27 Τότε οἱ στρατιῶται τοῦ ἡγεμόνος ,παραλαβόντες
τὸν Ἰησοῦν εἰς τὸ πραιτώριον, συνήγαγον ἐπ' αὐ-
28 τὸν ὅλην τὴν σπεῖραν. Καὶ ἐκδύσαντες αὐτὸν, πε-
29 ριέθηκαν αὐτῷ χλαμύδα κοκκίνην. Καὶ πλέξαντες
στέφανον ἐξ ἀκανθῶν, ἐπέθηκαν ἐπὶ τὴν κεφαλὴν αὐ-
τοῦ, καὶ κάλαμον ἐπὶ τὴν δεξιὰν αὐτοῦ·

Τὴν *χλαμύδα* ταύτην, Μάρκος (β) μὲν *πορφύραν* εἶπεν· Ἰωάννης (γ) δὲ, *ἱμάτιον πορφυροῦν*· ἱμάτιον δὲ ἦν πορφυρόχροον. Ὁ δὲ Ματθαῖος ἀδιαφόρως *κοκκίνην* ἐκάλεσε τὴν τοιαύτην βαφὴν, ὡς ἐοικυῖαν· οὐ γὰρ ἀληθὴς ἦν πορφύρα. Ἐπεὶ γὰρ βασιλεὺς τῶν Ἰουδαίων ἐλέγετο, λοιπὸν ὡς βασιλέα τοῦτον διέπαιζον, τὴν πορφύραν ἐκείνην περιθέντες, ἀντὶ ἁλουργίδος, καὶ τὸν ἐξ ἀκανθῶν στέφανον ἐπιθέντες, ἀντὶ διαδήματος, καὶ τὸν κάλαμον ἐγχειρίσαντες, ἀντὶ σκήπτρου, καὶ ἄκοντες δὲ τὴν ἀλήθειαν ἐσχημάτιζον.

29 Καὶ γονυπετήσαντες ἔμπροσθεν αὐτοῦ, ἐνέπαιζον
αὐτῷ, λέγοντες· Χαῖρε, ὁ βασιλεὺς τῶν Ἰουδαίων.

(α) Λουκ. ΚΓ', 25
(β) Μαρκ. ΙΕ', 17.
(γ) Ἰωάν. ΙΘ', 2.

30 Καὶ ἐμπτύσαντες εἰς αὐτὸν, ἔλαβον τὸν κάλαμον,
καὶ ἔτυπτον εἰς τὴν κεφαλὴν αὐτοῦ.

Ὢ ἀνεικάστου μακροθυμίας! ὢ πάντα λόγον νικώσης ἀνεξικακίας! Ἰωάννης δέ φησιν (α), ὅτι *ἐδίδουν αὐτῷ ῥαπίσματα*. Πᾶσαν γὰρ ὕβριν αὐτῷ προσῆγον οἱ μιαροὶ, χαριζόμενοι τοῖς θεοστυγέσιν Ἰουδαίοις. Ὁ αὐτὸς δὲ Ἰωάννης καὶ τὰ ἐντεῦθεν ἱστόρησεν, ὡς τοῖς ἄλλοις παραλελειμμένα, λέγων· *Ἐξῆλθεν* (β) *οὖν πάλιν ἔξω ὁ Πιλάτος, καὶ λέγει αὐτοῖς· Ἴδε, ἄγω ὑμῖν αὐτὸν ἔξω*, καὶ τὰ ἑξῆς ἄχρι τοῦ, *Τότε οὖν παρέδωκεν αὐτὸν αὐτοῖς, ἵνα σταυρωθῇ* (γ).

Φαίνεται γὰρ, ὅτι δὶς αὐτὸν παρέδωκεν εἰς τὸ σταυρωθῆναι· ἀλλὰ τὸ πρῶτον μὲν ἐν ὑποκρίσει, διὰ τὴν προειρημένην αἰτίαν· ἐπεὶ δὲ, πάντα μηχανησάμενος, εἶδεν αὐτοὺς παντάπασιν ἀνενδότους, ἤκουσε δὲ καὶ τελευταῖον παρ' αὐτῶν, ὅτι *ἐὰν* (δ) *τοῦτον ἀπολύσῃς, οὐκ εἶ φίλος τοῦ Καίσαρος· πᾶς ὁ βασιλέα ἑαυτὸν ποιῶν, ἀντιλέγει τῷ Καίσαρι*· τότε λοιπὸν ἐν ἀληθείᾳ παρέδωκεν αὐτὸν αὐτοῖς, ἵνα σταυρωθῇ. Διὸ καὶ τὸ πρῶτον μὲν, ἁπλῶς αὐτὸν *παρέδωκε*· τὸ δεύτερον δὲ, *παρέδωκεν αὐτὸν αὐτοῖς*.

Μυρία μὲν οὖν ὁ Πιλάτος ἐπραγματεύσατο, πάσης εὐθύνης τὸν Χριστὸν ἀπαλλάττων, καὶ παντοίως, μὴ ἀναιρεθῆναι τοῦτον, ἀγωνιζόμενος· ἔδει δὲ αὐτὸν ἀντιστῆναι δικαστικώτερον, καὶ μὴ παραχωρῆσαι τοῖς ἀδικοῦσι, μηδὲ προδοῦναι τὸν ὑπ' αὐτοῦ ἐκείνου μαρτυρούμενον ἀναίτιον εἰς θάνατον. Ὅτι γὰρ ἠδύνατο, δῆλον ἀπὸ τοῦ εἰπεῖν αὐτόν (ε)· *Οὐκ οἶδας, ὅτι ἐξουσίαν ἔχω σταυρῶσαί σε, καὶ ἐξουσίαν ἔχω ἀπολῦσαί*

(α) Ἰωάν. ΙΘ', 3.
(β) Ἰωάν. ΙΘ', 4.
(γ) Ἰωάν. ΙΘ', 16
(δ) Ἰωάν. ΙΘ', 12.
(ε) Ἰωάν. ΙΘ', 10.

σε; Διὸ καὶ ὁ Χριστὸς οὐκ ἀπέλυσεν αὐτὸν καταδίκης, εἰπὼν, ὅτι *ὁ παραδιδούς με σοὶ, μείζονα ἁμαρτίαν ἔχει* (α)· μείζονα, δηλαδὴ, τῆς σῆς.

Οὐδὲ γὰρ ὁ περὶ τυραννίδος λόγος ἀπαλλάττει τοῦτον· ἐχρῆν γὰρ, ἀκούσαντα, παραστῆσαι τοὺς κατηγόρους, καὶ ἀποδείξεις ἐπιζητῆσαι, καὶ ὅσα τυραννίδος τεκμήρια, οἷον, εἰ στρατόπεδα κατέλεγεν, εἰ χρήματα συνέλεγεν, εἰ ὅπλα ἐχάλκευε, καὶ εἴ τι τοιοῦτον· ὁ δὲ μόνον ἀκούσας, ἔπτηξεν ἀγεννῶς, καὶ ἀνεξέταστον ἀφεὶς τὴν τοιαύτην κατηγορίαν ὑπήχθη καὶ παρεσύρη. Ὅσον γὰρ ἦσαν οἱ Ἰουδαῖοι σκληροὶ καὶ τολμηροὶ, τοσοῦτον οὗτος μαλακὸς καὶ δειλὸς, καὶ διὰ τοῦτο κοῦφος καὶ εὐπαράγωγος. Ζήτησον δὲ καὶ τὴν ἐξήγησιν τῶν, ὡς εἴρηται, προστεθέντων παρὰ τοῦ Ἰωάννου, σφόδρα συντελούντων εἰς τὰ προκείμενα.

31 Καὶ ὅτε ἐνέπαιξαν αὐτῷ, ἐξέδυσαν αὐτὸν τὴν χλαμύδα, καὶ ἐνέδυσαν αὐτὸν τὰ ἱμάτια αὐτοῦ· καὶ ἀπήγαγον αὐτὸν εἰς τὸ σταυρῶσαι.

Ἐπεὶ *ἐξέδυσαν αὐτὸν τὴν χλαμύδα*, περιεῖλον πάντως καὶ τὸν στέφανον. Ἰωάννης δέ φησιν (β), ὅτι *παρέλαβον τὸν Ἰησοῦν καὶ ἤγαγον* εἰς τὸ πραιτώριον (ι), τῶν Ἰουδαίων καὶ τοῦτο σπουδασάντων, ἵνα ἐκεῖθεν ἐξαγόμενος δοκῇ κατάκριτος.

32 Ἐξερχόμενοι δὲ, εὗρον ἄνθρωπον Κυρηναῖον, ὀνόματι Σίμωνα· τοῦτον ἠγγάρευσαν, ἵνα ἄρῃ τὸν σταυρὸν αὐτοῦ.

Μάρκος μὲν προσέθηκεν, ὅτι *τὸν πατέρα Ἀλεξάνδρου καὶ Ῥούφου* (α)· Λουκᾶς δὲ, ὅτι *ἐρχόμενον ἀπ' ἀγροῦ* (β)· ὁ δὲ Ἰωάννης εἶπεν (γ), ὅτι *καὶ βαστάζων τὸν σταυρὸν αὐτοῦ, ἐξῆλθε*. Πρῶτον μὲν γὰρ αὐτῷ τὸν σταυρὸν ἐπέθηκαν, ὡς καταδίκῳ, καὶ βαστάζων αὐτὸν ἐξῆλθεν· εἶτα τῷ Σίμωνι συναντήσαντες, τοῦτον ἠγγάρευσαν, ἵνα ἄρῃ αὐτόν. Λουκᾶς δὲ καὶ ἔτι προσέθηκεν (δ), ὅτι *Ἠκολούθει αὐτῷ πολὺ πλῆθος τοῦ λαοῦ καὶ γυναικῶν· αἳ καὶ ἐκόπτοντο καὶ ἐθρήνουν αὐτόν. Στραφεὶς δὲ πρὸς αὐτὰς ὁ Ἰησοῦς, εἶπε· Θυγατέρες Ἱερουσαλὴμ, μὴ κλαίετε ἐπ' ἐμέ· πλὴν ἐφ' ἑαυτὰς κλαίετε, καὶ ἐπὶ τὰ τέκνα ὑμῶν. Ὅτι ἰδοὺ, ἔρχονται ἡμέραι*, καὶ τὰ ἑξῆς· μὴ *κλαίετε*, λέγων, *ἐπ' ἐμὲ*, ἤγουν, δι' ἐμέ· ἀλλὰ δι' ἑαυτὰς, καὶ διὰ τὰ τέκνα ὑμῶν· ὅτι ἰδοὺ, ἔρχονται ἡμέραι, αἱ τῆς ἁλώσεως τῶν Ἱεροσολύμων δηλονότι.

33 Καὶ ἐλθόντες εἰς τόπον λεγόμενον Γολγοθά.

Οὗτος ὁ τόπος ἐγγὺς ἦν τῆς πόλεως, ὡς ὁ Ἰωάννης ἔγραψεν (ε).

33 Ὅ ἐστι λεγόμενος κρανίου τόπος.

Ὅπερ, τὸ, *Γολγοθὰ*, δηλονότι, λεγόμενον, ἤτοι, μεθερμηνευόμενον, ὡς ὁ Μάρκος εἶπεν (ζ), ἀπὸ τῆς ἑβραΐδος διαλέκτου πρὸς τὴν ἑλληνίδα, ἔστι καὶ λέγεται, *κρανίου τόπος*. Φασὶ δέ τινες ἐκεῖ τὸν Ἀδὰμ τετελευτηκέναι, καὶ κεῖσθαι, καὶ ᾠκονομήθη, ἵνα, ὅπου ὁ παλαιὸς Ἀδὰμ ἔπεσεν ὑπὸ τοῦ θανάτου, ἐκεῖ καὶ τὸ τοῦ νέου Ἀδὰμ τρόπαιον στῇ κατὰ τοῦ θανάτου, λέγω δὴ τὸν σταυρόν.

(α) Ἰωαν. ΙΘ', 11.
(β) Ἰωαν. ΙΘ, 16.
(ι) Τὸ, εἰς τὸ πραιτώριον, προστίθεται καὶ ἐν τῷ κειμένῳ τοῦ Ἰωάννου παρ' ἀμφοτέροις τοῖς χειρογράφοις· ἀλλ' ὁ Χρυσόστομος Τομ. Η'. Σελ. 503. D. ἀγνοεῖ αὐτό· ἀγνοεῖ δ' αὐτὸ καὶ ὁ Κύριλλος Τομ. Δ'. Σελ. 1057. Α. διότι λέγει « ἀπάγουσι μὲν ὡς τεθνηξόμενον ἤδη τὸν τῆς ζωῆς ἀρχηγόν. »

(α) Μαρκ. ΙΕ', 21.
(β) Λουκ. ΚΓ', 26.
(γ) Ἰωαν. ΙΘ', 17.
(δ) Λουκ. ΚΓ', 27—29.
(ε) Ἰωαν. ΙΘ', 20.
(ζ) Μαρκ. ΙΕ', 22.

34 Ἔδωκαν αὐτῷ πιεῖν ὄξος μετὰ χολῆς μεμιγμένον· καὶ γευσάμενος, οὐκ ἤθελε πιεῖν.

Ο δὲ Μάρκος εἶπεν, ὅτι *καὶ ἐδίδουν αὐτῷ πιεῖν ἐσμυρνισμένον οἶνον* (α)· *ὁ δὲ οὐκ ἔλαβε*. Καὶ ἀμφότερα δὲ προσήνεγκαν αὐτῷ, παίζοντες, καὶ λειποθυμοῦντα δῆθεν ἀνακτώμενοι. Τῷ ὄξει μὲν οὖν τὴν χολὴν ἔμιξαν, ἵνα τὸ δριμὺ γένηται καὶ πικρόν· ἐνέφαινε δὲ ταῦτα τῆς τῶν Ἰουδαίων ψυχῆς τὴν δριμύτητα καὶ πικρίαν. Καὶ αὐτὴ δὲ ἡ σμύρνα πικροτάτη ἐστίν.

Ἀλλὰ πρὸ μὲν τοῦ ἀνελθεῖν εἰς τὸν σταυρὸν τὰ ῥηθέντα προσηνέχθησαν αὐτῷ, καθὼς Ματθαῖος καὶ Μάρκος εἶπον· μετὰ δὲ τὸ ἀνελθεῖν, ὄξος μόνον, ὡς αὐτοὶ πάλιν οὗτοι, καὶ Λουκᾶς, καὶ Ἰωάννης φασί (β).

Παρατηρητέον δὲ καὶ, ὅτι τὸν ἐσμυρνισμένον οἶνον, ὡς ἄκαιρον, μὴ λαβών· νῦν μὲν τοῦ μίγματος τοῦ ὄξους καὶ τῆς χολῆς ἐγεύσατο, διὰ μόνην τὴν χολὴν, ὅπως πληρωθῇ τό· *Καὶ ἔδωκαν εἰς τὸ βρῶμά μου χολήν* (γ)· σταυρωθεὶς δὲ, μόνον ὄξος ἐποτίσθη, διὰ τὸ λεῖπον, λέγω δὴ τό· *Καὶ εἰς τὴν δίψαν μου ἐπότισάν με ὄξος*. Καὶ μὴν ἐν ταὐτῷ δοκοῦσι καὶ ὄξους καὶ χολῆς ἐγεύσατο, καὶ ἐν ταὐτῷ δοκοῦσι καὶ ἄμφω τὰ ῥητὰ τὸ πέρας λαβεῖν. Ἀλλ᾽ *εἰς τὴν δίψαν μου* γέγραπται· οὐκ ἐδίψα δὲ πρὸ τοῦ ἀνελθεῖν εἰς τὸν σταυρὸν, ἀλλὰ μετὰ τὸ ἀνελθεῖν. Φησὶ γὰρ ὁ Ἰωάννης (δ), *ὅτι ἰδὼν ὁ Ἰησοῦς, ὅτι πάντα ἤδη τετέλεσται, ἵνα πληρωθῇ ἡ γραφή, λέγει· Διψῶ.*

Πρῶτον μὲν γὰρ οἴκοθεν αὐτοὶ τὰ δηλωθέντα πόματα προσέφερον παίζοντες, ὡς εἰρήκαμεν· ὕστερον δὲ ἀκούσαντες, ὅτι

(α) Μαρκ. ΙΕ', 23.
(β) Ματθ. ΚΖ', 48. Μαρκ. ΙΕ', 36. Λουκ. ΚΓ', 36. Ἰωαν. ΙΘ', 29.
(γ) Ψαλμ. ΞΗ', 22.
(δ) Ἰωαν. ΙΘ', 28.

διψᾷ, προσήγαγον τὸ ὄξος· καὶ ἐπεὶ γέγραπται, ὅτι *ἔδωκαν εἰς τὸ βρῶμά μου χολὴν*, ἤγουν, εἰς τὸ φαγεῖν με, πῶς αὐτοὶ εἰς τὸ πιεῖν καὶ ταύτην δεδώκασιν; Οἶμαι τρύφη ξηρᾶς χολῆς ἐντεθρύφθαι τῷ ὄξει, ἵνα τὸ μὲν εἴη ἀντὶ τοῦ οἴνου, τὰ δὲ, ἀντὶ ψωμοῦ· καὶ προηγουμένως μὲν πόμα δεδώκασιν, ἀκολούθως δὲ καὶ βρῶμα. Τοῖς γὰρ λειποθυμοῦσιν ὀρέγειν εἰώθαμεν οἶνον, ἄρτον ἐμβαλόντες, ἵνα πρῶτον πιόντες, ἔπειτα καὶ φάγοιεν. Εἰ γὰρ μὴ οὕτω νοήσωμεν, οὐχ εὑρήσωμεν ἱστορικῶς ἀλλαχοῦ δεδομένην εἰς τὸ βρῶμα αὐτοῦ χολὴν, εἰ μή τις χολὴν ἀναγωγικῶς ἑρμηνεύσοι, τὴν πικρίαν, ἣν ἔδωκαν εἰς τὸ βρῶμα αὐτοῦ, τουτέστιν, ἀντὶ βρώματος αὐτοῦ, παραπικραίνοντες αὐτὸν καθεκάστην.

35 Σταυρώσαντες δὲ αὐτὸν, διεμερίσαντο τὰ ἱμάτια αὐτοῦ, βάλλοντες κλῆρον.

Τὰ παραπλήσια λέγει καὶ ὁ Λουκᾶς (α)· ὁ δὲ Μάρκος εἶπεν, ὅτι *βάλλοντες κλῆρον ἐπ᾽ αὐτὰ, τίς τί ἄρῃ* (β). Ἀλλ᾽ οὗτοι μὲν οἱ εὐαγγελισταὶ ἁπλῶς καὶ ἀδιαστόλως ἔγραψαν, ὅτι διεμερίσαντο, καὶ, ὅτι ἔβαλλον κλῆρον· Ἰωάννης δὲ σαφέστερον περὶ τοῦ προκειμένου γράψας φησίν (γ)· *Οἱ οὖν στρατιῶται, ὅτε ἐσταύρωσαν τὸν Ἰησοῦν, ἔλαβον τὰ ἱμάτια αὐτοῦ, καὶ ἐποίησαν τέσσαρα μέρη, ἑκάστῳ στρατιώτῃ μέρος, καὶ τὸν χιτῶνα*, ἔλαβον, δηλονότι. *Ἦν δὲ ὁ χιτὼν ἄῤῥαφος, ἐκ τῶν ἄνωθεν ὑφαντὸς δι᾽ ὅλου. Εἶπον οὖν πρὸς ἀλλήλους· Μὴ σχίσωμεν αὐτὸν, ἀλλὰ λάχωμεν περὶ αὐτοῦ, τίνος ἔσται. Ἵνα ἡ γραφὴ* (1) *πληρωθῇ ἡ λέγουσα· «Διεμερίσαντο τὰ ἱμάτιά*

(α) Λουκ. ΚΓ', 34.
(β) Μαρκ. ΙΕ', 24.
(γ) Ιωάν. ΙΘ', 23. 24.
(1) Εἰς μόνον ἄρα τὸν Ἰωάννην ἀποδίδει ταῦτα ὁ Εὐθύμιος, καὶ, κατὰ τὴν γνώμην τῶν κριτικῶν, ὀρθῶς.

μου ἑαυτοῖς, καὶ ἐπὶ τὸν ἱματισμόν μου ἔβαλον κλῆρον.» Μόνα γοῦν τὰ τοῦ Χριστοῦ ἱμάτια διεμερίσαντο, καίτοι εὐτελέστερα τῶν ἱματίων τῶν λῃστῶν ὄντα, ἵνα ἡ περὶ τούτων προφητεία τοῦ Δαυὶδ λάβῃ τέλος. Οἱ μὲν γὰρ καὶ ἐπὶ τούτοις χλευάζοντες, ὡς βασιλέως δῆθεν ἱμάτια, ταῦτα διεμερίζοντο· ᾠκονομεῖτο δὲ τὸ τέλος τῆς περὶ τούτων, ὡς εἴρηται, προφητείας. Καὶ τὰ μὲν ἱμάτια διεμερίσαντο· ἐπὶ δὲ τὸν χιτῶνα τὸν ἄῤῥαφον ἔβαλον κλῆρον· τοῦτον γὰρ ὠνόμασεν *ἱματισμὸν* ἡ προφητεία.

Ἀλλὰ πόσα τὰ ἱμάτια ἦσαν, οὐδεὶς τῶν εὐαγγελιστῶν ἐδήλωσε. Διό τινες πέντε ταῦτά φασι· τέσσαρα μὲν, τὰ τοῖς τέσσαρσι στρατιώταις διαμερισθέντα· πέμπτον δὲ, τὸν χιτῶνα τὸν ἄῤῥαφον. Δοκεῖ δὲ ἀπίθανος ὁ λόγος, διὰ τὸ τοῦ Σωτῆρος ἀπέριττον· οὐδεὶς γὰρ οὐδὲ τῶν ἄλλων ἀνθρώπων τοσαῦτα περιβάλλεται. Στοχαζόμενοι οὖν αὐτοὶ λέγομεν, καὶ ἴσως οὐ πόῤῥω τοῦ προσήκοντος, τρία εἶναι τὰ πάντα· ἓν μὲν, τὸν ἐπὶ τοῦ σώματος χιτῶνα, λέγω δὴ τοῦτον τὸν ἄῤῥαφον· δεύτερον δὲ, τὸ ἐπὶ τούτῳ περιβόλαιον· τρίτον δὲ, τὸ ἐξωτάτω ἐπίβλημα.

Τοῦτον δὲ τὸν χιτῶνα ἐκ παραδόσεως πατέρων ἠκούσαμεν ἔργον εἶναι τῆς Θεομήτορος, ἐκ τῶν ἄνωθεν μερῶν ὑφαντὸν, ἤγουν ἀπὸ τοῦ τραχήλου τὴν ἀρχὴν τῆς ὑφῆς λαβόντα, καὶ πλεκτὸν δι' ὅλου τυγχάνοντα, καθάπερ τὰ χειμερινὰ παρ' ἡμῖν περιβόλαια τῶν ποδῶν καὶ τῶν κεφαλῶν. Ὅθεν καὶ προσφυῶς ἀλληγοροῦσιν αὐτὸν, λέγοντες, ὅτι μόνον τὸ ἐκ τῆς Θεομήτορος ληφθὲν σῶμα ἐκ τῶν ἄνωθεν ἦν ὑφαντὸν, τουτέστιν, ἐκ τοῦ οὐρανοῦ εἶχε συνυφηφασμένην ἑαυτοῦ τὴν θεότητα, ἢ ἐκ τοῦ θεοῦ ἦν ὑφεστὼς, καὶ οὐκ ἐκ σπέρματος ἀνθρωπίνου. Τὰ δύο δὲ ἱμάτια τέσσαρα μέρη πεποιήκασι, σχίσαντες αὐτά· καὶ γὰρ εἰπόντες περὶ τοῦ ἀῤῥάφου χιτῶνος, ὅτι Μὴ σχίσωμεν αὐτὸν, ἐδήλωσαν, ὅτι τὰ ἄλλα ἔσχισαν.

Οὐδὲ γὰρ ὡς πολυτελῆ ταῦτα διεμερίσαντο, ἵνα καὶ φείδωνται τῶν μερίδων, ἀλλὰ χλευάζοντες, ὡς προείρηται. Καὶ οὗτοι μὲν ἀτίμως τὰ τίμια διεμερίζοντο, δι' ὧν τηλικαῦτα θαύματα γεγόνασιν· ἡ δὲ τούτων δύναμις ἐπείχετο.

Τινὲς δὲ διαποροῦσιν, ὡς, ἐπεὶ τοῖς ἀποστόλοις ἐνομοθέτησεν ὁ Χριστὸς, μὴ κτᾶσθαι δύο χιτῶνας, πῶς αὐτὸς εὕρηται πλείονα κεκτημένος; Πρὸς οὓς ἀπολογητέον, ὅτι καὶ αὐτὸς ἕνα χιτῶνα εἶχε, τὸν ἐπὶ τοῦ σώματος· τἄλλα γὰρ οὐκ ἦσαν χιτῶνες, ἀλλ' ἱμάτια· χιτὼν γὰρ κυρίως τὸ ἐνδοτάτω. Καὶ περὶ μὲν τούτων οὕτως.

Ὅρα πᾶν τὸ σῶμα τοῦ Σωτῆρος ὑβριζόμενον· τὴν κεφαλὴν μὲν, διὰ τοῦ ἀκανθίνου στεφάνου καὶ τοῦ τύπτεσθαι τῷ καλάμῳ· τὸ πρόσωπον δὲ, διὰ τῶν ἐμπτυσμάτων· τὰς σιαγόνας δὲ, διὰ τῶν ῥαπισμάτων· τὸ στόμα δὲ, διὰ τῆς χολῆς καὶ τοῦ ὄξους· τὰς ἀκοὰς δὲ, διὰ τῶν βλασφημιῶν· τὸν τράχηλον δὲ, διὰ τῶν κολαφισμάτων· τὰ νῶτα δὲ καὶ τὰ στέρνα, διὰ τῶν φραγελλωμάτων, ἤτοι, μαστίγων· τὰς χεῖρας δὲ καὶ τοὺς πόδας, διὰ τῶν ἥλων· τὴν πλευρὰν δὲ, διὰ τῆς λόγχης, ὡς ὁ Ἰωάννης ἱστορεῖ (α)· καὶ τὰ λοιπὰ μέρη, διὰ τῆς χλαμύδος καὶ τῆς γυμνώσεως· καὶ ἁπλῶς τὸ ὅλον σῶμα, διὰ τῆς ἐπὶ τοῦ σταυροῦ θριαμβεύσεως.

Ὅταν οὖν βλασφημηθῶμεν, ἢ αἰκισθῶμεν, ἢ θριαμβευθῶμεν, ταῦτ' ἐννοοῦντες πᾶσαν ἐκβάλωμεν ἀπὸ τῆς ψυχῆς φλεγμονὴν, λογιζόμενοι, καὶ ὅτι ὁ μὲν θεὸς ἦν, ἡμεῖς δὲ ἄνθρωποι· καὶ ὁ μὲν δεσπότης, ἡμεῖς δὲ δοῦλοι· καὶ ὁ μὲν ἀναμάρτητος, ἡμεῖς δὲ ἁμαρτωλοί· καὶ ὁ μὲν παρὰ δούλων ἔπασχεν, ἡμεῖς δὲ παρὰ συνδούλων· καὶ ὁ μὲν δι' ἡμᾶς, ἡμεῖς δὲ δι' ἑαυτούς· καὶ ὁ μὲν θεωρούντων Ἰουδαίων καὶ Ῥωμαίων καὶ Ἑλλήνων, ἡμεῖς δὲ ἐνώπιον ὀλίγων, εἰ δὲ καὶ πλειόνων, ἀλλ' οὐ τοσούτων.

(α) Ἰωαν. ΙΘ', 34.

[Τοῦ ἁγίου Μαξίμου (1). Ὁ μὲν ἄνωθεν ὑφαντὸς χιτὼν, ἡ διάλληλός ἐστι τῶν ἀρετῶν πλοκή τε καὶ συνοχὴ, διὰ τῆς ἄνωθεν χάριτος ὑφηφασμένη, καὶ ἔνδον σκέπουσα τὸν ἐν ἡμῖν λόγον, οὗ πολλάκις γυμνοῦντες ἡμᾶς οἱ φονευταὶ δαίμονες, δι' ἀμελείας καὶ ῥαθυμίας, ὅμως οὐ συγχωροῦνται σχίσαι αὐτὸν, ὥστε μὴ γνωρίζειν ἡμᾶς ἔτι τὴν ἀρετήν. Καὶ οὕτω γὰρ ἀεὶ γνωρίζομεν αὐτὴν, εἰ καὶ μὴ περιβαλλόμεθα τὴν ἐκ ταύτης σκέπην. Τὰ δὲ σχισθέντα, ἡ ἔξωθέν ἐστι περιβολὴ τοῦ αἰσθητοῦ πλούτου, διαιρουμένη εἰς τέσσαρα κοσμικὰ στοιχεῖα· οἷς ἐμπαθῶς κεχρῆσθαι πείθουσιν ἡμᾶς οἱ ἐμπαίζοντες μιαιφόναι. Εἴη δ' ἂν καὶ καθ' ἕτερον λόγον, χιτὼν μὲν ἄνωθεν ὑφαντὸς, ἡ ἑκάστου ψυχὴ, ἄνωθεν ἐμπνευσθεῖσα· καὶ ἄῤῥαφος μὲν, ὡς ἁπλῆ καὶ ἀσύνθετος· ἄσχιστος δὲ, ὡς ἀθάνατος· διαιρούμενα δὲ ἱμάτια, τὸ σῶμα, ὡς ἐκ φθορᾶς εἰς τὰ τέσσαρα στοιχεῖα διαλυόμενον.]

36 Καὶ καθήμενοι, ἐτήρουν αὐτὸν ἐκεῖ.

Ἐφύλαττον αὐτὸν, ἵνα μὴ κατενεχθῇ παρά τινος.

37 Καὶ ἐπέθηκαν ἐπάνω τῆς κεφαλῆς αὐτοῦ τὴν αἰτίαν αὐτοῦ γεγραμμένην· ΟΥΤΟΣ ΕΣΤΙΝ ΙΗΣΟΥΣ Ο ΒΑΣΙΛΕΥΣ ΤΩΝ ΙΟΥΔΑΙΩΝ.

[Ἡ ἐν τῷ τίτλῳ γραφὴ (2) πρακτικῆς, καὶ θεωρητικῆς, καὶ θεολογικῆς φιλοσοφίας βασιλέα τὸν σαυρωθέντα ἐμήνυε· πρακτικῆς μὲν, διὰ τοῦ ῥωμαϊστὶ γεγράφθαι· τὴν ῥωμαϊκὴν γὰρ βασιλείαν ἀνδρειοτέραν πασῶν ὁ Δανιὴλ ἐθεάσατο· πρακτικῆς δὲ ἴδιον ἡ ἀνδρεία· διὰ δὲ τοῦ ἑλληνιστὶ, θεωρητικῆς· Ἕλληνες γὰρ θεωρητικώτεροι τῶν ἄλλων ἐθνῶν· διὰ δὲ τοῦ ἑβραϊστὶ, θεολογικῆς· θεολογικώτεροι γὰρ πάντων Ἑβραῖοι.]

Τὴν αἰτίαν, δι' ἣν ἐσταυρώθη. Σανίδι γὰρ ταύτην ἐγχαράξαντες οἱ περὶ τὸν Πιλάτον, ἐπέθηκαν, ὥστε ὑπὸ πάντων ἀναγινώσκεσθαι τῶν τε παρόντων, καὶ τῶν παριόντων. Μάρκος μὲν οὖν εἶπε (α)· *Καὶ ἦν ἡ ἐπιγραφὴ τῆς αἰτίας αὐτοῦ γεγραμμένη· Ὁ βασιλεὺς τῶν Ἰουδαίων·* Λουκᾶς δέ· *Ἦν δὲ καὶ ἐπιγραφὴ γεγραμμένη ἐπ' αὐτῷ γράμμασιν ἑλληνικοῖς καὶ ῥωμαϊκοῖς καὶ ἑβραϊκοῖς· Οὗτός ἐστιν ὁ βασιλεὺς τῶν Ἰουδαίων* (ϐ). Τοῦτο δὲ τρισὶν ἐγράφη διαλέκτοις, διὰ τὸ πολλοὺς ἐπιχωριάζειν τότε τῇ πόλει τῶν Ἰουδαίων Ἕλληνας καὶ Ῥωμαίους. Ἰωάννης δέ φησιν· *Ἔγραψε δὲ καὶ τίτλον ὁ Πιλάτος, καὶ ἔθηκεν ἐπὶ τοῦ σταυροῦ. Ἦν δὲ γεγραμμένον· «Ἰησοῦς ὁ Ναζωραῖος, ὁ βασιλεὺς τῶν Ἰουδαίων». Τοῦτον οὖν τὸν τίτλον πολλοὶ ἀνέγνωσαν τῶν Ἰουδαίων, ὅτι ἐγγὺς ἦν ὁ τόπος τῆς πόλεως, ὅπου ἐσταυρώθη ὁ Ἰησοῦς· καὶ ἦν γεγραμμένον ἑβραϊστὶ, ἑλληνιστὶ, ῥωμαϊστί. Ἔλεγον οὖν τῷ Πιλάτῳ οἱ ἀρχιερεῖς τῶν Ἰουδαίων· Μὴ γράφε· Ὁ βασιλεὺς τῶν Ἰουδαίων· ἀλλ' ὅτι ἐκεῖνος εἶπε· Βασιλεύς εἰμι τῶν Ἰουδαίων. Ἀπεκρίθη ὁ Πιλάτος· Ὃ γέγραφα, γέγραφα* (γ). *Τίτλος* μὲν οὖν, κατὰ Ῥωμαίους, ἡ αἰτία· τὸ δὲ, *ἐγγὺς ἦν ὁ τόπος τῆς πόλεως, ὅπου ἐσταυρώθη ὁ Ἰησοῦς*, οὕτω συντακτέον· ὅτι ἐγγὺς τῆς πόλεως ἦν ὁ τόπος, ὅπου ἐσταυρώθη ὁ Ἰησοῦς.

Ὁ μὲν οὖν Πιλάτος ἔγραψε τὴν ῥηθεῖσαν αἰτίαν, καὶ στηλιτεύσας πᾶσι κατέστησεν αὐτὴν γνώριμον, ἵνα μὴ δύνωνται Ἰουδαῖοι κακουργίας ἄλλην αἰτίαν ἐπιφημίσαι τῷ Χριστῷ· καὶ ὁμοῦ μὲν τούτους ἠμύνατο· ὁμοῦ δὲ ἐκείνου ὑπεραπολογήσατο, ὅτι διὰ φθόνον ἐσταυρώθη.

Ἐπεὶ δὲ ἀνέκειντο τὰ γράμματα λαμπρῶς ἀνακηρύττοντα τὴν βασιλείαν αὐτοῦ, ἐπιχειροῦσιν οἱ ἀρχιερεῖς τῶν Ἰουδαίων

(1) Ταῦτα ἐν τῷ περισελιδίῳ παρ' ἀμφοτέροις τοῖς χειρογράφοις.

(2) Καὶ ταῦτα ἐν τῷ περισελιδίῳ παρ' ἀμφοτέροις τοῖς χειρογράφοις.

(α) Μαρκ. ΙΕ', 26.

(ϐ) Λουκ. ΚΓ', 38.

(γ) Ἰωαν. ΙΘ', 19—22.

μετατρέψαι τὴν τοιαύτην ἐπιγραφήν, λέγοντες τῷ Πιλάτῳ· Μὴ γράφε· Ὁ βασιλεὺς τῶν Ἰουδαίων· ἵνα μὴ ἀληθὴς ἡ ἐπιγραφὴ δοκῇ· ἀλλ᾽ ὅτι Ἐκεῖνος εἶπε· Βασιλεύς εἰμι τῶν Ἰουδαίων· ἵνα ψευδὴς ἐκεῖνος φανῇ. Ἀλλ᾽ οὐκ ἐν τούτῳ τέως παρέπεισαν αὐτόν· ἀπεκρίθη γάρ· Ὃ γέγραφα, γέγραφα, τουτέστιν, οὐκ ἀλλοιῶ τὸ γραφέν. Κατὰ θείαν δὲ πάντως πρόνοιαν ὁ τίτλος ἐπετέθη μόνῳ τῷ σταυρῷ τοῦ Χριστοῦ· τῶν τριῶν γὰρ ἅμα τότε καταχωσθέντων, χρόνοις ὕστερον ὁ δεσποτικὸς ἀναζητηθείς, ἀπὸ τοῦ τίτλου μᾶλλον γέγονε γνώριμος.

38 Τότε σταυροῦνται σὺν αὐτῷ δύο λῃσταί· εἷς ἐκ δεξιῶν, καὶ εἷς ἐξ εὐωνύμων.

Καὶ τοῦτο τῆς τῶν Ἰουδαίων ἦν σπουδῆς, ἵνα, μέσον τῶν κακούργων κρεμάμενος, κακοῦργος καὶ αὐτὸς δοκῇ, καὶ ἵνα ἡ κοινωνία τῆς τιμωρίας κοινωνὸν αὐτὸν ἀνακηρύττῃ καὶ τῆς κακουργίας. Διὰ τοῦτο γὰρ καὶ δημοσίᾳ τοῦτον ἐσταύρωσαν, πάντων ὁρώντων· φησὶ γὰρ ὁ Λουκᾶς (α), ὅτι *Καὶ εἱστήκει ὁ λαὸς θεωρῶν*· καὶ χερσὶ στρατιωτικαῖς αὐτὸν σταυρωθῆναι παρεσκεύασαν, καὶ πάντα πεποιήκασιν, ἵνα καταχέωσιν αὐτοῦ παρὰ πᾶσι πονηρὰν ὑπόληψιν. Ἐπληροῦτο δὲ κἀνταῦθα ἡ τοῦ Ἡσαΐου προφητεία ἡ λέγουσα· *Καὶ μετὰ ἀνόμων ἐλογίσθη* (β).

Καὶ οἱ μὲν δύο λῃσταί, τοὺς δύο λαοὺς ἠνίττοντο, τόν τε παλαιόν, καὶ τὸν νέον· τούτων γὰρ ὁ μὲν βλασφημῶν αὐτὸν ἀπέθανεν· ὁ δὲ πρὸς τῷ τέλει τοῦτον ἐπέγνω Θεόν· αὐτὸς δὲ μέσος ἐκρεμάσθη τῶν δύο τούτων, ὡς μέσος γενόμενος τῆς τε παλαιᾶς, καὶ τῆς νέας Διαθήκης.

39 Οἱ δὲ παραπορευόμενοι ἐβλασφήμουν αὐτόν, κινοῦν-
40 τες τὰς κεφαλὰς αὐτῶν, καὶ λέγοντες· Ὁ καταλύ-

(α) Λουκ. ΚΓ', 35.
(β) Ἡσ. ΝΓ', 12.

ων τὸν ναόν, καὶ ἐν τρισὶν ἡμέραις οἰκοδομῶν, σῶσον σεαυτόν· εἰ υἱὸς εἶ τοῦ Θεοῦ, κατάβηθι ἀπὸ τοῦ σταυροῦ.

Οἱ παραπορευόμενοι τὴν ὁδὸν ἐκείνην Ἰουδαῖοι. Μάρκος δέ φησιν (α), ὅτι ἔλεγον· *Οὐά! ὁ καταλύων τὸν ναόν*, καὶ τὰ ἑξῆς. Ἔστι δὲ τό, *οὐά*, χλευαστικὸν ἐπίῤῥημα καὶ ἐμπαικτικόν· ἔλεγον δὲ τὰ τοιαῦτα, κωμῳδοῦντες αὐτόν, ὡς ψεύστην.

41 Ὁμοίως δὲ καὶ οἱ ἀρχιερεῖς, ἐμπαίζοντες μετὰ τῶν
42 γραμματέων καὶ πρεσβυτέρων, ἔλεγον· Ἄλλους ἔσωσεν, ἑαυτὸν οὐ δύναται σῶσαι·

Τό, *ὁμοίως*, διὰ τὴν βλασφημίαν εἴρηται. Καὶ αὐτοὶ γὰρ ὁμοίως ἐβλασφήμουν αὐτόν, εἰ καὶ ἐν ἑτέροις ῥήμασι. Τὸ δέ, *ἄλλους ἔσωσεν*, εἶπον, διαβάλλοντες τὰς θαυματουργίας αὐτοῦ, ὡς ἐν γοητείᾳ γενομένας.

42 Εἰ βασιλεὺς Ἰσραήλ ἐστι, καταβάτω νῦν ἀπὸ τοῦ σταυροῦ, καὶ πιστεύσωμεν ἐπ᾽ αὐτῷ.

Τοῦτο εἶπον, διὰ τὴν ἐπιγραφὴν τοῦ τίτλου. Μὴ δυνηθέντες γὰρ αὐτὴν μετατρέψαι, πειρῶνται ψευδῆ ταύτην ἀπελέγξαι, διὰ τοῦ ζητεῖν δῆθεν ἀδύνατα. Καὶ κατέβη ἄν, εἰ πιστεύειν ἔμελλον.

43 Πέποιθεν ἐπὶ τὸν Θεόν· ῥυσάσθω νῦν αὐτόν, εἰ θέλει αὐτόν· εἶπε γάρ· Ὅτι Θεοῦ εἰμι υἱός.

Ὃ προεῖπε Δαυῒδ ἐκ προσώπου αὐτῶν, νῦν αὐτοὶ τοῦτο λέγουσιν, ἄγοντες εἰς πέρας τὴν τοιαύτην προφητείαν. Γέγραπται γάρ· *Ἤλπισεν ἐπὶ Κύριον, ῥυσάσθω αὐτόν· σωσάτω αὐτόν, ὅτι θέλει αὐτόν* (β). Ἔλεγον οὖν ἐπικερτομοῦντες· *Πέποιθεν ἐπὶ τὸν Θεόν*, ὡς υἱὸς αὐτοῦ; σωθήτω παρ᾽ αὐτοῦ.

(α) Μάρκ. ΙΕ', 29.
(β) Ψαλμ. ΚΑ', 9.

Τοῦτο δὲ ἔλεγον, οὐχ ὡς τοῦ θεοῦ μὴ δυναμένου ῥύσασθαι αὐτόν· ἀλλ᾽ ὡς αὐτοῦ μὴ ὄντος υἱοῦ τοῦ θεοῦ, καθὼς αὐτοὶ ᾤοντο. Ἀλλ᾽, ὢ μιαροὶ καὶ παμμίαροι! λοιπὸν οὐδ᾽ οἱ προφῆται ἦσαν προφῆται, οὐδὲ οἱ δίκαιοι πάντως δίκαιοι, ἐπειδὴ αὐτοὺς οὐκ ἐξήρπασε τῶν κινδύνων ὁ θεός. Ἀλλὰ μὴν καὶ ἦσαν καὶ ἐκινδύνευσαν, κατὰ διαφόρους οἰκονομίας.

44 Τὸ δ᾽ αὐτὸ καὶ οἱ λῃσταὶ, οἱ συσταυρωθέντες αὐτῷ,
ὠνείδιζον αὐτόν.

Τὸ *δ᾽ αὐτὸ*, ἀντὶ τοῦ, ὡσαύτως. Οὐ μόνον γὰρ τοὺς Ἰουδαίους ἐξέκαυσεν ὁ διάβολος, ἀλλὰ καὶ τοὺς Ῥωμαίους στρατιώτας ἐξοίστρησε, καὶ αὐτοὺς δὲ τοὺς λῃστὰς, καὶ ταῦτα συνεσταυρωμένους, ἐξηγρίανε κατ᾽ αὐτοῦ. Ματθαῖος μὲν οὖν καὶ Μάρκος (α) τοὺς δύο φασὶν ὀνειδίζειν αὐτόν· Λουκᾶς (β) δὲ τὸν ἕνα μὲν βλασφημεῖν αὐτὸν λέγει, τὸν ἕτερον δὲ μᾶλλον ἐπιτιμᾶν τῷ βλασφημοῦντι. Καὶ γὰρ πρῶτον μὲν οἱ δύο, τῶν ἰδίων ἐκλαθόμενοι πόνων, ἐξ ὠμότητος ὠνείδιζον αὐτὸν, Ἰουδαῖοι καὶ αὐτοὶ ὄντες· ἴσως δὲ καὶ πρὸς χάριν τῶν Ἰουδαίων, ἵνα διὰ τοῦτο κατενέγκωσιν αὐτούς· ὕστερον δὲ μετενόησεν ὁ εἷς· τοῦτο μὲν, ὑπομνησθεὶς τῶν σημείων τοῦ Χριστοῦ καὶ τῆς ἀνεπιλήπτου πολιτείας αὐτοῦ· τοῦτο δὲ, καὶ ἀκούσας ὑπερευχομένου τῶν σταυρωσάντων μᾶλλον, ὡς ἱστόρησε Λουκᾶς (γ)· ἔτι δὲ, καὶ ἰδὼν τὸν ἀέρα σκοτιζόμενον παρὰ φύσιν.

45 Ἀπὸ δὲ ἕκτης ὥρας σκότος ἐγένετο ἐπὶ πᾶσαν τὴν
γῆν, ἕως ὥρας ἐννάτης.

Μετὰ τὸν κόρον τῆς παροινίας καὶ τῶν σκωμμάτων τοῦτο γέγονεν, ἵνα ἤδη, παυθέντος τοῦ θυμοῦ, κερδᾶναί τι δυνηθῶσιν ἀπὸ τοῦ θαύματος. Τοῦ καταβῆναι γὰρ ἀπὸ τοῦ σταυροῦ,

(α) Μαρκ. ΙΕ', 32.
(β) Λουκ. ΚΓ', 39, 40.
(γ) Λουκ. ΚΓ', 34.

θαυμαστότερον ἦν τὸ τοιαῦτα ποιεῖν κρεμάμενον ἐπὶ τοῦ σταυροῦ. Εἰ δὲ μὴ αὐτὸν ταῦτα ποιεῖν ὑπελάμβανον, ἀλλὰ καὶ, ὡς τοῦ θεοῦ ταῦτα ποιοῦντος, ἔδει φοβηθῆναι, καὶ συνιδεῖν, ὅτι δι᾽ αὐτὸν ὀργίζεται. Καὶ γὰρ οὐκ ἠδύναντο λέγειν, ὅτι κατὰ φύσιν ἔκλειψις ἡλίου ἦν· αὕτη μὲν γὰρ καὶ ἐν μιᾷ ῥοπῇ καιροῦ γίνεται, καὶ ἐν ἑνὶ μέρει τῆς γῆς, καὶ οὐκ ἐν τῇ τεσσαρεσκαιδεκάτῃ τῆς σελήνης· τοῦτο δὲ τὸ σκότος καὶ ἐπὶ τρεῖς ὥρας διήρκεσε, καὶ ἐπὶ πᾶσαν γέγονε τὴν γῆν, καὶ ἐν τῇ τεσσαρεσκαιδεκάτῃ τῆς σελήνης, ὅτε, πανσελήνου οὔσης, ἀμήχανον συμβαίνειν κατὰ φύσιν ἔκλειψιν ἡλίου.

46 Περὶ δὲ τὴν ἐννάτην ὥραν ἀνεβόησεν ὁ Ἰησοῦς
φωνῇ μεγάλῃ, λέγων· Ἠλὶ, ἠλὶ, λαμὰ σαβαχθανί; τοῦτ᾽ ἔστι· Θεέ μου, θεέ μου, ἱνατί μὲ ἐγκατέλιπες;

Δαυϊτικὸν μὲν τὸ ῥητόν· ἑβραϊστὶ δὲ τοῦτο ἀνεβόησεν, ἵνα μόνοις Ἑβραίοις γνωρισθῇ, μόνοις εἰδόσι τὰ δαυϊτικά. Μάρκος δὲ, *Ἐλωῒ, ἐλωῒ*, ἔγραψε. Δηλοῖ δὲ τὸ μὲν *ἠλὶ*, θεέ μου· τὸ δὲ *ἐλωῒ*, ὁ θεός μου.

Ὡς ἄνθρωπος δὲ, ταῖς ἀπὸ τῶν ἥλων ὀδύναις καταταθεὶς, φησί· *Θεέ μου, θεέ μου, ἱνατί με ἐγκατέλιπες;* ἤγουν, Διατί με ἀφῆκες οὕτως ὀδυνᾶσθαι; Τοῦτο δὲ εἶπε βεβαιῶν, ὅτι, ὥσπερ κατ᾽ ἀλήθειαν ἐνηνθρώπησεν, οὕτω καὶ κατ᾽ ἀλήθειαν ἐσταυρώθη, καὶ οὐ κατὰ φαντασίαν, ὡς πολλοὶ τῶν αἱρετικῶν ἐλήρησαν. Οὐ γὰρ ἂν μὴ ὀδυνώμενος οὕτως ἀνεβόησεν.

Ἔστι δὲ καὶ ἑτέρως εἰπεῖν, ὅτι ἤδη ἀποθνήσκων ὑπὲρ τῶν ἀνθρώπων, προσώπῳ τοῦ γένους τῶν ἀνθρώπων ἀνεβόησε τὴν δηλωθεῖσαν φωνήν. Φησὶ γὰρ ὁ θεολόγος Γρηγόριος, ὅτι ἐν ἑαυτῷ τυποῖ τὸ ἡμέτερον· ἡμεῖς γὰρ ἦμεν οἱ ἐγκαταλελειμμένοι καὶ παρεωραμένοι πρότερον, εἶτα νῦν προσειλημμένοι καὶ σεσωσμένοι τοῖς αὐτοῦ πάθεσιν.

47 Τινὲς δὲ τῶν ἐκεῖ ἑστώτων ἀκούσαντες, ἔλεγον· Ὅτι Ἠλίαν φωνεῖ οὗτος.

Στρατιῶται καὶ οὗτοι ἦσαν Ῥωμαῖοι, τὴν ἑβραΐδα φωνὴν ἀγνοοῦντες.

48 Καὶ εὐθέως δραμὼν εἷς ἐξ αὐτῶν, καὶ λαβὼν σπόγγον, πλήσας τε ὄξους, καὶ περιθεὶς καλάμῳ, ἐπότιζεν αὐτόν.

Παίζων τοῦτο πεποίηκε, (1) παρηγορῶν δῆθεν, καθὼς καὶ ὁ πρὸ αὐτοῦ, ἢ καὶ ἵνα ἡ δριμύτης τοῦ ὄξους προσθήκη γένηται τῆς ὀδύνης.

49 Οἱ δὲ λοιποὶ ἔλεγον· Ἄφες· ἴδωμεν, εἰ ἔρχεται Ἠλίας σώσων αὐτόν.

Μάρκος δέ φησιν (α), ὅτι αὐτὸς (2) ἔλεγεν· *Ἄφετε· ἴδωμεν, εἰ ἔρχεται Ἠλίας, καθελεῖν αὐτόν.* Εἰκὸς δὲ τοῦτο λέγειν κἀκείνους καὶ τοῦτον.

50 Ὁ δὲ Ἰησοῦς, πάλιν κράξας φωνῇ μεγάλῃ, ἀφῆκε τὸ πνεῦμα.

Τίς δὲ ἦν ἡ φωνὴ, ἐδήλωσεν ὁ Λουκᾶς, ὅτι *Πάτερ, εἰς χεῖράς σου παραθήσομαι τὸ πνεῦμά μου* (ϐ). Ἔκραξε δὲ φωνῇ μεγάλῃ, ἵνα πάντες ἀκούσωσι, καὶ πάντες εἰδῶσιν, ὅτι μέχρι τῆς τελευταίας ὥρας πατέρα τὸν Θεὸν ὀνομάζει, καὶ αὐτῷ τὸ πᾶν ἀνατίθησι, καὶ οὐκ ἔστιν ἀντίθεος· ἔτι δὲ, καὶ ἵνα μάθωσιν, ὅτι κατ' ἐξουσίαν, ὅτε ἠθέλησεν, ἀποθνήσκει. Ὅτε γὰρ εἶπεν, ὅτι *Πάτερ, εἰς χεῖράς σου παραθήσομαι τὸ πνεῦμά μου*, τότε λοιπὸν τῷ θανάτῳ παρεχώρησε προσέρχεσθαι αὐτῷ.

(1) Προσθετέον τὸ, ὡς, καθὼς φαίνεται ὅτι ἀνέγνωσε καὶ ὁ Ἑντένιος.

(α) Μαρκ. ΙΕ΄, 36.

(2) Ἤτοι ὁ προσδραμὼν καὶ ποτίσας.

(ϐ) Λουκ. ΚΓ΄, 46.

Οὐκ εἶπε δὲ, ὅτι *παρατίθημι*, ἀλλ' ὅτι *παραθήσομαι*, δηλῶν, ὅτι μετὰ μικρὸν ἐκπνεύσει. Τὰ γὰρ μετὰ τὴν εἰρημένην κραυγὴν προσέθηκεν ὁ Ἰωάννης, ὡς καὶ αὐτὰ παραλελειμμένα τοῖς ἄλλοις, λέγων· *Εἱστήκεισαν δὲ παρὰ τῷ σταυρῷ τοῦ Ἰησοῦ ἡ μήτηρ αὐτοῦ*, καὶ τὰ ἑξῆς (α). Εἰπὼν δὲ, πῶς παρέθετο τὴν ἠγαπημένην μητέρα καὶ παρθένον τῷ ἠγαπημένῳ μαθητῇ καὶ παρθένῳ, καὶ πῶς διψήσας ἔπιε τὸ ὄξος, τελευταιόν φησιν (ϐ)· *Ὅτε οὖν ἔλαβε τὸ ὄξος ὁ Ἰησοῦς, εἶπε· Τετέλεσται· καὶ κλίνας τὴν κεφαλὴν, παρέδωκε τὸ πνεῦμα*, περὶ ὧν ἁπάντων ζήτησον ἐν τῷ κατὰ Ἰωάννην εὐαγγελίῳ.

51 Καὶ ἰδοὺ, τὸ καταπέτασμα τοῦ ναοῦ ἐσχίσθη εἰς δύο ἀπὸ ἄνωθεν ἕως κάτω· καὶ ἡ γῆ ἐσείσθη· καὶ αἱ πέτραι ἐσχίσθησαν·

[Ἐσχίσθη (1) τὸ κάλυμμα τοῦ ναοῦ, καὶ ἀνεκαλύφθη τὰ ὑποκεκρυμμένα τούτῳ μυστήρια· ἐῤῥάγη τὰ τοῦ γράμματος, καὶ ἐφάνη τὰ τοῦ πνεύματος. Ἢ] ὁ μὲν ἥλιος ἠμφιέσατο σκότος, ὁ δὲ ναὸς ἔσχισε τὸ καταπέτασμα, δηλοῦντες, ὅτι πενθοῦσιν ἐπὶ τῷ παραλόγῳ τούτῳ θεάματι· πενθούντων γάρ ἐστι, καὶ τὸ ῥηγνύειν τὴν ἐσθῆτα, καὶ τὸ περιτίθεσθαι στολὴν μέλαιναν. Τῆς δὲ γῆς σεισθείσης, καὶ τῶν πετρῶν σχισθεισῶν, ἔδειξεν ὁ Χριστὸς, ὅτι δυνατὸς ἦν ἐπιχῶσαι καὶ καταχῶσαι αὐτούς· ἀλλ' οὐκ ἠθέλησε, δι' οἰκείαν τε χρηστότητα, καὶ διὰ τοὺς μέλλοντας ἐξ αὐτῶν πιστεῦσαι καὶ λάμψαι.

Ἰδικώτερον δὲ τὸ καταπέτασμα τοῦ ναοῦ σχίζεται, πρὸς ἀναντίῤῥητον ἔλεγχον αὐτῶν· ἵνα, πειρώμενοι αἰτιολογεῖν, καὶ ἀνάγειν εἰς τὰ κατὰ φύσιν πάθη, τόν τε τοῦ ἡλίου σκοτασμὸν, καὶ τῆς γῆς τὸν σεισμὸν, καὶ τῶν πετρῶν τὴν σχίσιν, ἐπιστο-

(α) Ἰωαν. ΙΘ΄, 25.

(ϐ) Ἰωαν. ΙΘ΄, 30.

(1) Τὰ παρεντεθειμένα ἀναγινώσκονται παρὰ τῷ Α ἐν τῷ περισελιδίῳ.

μίζωνται τῇ σχίσει τοῦ καταπετάσματος, οὐδέποτε δυνάμενοι δεῖξαι τοιοῦτον γενόμενον.

Τοῦ καταπετάσματος δὲ σχισθέντος, ἐδήλωσεν ὁ Θεὸς, ὅτι ἀπέστη λοιπὸν ἡ θεία χάρις ἀπὸ τοῦ ναοῦ, καὶ ὅτι τὰ ἔνδον, ἤτοι, τὰ ἅγια τῶν ἁγίων, πᾶσι βατὰ καὶ θεατὰ καταστήσονται, ὃ καὶ γέγονεν ὕστερον, τῶν Ῥωμαίων εἰσελθόντων.

Τὸ δὲ χαριέστερον, ἐπεὶ τὰ μὲν ἐντὸς τοῦ καταπετάσματος τύπος ἦσαν τοῦ οὐρανοῦ· τὰ δ' ἐκτὸς, τύπος τῆς γῆς· σχισθὲν ἤδη τὸ καταπέτασμα, δεδήλωκεν, ὅτι ἐσχίσθη ἤδη τὸ μεσότοιχον τοῦ οὐρανοῦ καὶ τῆς γῆς, ἤγουν, ἡ ἔχθρα ἡ μεταξὺ τοῦ Θεοῦ καὶ τῶν ἀνθρώπων, καὶ γέγονεν ὁ οὐρανὸς βατὸς τοῖς ἀνθρώποις, τοῦ Χριστοῦ λύσαντος τουτονὶ τὸν φραγμὸν, καὶ τὴν τοιαύτην ἄνοδον ἡμῖν ἐγκαινίσαντος (α). Καθόλου δὲ δεῖγμα θεομηνίας ἦσαν τὰ γεγενημένα, καθαπτόμενα τῆς τῶν Ἰουδαίων ἀναισθησίας, καὶ προαγορεύοντα τὴν τούτων ἀπώλειαν (1).

52 Καὶ τὰ μνημεῖα ἀνεῴχθησαν· καὶ πολλὰ σώματα τῶν κεκοιμημένων ἁγίων ἠγέρθη·

Εἰς ἔνδειξιν καὶ τοῦτο γέγονε τῆς δυνάμεως αὐτοῦ καὶ φόβον τῶν Ἰουδαίων, ἵνα λογίσωνται, ὅτι ὁ ζωώσας οὕτως εὐχερῶς τοὺς νεκροὺς, εὐχερέστερον ἂν ἠδύνατο θανατῶσαι τοὺς ζῶντας. Ἔτι δὲ καὶ εἰς βεβαίωσιν τῆς μελλούσης ἀναστάσεως.

53 Καὶ ἐξελθόντες ἐκ τῶν μνημείων μετὰ τὴν ἔγερ-

(α) Ἑβρ. Ί, 20.

(1) Ἐνταῦθα ἀναγινώσκονται παρὰ τῷ Α ἐν τῷ περισελιδίῳ παρὰ χειρὸς πάντη νεωτέρας γεγραμμένα τὰ ἑξῆς:

« Τοῦτο τὸ καταπέτασμα ἐσχίσθη εἰς δύο· ὑφαντὸν γὰρ ἦν· τὸ μὲν στημόνην, ἵστατο ὄρθιον· τὸ δὲ ὑφάδην, ἔπεσε κάτω. Οὕτως ἱστόρηται παρὰ τῷ πατρὶ ἡμῶν Ἰωάννῃ τῷ Χρυσοστόμῳ. » Ἀλλὰ παρὰ τῷ Χρυσοστόμῳ οὐδὲν τοιοῦτον εὑρίσκεται·

σιν αὐτοῦ, εἰσῆλθον εἰς τὴν ἁγίαν πόλιν, καὶ ἐνεφανίσθησαν πολλοῖς.

Εἰσῆλθον καὶ ἐνεφανίσθησαν, ἵνα μὴ δόξῃ κατὰ φαντασίαν ἥ τε τῶν μνημείων ἄνοιξις καὶ ἡ τῶν κεκοιμημένων ἔγερσις. Μετὰ τὴν ἔγερσιν δὲ αὐτοῦ ἐξῆλθον ἐκ τῶν μνημείων, καὶ εἰσῆλθον εἰς τὴν ἁγίαν πόλιν, καὶ ἐνεφανίσθησαν πολλοῖς, ἵνα ἐκ τῆς τούτων ἐγέρσεως πληροφορηθῶσι καὶ περὶ τῆς ἐκείνου, λογιζόμενοι, ὅτι ὁ τούτους ἀναστήσας, πολλῷ μᾶλλον ἑαυτὸν ἀνέστησεν. Ἅγιοι δὲ ἠγέρθησαν, ἵνα δόξωσιν ἀξιόπιστοι, λέγοντες περὶ τοῦ Χριστοῦ. Ἐμφανισθέντες δὲ, πάλιν ἐκοιμήθησαν.

54 Ὁ δὲ ἑκατόνταρχος καὶ οἱ μετ' αὐτοῦ, τηροῦντες τὸν Ἰησοῦν, ἰδόντες τὸν σεισμὸν καὶ τὰ γενόμενα, ἐφοβήθησαν σφόδρα, λέγοντες· Ἀληθῶς Θεοῦ υἱὸς ἦν οὗτος.

Τοῦτον τὸν ἑκατόνταρχον ὁ Μάρκος *κεντυρίωνα ὠνόμασε* (α). *Κεντυρίων* γὰρ παρὰ Ῥωμαίοις, ὁ ἑκατόνταρχος· ἐπειδὴ καὶ τὰ ἑκατὸν, *κέντε* (1) λέγουσιν. *Ἰδὼν δὲ*, φησιν, *ὁ κεντυρίων, ὁ παρεστηκὼς ἐξεναντίας αὐτοῦ, ὅτι οὕτω κράξας ἐξέπνευσεν, εἶπεν· Ἀληθῶς ὁ ἄνθρωπος οὗτος υἱὸς ἦν Θεοῦ*. Ἰδὼν, ὅτι μετὰ παῤῥησίας πατέρα τὸν Θεὸν καλέσας, καὶ εἰς χεῖρας αὐτοῦ παραθεῖναι τὴν ψυχὴν ἑαυτοῦ ἐπαγγειλάμενος, μετὰ μικρὸν ἐξέπνευσεν· ἰδὼν δὲ καὶ τὰ τηνικαῦτα γενόμενα φρικτὰ, ἐπίστευσεν, ὅτι υἱὸς ἦν Θεοῦ. Ὁ δὲ Λουκᾶς λέγει περὶ αὐτοῦ (β), ὅτι *Ἰδὼν ὁ ἑκατόνταρχος τὸ γενόμενον, ἐδόξα-*

(α) Μαρκ. ΙΕ, 39.

(1) Ὄχι, κέντε, ἀλλὰ κέντουμ, centum. Ἀλλ' ὁ Ἕλλην ἔπλασε καὶ τὸ λατινικὸν κατὰ τὸν τύπον τοῦ ἑλληνικοῦ, ὡς τὸ, πέντε.—«Κεντυρίων· ἑκατόνταρχος, ἢ ταγματάρχης ἑκατοντάδος. Κέντον γὰρ παρὰ Ῥωμαίοις τὸ ἑκατόν.» Φαβωρῖνος.

(β) Λουκ. ΚΓ', 47.

σε τὸν θεὸν, λέγων· Ὄντως ὁ ἄνθρωπος οὗτος δίκαιος ἦν· δίκαιον, οἶμαι, τὸν θεῖον ὀνομάσας· ἢ καὶ πρῶτον μὲν ἁπλῶς εἶπεν, ὅτι δίκαιος ἦν· εἶτα τελεώτερον, ὅτι υἱὸς ἦν θεοῦ. Προσέθηκε δὲ Λουκᾶς (α), ὅτι *Καὶ πάντες οἱ συμπαραγενόμενοι ὄχλοι ἐπὶ τὴν θεωρίαν ταύτην, θεωροῦντες τὰ γενόμενα, τύπτοντες ἑαυτῶν τὰ στήθη ὑπέστρεφον.* Μὴ τολμῶντες γὰρ λαλεῖν, διὰ τὸν φόβον τῶν ἀρχιερέων, ἔτυπτον ἑαυτῶν τὰ στήθη, σημαίνοντες τὴν ἐντὸς ὀδύνην. Συνῆκαν γὰρ, ἀπό τε τῶν προλαβόντων σημείων, ἀπό τε τῶν τότε γενομένων, ὅτι θεῖος ἄνθρωπος ἦν, καὶ συμπάσχει αὐτῷ ἡ κτίσις, μὴ φέρουσα τὸ πάθος αὐτοῦ.

55 Ἦσαν δὲ ἐκεῖ γυναῖκες πολλαὶ, ἀπὸ μακρόθεν θεωροῦσαι· αἵτινες ἠκολούθησαν τῷ Ἰησοῦ ἀπὸ τῆς Γαλιλαίας, διακονοῦσαι αὐτῷ·

Χορηγοῦσαι τὰ πρὸς τὴν χρείαν. Χορὸς γὰρ ἦσαν καὶ αὗται μαθητριῶν, περὶ τὴν Θεομήτορα τεταγμέναι, καὶ παρέχουσαι δαπάνας ἐκ τῶν προσόντων αὐταῖς. Καὶ ὅρα τὴν τάξιν ἀντιστραφεῖσαν· οἱ μαθηταὶ γὰρ ἔφυγον· αἱ δὲ μαθήτριαι παρέμειναν.

56 Ἐν αἷς ἦν Μαρία ἡ Μαγδαληνὴ, καὶ Μαρία ἡ τοῦ Ἰακώβου καὶ Ἰωσῆ μήτηρ, καὶ ἡ μήτηρ τῶν υἱῶν Ζεβεδαίου.

[Τινὲς (1) δὲ λέγουσιν μετὰ τὸ ταφῆναι τὸν Χριστὸν, ἀπελθοῦσαν τὴν Θεοτόκον καταπεσεῖν ὑπὸ λύπης ὑπερβαλλούσης, καὶ μηδ' ἀφικέσθαι μετὰ τοῦτο πρὸς τὸν τάφον, ἀδυνατήσασαν ἐκ σφοδρᾶς περιωδυνίας, ἀλλὰ κεῖσθαι καὶ θρηνεῖν μέχρι τῶν εὐαγγελίων τῆς ἀναστάσεως.]

Πολλῶν οὐσῶν, τὰς ἐπισημοτέρας ἀπαριθμεῖται. Τινὲς μὲν

(α) Λουκ. ΚΓ', 48.

(1) Ταῦτα παρ' ἀμφοτέροις τοῖς χειρογράφοις ἐν τῷ περισελιδίῳ.

οὖν, φασὶν, ὡς ἡ Θεοτόκος ἐστὶν ἡ παρὰ τοῖς εὐαγγελισταῖς ὀνομαζομένη ποτὲ μὲν, τοῦ Ἰακώβου καὶ Ἰωσῆ μήτηρ, ποτὲ δὲ, Μαρία ἡ Ἰακώβου, ποτὲ δὲ, Μαρία ἡ τοῦ Ἰωσῆ· παῖδες γὰρ οὗτοι τοῦ Ἰωσήφ· καὶ ὥσπερ ὁ πατὴρ αὐτῶν, ἀνὴρ αὐτῆς ὠνομάζετο, διὰ τὴν οἰκονομίαν· οὕτω καὶ αὐτοὶ πάλιν υἱοὶ αὐτῆς (1). Δυσπαράδεκτος δὲ ὁ λόγος οὗτος δοκεῖ· πρῶτον μὲν γὰρ οὐδὲν ἐκώλυε, μητέρα τοῦ Ἰησοῦ ταύτην ὀνομάσαι· τοῦτο γὰρ διαφόρως αὐτὴν ὠνόμασαν ἐν ταῖς προλαβούσαις διηγήσεσιν· ἔπειτα καὶ παράλογον, πανταχοῦ προτάττειν αὐτῆς τὴν Μαγδαληνὴν ἐν τοῖς ἐφεξῆς λόγοις, καὶ δεικνύειν θερμοτέραν τῆς Θεομήτορος. Ὅθεν ὑπονοοῦμεν, ὅτι ἄλλη τις ἦν ἡ Μαρία αὕτη, μήτηρ οὖσα Ἰακώβου τοῦ μικροῦ καὶ Ἰωσῆ, οὐ τῶν υἱῶν τοῦ Ἰωσὴφ, ἀλλ' ἑτέρων, ἀπὸ τῶν ἑβδομήκοντα μαθητῶν. Πολλαὶ γὰρ ὁμωνυμίαι τοιαῦται παρὰ τοῖς Ἰουδαίοις.

Εἰκὸς δὲ τότε μὲν τὴν Θεοτόκον ἐγγυτέρω παρὰ τὰς ἄλλας ἵστασθαι γυναῖκας, τῆς φλεγμονῆς τῶν σπλάγχνων νικώσης τὸν φόβον τῶν Ἰουδαίων· ἴσως δὲ καὶ περιέρχεσθαι, μὴ δυναμένην ἐφ' ἑνὸς τόπου μένειν, διὰ τὰ κέντρα τῆς φύσεως, ὕστερον δὲ παραμένειν τῷ μνημείῳ, καὶ ὁρᾶν ἕκαστα.

Καὶ εἰ τοῦτο δεξόμεθα, ζητητέον, πῶς οὐκ ἐμνημόνευσαν αὐτῆς οἱ εὐαγγελισταί; Διότι γνώριμον ἦν περὶ αὐτῆς, ὅτι πάντως παρῆν, καὶ τὰ μητέρων ἐπεδείκνυτο. Διὰ τοῦτο γὰρ οὐδὲ θρῆνον αὐτῆς ἱστόρησαν· ἔφθασαν γὰρ ἀπαγγείλαντες, ὅτι ἠκολούθει τῷ υἱῷ διδάσκοντι. Χρὴ δὲ καὶ τοῦτο κἀκεῖνο γινώσκειν, καὶ τὸ προσφυέστερον ἀποδέχεσθαι.

Μάρκος δέ φησιν (α)· *Ἦσαν δὲ καὶ γυναῖκες ἀπὸ μακρόθεν θεωροῦσαι, ἐν αἷς ἦν καὶ Μαρία ἡ Μαγδαληνὴ, καὶ Μαρία ἡ τοῦ Ἰακώβου τοῦ μικροῦ καὶ Ἰωσῆ μήτηρ, καὶ Σαλώμη.*

(1) Τῆς γνώμης ταύτης εἶναι καὶ ὁ Χρυσόστομος Τομ. Ζ'. Σελ. 827. Β. καὶ αὐτὴν ἐπαναλαμβάνει καὶ ὁ Θεοφύλακτος Σελ. 175. D.

(α) Μαρκ. ΙΕ', 40.

Ταύτην δὲ τὴν Σαλώμην τινὲς (1) εἶπον εἶναι τὴν παρὰ τῷ Ματθαίῳ ῥηθεῖσαν μητέρα τῶν υἱῶν Ζεβεδαίου.

ΚΕΦΑΛΑΙΟΝ ΞΗ΄.

Περὶ τῆς αἰτήσεως τοῦ σώματος τοῦ Ἰησοῦ.

57 Ὀψίας δὲ γενομένης, ἦλθεν ἄνθρωπος πλούσιος ἀπὸ Ἀριμαθαίας, τοὔνομα Ἰωσὴφ, ὃς καὶ αὐτὸς ἐμαθήτευσε τῷ Ἰησοῦ.

Ὁ δὲ Ἰωάννης καὶ ἄλλα πρὸ τοῦ ἐλθεῖν τοῦτον ἱστόρισεν· *Οἱ οὖν* (α) *Ἰουδαῖοι*, λέγων, *ἵνα μὴ μείνῃ ἐπὶ τοῦ σταυροῦ τὰ σώματα ἐν τῷ σαββάτῳ· ἐπεὶ παρασκευὴ ἦν*, καὶ τὰ ἑξῆς· περί τε τῆς κατεάξεως τῶν σκελῶν τῶν λῃστῶν, καὶ περὶ τῆς νύξεως τῆς πλευρᾶς τοῦ Κυρίου. Τοῦτον δὲ τὸν Ἰωσὴφ, ὁ Μάρκος (β), *εὐσχήμονα βουλευτὴν*, ἀνέγραψε, καὶ *προσδεχόμενον τὴν βασιλείαν τοῦ θεοῦ*· *εὐσχήμονα μὲν*, ὡς σεμνὸν καὶ κόσμιον· *βουλευτὴν* δὲ, ὡς ἕνα τῶν βουλευτῶν τῆς πόλεως· ὀφφικιάλιοι δὲ ἦσαν, οἱ βουλευταί· *προσδεχόμενον* δὲ *τὴν βασιλείαν τοῦ θεοῦ*, τὴν μέλλουσαν, τὴν κατὰ τὴν παρουσίαν τὴν δευτέραν τοῦ Χριστοῦ. Λουκᾶς δὲ (γ), *ἄνδρα ἀγαθὸν καὶ δίκαιον* αὐτὸν ὠνόμασε, καὶ μὴ *συγκατατιθέμενον τῇ βουλῇ καὶ τῇ πράξει τῶν Ἰουδαίων*. Ἀπὸ Ἀριμαθαίας, πόλεως τῶν Ἰουδαίων. Ἰωάννης δὲ (δ), μαθητὴν μὲν αὐτὸν

(1) Ἐν οἷς καὶ ὁ Θεοφύλακτος Σελ. 178. D.
(α) Ἰωαν. ΙΘ΄, 31
(β) Μαρκ. ΙΕ΄, 43.
(γ) Λουκ. ΚΓ΄, 50. 51.
(δ) Ἰωαν. ΙΘ΄, 38.

εἶναι λέγει τοῦ Ἰησοῦ, κεκρυμμένον δὲ, διὰ τὸν φόβον τῶν Ἰουδαίων· ἦν δὲ ἐκ τῶν ἑβδομήκοντα μαθητῶν.

58 Οὗτος προσελθὼν τῷ Πιλάτῳ, ᾐτήσατο τὸ σῶμα τοῦ Ἰησοῦ.

Γνώριμος ὢν αὐτῷ. Μάρκος δὲ εἶπεν (γ), ὅτι *καὶ τολμήσας εἰσῆλθε πρὸς Πιλάτον, καὶ ᾐτήσατο τὸ σῶμα τοῦ Ἰησοῦ*. Τὴν προτέραν γὰρ δειλίαν τῇ ὕστερον τολμηρίᾳ θαυμασίως ἀπενίψατο, καὶ εἰς θάνατον ἐξέδωκεν ἑαυτὸν, τῇ πρὸς τὸν διδάσκαλον εὐνοίᾳ, τὴν παρὰ πάντων τῶν Ἰουδαίων ἀπέχθειαν ἀναδεξάμενος.

58 Τότε ὁ Πιλάτος ἐκέλευσεν ἀποδοθῆναι τὸ σῶμα.

Μάρκος δέ φησιν (β)· *ὅτι ὁ Πιλάτος ἐθαύμασεν, εἰ ἤδη τέθνηκε*· καὶ *προσκαλεσάμενος τὸν κεντυρίωνα· ἐπηρώτησεν αὐτὸν, εἰ πάλαι ἀπέθανε· καὶ γνοὺς ἀπὸ τοῦ κεντυρίωνος, ἐδωρήσατο τὸ σῶμα τῷ Ἰωσήφ*. Προσεδόκα γὰρ, βραδέως ἀποθανεῖν αὐτὸν, ὡς θεῖόν τινα καὶ ὑπὲρ τοὺς πολλούς· αὐτὸς δὲ, ὡς ἄνθρωπος, νόμῳ φύσεως ἐτελεύτησεν.

59 Καὶ λαβὼν τὸ σῶμα ὁ Ἰωσὴφ, ἐνετύλιξεν αὐτὸ σινδόνι καθαρᾷ·

Ὁ δὲ Ἰωάννης πλατύτερον ἱστόρησε λέγων (γ)· *Ἦλθεν οὖν καὶ ἦρε τὸ σῶμα τοῦ Ἰησοῦ. Ἦλθε δὲ καὶ Νικόδημος, ὁ ἐλθὼν πρὸς τὸν Ἰησοῦν νυκτὸς τὸ πρῶτον, φέρων μίγμα σμύρνης καὶ ἀλόης, ὡσεὶ λίτρας ἑκατόν. Ἔλαβον οὖν τὸ σῶμα τοῦ Ἰησοῦ, καὶ ἔδησαν αὐτὸ ἐν ὀθονίοις μετὰ τῶν ἀρωμάτων, καθὼς ἔθος ἐστὶ τοῖς Ἰουδαίοις ἐνταφιάζειν*. Ἐπίσημος μὲν οὖν ἦν καὶ πρότερον ὁ Ἰωσὴφ, ἐπισημότερος δὲ

(α) Μαρκ. ΙΕ΄, 43.
(β) Μαρκ. ΙΕ΄, 44. 45.
(γ) Ἰωαν. ΙΘ΄, 39. 40.

γέγονεν, ἔκ τε τοῦ τολμῆσαι λαβεῖν τὸ σῶμα, καὶ τοῦ τιμῆσαι αὐτό. Καὶ γὰρ οὐ μόνον ἦρεν, ἀλλὰ καὶ πολυτελῶς ἐνεταφίασε μετὰ Νικοδήμου· μίγματι δὲ σμύρνης καὶ ἀλόης τοῦτο ἐνεταφίασαν, ὥστε διαμένειν ἄσηπτον καὶ εὐῶδες· ἔτι γὰρ ὡς ἄνθρωπον ψιλὸν ἐτίμων αὐτόν. Καὶ ἡμεῖς οὖν, τὸ σῶμα τοῦ Κυρίου διὰ τῆς μεταλήψεως λαμβάνοντες, μυρίσωμεν τοῦτο ταῖς εὐωδίαις τῶν ἀρετῶν τῆς τε πράξεως, καὶ τῆς θεωρίας.

60 Καὶ ἔθηκεν αὐτὸ ἐν τῷ καινῷ αὐτοῦ μνημείῳ, ὃ
ἐλατόμησεν ἐν τῇ πέτρᾳ· καὶ προσκυλίσας λίθον
μέγαν τῇ θύρᾳ τοῦ μνημείου, ἀπῆλθεν.

Οὗτος μὲν ὁ εὐαγγελιστὴς τοῦ Ἰωσὴφ εἶναι τὸ μνημεῖον εἶπεν· οἱ ἄλλοι δὲ οὐκ ἐσημειώσαντο, τίνος ἦν. Φησὶ γὰρ ὁ Ἰωάννης (α)· *Ἦν δὲ ἐν τῷ τόπῳ, ὅπου ἐσταυρώθη, κῆπος, καὶ ἐν τῷ κήπῳ μνημεῖον καινὸν, ἐν ᾧ οὐδέπω οὐδεὶς ἐτέθη*, καὶ τὰ ἑξῆς. Εἰκὸς οὖν, τοῦ Ἰωσὴφ ὑπάρχειν τὸν κῆπον, ἐν ᾧ ἦν τὸ μνημεῖον. Ὠκονομήθη δὲ, καινὸν εἶναι τοῦτο, ἵνα, τοῦ Σωτῆρος ἀναστάντος, μὴ νομισθῇ ἕτερος ἀναστῆναι. Προσεκύλισε μέντοι λίθον μέγαν, συναραμένου αὐτῷ καὶ τοῦ Νικοδήμου. Τὸ δὲ μνημεῖον, σπηλαιοειδὲς ἦν, λαξευτόν.

61 Ἦν δὲ ἐκεῖ Μαρία ἡ Μαγδαληνὴ, καὶ ἡ ἄλλη Μα-
ρία, καθήμεναι ἀπέναντι τοῦ τάφου.

Μάρκος δέ φησιν (β)· *Ἡ δὲ Μαρία ἡ Μαγδαληνὴ καὶ Μαρία ἡ τοῦ Ἰωσῆ ἐθεώρουν, ποῦ τίθεται*. Λουκᾶς δὲ λέγει· *Κατακολουθήσασαι δὲ γυναῖκες, αἵτινες ἦσαν συνεληλυθυῖαι αὐτῷ ἐκ τῆς Γαλιλαίας, ἐθεάσαντο τὸ μνημεῖον, καὶ ὡς ἐτέθη τὸ σῶμα αὐτοῦ· ὑποστρέψασαι δὲ ἡτοίμασαν ἀρώματα καὶ μύρα* (γ). Αἱ ῥηθεῖσαι γὰρ, κατακολουθήσασαι τοῖς θάπτουσιν,

(α) Ἰωαν. ΙΘ', 41.
(β) Μαρ. ΙΕ', 47.
(γ) Λουκ. ΛΓ', 55. 56.

ἐκάθισαν ἀπέναντι τοῦ τάφου, θεωροῦσαι, ποῦ τίθεται τὸ σῶμα, καὶ πῶς τίθεται, ἵνα, ἀπελθοῦσαι καὶ ἑτοιμάσασαι ἀρώματα καὶ μύρα, ἔλθωσιν ἐν τῇ κυριακῇ, καὶ ἀρωματίσωσι καὶ μυρίσωσιν αὐτό.

Ὅτε μὲν γὰρ ἐτάφη, ἑσπέρα ἤδη κατέλαβε, καθ' ἣν οὐκ ἐξῆν εἰς μνημεῖον βαδίζειν· ἐτίμων γὰρ Ἰουδαῖοι μάλιστα τὴν ἑσπέραν τῆς παρασκευῆς ἐκείνης, οὐ μόνον ὡς προεόρτιον τοῦ σαββάτου, ἀλλὰ καὶ ὡς ἑόρτιον, διὰ τὸ πάσχα· ἐν ταύτῃ γὰρ ἔδει θύεσθαι τὸ πάσχα· τὸ δὲ σάββατον ἡσύχαζον, διὰ τὸν νόμον. Ἔτι γὰρ καὶ τὰ ἤθη καὶ τὸν νόμον ἐφύλαττον. Λοιπὸν οὖν ἐν τῇ κυριακῇ πρὸς τὸν τάφον ἐλθεῖν ἐβούλοντο, ὃ δὴ καὶ πεποιήκασιν, ὡς μετ' ὀλίγον ῥηθήσεται. Οὔπω γὰρ οὐδὲν ὑψηλὸν εἰδυῖαι περὶ τῆς ἀναστάσεως, ἤλπιζον εὑρεῖν τὸ σῶμα τεθαμμένον.

62 Τῇ δὲ ἐπαύριον, ἥτις ἐστὶ μετὰ τὴν παρασκευὴν,
συνήχθησαν οἱ ἀρχιερεῖς καὶ οἱ Φαρισαῖοι πρὸς
63 Πιλάτον, λέγοντες· Κύριε, ἐμνήσθημεν, ὅτι ἐκεῖ-
νος ὁ πλάνος εἶπεν, ἔτι ζῶν· Μετὰ τρεῖς ἡμέρας
64 ἐγείρομαι. Κέλευσον οὖν ἀσφαλισθῆναι τὸν τάφον
ἕως τῆς τρίτης ἡμέρας· μήποτε ἐλθόντες οἱ μα-
θηταὶ αὐτοῦ νυκτὸς, κλέψωσιν αὐτὸν, καὶ εἴπωσι
τῷ λαῷ· Ἠγέρθη ἀπὸ τῶν νεκρῶν· καὶ ἔσται ἡ
ἐσχάτη πλάνη χείρων τῆς πρώτης.

Ἀσφαλίσασθαι τὸν τάφον, ἤγουν, σφραγίσαι καὶ φρουρῆσαι. Ἐπεὶ δὲ ἔδει πιστευθῆναι, ὅτι καὶ ἀπέθανε, καὶ ἐτάφη, καὶ ἀνέστη, βλέπε καὶ τὰ τρία ταῦτα μαρτυρούμενα παρὰ τῶν ἐχθρῶν. Σκοπητέον γὰρ τοὺς λόγους αὐτῶν· τὸ μὲν, *Ἐμνήσθημεν, ὅτι ὁ πλάνος ἐκεῖνος εἶπεν, ἔτι ζῶν*, μαρτυρεῖ, ὅτι ἀπέθανε· τὸ δὲ, *Κέλευσον ἀσφαλισθῆναι τὸν τάφον*, βεβαιοῖ, ὅτι ἐτάφη· τὸ δὲ, *Μήποτε ἐλθόντες οἱ μαθηταὶ αὐτοῦ κλέ-*

ψωσιν αὐτὸν, πληροφορεῖ ὅτι, ἀσφαλισθέντος (1), οὐ *κλαπήσεται*· καὶ λοιπὸν ἀναντίῤῥητος ἡ ἀνάστασις.

Ἄξιον δὲ ζητῆσαι, ποῦ εἶπεν, ὅτι Μετὰ τρεῖς ἡμέρας ἐγείρομαι; Ὅτι μὲν γὰρ τῇ τρίτῃ ἡμέρᾳ ἀναστήσεται, διαφόρως εἶπε πρὸς τοὺς μαθητάς· ὅτι δὲ Μετὰ τρεῖς ἡμέρας ἐγείρομαι, οὐκ εἶπεν οὐδαμοῦ. Λοιπὸν οὖν Ἰουδαῖοι ἀπὸ τοῦ κατὰ τὸν Ἰωνᾶν παραδείγματος, τοῦ ῥηθέντος πρὸς αὐτοὺς, τοῦτο συνελογίσαντο. *Ἐσχάτην* μὲν οὖν *πλάνην* λέγουσι, περὶ τοῦ, ὅτι *ἠγέρθη ἀπὸ τῶν νεκρῶν*· πρώτην δὲ, περὶ τοῦ, ὅτι *υἱὸς θεοῦ ἦν*.

Ἀλλ', ὦ ἀνόητοι! Σκοπήσατε, τίνος ἕνεκεν κλέψουσιν αὐτόν; Ἐὰν γὰρ οὐκ ἀναστῇ τῇ τρίτῃ ἡμέρᾳ, καθὼς ἐπηγγείλατο, πρόδηλον ὡς ἀπατηθέντες, καὶ δι' αὐτὸν πρὸς ὅλον τὸ ἔθνος ἐκπολεμωθέντες, καὶ ἄοικοι, καὶ ἀπόλιδες γενόμενοι ἀποστραφήσονται μᾶλλον καὶ μισήσουσιν αὐτὸν, ὡς πλάνον· καὶ διὰ τοῦτο μὲν οὐ θελήσουσιν αὐτὸν κλέψαι. Ἀλλ' οὐδὲ δυνήσονται πεῖσαι τὸν λαὸν, ὅτι ἠγέρθη ἀπὸ τῶν νεκρῶν. Τίνι γὰρ καὶ θαῤῥήσουσιν; Τῇ δεινότητι τῶν λόγων; Καὶ μὴν ἀγράμματοί εἰσαν. Ἀλλὰ τῇ περιουσίᾳ τῶν χρημάτων; Καὶ μὴν ἁπάντων εἰσὶ πενέστεροι. Ἀλλὰ τῇ περιφανείᾳ τοῦ γένους; Καὶ μὴν εὐτελεῖς εἰσὶν ἐξ εὐτελῶν. Ἀλλὰ τῷ πλήθει ἑαυτῶν; Καὶ μὴν οὐ πλείους εἰσὶ τῶν ἕνδεκα. Ἀλλὰ τῷ μεγέθει τῆς πατρίδος; Καὶ μὴν ἀπὸ χωρίων εἰσὶν ἀσήμων. Ἀλλὰ ταῖς ἐπαγγελίαις τοῦ διδασκάλου; Ποίαις; Εἰ μὴ ἀναστῇ γὰρ, οὐδ' ἐκείναις πιστεύουσι. Δέδεικται τοίνυν, ὅτι μάτην ὑποπτεύετε κλαπῆναι τοῦτον· οὐκ ἐνδέχεται γὰρ, διὰ τὰς εἰρημένας αἰτίας.

65 Ἔφη δὲ αὐτοῖς ὁ Πιλάτος· Ἔχετε κουστωδίαν· ὑπάγετε, ἀσφαλίσασθε, ὡς οἴδατε.

Ὥσπερ ἡ σπεῖρα, οὕτω καὶ ἡ κουστωδία, τάγμα ἦν στρατιωτικόν. Οὐκ ἀφῆκε δὲ τοὺς στρατιώτας μόνους ἀσφαλίσασθαι τὸν τάφον· ἀλλὰ προηγουμένως τοῖς ἀρχιερεῦσι καὶ φαρισαίοις ἐπέτρεψε τὰ τῆς ἀσφαλείας, ἑπομένης τῆς κουστωδίας, οὕτω τοῦ θεοῦ οἰκονομήσαντος, ἵνα μὴ δύνωνται λέγειν μετὰ τὴν ἀνάστασιν, ὅτι οἱ στρατιῶται μόνοι ἀσφαλιζόμενοι, προδεδώκασι τὸ σῶμα τοῖς μαθηταῖς.

(1) τοῦ τάφου.

66 Οἱ δὲ πορευθέντες, ἠσφαλίσαντο τὸν τάφον, σφραγίσαντες τὸν λίθον, μετὰ τῆς κουστωδίας.

Οὐ μόνον ἐσφράγισαν τὸν λίθον τῆς θύρας, ἐπιθέντες αὐτῷ σήμαντρα· ἀλλὰ καὶ ἐπιλεξάμενοι στρατιώτας, οὓς ἤθελον, φύλακας τούτῳ παρεκάθισαν, ὡς δηλωθήσεται μετ' ὀλίγον. Καὶ ταῦτα εἰργάσαντο ἐν σαββάτῳ, λύσαντες τοῦτο διὰ τὴν λύσσαν τῆς μανίας αὐτῶν.

Ἐπεὶ δὲ μέλλομεν ἐρεῖν περὶ τῆς ἐπὶ τὸ μνημεῖον ἀφίξεως τῶν γυναικῶν, οὐκ ἄκαιρον προειπεῖν, ὅτι διαφόρως περὶ τῶν ὀπτασιῶν ἱστορήσαντες οἱ εὐαγγελισταὶ, οὐκ ὀλίγην τοῖς μὴ προσέχουσι παρέχουσιν ἀπορίαν. Καὶ ὁ μὲν Χρυσόστομος οὐδέν τι περὶ τῆς τοιαύτης διαφορᾶς ἐπολυπραγμόνησεν· ἕτεροι δὲ πολλοὶ, μὴ δυνάμενοι συμβιβάσαι τὰ ῥητὰ τῶν εὐαγγελιστῶν, πολλοὺς περὶ αὐτῶν κατεβάλοντο λόγους.

Οἱ μὲν γὰρ τέσσαρας τὰς ἀφίξεις λέγοντες, κατὰ διαφόρους καιροὺς γενομένας, οὐ τὰς αὐτὰς γυναῖκας εἶναί φασι, τὰς ὑπὸ τῶν τεσσάρων εὐαγγελιστῶν μνημονευομένας, ἀλλ' ἑτέρας καὶ ἑτέρας, ὁμωνύμους ἀλλήλαις· οἱ δὲ περὶ μὲν τῶν τεσσάρων ἀφίξεων συνομολογοῦσιν, ὑπὸ δὲ τῶν αὐτῶν γυναικῶν γενέσθαι ταύτας διϊσχυρίζονται. Καὶ οὗτοι δὲ κἀκεῖνοι ῥᾳδίως ἐλέγχονται, σαθρὰ καὶ εὐανάτρεπτα λέγοντες, εἴτις φιλοπονώτερον προσέχοι τοῖς εὐαγγελισταῖς. Ἀλλ' ἡμεῖς παρ' αὐτοῦ τοῦ ταφέντος καὶ ἀναστάντος αἰτησάμενοι χάριν, πειρασόμεθα συμβιβάσαι τὰ ῥητὰ, καὶ δεῖξαι σαφῶς, ἁρμονίαν μίαν παρὰ πᾶσι τοῖς εὐαγγελισταῖς.

ΚΕΦ. XXVIII, 1 Ὀψὲ δὲ σαββάτων, τῇ ἐπιφωσκού-
σῃ εἰς μίαν σαββάτων, ἦλθε Μαρία ἡ Μαγδα-
ληνὴ, καὶ ἡ ἄλλη Μαρία, θεωρῆσαι τὸν τάφον.

Οἱ Ἑβραῖοι, τὸ σάββατον τιμῶντες, ἤτοι, τὴν ἑβδόμην ἡμέραν τῆς ἑβδομάδος, σάββατα καὶ τὰς πρὸ αὐτοῦ ἓξ ἡμέρας, εἰς τιμὴν αὐτοῦ, προσηγόρευον, μίαν μὲν σαββάτων, ἤγουν, πρώτην, τὴν κυριακὴν ὀνομάζοντες· δευτέραν δὲ σαββάτων, καὶ τρίτην σαββάτων, τὴν δευτέραν καὶ τρίτην ἡμέραν τῆς ἑβδομάδος. Ὁμοίως δὲ καὶ τὰς ἐφεξῆς. Εἰπὼν οὖν Ματθαῖος, ὅτι *ὀψὲ σαββάτων*, ἐσήμανε τὸ τέλος ὅλων τῶν σαββάτων, ἤγουν, τῶν ἑπτὰ ἡμερῶν τῆς ἑβδομάδος. Καὶ ἡμεῖς γὰρ, ὀψὲ τῆς ἡμέρας λέγοντες, ἢ ὀψὲ τῆς νυκτὸς, τὰ τελευταῖα τούτων δηλοῦμεν. Τέλος δὲ τῶν ἑπτὰ ἡμερῶν τῆς ἑβδομάδος, οὐ μόνον αὐτὸ τὸ κυρίως σάββατον, ἀλλὰ καὶ τὸ τούτου τέλος. Ἵνα δὲ μὴ νοήσῃς, ὅτι ἐν τῷ τέλει τούτου τοῦ σαββάτου αἱ δηλωθεῖσαι γυναῖκες ἦλθον εἰς τὸν τάφον, ἀλλ᾽ ἐν ἀρχῇ τοῦ ὄρθρου τῆς κυριακῆς, προσέθηκεν, ὅτι *τῇ ἐπιφωσκούσῃ*, τουτέστι, τῇ ἐπιφαινούσῃ ἡμέρᾳ, τῇ ἐπαυγαζούσῃ, τῇ ἐπανατελλούσῃ. Ἔτι δὲ σαφηνίζων τὸν λόγον, ἐπήγαγεν· ὅτι *εἰς μίαν σαββάτων*· μία δὲ σαββάτων, ἤγουν, πρώτη τῶν ἑπτὰ ἡμερῶν, ἡ κυριακὴ, καθὼς προειρήκαμεν. Ἀλλὰ Ματθαῖος μὲν, οὕτω γράψας, τὴν ἀρχὴν τοῦ ὄρθρου τῆς κυριακῆς ἐνέφηνεν· ἄρχεται δὲ πᾶς ὄρθρος, μετὰ τὴν ἕκτην ὥραν τῆς νυκτὸς, ὅτε πρῶτον οἱ ἀλεκτρυόνες φωνοῦσι.

Τὸν αὐτὸν δὲ καιρὸν καὶ Μάρκος ἱστόρησεν εἰπών (α)· *Καὶ λίαν πρωῒ τῆς μιᾶς σαββάτων ἔρχονται ἐπὶ τὸ μνημεῖον, ἀνατείλαντος τοῦ ἡλίου* (1)· λίαν γὰρ πρωΐ ἐστιν, ἡ

(α) Μαρκ. Ιϛ΄, 2.

(1) Παράβαλε εἰς τοῦτο τὴν εἰς Μαρκ. Α΄, 35. ἑρμηνείαν τοῦ Εὐθυμίου, ὅπου παρομοίως παραβάλλονται πρὸς ἑαυτὰ τὸ, ἔννυχον, καὶ τὸ, γενομένης ἡμέρας.

ἀρχὴ τοῦ ὄρθρου. Καὶ ἐὰν ἦν λίαν πρωῒ, πῶς εἶπεν, ὅτι *ἀνατείλαντος τοῦ ἡλίου;* Διότι τότε κυρίως ἀνατέλλει ὁ ἥλιος, εἰ καὶ ἡμῖν οὔπω φαίνεται, διατρίβων ἔτι περὶ τὰ βαθύτατα καὶ ἀκρότατα μέρη τῆς ἀνατολῆς, καὶ κατὰ μικρὸν ἐπαναβαίνων· καὶ τούτου μαρτύριον ἡ τῶν ἀλεκτρυόνων ᾠδή· πρῶτοι γὰρ πάντων τῶν ζώων, αἰσθανόμενοι τῆς θέρμης αὐτοῦ, κράζουσιν αὐτίκα, καὶ τὴν τούτου παρουσίαν προμηνύουσι τοῖς ἀνθρώποις.

Τὸν αὐτὸν δὲ καιρὸν καὶ Λουκᾶς ἐδήλωσε λέγων (α)· ὅτι *τὸ μὲν σάββατον ἡσύχασαν κατὰ τὴν ἐντολήν· τῇ δὲ μιᾷ τῶν σαββάτων, ὄρθρου βαθέος, ἦλθον ἐπὶ τὸ μνῆμα, φέρουσαι ἃ ἡτοίμασαν ἀρώματα.* Περὶ δὲ Μαρίας τῆς Μαγδαληνῆς, ἧς ἐμνημόνευσεν ὁ Ἰωάννης, ἐροῦμεν προϊόντες ἐν τῷ προσήκοντι τόπῳ.

2 Καὶ ἰδοὺ, σεισμὸς ἐγένετο μέγας· ἄγγελος γὰρ Κυ-
ρίου καταβὰς ἐξ οὐρανοῦ, προσελθὼν ἀπεκύλισε τὸν
λίθον ἀπὸ τῆς θύρας, καὶ ἐκάθητο ἐπάνω αὐτοῦ. Ἦν δὲ
3 ἡ ἰδέα αὐτοῦ ὡς ἀστραπὴ, καὶ τὸ ἔνδυμα αὐτοῦ
λευκὸν ὡσεὶ χιών.

Ὁ μὲν Χριστὸς ἀνέστη πρὸ τοῦ καταβῆναι τὸν ἄγγελον· καθάπερ γὰρ ἐγεννήθη, σώων φυλαττομένων τῶν κλείθρων τῆς παρθενίας, οὕτως ἐξῆλθε, σώων φυλαττομένων τῶν σφραγίδων τοῦ μνήματος· ὁ δὲ σεισμὸς ἐγένετο διὰ τοὺς παρακαθημένους τῷ τάφῳ φύλακας, ἵνα, τῷ φόβῳ τοῦ σεισμοῦ ἀναστάντες, καὶ τῷ φρικτῷ τῆς ἰδέας τοῦ τὸν λίθον ἀποκυλίσαντος ἐκπλαγέντες, φύγωσι, καὶ ἀπαγγείλωσι ταῦτα τοῖς Ἰουδαίοις, καὶ μάρτυρες αὐτοὶ γένωνται τῆς ἀληθείας. Μάλιστα γὰρ αὕτη λάμπειν εἴωθεν, ὅταν ὑπὸ τῶν ἐχθρῶν αὐτῆς ἀνακηρύττηται. Ἀπεκύλι-

(α) Λουκ. ΚΓ΄, 56. ΚΔ΄, 1.

σε δὲ τὸν λίθον ὁ ἄγγελος, διὰ τὰς γυναῖκας, ἵνα ἴδωσι τὸν τάφον κενὸν, καὶ πιστεύσωσιν, ὅτι ἐγήγερται.

Μάρκος δέ φησι περὶ τῶν γυναικῶν τούτων (α), ὅτι *ἔλεγον πρὸς ἑαυτάς· Τίς ἀποκυλίσει ἡμῖν τὸν λίθον ἐκ τῆς θύρας τοῦ μνημείου; Καὶ ἀναβλέψασαι θεωροῦσιν, ὅτι ἀποκεκύλισται ὁ λίθος· ἦν γὰρ μέγας σφόδρα.* Ἐλθοῦσαι μὲν γὰρ, ἔλεγον πρὸς ἀλλήλας οὕτως· ἐν ὅσῳ δὲ ταῦτα διελογίζοντο, γέγονε μὲν ὁ σεισμὸς, προσελθὼν δὲ ὁ ἄγγελος ἀπεκύλισε τὸν λίθον, καὶ λοιπὸν ἀναβλέψασαι πρὸς τὸν τάφον, θεωροῦσιν, ὅτι ἀποκεκύλισται ὁ λίθος.

Ὁ Μάρκος δὲ, φροντίσας τῆς συντομίας, οὔτε τὸν σεισμὸν ἀνέγραψεν, οὔτε, τίς ἀπεκύλισε τὸν λίθον, ἐδίδαξεν. Ὁμοίως δὲ καὶ ὁ Λουκᾶς συνέτεμε τὴν περὶ τούτων διήγησιν, εἰπών· *εὗρον δὲ τὸν λίθον ἀποκεκυλισμένον ἀπὸ τοῦ μνημείου* (β). Πότε μὲν οὖν ἦλθον εἰς τὸ μνημεῖον αἱ γυναῖκες, ἐδήλωσαν οἱ εὐαγγελισταί· πότε δὲ ἀνέστη ὁ Κύριος, οὐδεὶς αὐτῶν παρεσημειώσατο. Μόνος γὰρ οἶδε τοῦτο, ὁ μόνος, ὡς οἶδεν, ἀναστάς.

Πάντες δὲ συμφώνως οἱ ἱεροὶ πατέρες καὶ διδάσκαλοι καιρὸν τῆς ἀναστάσεως αὐτοῦ φασὶ, τὴν πρώτην τῶν ἀλεκτρυόνων ᾠδὴν, ἥτις ἤδη τὸ τῆς κυριακῆς προανεκρούετο φῶς. Διὸ καὶ μετὰ τὴν ἕκτην ὥραν τῆς νυκτὸς οἱ φιλάρετοι τὴν νηστείαν καταλύοντες, τῆς εὐφροσύνης ἀπάρχονται.

Ἀνέστη δὲ τῇ τρίτῃ ἡμέρᾳ, καθὼς ἔλεγεν. Ἐπεὶ γὰρ ἐν τῇ ἐννάτῃ ὥρᾳ τῆς παρασκευῆς ἀπέθανεν, ἀριθμεῖται πρώτη μὲν ἡμέρα, ἡ παρασκευή· δευτέρα δὲ, τὸ σάββατον· τρίτη δὲ, ἡ κυριακὴ, ἐν ᾗ, ἀρχομένου τοῦ ὄρθρου, ἀνέστη, μικρόν τι πρὸ τῆς τῶν γυναικῶν ἀφίξεως, καὶ συναριθμοῦνται τῆς μὲν παρασκευῆς τὸ τέλος, τῆς δὲ κυριακῆς ἡ ἀρχή. Ἐπεὶ δὲ ἐν τῷ

(α) Μάρκ. Ιϛ', 3. 4.
(β) Λουκ. ΚΔ', α.

κατὰ τὸν Ἰωνᾶν παραδείγματι ἔφη (α)· *Οὕτως ἔσται καὶ ὁ υἱὸς τοῦ ἀνθρώπου ἐν τῇ καρδίᾳ τῆς γῆς τρεῖς ἡμέρας καὶ τρεῖς νύκτας*· περὶ μὲν τῶν ἡμερῶν οὐκ ἔστι διαπορεῖν· ἠρίθμηνται γάρ.

Περὶ δέ γε τῶν νυκτῶν ἐροῦμεν, ὡς οἱ Ἰουδαῖοι ἕως τρίτης ἡμέρας ἠσφαλίσαντο τὸν τάφον, ἤγουν, ἀπ' αὐτῆς τῆς παρασκευῆς, ἕως τῆς κυριακῆς, ἡλίου δύνοντος· οὕτω γὰρ ἐψηφίσαντο· τὴν δὲ τρίτην νύκτα τῆς ἀσφαλείας ἐκτὸς ἀφῆκαν. Καὶ λοιπὸν, εἰ καὶ ταύτην ἀνέμεινεν, ἔμελλε γενέσθαι ὕποπτος ἡ ἀνάστασις· καὶ γὰρ ἀντεῖπον ἂν, ὡς, ἐπεὶ ἐντὸς τοῦ καιροῦ τῆς ἀσφαλείας οὐκ ἀνέστη, λυθείσης ταύτης, ἄπιστος ἡ ἀνάστασις· ἐκλάπη γὰρ, οὐδενὸς φυλάττοντος. Λοιπὸν οὖν, ἔτι φυλαττόντων, ἀνέστη, περιαιρῶν πᾶσαν ἀντιλογίαν. Καὶ οὐδὲ τὴν τρίτην ὅλην ἀνέμεινεν ἡμέραν, ἀλλ' εὐθὺς ἀρχομένης ἠγέρθη. Τὸ μὲν γὰρ ἐντὸς τοῦ καιροῦ τῆς ἀσφαλείας ἀναστῆναι, ἀνέγκλητον· τὸ δὲ ὑστερῆσαι τούτου, ὕποπτον· καὶ τὸ μὲν ταχύτερον τῆς προθεσμίας, δυνάμεώς ἐστι· τὸ δὲ βραδύτερον, ἀσθενείας.

Καὶ γὰρ καὶ βασιλεὺς, ἐπαγγειλάμενος εὐεργετῆσαί τινας εἰς ῥητὴν ἡμέραν, εἶτα πρὸ ταύτης εὐεργετήσας αὐτοὺς, οὐ μόνον ἐπλήρωσε τὴν ἐπαγγελίαν, ἀλλὰ καὶ χάριν ἄλλην προσέθηκε, τὴν τῆς ταχύτητος. Οὐδὲν δὲ ἕτερον ἐσπούδασαν Ἰουδαῖοι τὰς σφραγίδας ἐπιβαλόντες καὶ τοὺς φύλακας παρακαθίσαντες, ἢ τὸ δημοσιευθῆναι τὴν ἀνάστασιν, καὶ μαρτυρηθῆναι παρὰ τῶν φυλάκων αὐτῶν. Ἀλλ' ἐπανιτέον πάλιν πρὸς τὴν ἀκολουθίαν τῆς τῶν ῥητῶν ἐξηγήσεως.

4 Ἀπὸ δὲ τοῦ φόβου αὐτοῦ ἐσείσθησαν οἱ τηροῦντες, καὶ ἐγένοντο ὡσεί νεκροί.

Ἀπὸ *τοῦ φόβου*, τοῦ σεισμοῦ· μέγας γὰρ ἦν· ἢ τοῦ ἀγγέλου·

(α) Ματθ. ΙΒ', 40.

καταπληκτικὸς γὰρ ἦν. *Ἐσείσθησαν* δὲ, ἀντὶ τοῦ, ἐτρόμαξαν· εἶτα ἀνανήψαντες, ἔφυγον, καὶ γέγονεν ἄδεια ταῖς γυναιξίν.

5 Ἀποκριθεὶς δὲ ὁ ἄγγελος, εἶπε ταῖς γυναιξί· Μὴ φοβεῖσθε ὑμεῖς.

Μὴ *φοβεῖσθέ*, φησιν, *ὑμεῖς*· ἀλλ' οὗτοι, δηλαδὴ, οἱ φύλακες, καὶ πάντες οἱ ἐχθροὶ τοῦ Κυρίου. Πρῶτον μὲν οὖν ἀπήλλαξεν αὐτὰς τοῦ δέους, καὶ λόγῳ καὶ σχήματι· ἔπειτα περὶ τῆς ἀναστάσεως διαλέγεται.

5 Οἶδα γὰρ, ὅτι Ἰησοῦν τὸν ἐσταυρωμένον ζητεῖτε.

Οὐκ ἐπαισχύνεται λέγων ἐσταυρωμένον τὸν δεσπότην αὐτοῦ· διότι τοῖς μὲν πρὸ αὐτοῦ σταυρωθεῖσιν, αἰσχύνη ὁ σταυρὸς ἦν· ἔλεγχος ὢν τῆς κακουργίας αὐτῶν· τούτῳ δὲ δόξα μᾶλλον· ἀπόδειξις ὢν τῆς εὐεργεσίας τῶν ἀνθρώπων, δι᾽ ἣν τοῦτον καταδεδίκασται.

6 Οὐκ ἔστιν ὧδε· ἠγέρθη γὰρ, καθὼς εἶπε. Δεῦτε, ἴδετε τὸν τόπον, ὅπου ἔκειτο ὁ Κύριος.

Εἰπὼν, *Δεῦτε, ἴδετε τὸν τόπον, ὅπου ἔκειτο ὁ Κύριος*, ἐδήλωσεν, ὅτι δι' αὐτὰς, ἵνα ἴδωσιν, ἀπεκύλισε τὸν λίθον.

7 Καὶ ταχὺ πορευθεῖσαι, εἴπατε τοῖς μαθηταῖς αὐτοῦ, ὅτι ἠγέρθη ἀπὸ τῶν νεκρῶν· καὶ ἰδοὺ, προάγει ὑμᾶς εἰς τὴν Γαλιλαίαν· ἐκεῖ αὐτὸν ὄψεσθε·

Π*ροάγει*, ἀντὶ τοῦ, προλαμβάνει ὑμᾶς. Κελεύει δὲ αὐτοὺς ἀπελθεῖν εἰς τὴν Γαλιλαίαν, ἐν ᾗ χωρὶς φόβου τῶν Ἰουδαίων ἔμελλον ἐντυχεῖν αὐτῷ,

7 Ἰδοὺ, εἶπον ὑμῖν.

Περὶ πάντων δηλαδή. Ἢ καὶ ἑτέρως· Ἰδοὺ, παρήγγειλα ὑμῖν, περὶ τῶν μαθητῶν. Λοιπὸν οὖν, μὴ ἀμελήσητε τῆς παραγγελίας. Ὁ μὲν οὖν ἄγγελος οὗτος, ἔξω τοῦ τάφου καθήμενος, ἐπάνω τοῦ λίθου, τὰ ῥηθέντα πρὸς τὰς γυναῖκας εἶπεν· ἐπεὶ δὲ, μὴ τολμώσας ἐγγίσαι, παρεκελεύσατο εἰσελθεῖν εἰς τὸν τάφον· τοῦτο γὰρ ἐμφαίνει τὸ, *Δεῦτε, ἴδετε τὸν τόπον, ὅπου ἔκειτο ὁ Κύριος*· εἰσῆλθον.

Καὶ ὁ μὲν Ματθαῖος, τὰ μέχρι τῆς εἰσελεύσεως εἰπὼν, τὰ ταύτης παρέδραμεν· ὁ δὲ Μάρκος καὶ Λουκᾶς, τὰ μέχρι τῆς εἰσελεύσεως παραλιπόντες, τὰ ταύτης ἱστόρησαν. Καὶ τοῦτό ἐστι τὸ μάλιστα παρέχον τοῖς μὴ προσέχουσι τὴν ἀπορίαν. Φησὶ γὰρ ὁ Μάρκος (α)· ὅτι *Καὶ εἰσελθοῦσαι εἰς τὸ μνημεῖον, εἶδον νεανίσκον καθήμενον ἐν τοῖς δεξιοῖς, περιβεβλημένον στολὴν λευκὴν, καὶ ἐξεθαμβήθησαν. Ὁ δὲ λέγει αὐταῖς· Μὴ ἐκθαμβεῖσθε· Ἰησοῦν ζητεῖτε τὸν Ναζαρηνὸν, τὸν ἐσταυρωμένον· ἠγέρθη, οὐκ ἔστιν ὧδε· ἴδε ὁ τόπος, ὅπου ἔθηκαν αὐτόν. Ἀλλ' ὑπάγετε, εἴπατε τοῖς μαθηταῖς αὐτοῦ, καὶ τῷ Πέτρῳ, ὅτι προάγει ὑμᾶς εἰς τὴν Γαλιλαίαν· ἐκεῖ αὐτὸν ὄψεσθε, καθὼς εἶπεν ὑμῖν.*

Ἐπεὶ γὰρ ὁ ἔξω καθήμενος ἄγγελος παρεκελεύσατο ταύτας εἰσελθεῖν, εἰσελθοῦσαι εἰς τὸ μνημεῖον, εἶδον ἕτερον ἄγγελον, καθήμενον ἐν τοῖς δεξιοῖς αὐτοῦ μέρεσι, καὶ, ὡς εἰκὸς, ἐξεθαμβήθησαν, ἐξαίφνης ἐντυχοῦσαι αὐτῷ· ὁ δὲ λέγει αὐταῖς· Μὴ ἐκθαμβεῖσθε, καὶ τὰ ἑξῆς. Ὁμοίως δὲ τῷ ἐκτὸς ἀγγέλῳ, καὶ ὁ ἐντὸς, πρῶτον ἀπαλλάττει ταύτας τοῦ θάμβους· ἔπειτα περὶ τῆς ἀναστάσεως διαλέγεται· καὶ ὁ μὲν ἐκτὸς, φοβερὸς ἦν, διὰ τοὺς φύλακας· ὁ δ' ἐντὸς, οὐ τοιοῦτος, διὰ τὰς γυναῖκας. Διὸ ἐκεῖνον μὲν ἰδοῦσαι, ἐφοβήθησαν αὗται· τοῦτον δὲ ἰδοῦσαι, ἐξεθαμβήθησαν. Τὸ δὲ, *Ἴδε, ὁ τόπος*, ἀντὶ τοῦ, Ἰδοὺ, ὁ τόπος. Ὀνομαστὶ δὲ προσέθηκε τὸν Πέτρον, ἵνα γνῷ, ὅτι συγκεχώρηται τὸ σφάλμα τῆς τριπλῆς ἀρνήσεως, διὰ τὴν

(α) Μαρκ. ΙϚʹ, 5 —7.

θερμὴν μετάνοιαν, καὶ ἀναπνεύσῃ· καὶ γὰρ ἐβεβύθιστο τῇ ἀμέτρῳ λύπῃ. Ἐπαγαγὼν δὲ, ὅτι *Καθὼς εἶπεν ὑμῖν*, ἀνέμνησεν αὐτοὺς, οὗ εἶπεν ἐν τῷ ὄρει τῶν ἐλαιῶν, ὅτι *Μετὰ τὸ ἐγερθῆναί με, προάξω ὑμᾶς εἰς τὴν Γαλιλαίαν*, ὡς εἴρηκε Ματθαῖος ἐν τῷ ἑξηκοστῷ τετάρτῳ Κεφαλαίῳ (α).

Ὁ δὲ Λουκᾶς ἔγραψεν (β), ὅτι « Καὶ εἰσελθοῦσαι, οὐχ εὗρον » τὸ σῶμα τοῦ Κυρίου Ἰησοῦ. Καὶ ἐγένετο ἐν τῷ διαπορεῖσθαι » αὐτὰς περὶ τούτου, καὶ ἰδοὺ, ἄνδρες δύο ἐπέστησαν αὐταῖς ἐν » ἐσθήσεσιν ἀστραπτούσαις. Ἐμφόβων δὲ γενομένων αὐτῶν, » καὶ κλινουσῶν τὸ πρόσωπον εἰς τὴν γῆν, εἶπον πρὸς αὐτάς· Τί » ζητεῖτε τὸν ζῶντα μετὰ τῶν νεκρῶν; Ἠγέρθη, οὐκ ἔστιν ὧδε. » Μνήσθητε ὡς ἐλάλησεν ὑμῖν, ἔτι ὢν ἐν τῇ Γαλιλαίᾳ, λέγων· » Ὅτι δεῖ τὸν υἱὸν τοῦ ἀνθρώπου παραδοθῆναι εἰς χεῖρας ἀν» θρώπων ἁμαρτωλῶν, καὶ σταυρωθῆναι, καὶ τῇ τρίτῃ ἡμέρᾳ » ἀναστῆναι. Καὶ ἐμνήσθησαν τῶν ῥημάτων αὐτοῦ. »

Ὁ μὲν γὰρ καθήμενος ἐν τοῖς δεξιοῖς ἄγγελος, εἰπὼν πρὸς αὐτὰς, ὅσα Μάρκος ἀπήγγειλεν, ὑπεξῆλθεν· ὃ καὶ αὐτὸ παρασιωπηθὲν τῷ Μάρκῳ, μετὰ καὶ τῶν δηλωθέντων ὑπὸ τοῦ Λουκᾶ, παρέσχεν ὁμοίως ἀπορίαν. Ἐπεὶ δὲ οὐχ εὗρον αὗται τὸ σῶμα τοῦ Κυρίου Ἰησοῦ, διηπόρουν περὶ αὐτοῦ, τί γέγονεν· οὔπω γὰρ ἠδύναντο πιστεύειν, ὅτι ἀνέστη· οὕτω δὲ διαπορουμέναις, ἐπέστησαν αὐταῖς οἱ προῤῥηθέντες δύο ἄγγελοι, ὅν τε εἶδον ἔξω τοῦ τάφου, καὶ ὃν ἐθεάσαντο ἔνδον αὐτοῦ, μετασχηματισθέντες ἐν ἐσθήσεσιν ἀστραπτούσαις, ἵνα καὶ μᾶλλον ἄγγελοι θεοῦ δόξωσι, τῷ ῥᾳδίῳ τοῦ μετασχηματισμοῦ. Ἐμφόβων δὲ γενομένων αὐτῶν ἐπὶ τῷ καινῷ τῆς ὄψεως, καὶ μὴ δυναμένων βλέπειν εἰς αὐτοὺς, διὰ τὸ τῶν ἐσθήτων ἀστραπηβόλον· εἶπον πρὸς αὐτὰς, οὐκέτι πρᾴως, ὡς πρότερον· ἀλλ'

(α) Ματθ. ΚϚ', 32.
(β) Λουκ. ΚΔ', 3—8.

ἐπιπληκτικῶς, διὰ τὴν ἀπιστίαν αὐτῶν· Τί ζητεῖτε τὸν ζῶντα μετὰ τῶν νεκρῶν, ἤγουν, ὡς νεκρόν; τοῦτο γὰρ σημαίνει τὸ, μετὰ τῶν νεκρῶν· τί ζητεῖτε τὸν ἀναστάντα, ὡς μὴ ἀναστάντα; Οὐκ ἔστιν ὧδε, ἀλλ' ἠγέρθη. Εἶτα εἰς πλείονα πίστιν τῆς ἀναστάσεως ἐνάγοντες αὐτὰς, ἀναμιμνήσκουσι τῶν ῥημάτων τοῦ Κυρίου, λέγοντες· Μνήσθητε, ὡς ἐλάλησεν ὑμῖν, ἔτι ὢν ἐν τῇ Γαλιλαίᾳ, λέγων· Ὅτι δεῖ τὸν υἱὸν τοῦ ἀνθρώπου παραδοθῆναι εἰς χεῖρας ἀνθρώπων ἁμαρτωλῶν, καὶ σταυρωθῆναι, καὶ τῇ τρίτῃ ἡμέρᾳ ἀναστῆναι.

Ἔπειτά φησιν ὁ εὐαγγελιστής· ὅτι *Καὶ ἐμνήσθησαν τῶν ῥημάτων αὐτοῦ*, δηλῶν, ὅτι λοιπὸν ἐπίστευσαν. Ἔγραψε γὰρ ὁ Ματθαῖος ἐν τῷ τριακοστῷ πέμπτῳ κεφαλαίῳ (α), ὅτι *ἀναστρεφομένων αὐτῶν ἐν τῇ Γαλιλαίᾳ, εἶπεν αὐτοῖς ὁ Ἰησοῦς· Μέλλει ὁ υἱὸς τοῦ ἀνθρώπου παραδίδοσθαι εἰς χεῖρας ἀνθρώπων, καὶ ἀποκτενοῦσιν αὐτὸν, καὶ τῇ τρίτῃ ἡμέρᾳ ἀναστήσεται*. Οὐδὲν δὲ ἐνταῦθα (1) περὶ τῶν ἀποστόλων οἱ ἄγγελοι παραγγέλλουσιν, οἷα προπαραγγείλαντες τὰ περὶ αὐτῶν (2).

8 Καὶ ἐξελθοῦσαι ταχὺ ἀπὸ τοῦ μνημείου μετὰ φόβου καὶ χαρᾶς μεγάλης, ἔδραμον ἀπαγγεῖλαι τοῖς μαθηταῖς αὐτοῦ.

Εἰ καὶ οὐκ ἐμνημόνευσεν ὁ Ματθαῖος, ὅτι εἰσῆλθον εἰς τὸ μνημεῖον· ἀλλὰ νῦν εἰπὼν, ὅτι ἐξῆλθον, ἐνέφηνεν, ὅτι πρῶτον εἰσῆλθον. *Μετὰ φόβου* μὲν οὖν ἐξῆλθον, ἐφ' οἷς εἶδον παραδόξοις· *μετὰ χαρᾶς* δὲ, ἐφ' οἷς ἤκουσαν εὐαγγελίοις. Ὁ δὲ Μάρκος εἶπε (β), *Καὶ ἐξελθοῦσαι, ἔφυγον ἀπὸ τοῦ μνημείου· εἶχε δὲ αὐτὰς τρόμος καὶ ἔκστασις, καὶ οὐδενὶ οὐ-*

(α) Ματθ. ΙΖ', 22.
(1) Ἤτοι παρὰ τῷ Λουκᾷ.
(2) Δηλαδὴ Ματθ. ΚΗ, 7. Μαρκ. ΙϚ', 7.
(α) Μαρκ. ΙϚ', 8.

δὲν εἶπον· ἐφοβοῦντο γάρ. Σκόπει δὲ, πῶς οὐκ ἐναντιοῦται τὰ ῥητά. Ἐξελθοῦσαι γὰρ ταχὺ ἀπὸ τοῦ μνημείου, κατὰ τὸν Ματθαῖον· ἔφυγον, κατὰ τὸν Μάρκον, διὰ τοὺς Ἰουδαίους, ἵνα μὴ θεαθεῖσαι, δόξωσιν αὐταὶ κλέψαι τὸν Ἰησοῦν.

Εἰ δὲ ὁ μὲν (1) εἶπεν, ὅτι ἐφοβοῦντο καὶ ἔχαιρον· ὁ δὲ, ὅτι (2) ἔτρεμον καὶ ἐξίσταντο, οὐκ ἔστιν ἐναντίωσις· ὁ τρόμος γὰρ ἐκ φόβου γέγονεν αὐταῖς· τὴν χαρὰν δὲ παρεσιώπησεν ὁ Μάρκος· ἢ καὶ ταύτην διὰ τῆς ἐκστάσεως ἐσήμανε· καὶ ἡ χαρὰ γὰρ ἐξιστᾷ. Οὐδενὶ δὲ οὐδὲν εἶπον τῶν ἄλλων ἀνθρώπων, τῶν ἐντυγχανόντων αὐταῖς κατὰ τὴν ὁδόν· τοῖς γὰρ ἀποστόλοις εἶπον ἅπαντα, ὑποστρέψασαι πρὸς αὐτοὺς, ὡς ὁ Λουκᾶς ἱστορεῖ (α). Αἰτία δὲ τοῦ μηδενὶ μηδὲν εἰπεῖν, ὁ φόβος τῶν Ἰουδαίων, ἵνα μὴ ἀκούσαντες, ὅτι κηρύττουσι τὴν ἀνάστασιν τοῦ Χριστοῦ, φονεύσωσι ταύτας.

9 Ὡς δὲ ἐπορεύοντο ἀπαγγεῖλαι τοῖς μαθηταῖς αὐτοῦ, καὶ ἰδοὺ, ὁ Ἰησοῦς ἀπήντησεν αὐταῖς·

Πρὸ πάντων ὀρθρίσασαι, πρὸ πάντων ὁρῶσι τὸν Κύριον, καὶ τοῦτο (3), μισθὸν τῆς τοιαύτης σπουδῆς κομίζονται.

9 Λέγων· Χαίρετε.

Τὸ χαίρειν δίδωσι ταῖς τὸ λυπεῖσθαι (2) κατακριθείσαις ἐκ τῆς ἀρχαίας παρακοῆς. Ἐλάλησε δὲ, ἵνα μάλιστα γνωρίσωσιν αὐτὸν ἀπὸ τῆς φωνῆς, καὶ ἡ πρώτη φωνὴ αὐτοῦ, χαρᾶς εὐαγγέλιον.

(1) Ματθαῖος, ὅστις λέγει, μετὰ φόβου καὶ χαρᾶς.

(2) Μάρκος. Διότι οὗτος λέγει, εἶχεν αὐτὰς τρόμος καὶ ἔκστασις.

(α) Λουκ. ΚΔ', 9.

(3) Τὸ ἰδεῖν τὸν Κύριον.

(4) Ἀναφέρεται εἰς Γενεσ. Γ', 16.

9 Αἱ δὲ προσελθοῦσαι ἐκράτησαν αὐτοῦ τοὺς πόδας· καὶ προσεκύνησαν αὐτῷ.

Αἱ μὲν ἐκ πόθου καὶ τιμῆς τούτους (1) ἐκράτησαν· ὁ δὲ οὐκ ἀπεκώλυσε, παρέχων πληροφορηθῆναι διὰ τῆς ἀφῆς, ὅτι οὐκ ἔστι φάσμα.

10 Τότε λέγει αὐταῖς ὁ Ἰησοῦς· Μὴ φοβεῖσθε.

Πάλιν καὶ αὐτὸς τὸ δέος αὐτῶν ἐκβάλλει πρῶτον· εἶτα παραγγέλει περὶ τῶν μαθητῶν, βεβαιῶν, ὅτι ἄγγελοι αὐτοῦ ἦσαν, οἱ προφανέντες καὶ προπαραγγείλαντες.

10 Ὑπάγετε, ἀπαγγείλατε τοῖς ἀδελφοῖς μου, ἵνα ἀπέλθωσιν εἰς τὴν Γαλιλαίαν, κἀκεῖ με ὄψονται.

Ταῖς γυναιξὶν, ἀποστόλοις ἐχρήσατο πρὸς τοὺς ἀποστόλους, τιμήσας τὸ ἀτιμωθὲν γένος ἐκ τῆς ἀπάτης τοῦ ὄφεως. Καὶ ἐπειδὴ πάλαι γυνὴ γέγονε τῷ ἀνδρὶ διάκονος λύπης, νῦν γυναῖκες γίνονται τοῖς ἀνδράσι διάκονοι χαρᾶς. *Ἀδελφοὺς* δὲ, τοὺς ἀποστόλους προσηγόρευσεν· ἅμα μὲν, διὰ τὴν ἐνανθρώπησιν· ἀδελφοὶ γὰρ ἀλλήλων ἅπαντες ἄνθρωποι· ἅμα δὲ, καὶ πρὸς τιμὴν αὐτῶν.

11 Πορευομένων δὲ αὐτῶν, ἰδοὺ, τινὲς τῆς κουστωδίας, ἐλθόντες εἰς τὴν πόλιν, ἀπήγγειλαν τοῖς ἀρχιερεῦσιν ἅπαντα τὰ γενόμενα.

Οἱ καταλειφθέντες παρ' αὐτῷ φύλακες, ἢ οἱ ἐπισημότεροι τούτων.

12 Καὶ συναχθέντες μετὰ τῶν πρεσβυτέρων, συμβούλιόν τε λαβόντες, ἀργύρια ἱκανὰ ἔδωκαν τοῖς στρα-
13 τιώταις, λέγοντες· Εἴπατε, ὅτι οἱ μαθηταὶ αὐ-

(1) Τοὺς πόδας.

τοῦ, νυκτὸς ἐλθόντες, ἔκλεψαν αὐτὸν, ἡμῶν κοιμωμένων.

Πρότερον μὲν ὠνήσαντο τὸν φόνον αὐτοῦ, νῦν δὲ ὠνοῦνται καὶ τὴν ἀλήθειαν τῆς ἀναστάσεως αὐτοῦ, καὶ πατοῦσι τὸ οἰκεῖον συνειδὸς, καὶ οὐδὲ τοὺς φύλακας αἰδοῦνται, κακουργοῦντες, καὶ συγκαταλύπτοντες μὲν τὴν ἀλήθειαν, πλάττοντες δὲ τὸ ψεῦδος, καὶ χρώμενοι τούτου (1) διακόνοις, τοῖς ἐκείνης (2) μάρτυσιν.

14 Καὶ ἐὰν ἀκουσθῇ τοῦτο ἐπὶ τοῦ ἡγεμόνος, ἡμεῖς πείσομεν αὐτὸν, καὶ ὑμᾶς ἀμερίμνους ποιήσομεν.

Πείσετε αὐτὸν, ὡς εὐεξαπάτητον· εἰ γὰρ σταθερός ἐστιν, οὐκ ἂν πείσητε· σφόδρα γὰρ ἀπίθανος ὁ λόγος ὑμῶν. Τί γὰρ κερδᾶναι μέλλοντες ἔκλεψαν ἂν αὐτόν; Πῶς δὲ καὶ, φυλάκων τοσούτων καὶ τοιούτων παρακαθημένων, ἔλαθον ἄν; Πῶς δὲ καὶ τηλικούτου κινδύνου κατετόλμησαν, εὐπτόητοι ἄνδρες, ὧν ὁ μὲν κορυφαῖος γυναικάριον δειλιάσας ἠρνήσατο τὸν διδάσκαλον· οἱ δ᾽ ἄλλοι δεσμούμενον αὐτὸν ἰδόντες, ἔφυγον; Πῶς δὲ καὶ, δυνάμενοι κλέψαι αὐτὸν ἀκινδύνως ἐν τῇ πρώτῃ νυκτὶ, ὅτε οὐδεὶς τὸν τάφον ἐφύλαττεν, εἵλοντο κλέψαι αὐτὸν ἐπικινδύνως, ἐν τῇ δευτέρᾳ νυκτὶ, ὅτε παρῆσαν οἱ φύλακες; Ἀλλ᾽ ὅρα, πῶς καθ᾽ ἑαυτῶν ἐσπούδασαν οἱ ματαιόφρονες Ἰουδαῖοι, καθὼς ἀνωτέρω δεδηλώκαμεν. Εἰ γὰρ οὐ παρεκάθισαν τοὺς φύλακας, ἐδύναντό τι λέγειν περὶ κλοπῆς· νῦν δὲ οὐ δύνανται παρὰ δικασταῖς εὐθέσι, πολλαχόθεν ἐπιστομιζόμενοι.

15 Οἱ δὲ, λαβόντες τὰ ἀργύρια, ἐποίησαν ὡς ἐδιδάχθησαν. Καὶ διεφημίσθη ὁ λόγος οὗτος παρὰ Ἰουδαίοις μέχρι τῆς σήμερον.

Εἰ τοῦ μαθητοῦ περιεγένοντο τὰ ἀργύρια, πολλῷ μᾶλλον τῶν

(1) Τοῦ ψεύδους.
(2) Τῆς ἀληθείας.

στρατιωτῶν. Μέγα οὖν κακὸν ὄντως ἡ φιλαργυρία, καὶ μεγάλων κακῶν αἰτία! *Λόγον δὲ διαφημισθέντα* λέγει, τὸν περὶ τοῦ κλαπῆναι αὐτόν. Ὁ δὲ Λουκᾶς περὶ τῶν γυναικῶν εἶπεν, ὅτι *Καὶ ὑποστρέψασαι ἀπὸ τοῦ μνημείου, ἀπήγγειλαν ταῦτα πάντα τοῖς ἕνδεκα καὶ πᾶσι τοῖς λοιποῖς* (α), ἤγουν, τοῖς ἑβδομήκοντα. Εἶτα ἀπαριθμεῖται ταύτας, λέγων· *Ἦσαν δὲ ἡ Μαγδαληνὴ Μαρία, καὶ Ἰωάννα, καὶ Μαρία ἡ Ἰακώβου, καὶ αἱ λοιπαὶ σὺν αὐταῖς, αἳ ἔλεγον πρὸς τοὺς ἀποστόλους ταῦτα* (β). Ἀλλὰ Ματθαῖος μὲν, Μαρίαν τὴν Μαγδαληνὴν, καὶ Μαρίαν τὴν τοῦ Ἰακώβου καὶ Ἰωσῆ ἀνέγραψεν (γ)· οὐχ ὡς μόνας, ἀλλ᾽ ὡς ἐπισημοτέρας τῶν σὺν αὐταῖς· Μάρκος δὲ καὶ τὴν Σαλώμην ἐδήλωσε (δ)· Λουκᾶς δὲ τὴν μὲν Σαλώμην ἀνονόμαστον ἀφῆκεν, ἐδήλωσε δὲ τὴν Ἰωάνναν (ε)· προσθεὶς δὲ, ὅτι *Καὶ αἱ λοιπαὶ σὺν αὐταῖς*, ἐνέφηνεν αὐτήν τε τὴν Σαλώμην, καὶ ἄλλας τινάς. Μετὰ μέντοι τὴν εἰρημένην τῶν γυναικῶν ἀπαρίθμησιν, ἐπήγαγε πάλιν ὁ Λουκᾶς, ὅτι *Καὶ ἐφάνησαν ἐνώπιον αὐτῶν ὡσεὶ λῆρος τὰ ῥήματα αὐτῶν, καὶ ἠπίστουν αὐταῖς* (ϛ)

Ἐντεῦθεν οὖν ἄρχονται τὰ περὶ Μαρίας τῆς Μαγδαληνῆς, ἃ μόνος ὁ Ἰωάννης ἱστόρησεν (ζ), ὡς καὶ αὐτὰ μὴ μνημονευθέντα παρὰ τοῖς ἄλλοις. Ἐπεὶ γὰρ ἐφάνησαν ἐνώπιον τῶν ἀποστόλων ὡσεὶ λῆρος τὰ ῥήματα τῶν γυναικῶν· αὕτη λογισαμένη καθ᾽ ἑαυτὴν, ὅτι ὄντως ἠπατήθησαν, κατὰ φαντασίαν ἰδοῦσαι, ὅσα εἶδον, καὶ ἀκούσασαι, ὅσα ἤκουσαν· οὐ γὰρ ἂν ὡσεὶ

(α) Λουκ. ΚΔ΄, 9.
(β) Λουκ. ΚΔ΄, 10.
(γ) Ματθ. ΚΗ΄, 1.
(δ) Μάρκ. Ιϛ΄, 1.
(ε) Λουκ. ΚΔ΄, 10.
(ϛ) Λουκ. ΚΔ΄, 11.
(ζ) Ἰωάν. Κ΄, 1. κ. ἑξ.

λῆρος ταῦτα τοῖς συνετωτέροις ἐφάνησαν· οὐκ ἠρέμησεν, *ἀλλ' αὐτίκα* μόνη ἔδραμεν ἐπὶ τὸ μνημεῖον, *σκοτίας ἔτι οὔσης*, προσδοκῶσα κεκλεισμένον εὑρεῖν *αὐτό*. Θεασαμένη δὲ τὸν λίθον ἠρμένον ἐκ τοῦ μνημείου, οὐδὲν μὲν ἀνεμνήσθη τῶν προγεγενημένων· ὡς ἀποδοκιμασθείσης τῆς περὶ αὐτῶν ἀπαγγελίας ὑπὸ τῶν μαθητῶν· ὑπέλαβε δὲ μετατεθὲν τὸ σῶμα παρὰ τοῦ Ἰωσὴφ εἰς τόπον ἀσφαλέστερον. *Τρέχει οὖν, καὶ ἔρχεται πρὸς Σίμωνα Πέτρον, καὶ τὸν ἄλλον μαθητὴν, ὃν ἐφίλει ὁ Ἰησοῦς, καὶ λέγει αὐτοῖς· ἦραν τὸν Κύριον ἐκ τοῦ μνημείου, καὶ οὐκ οἴδαμεν, ποῦ ἔθηκαν αὐτόν* (α). Καὶ τὰ ἑξῆς γεγόνασιν, ὡς ὁ Ἰωάννης ἔγραψεν.

Δέδεικται τοίνυν ἁρμονία μία παρὰ πᾶσι τοῖς εὐαγγελισταῖς, καὶ σῶμα τῆς ἱστορίας ἓν, οἷα τῶν ῥητῶν κατὰ τὴν προσήκουσαν τάξιν ἑρμηνευθέντων· ὃ γὰρ οὗτος παρῆκεν ὁ εὐαγγελιστὴς, τοῦτο ἐκεῖνος εἶπεν· οὕτω τῆς θείας χάριτος οἰκονομησάσης, ἵνα κἀντεῦθεν εἴη δῆλον, ὡς οὐκ ἐκ συνθήματος ἔγραψαν.

16 Οἱ δὲ ἕνδεκα μαθηταὶ ἐπορεύθησαν εἰς τὴν Γαλιλαίαν.

Οὐκ εὐθὺς ἐπορεύθησαν· καὶ γὰρ ἐν αὐτῇ τῇ ἡμέρᾳ, καθ' ἣν ἀνέστη ἐκ νεκρῶν, ὤφθη αὐτοῖς, οὖσιν ἔτι ἐν Ἱερουσαλήμ. Καὶ τοῦτο ἐμφαίνουσι μὲν καὶ Μάρκος καὶ Λουκᾶς (β)· φανερώτερον δὲ τούτων ἱστόρησεν Ἰωάννης. Μετὰ γὰρ τὸ ὑποστρέψαι πρὸς αὐτοὺς Μαρίαν τὴν Μαγδαληνὴν, φησὶν (γ), ὅτι *Οὔσης ὀψίας τῇ ἡμέρᾳ ἐκείνῃ, τῇ μιᾷ τῶν σαββάτων, καὶ τῶν θυρῶν κεκλεισμένων, ὅπου ἦσαν οἱ μαθηταὶ συνηγμένοι διὰ τὸν φόβον τῶν Ἰουδαίων, ἦλθεν ὁ Ἰησοῦς, καὶ ἔστη εἰς τὸ μέσον, καὶ λέγει αὐτοῖς· Εἰρήνη ὑμῖν. Καὶ τοῦτο εἰπὼν, ἔδειξεν αὐτοῖς τὰς χεῖρας καὶ τὴν πλευρὰν αὐτοῦ. Ἐχάρησαν οὖν οἱ μαθηταὶ ἰδόντες τὸν Κύριον*, καὶ τὰ ἑξῆς.

(α) Ἰωάν. Κ', 2.
(β) Μάρκ. Ις', 14· Λουκ. ΚΔ', 36.
(γ) Ἰωάν. Κ', 19. 20.

Δῆλον οὖν, ὅτι ὕστερον ἐπορεύθησαν εἰς τὴν Γαλιλαίαν. Οὐκ ἐψεύσατο δὲ, καθὼς ἀνοήτως ἔλεγεν ὁ παραβάτης Ἰουλιανὸς, ἐν τῇ Γαλιλαίᾳ μὲν ὀφθῆναι τοῖς μαθηταῖς ἐπαγγειλάμενος, ἐν Ἱεροσολύμοις δὲ τούτοις ὀφθείς· ἀλλ' ἐπλήρωσε μὲν καὶ τὴν τοιαύτην ἐπαγγελίαν, ὀφθεὶς αὐτοῖς ὕστερον ἐν τῇ Γαλιλαίᾳ· ἐδωρήσατο δὲ καὶ ἑτέραν χάριν, προεμφανισθεὶς αὐτοῖς ἐν Ἱεροσολύμοις, ἵνα καὶ τὴν λύπην αὐτῶν λύσῃ, καὶ βεβαιώσῃ τοὺς λόγους τῶν γυναικῶν, καὶ τῶν ἄλλων τῶν ἰδόντων αὐτὸν ἐγηγερμένον.

Ὁ μὲν οὖν Ματθαῖος παρῆκε τὰ μέχρι τοῦ πορευθῆναι τοὺς μαθητὰς εἰς τὴν Γαλιλαίαν· οἱ δ' ἄλλοι εὐαγγελισταὶ καὶ ταῦτα συνέγραψαν· Μάρκος μὲν, ἐπιτομώτερον· Λουκᾶς δὲ, πλατύτερον· Ἰωάννης δὲ, διεξοδικώτερον.

16 Εἰς τὸ ὄρος, οὗ ἐτάξατο αὐτοῖς ὁ Ἰησοῦς.

Οὗ *ἐτάξατο αὐτοῖς*, ἀντὶ τοῦ, ὅπου ἐνετείλατο αὐτοῖς διὰ τῶν γυναικῶν, ὡς προείρηται, πορευθῆναι· ἢ ὅπου ὑπέσχετο αὐτοῖς, ὅτε εἶπε, *Μετὰ τὸ ἐγερθῆναί με προάξω ὑμᾶς εἰς τὴν Γαλιλαίαν* (α). Καὶ μὴν εἰς τὴν Γαλιλαίαν μὲν ἐτάξατο αὐτοῖς πορευθῆναι, περὶ δὲ τοῦ ὄρους οὐδὲν ἀναγέγραπται. Πλὴν εἰκὸς, ἢ εἰπεῖν αὐτοῖς, ἢ μηνῦσαι καὶ περὶ τούτου διὰ τῶν γυναικῶν, εἰ καὶ μὴ ἀναγέγραπται. Ἄλλως τε δὲ, καὶ σύνηθες αὐτοῖς ἦν ἐκεῖνο τὸ ὄρος· ἐκεῖ γὰρ μάλιστα διὰ τὴν ἡσυχίαν ηὐλίζοντο.

17 Καὶ ἰδόντες αὐτὸν, προσεκύνησαν αὐτῷ·

Ἰδόντες αὐτὸν, ἐκεῖ. Προέλαβε γάρ.

(α) Ματθ. Κϛ', 32.

17 Οἱ δὲ ἐδίστασαν.

Τινὲς δὲ αὐτῶν ἐδίστασαν περὶ αὐτοῦ, φοβούμενοι τὴν πλάνην. Χρὴ δὲ μὴ ζητεῖν, τίνες ἦσαν οὗτοι· σεσιώπηνται γάρ· μόνον δὲ γινώσκειν, ὅτι καὶ οὗτοι προσελθόντος αὐτοῖς (1) ἐβεβαιώθησαν.

18 Καὶ προσελθὼν ὁ Ἰησοῦς, ἐλάλησεν αὐτοῖς, λέγων· Ἐδόθη μοι πᾶσα ἐξουσία ἐν οὐρανῷ καὶ ἐπὶ γῆς.

Ἐδόθη *μοι*, φησὶν, ὡς ἀνθρώπῳ, ἣν εἶχον, ὡς θεός.

19 Πορευθέντες οὖν μαθητεύσατε πάντα τὰ ἔθνη.

Τῇ δοθείσῃ μοι ἐξουσίᾳ θαῤῥοῦντες. *Πάντα δὲ τὰ ἔθνη* εἰπὼν, καὶ τὸ τῶν Ἑβραίων γένος ἐδήλωσε. Καὶ παρὰ τῷ Μάρκῳ γὰρ φανερώτερον εἶπεν αὐτοῖς (α)· *Πορευθέντες εἰς τὸν κόσμον ἅπαντα, κηρύξατε τὸ εὐαγγέλιον πάσῃ τῇ κτίσει*. Καὶ παρὰ τῷ Λουκᾷ δὲ ἔτι ἐκδηλότερον εἴρηκε (β)· *Κηρυχθῆναι ἐπὶ τῷ ὀνόματι αὐτοῦ μετάνοιαν καὶ ἄφεσιν ἁμαρτιῶν εἰς πάντα τὰ ἔθνη, ἀρξάμενον ἀπὸ Ἱερουσαλήμ*. Δεσπότης γάρ ἐστιν ἀμνησίκακος τοῖς μετανοοῦσιν. Ἐπεὶ καὶ ἀναστὰς ἐκ νεκρῶν, καὶ τοῖς μαθηταῖς ἐντυχὼν, οὐ μόνον οὐκ ἐμνημόνευσεν, ὧν πέπονθεν ὑπὸ Ἰουδαίων, ἀλλ' οὔτε τῷ Πέτρῳ τὴν ἄρνησιν ὠνείδισεν, οὔτε τοῖς ἄλλοις μαθηταῖς τὴν φυγήν.

19 Βαπτίζοντες αὐτοὺς εἰς τὸ ὄνομα τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος·

Τοῦτο παραγγελία περὶ βαπτίσματος καὶ δογμάτων.

[Ἓν (2) δὲ ὄνομα τῶν τριῶν, ὑποδηλοῦν τὴν μίαν φύσιν τῆς ἁγίας Τριάδος. Ὄνομα δὲ, ἢ τὸ, *ὁ ὢν*, ἢ τὸ, *θεὸς*, ἢ

(1) Δηλαδὴ, τοῦ Ἰησοῦ.

(α) Μαρκ. ΙϚ', 15.

(β) Λουκ. ΚΔ', 47.

(2) Τὰ παρεντεθειμένα ἀναγινώσκονται ἐν τῷ περισελιδίῳ παρὰ τῷ Α.

ἕτερον ἄῤῥητον. Διὸ καὶ εἰς τὸ ὄνομα μόνον λέγουσιν οἱ βαπτίζοντες, μηδὲν ἕτερον προστιθέντες.]

20 Διδάσκοντες αὐτοὺς τηρεῖν πάντα, ὅσα ἐνετειλάμην ὑμῖν.

Τοῦτο πάλιν παραγγελία περὶ πολιτείας. Οὐκ ἀρκεῖ γὰρ τὸ βάπτισμα καὶ τὰ δόγματα πρὸς σωτηρίαν, εἰ μὴ καὶ πολιτεία προσείη.

20 Καὶ ἰδοὺ, ἐγὼ μεθ' ὑμῶν εἰμὶ πάσας τὰς ἡμέρας.

Πλεῖον θάρσος ἐμβάλλων αὐτοῖς, εἶπε· *Καὶ ἰδοὺ, ἐγὼ μεθ' ὑμῶν εἰμι*, συμπράττων, καὶ πᾶν σκῶλον (1) ἐξομαλίζων, καὶ φυλάττων ὑμᾶς.

20 Ἕως τῆς συντελείας τοῦ αἰῶνος.

[Τοῦτο (2) εἶπεν, οὐχ ὡς μετὰ τοῦτο οὐκ ἐσόμενος μετ' αὐτῶν, ἀλλ' ὡς οὐχ οὕτως ἐσόμενος, ὑψηλότερον δὲ καὶ θεοπρεπέστερον ἢ νῦν.]

Τοῦτο δὲ δείκνυσιν, ὅτι οὐ μόνον μετὰ τῶν τηνικαῦτα μαθητῶν, ἀλλὰ καὶ μετὰ τῶν μετ' αὐτούς ἐστιν. Οὐ γὰρ ἕως τῆς συντελείας τοῦ αἰῶνος οἱ ἀπόστολοι μένειν ἔμελλον· ἀλλὰ διὰ τῶν τότε καὶ τοῖς μετὰ ταῦτα τὴν τοιαύτην ἀπηγγείλατο χάριν, ὡς ἑνὶ σώματι διαλεγόμενος πᾶσι τοῖς πιστοῖς. Οὐκ αὐτίκα δὲ εἰς τὸν οὐρανὸν ἀνελήφθη, ἀλλὰ μετὰ καιρόν τινα, ὡς ἀπὸ τῶν ἄλλων εὐαγγελιστῶν ἔξεστι διαγινώσκειν. Καὶ γὰρ ἀπὸ τῆς ἀναστάσεως αὐτοῦ μέχρι τῆς ἀναλήψεως διὰ τεσσαράκοντα ἡμερῶν ἦν ὀπτανόμενος τοῖς μαθηταῖς, καὶ συναυλιζόμενος (α)· εἶτα ἀπὸ τοῦ ἐν Ἰουδαίᾳ ὄρους, τοῦ καλουμέ-

(1) Σκάνδαλον, ἐμπόδιον, πρόσκομμα.

(2) Τὰ παρεντεθειμένα ἀναγινώσκονται ἐν τῷ περισελιδίῳ παρὰ τῷ Α.

(α) Πραξ. Α', 3.

νου ἐλαιῶνος, ἀνελήφθη, καθὼς ἡ βίβλος τῶν ἀποστολικῶν Πράξεων διέξεισιν (α).

Εἴη δὲ ἡμῖν, ἀξίως τοῦ εὐαγγελίου καὶ δογματίζουσι, καὶ πολιτευομένοις, καὶ τελειουμένοις, τυχεῖν καὶ τῆς διὰ τοῦ εὐαγγελίου ἐπηγγελμένης βασιλείας τοῖς τελείοις, χάριτι τοῦ παντελείου βασιλέως Ἰησοῦ Χριστοῦ καὶ Θεοῦ ἡμῶν, ᾧ πρέπει δόξα καὶ προσκύνησις, ἅμα τῷ ἀνάρχῳ καὶ ἀϊδίῳ πατρὶ, καὶ τῷ συνανάρχῳ καὶ συναϊδίῳ πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

(α) Πραξ. Α', 9.

ΤΕΛΟΣ

ΤΟΥ ΚΑΤΑ ΜΑΤΘΑΙΟΝ ΕΥΑΓΓΕΛΙΟΥ.